ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

2

Υ Π Ο Μ Ν Η Μ Α

ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ

(ΟΜΙΛΙΑΙ Α΄—ΚΓ΄)

Ε Ι Σ Α Γ Ω Γ Η
ΚΕΙΜΕΝΟΝ—ΜΕΤΑΦΡΑΣΙΣ—ΣΧΟΛΙΑ
Ὑπὸ
ΣΠΥΡΙΔΩΝΟΣ ΜΟΥΣΤΑΚΑ
Θεολόγου - Φιλολόγου

ΕΙΣΑΓΩΓΗ

Ὁ Ἰωάννης Χρυσόστομος ἡρμήνευσε τὸ περισσότερον μέρος τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης κατὰ τὰς ἀπὸ τοῦ ἄμβωνος ὁμιλίας του. Αἱ ἑρμηνευτικαὶ αὐταὶ ὁμιλίαι ἀποδεικνύουν ὅτι ὁ ἱερὸς πατὴρ συνεδύαζεν ἀκριβῆ γνῶσιν τῶν ἁγιογραφικῶν κειμένων, κοινωνικὴν πεῖραν καὶ ρητορικὴν δεινότητα. Ἑρμηνευτική του μέθοδος εἶναι ἡ ἱστορικοφιλολογική, εἰς τὴν ὁποίαν ἀναμειγνύει καὶ στοιχεῖα τυπολογίας. Χρησιμοποιῶν πολλὰ χωρία ἀπὸ τὰς δύο Διαθήκας ἐφαρμόζει καὶ τὴν ἀρχὴν τῆς ἑρμηνείας τῆς Γραφῆς διὰ τῆς Γραφῆς.

Ὁ Χρυσόστομος δὲν ἑρμηνεύει μόνον τὸ κείμενον τῆς Γραφῆς ἀλλὰ ἀποκρούει καὶ τὰς εἰδωλολατρικὰς καὶ αἱρετικὰς δοξασίας ἐπὶ τοῦ θέματος ποὺ ἀναπτύσσει. Ἐπίσης μὲ τὰς ὁμιλίας του αὐτὰς καθοδηγεῖ τοὺς πιστοὺς ἀπευθύνων προτροπὰς πρὸς αὐτούς, μεταφέρων τὰ πορίσματά του εἰς ὅλους τοὺς τομεῖς τοῦ πρακτικοῦ βίου.

Διὰ τὸ βιβλίον τῆς Γενέσεως ἀφιέρωσε συνολικὰ 78 ὁμιλίας, τὰς ὁποίας ἐξεφώνησε τὰ ἔτη 386 καὶ 388 εἰς τὸν μητροπολιτικὸν ναὸν τῆς Ἀντιοχείας.

Εἰς τὸ παρόντα τόμον περιέχονται αἱ πρῶται 23 ὁμιλίαι τῆς σειρᾶς, αἱ ὁποῖαι ἐξεφωνήθησαν εἰς περίοον Μεγάλης Τεσσαρακοστῆς. Δι' αὐτὸ καὶ ἡ Α' ὁμιλία, ποὺ ἔχει ὑπότιτλον «Εἰς τὴν εἴσοδον τῆς ἁγίας τεσσαρακοστῆς», ἀναφέρεται εἰς τὴν μεγάλην σπουδαιότητα καὶ σημασίαν τῆς νηστείας.

Αἱ ὁμιλίαι Β' - Ι' ἀναφέρονται εἰς τὸ δημιουργικὸν ἔργον τοῦ Θεοῦ ὡς ἑξῆς:

Β' - Γεν. 1,1-2: Ἡ δημιουργία οὐρανοῦ καὶ γῆς.

Γ' - Γεν. 1,1-5: Ἡ πρώτη ἡμέρα.

Δ' - Γεν. 1,6-8: Ἡ δευτέρα ἡμέρα.

Ε΄ - Γεν. 1,9-13: Ἡ τρίτη ἡμέρα.

Στ΄ - Γεν. 1,14-19: Ἡ τετάρτη ἡμέρα.

Ζ΄ - Γεν. 1,20-25: Ἡ πέμπτη καὶ ἕκτη ἡμέρα.

Η΄ καὶ Θ΄ - Γεν. 1,26: Ἡ δημιουργία τοῦ ἀνθρώπου.

Ι΄ - Γεν. 1,26-2,3: Ἡ ἕκτη καὶ ἑβδόμη ἡμέρα.

Μὲ τὴν ΙΑ΄ ὁμιλίαν ἀπευθύνει εἰς τοὺς ἀκροατάς του παραινέσεις πρὸς ἀρετὴν καὶ εἰς τὰς ὑπολοίπους ἐπανέρχεται εἰς τὸ κείμενον τῆς γενέσεως ὡς ἀκολούθως:

ΙΒ΄ - Γεν. 2,4-7: Ἡ δημιουργία τοῦ ἀνθρώπου.

ΙΓ΄ - Γεν. 2,8-14: Ὁ παράδεισος τῆς Ἐδέμ.

ΙΔ΄ - Γεν. 2,15 - 20: Ἡ ἐντολὴ καὶ ἡ ὀνομασία τῶν ζώων.

ΙΕ΄ - Γεν. 2,20-25: Ἡ δημιουργία τῆς γυναικός.

ΙΣτ΄ - 2,25-3,7: Ἡ παράβασις τῆς ἐντολῆς.

ΙΖ΄ - Γεν. 3,8-19: Ἡ τιμωρία τῶν πρωτοπλάστων.

ΙΗ΄ - 3,20-4,7: Ἡ ἐκδίωξις ἐκ τοῦ Παραδείσου. Κάϊν καὶ Ἄβελ, ἡ θυσία αὐτῶν.


ΙΘ΄ - Γεν. 4,8-15: Ὁ φόνος τοῦ Κάϊν.

Κ΄ - Γεν. 4,16-26: Οἱ πρῶτοι ἀπόγονοι τοῦ Ἀδάμ. Ὁ Λάμεχ.

ΚΑ΄ - Γεν. 5,1-31: Ὁ γενεαλογικὸς κατάλογος τῶν ἀνθρώπων. Ὁ Νῶε.

ΚΒ΄ Γεν. 5,32 - 6,8 καὶ ΚΓ΄ - Γεν. 6,8-9· Περὶ τοῦ Νῶε.

Τὸ κείμενο τῶν ὁμιλιῶν εἶναι ἀπὸ τὴν ἔκδοσιν B. Montfaucon, ἐνῶ ἡ γλῶσσα τῆς μεταφράσεως εἶναι σύμφωνος πρὸς τὰς λοιπὰς ἀποδόσεις Ε.Π.Ε.



ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ

ΟΜΙΛΙΑ Α΄

ΕΙΣ ΤΗΝ ΕΙΣΟΔΟΝ ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

1. Χαίρω, καὶ εὐφραίνομαι ὁρῶν σήμερον τὴν τοῦ Θεοῦ ἐκκλησίαν τῷ πλήθει τῶν οἰκείων τέκνων κοσμουμένην, καὶ μετὰ πολλῆς τῆς περιχαρείας ἅπαντας ὑμᾶς συνδεδραμηκότας. Ὅταν γὰρ ἀποβλέψω πρὸς τὰ φαιδρὰ ὑμῶν πρόσωπα, τεκμήριον μέγιστον ποιοῦμαι τῆς κατὰ ψυχὴν ὑμῶν ἡδονῆς· καθάπερ καὶ σοφός τις ἔλεγε· «**Καρδίας εὐφραινομένης, θάλλει πρόσωπον**»[1]. *Διά τοι τοῦτο καὶ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας ἀνέστην σήμερον, ὁμοῦ καὶ τῆς εὐφροσύνης ὑμῖν κοινωνήσων ταύτης τῆς πνευματικῆς, καὶ μηνυτὴς ὑμῖν γενέσθαι βουλόμενος τῆς παρουσίας τῆς ἁγίας τεσσαρακοστῆς, τοῦ φαρμάκου λέγω τῶν ἡμετέρων ψυχῶν. Καθάπερ γὰρ πατὴρ φιλόστοργος ὁ κοινὸς ἁπάντων ἡμῶν Δεσπότης, βουλόμενος ἡμᾶς ἀπονίψασθαι τὰ ἐν παντὶ τῷ χρόνῳ ἡμῖν ἡμαρτημένα, καὶ διὰ τῆς ἁγίας νηστείας ἐπενόησεν ἡμῖν θεραπείαν. Μηδεὶς τοίνυν γινέσθω κατηφής, μηδεὶς στυγνὸς φαινέσθω, ἀλλὰ σκιρτάτω, καὶ χαιρέτω, καὶ δοξαζέτω τὸν κηδεμόνα τῶν ἡμετέρων ψυχῶν, τὸν ταύτην ἡμῖν τὴν ἀρίστην τεμόντα ὁδόν, καὶ μετὰ πολλῆς τῆς περιχαρείας ὑποδεχέσθω ταύτης τὴν παρουσίαν. Αἰσχυνέσθωσαν Ἕλληνες, ἐγκαλυπτέσθωσαν Ἰουδαῖοι, ὁρῶντες ἡμῶν τὴν ἀγάπην ἱλαρᾷ τῇ προθυμίᾳ τὴν ταύτης παρουσίαν ἀσπαζομένους, καὶ μανθανέτωσαν διὰ τῆς τῶν πραγμάτων πείρας, ὅσον τὸ μέσον ἡμῶν τε καὶ αὐτῶν. Καὶ ἐκεῖνοι μὲν ἑορτὰς καὶ πανηγύρεις ὀνομαζέτωσαν τὴν μέθην, καὶ τὴν ἄλλην ἅπασαν ἀκολασίαν, καὶ τὰς ἀσχημοσύνας, ἃς εἰκὸς ἐντεῦθεν αὐτοὺς ἐπισύρεσθαι· ἡ δὲ τοῦ Θεοῦ Ἐκκλησία ἀπεναντίας ἐκείνοις τὴν νηστείαν, τὴν τῆς γα-*

1. Παροιμ. 15, 13.

ΟΜΙΛΙΑ Α΄

ΕΙΣ ΤΗΝ ΕΙΣΟΔΟΝ ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

1. Χαίρω καὶ εὐφραίνομαι, καθὼς βλέπω σήμερα τὴν ἐκκλησίαν τοῦ Θεοῦ νὰ καλλωπίζεται μὲ τὸ πλῆθος τῶν ἰδικῶν του τέκνων καὶ μὲ πολλὴν χαρὰν νὰ ἔχετε ἔλθει ὅλοι σας. Διότι ὅταν στρέψω τὰ μάτια μου πρὸς τὰ χαρούμενα πρόσωπά σας, συμπεραίνω περίτρανα τὴν ψυχικήν σας εὐχαρίστησιν, καθὼς καὶ κάποιος σοφὸς ἔλεγεν· «Ὅταν ἡ καρδία εὐφραίνεται, τὸ πρόσωπον εἶναι χαρούμενον»[1]. Διὰ τοῦτο λοιπὸν καὶ ἐγὼ ὁ ἴδιος μὲ μεγαλυτέραν προθυμίαν ἠγέρθην σήμερα, διὰ νὰ γίνω συγχρόνως καὶ μέτοχος τῆς πνευματικῆς σας χαρᾶς αὐτῆς καὶ ἐπειδὴ θέλω νὰ σᾶς ἀναγγείλλω τὴν ἔλευσιν τῆς Μεγάλης Τεσσαρακοστῆς, ἡ ὁποία εἶναι τὸ φάρμακον τῶν ἰδικῶν μας ψυχῶν. Διότι, ὅπως ἀκριβῶς ὁ φιλόστοργος πατέρας, ὁ Κύριος ὅλων μας ἐπιθυμῶν νὰ μᾶς ἀπαλλάξη τελείως ἀπὸ τάς ἁμαρτίας, ποὺ ἔχομεν διαπράξει εἰς ὅλην μας τὴν ζωήν, ἐπενόησε δι' ἡμᾶς τὴν θεραπείαν καὶ μὲ τὴν ἁγίαν νηστείαν. Κανεὶς λοιπὸν ἂς μὴ γίνεται κατηφής, κανεὶς ἂς μὴ φαίνεται σκυθρωπός, ἀλλὰ ἂς σκιρτᾷ καὶ ἂς χαίρεται καὶ ἂς δοξάζῃ ἐκεῖνον, ποὺ φροντίζει τὰς ψυχάς μας καὶ διήνοιξεν εἰς ἡμᾶς αὐτὸν τὸν ἄριστον δρόμον, καὶ ἂς ὑποδέχεται μὲ πολλὴν χαρὰν τὴν ἔλευσίν του. Ἂς ἐντρέπωνται οἱ ἐθνικοί, ἂς σκεπάζουν τὸ πρόσωπόν των οἱ Ἰουδαῖοι, βλέποντες ἡμᾶς νά χαιρετίζωμεν τὴν ἔλευσιν τῆς νηστείας μὲ εὔθυμον διάθεσιν, καὶ ἂς διδάσκωνται μὲ τὴν πεῖραν τῶν πραγμάτων, πόση εἶναι ἡ διαφορά μας ἀπὸ αὐτούς. Καὶ ἐκεῖνοι μὲν ἂς ὀνομάζουν ἑορτὰς καὶ πανηγύρεις τὴν μέθην καὶ ὅλην τὴν ἄλλην ἀκολασίαν καὶ τάς αἰσχρὰς πράξεις, τὰς ὁποίας εἶναι φυσικὸν νὰ πράττουν αὐτοὶ ἕνεκα τούτου. Ἡ Ἐκκλησία ὅμως τοῦ Θεοῦ, ἀντίθετα πρός αὐτούς, ἂς ὀνομάζῃ ἑορτὴν τὴν νηστείαν, τὴν περιφρόνησιν

στρὸς ὑπεροψίαν, καὶ τὴν ἑπομένην ταύτῃ πᾶσαν ἀρετὴν ἑορτὴν ὀνομάζετω. Αὕτη γὰρ ἀληθὴς ἑορτή, ἔνθα ψυχῶν σωτηρία, ἔνθα εἰρήνη καὶ ὁμόνοια, ἔνθα βιωτικὴ πᾶσα φαντασία ἀπελήλαται· ὅπου κραυγὴ καὶ θόρυβος, καὶ μαγείρων δρόμοι, καὶ τῶν ἀλόγων σφαγαὶ ἐκποδών· ἠρεμία δὲ πᾶσα, καὶ γαλήνη, καὶ ἀγάπη, καὶ χαρά, καὶ εἰρήνη, καὶ πρᾳότης, καὶ μυρία ἀγαθὰ ἀντ' ἐκείνων πολιτεύεται. Φέρε οὖν, παρακαλῶ, μικρὰ περὶ ταύτης διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐκεῖνο πρότερον παρακαλέσαντες ὑμᾶς, μετὰ πολλῆς ἡσυχίας δέξασθαι τοὺς ἡμετέρους λόγους, ἵνα καρπωσάμενοι τι γενναῖον, ἐντεῦθεν οἴκαδε ἀναχωρήσητε. Οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῇ ἐνταῦθα σύνιμεν, ἵνα ὁ μὲν εἴπῃ, ὁ δὲ κροτήσῃ ἁπλῶς τὰ λεγόμενα, καὶ οὕτως ἐντεῦθεν ἐξέλθωμεν, ἀλλ' ἵνα καὶ ἡμεῖς χρήσιμόν τι καὶ τῶν συνεχόντων τὴν σωτηρίαν τὴν ὑμετέραν φθεγξώμεθα, καὶ ὑμεῖς κερδάναντες ἐκ τῶν λεγομένων, καὶ πολλὴν τὴν ὠφέλειαν καρπωσάμενοι, οὕτως ἐντεῦθεν ἐξέλθητε. Ἰατρεῖον γάρ ἐστι πνευματικὸν ἡ ἐκκλησία, καὶ δεῖ τοὺς ἐνταῦθα παραγενομένους κατάλληλα τὰ φάρμακα λαμβάνοντας, καὶ τοῖς οἰκείοις τραύμασιν ἐπιτιθέντας, οὕτως ἐπανιέναι. Ὅτι γὰρ ἡ ἀκρόασις μόνη ἄνευ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως οὐδὲν ὀνήσει, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος· «Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται». Καὶ ὁ Χριστὸς δὲ δημηγορῶν ἔλεγεν· «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς». Εἰδότες τοίνυν, ἀγαπητοί, ὡς οὐδὲν ἡμῖν ἔσται πλέον ἐκ τῆς ἀκροάσεως, εἰ μὴ ἕποιτο καὶ ἡ διὰ τῶν ἔργων πλήρωσις, μὴ μόνον ἀκροαταὶ γινώμεθα, ἀλλὰ καὶ ποιηταί, ἵνα τὰ ἔργα τοῖς λόγοις ἑπόμενα πολλῆς ἡμῖν παρρησίας ὑπόθεσις γένηται. Ἁπλώσαντες τοίνυν τοὺς κόλπους τῆς διανοίας, οὕτω δέξα-

2. Ρωμ. 2, 13.
3. Ματθ. 7, 21.

τῆς κοιλίας καὶ κάθε ἀρετήν, ποὺ ἀκολουθεῖ αὐτήν. Διότι αὐτὴ εἶναι ἡ ἀληθινὴ ἑορτή, ὅπου ὑπάρχει ἡ σωτηρία τῶν ψυχῶν, ὅπου ὑπάρχει εἰρήνη καὶ ὁμόνοια, ὅπου ἔχει ἀπομακρυνθῆ κάθε κοσμικὴ ἐκδήλωσις· ὅπου αἱ κραυγαὶ καὶ ὁ θόρυβος, αἱ περιποιήσεις τῶν μαγείρων καὶ αἱ σφαγαὶ τῶν ζώων ἔχουν ἐξοβελισθῆ· ἀπόλυτος δὲ ἠρεμία καὶ γαλήνη καὶ ἀγάπη καὶ χαρὰ καὶ εἰρήνη καὶ πραότης καὶ ἄπειρα ἀγαθὰ ἐπικρατοῦν ἀντὶ ἐκείνων. Ἐμπρὸς λοιπόν, παρακαλῶ, ἂς εἰπῶ ὀλίγα δι' αὐτὴν πρὸς τὴν ἀγάπην σας, ἀφοῦ σᾶς παρακαλέσω προηγουμένως αὐτό, νὰ δεχθῆτε τὰ λόγια μου μὲ πολλὴν ἡσυχίαν, διὰ νὰ ἐπιστρέψετε ἀπὸ ἐδῶ εἰς τὰ σπίτια σας, ἀφοῦ ὠφεληθῆτε σημαντικά. Διότι οὔτε συνήλθομεν ἐδῶ ἁπλῶς καὶ τυχαίως, διὰ νὰ ὁμιλήσῃ ὁ ἕνας καὶ νὰ ἐπικροτήσῃ ἁπλῶς τὰ λεγόμενα ὁ ἄλλος, καὶ ἔτσι νὰ ἀναχωρήσωμεν ἀπὸ ἐδῶ· ἀλλὰ διὰ νὰ εἰποῦμεν καὶ ἡμεῖς κάτι χρήσιμον καὶ οὐσιῶδες διὰ τὴν σωτηρίαν, καὶ σεῖς, ἀφοῦ ὠφεληθῆτε ἀπὸ τὰ λεγόμενα καὶ κερδίσετε μεγάλην ὠφέλειαν, νὰ ἀναχωρήσετε ἔτσι ἀπὸ ἐδῶ. Διότι ἡ ἐκκλησία εἶναι πνευματικὸν ἰατρεῖον καὶ πρέπει ἐκεῖνοι, ποὺ ἔρχονται ἐδῶ, ἀφοῦ λάβουν τὰ κατάλληλα φάρμακα καὶ τὰ ἐπιθέσουν εἰς τὰ ἰδικά των τραύματα, ἔτσι νὰ ἐπανέρχωνται. Ὅτι βεβαίως μόνον ἡ ἀκρόασις χωρὶς τὴν ἐπίδειξιν μὲ τὰ ἔργα δὲν θὰ ὠφελήσῃ καθόλου, ἄκουε τὸν μακάριον Παῦλον ποὺ λέγει· «Διότι δίκαιοι ἐνώπιον τοῦ Θεοῦ δὲν εἶναι οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλὰ ὅσοι ἐκτελοῦν τὸν νόμον, αὐτοὶ θὰ ἀναγνωρισθοῦν δίκαιοι»[2]. Καὶ ὁ Χριστὸς δὲ ὁμιλῶν ἐνώπιον τοῦ λαοῦ ἔλεγε· «Δὲν θὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καθένας ποὺ μὲ προσφωνεῖ Κύριε, Κύριε, ἀλλὰ ἐκεῖνος ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Πατρός μου, ὁ ὁποῖος εἶναι εἰς τοὺς οὐρανούς»[3]. Γνωρίζοντες λοιπόν, ἀγαπητοί, ὅτι δὲν θὰ μᾶς συμβῇ τίποτε περισσότερον ἀπὸ τὴν ἀκρόασιν, ἐὰν δὲν θὰ ἀκολουθῇ καὶ ἡ ἐκπλήρωσις μὲ τὰ ἔργα, ἂς μὴ γινώμεθα μόνον ἀκροαταί, ἀλλὰ καὶ ἐκτελεσταί, διὰ νὰ γίνουν τὰ ἔργα, ὅταν ἀκολουθοῦν τὰ λόγια, θεμέλιον μεγάλης παρρησίας εἰς ἡμᾶς. Ἀφοῦ ἀνοίξετε λοιπὸν τὰς ἀγκάλας τῆς διανοίας σας, ἔτσι

σθε τοὺς περὶ τῆς νηστείας λόγους. Καὶ καθάπερ οἱ σώφρονά τινα καὶ κοσμίαν ἐλευθέραν μέλλοντες ἀγαγέσθαι, πάντοθεν παραπετάσμασι καλλωπίσαντες τὰς παστάδας, καὶ ἐκκαθάραντες τὴν οἰκίαν ἅπασαν, καὶ πάσαις ταῖς ἠμελημέναις θεραπαινίσιν ἄβατον ποιήσαντες, οὕτω ταύτην εἰς τὰς παστάδας εἰσάγουσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὑμᾶς βούλομαι, ἐκκαθάραντας ὑμῶν τὸν λογισμόν, καὶ τῇ τρυφῇ καὶ τῇ λοιπῇ ἀδηφαγίᾳ πολλὰ χαίρειν εἰπόντας, οὕτω τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων, καὶ τῆς σωφροσύνης, καὶ τῆς ἄλλης ἁπάσης ἀρετῆς διδάσκαλον, τὴν νηστείαν λέγω, ἡπλωμένοις τοῖς κόλποις ὑποδέξασθαι, ἵνα καὶ ὑμεῖς πλείονος ἀπολαύσητε τῆς ἡδονῆς, καὶ αὕτη τὴν οἰκείαν καὶ κατάλληλον ὑμῖν ἰατρείαν παράσχηται. Εἰ γὰρ οἱ τῶν ἰατρῶν παῖδες, ἐπειδὰν μέλλωσι φάρμακα διδόναι τοῖς βουλομένοις τὸν σεσηπότα καὶ διεφθαρμένον χυμὸν ἐκκαθᾶραι, κελεύουσι τῆς σωματικῆς ταύτης τροφῆς ἀπέχεσθαι, ὥστε μὴ κώλυμα γενέσθαι τῇ τοῦ φαρμάκου δυνάμει, ἀλλ᾽ ἐνεργῆσαι, καὶ τὸ οἰκεῖον ἔργον ἐπιδείξασθαι· πολλῷ μᾶλλον ἡμᾶς προσήκει τὸ πνευματικὸν τοῦτο φάρμακον μέλλοντας ὑποδέχεσθαι τὴν ἐκ τῆς νηστείας ὠφέλειαν, λέγω δὴ τὸ τῆς διαίτης, ἐκκαθᾶραι ἡμῶν τὸν λογισμόν, καὶ κουφοτέραν ἐργάσασθαι τὴν διάνοιαν, ἵνα μὴ ὑπὸ τῆς μέθης καταβαπτισθεῖσα ἄχρηστον καὶ ἀνόνητον ἡμῖν κατασκευάσῃ τὴν ἐκ ταύτης ὠφέλειαν.

2΄ Καὶ οἶδα μὲν ὅτι τοὺς πολλοὺς ξενίζει τὰ παρ᾽ ἡμῶν λεγόμενα σήμερον· ἀλλά, παρακαλῶ, μὴ τῇ συνηθείᾳ ἁπλῶς δουλεύωμεν, ἀλλὰ λογισμῷ τὰ καθ᾽ ἑαυτοὺς οἰκονομῶμεν. Μὴ γὰρ ἔσται τι κέρδος ἡμῖν ἀπὸ τῆς ἡμερινῆς ἀδηφαγίας, καὶ τῆς πολλῆς μέθης; Καὶ τί λέγω κέρδος; Ἀλλὰ καὶ πολλὴ ἡ ζημία, καὶ ἡ βλάβη ἀφόρητος. Ὅταν γὰρ καταβαπτισθῇ ὑπὸ τῆς πολλῆς οἰνοποσίας ὁ λογισμός, εὐθέως ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀποκρούσεται τὸ ἀπὸ τῆς νηστείας κέρδος. Τί γὰρ ἀηδέστερον, εἰπέ μοι, τί δὲ ἀσχημονέστερον, ὅταν

4. Α΄ Κορ. 6, 10.

νὰ δεχθῆτε τὰ λόγια περὶ τῆς νηστείας. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ πρόκειται νὰ νυμφευθοῦν κάποιαν συνετὴν καὶ σεμνὴν ἐλευθέραν κόρην, ἀφοῦ στολίσουν ἀπὸ παντοῦ τὸν νυμφικὸν θάλαμον μὲ παραπετάσματα, καὶ ἀφοῦ καθαρίσουν ὁλόκληρον τὸ σπίτι καὶ τὸ καταστήσουν ἄβατον εἰς ὅλας τὰς ἀτημελήτους ὑπηρετρίας, ἔτσι εἰσάγουν αὐτὴν εἰς τὸν νυμφικὸν θάλαμον, κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον θέλω καὶ σεῖς, ἀφοῦ καθαρίσετε τὴν σκέψιν σας καὶ ἀφοῦ ἐγκαταλείψετε τελείως τὰς ἀπολαύσεις καὶ τὴν ὑπόλοιπον ἀπληστίαν, ἔτσι τὴν μητέρα ὅλων τῶν ἀγαθῶν καὶ τὸν διδάσκαλον τῆς σωφροσύνης καὶ κάθε ἄλλης ἀρετῆς, ἐννοῶ τὴν νηστείαν, μὲ ἀνοικτὰς τὰς ἀγκάλας νὰ ὑποδεχθῆτε, διὰ νὰ ἀπολαύσετε καὶ σεῖς περισσοτέραν εὐχαρίστησιν, καὶ αὐτὴ νὰ σᾶς χορηγήσῃ τὴν πρόσφορον καὶ κατάλληλον θεραπείαν. Διότι ἐὰν οἱ ἰατροί, ὅταν πρόκειται νὰ καθαρίσουν τὸ σαπισμένον καὶ μολυσμένον πύον, διατάσσουν νὰ ἀπέχουν ἀπὸ τὴν τροφὴν τοῦ σώματος, διὰ νὰ μὴ γίνῃ ἐμπόδιον εἰς τὴν δύναμιν τοῦ φαρμάκου, ἀλλὰ νὰ ἐνεργήσῃ καὶ νὰ παρουσιάσῃ τὸ ἰδικόν του ἔργον, πολὺ περισσότερον πρέπει ἡμεῖς, ὅταν πρόκειται νὰ ὑποδεχθοῦμεν τὸ πνευματικὸν αὐτὸ φάρμακον, τὴν ὠφέλειαν ἀπὸ τὴν νηστείαν, ἐννοῶ βέβαια τὸ φάρμακον τῆς διαίτης, νὰ καθαρίσωμεν τὸν λογισμόν μας καὶ νὰ κάμωμεν ἐλαφροτέραν τὴν σκέψιν, διὰ νὰ μὴ μᾶς καταστήσῃ ἄχρηστον καὶ χωρὶς ἀποτέλεσμα τὴν ὠφέλειαν ἀπὸ αὐτήν, ὅταν πνιγῇ ἀπὸ τὴν μέθην.

2. Καὶ γνωρίζω μὲν ὅτι οἱ πολλοὶ παραξενεύονται ἀπὸ τὰ λόγια μου σήμερα. Ὅμως, παρακαλῶ, ἂς μὴ ὑπακούωμεν ἁπλῶς εἰς τὴν συνήθειαν, ἀλλὰ ἂς ρυθμίζωμεν μὲ σύνεσιν αὐτὰ ποὺ μᾶς ἀφοροῦν. Μήπως λοιπὸν προκύψῃ κάποιο κέρδος εἰς ἡμᾶς ἀπὸ τὴν καθημερινὴν λαιμαργίαν καὶ τὴν πολλὴν μέθην; Καὶ διατί λέγω κέρδος; Ἀλλὰ καὶ ἡ ζημία θὰ εἶναι μεγάλη, καὶ ἡ βλάβη ἀνυπόφορος. Διότι ὅταν ὁ νοῦς πνιγῇ ἀπὸ τὴν πολλὴν οἰνοποσίαν, ἀμέσως ἀπὸ τὴν ἀρχὴν θὰ ἀποκρουσθῇ τὸ κέρδος ἀπὸ τὴν νηστείαν. Διότι τί εἶναι περισσότερον ἀηδές, εἰπέ μου, καὶ τί περισσότερον

μέχρι μεσονυκτίου τὸν ἄκρατον σπῶντες, ὑπὸ τὴν ἕω τῆς ἀκτῖνος τῆς ἡλιακῆς ἀνισχούσης, ὡς πρόσφατον τοῦ οἴνου ἐμφορηθέντες οὕτως ἀποπνέουσι, καὶ ἀηδεῖς μὲν φαίνονται τοῖς συντυγχάνουσιν, εὐκαταφρόνητοι δὲ τοῖς οἰκέταις, καὶ καταγελῶνται παρὰ πάντων τῶν ὁπωσοῦν τὸ δέον συνορώντων, καὶ πρὸ τούτων ἁπάντων, ὅταν διὰ τὴν πολλὴν ταύτην ἀκρασίαν, καὶ τὴν ἀμετρίαν τὴν ἄκαιρον καὶ ἀνόητον, καὶ τὴν παρὰ τοῦ Θεοῦ ἀγανάκτησιν ἐπισπῶνται; «Οἱ γὰρ μέθυσοι», φησί, «βασιλείαν Θεοῦ οὐ κληρονομοῦσι». Τί οὖν τούτων ἀθλιώτερον γένοιτ' ἄν, τῶν διὰ βραχεῖαν καὶ ἐπιβλαβῆ ἡδονὴν τῶν τῆς βασιλείας προθύρων ἐκβαλλομένων; Ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐνταῦθα συνειλεγμένων τούτῳ ἁλῶναι τῷ πάθει· ἀλλὰ μετὰ πάσης φιλοσοφίας καὶ σωφροσύνης, καὶ τὴν παροῦσαν ἡμέραν ἑστιασαμένους, καὶ τοῦ χειμῶνος καὶ τῆς ζάλης, ἣν ἡ μέθη ἐργάζεσθαι πέφυκεν, ἐλευθερωθέντας εἰς τὸν λιμένα καταντῆσαι τῶν ἡμετέρων ψυχῶν, τὴν νηστείαν λέγω, ἵνα μετὰ δαψιλείας τὰ ἀπὸ ταύτης δυνηθῶμεν καρπώσασθαι ἀγαθά. Ὥσπερ γὰρ ἡ ἀδηφαγία μυρίων κακῶν αἰτία καὶ πρόξενος τῷ τῶν ἀνθρώπων γίνεται γένει, οὕτω καὶ ἡ νηστεία καὶ ἡ τῆς γαστρὸς ὑπεροψία τῶν ἀφάτων ἡμῖν ἀγαθῶν ἀεὶ αἰτία γέγονε. Πλάσας γὰρ ἐξ ἀρχῆς τὸν ἄνθρωπον ὁ Θεός, καὶ εἰδώς, ὅτι τούτου αὐτῷ μάλιστα δεῖ τοῦ φαρμάκου πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν, εὐθέως καὶ ἐκ προοιμίων τῷ πρωτοπλάστῳ ταύτην δέδωκε τὴν ἐντολὴν εἰπών «Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ». Τὸ δὲ λέγειν, τόδε φάγε, καὶ τόδε μὴ φάγῃς, νηστείας ἦν εἰκών. Ἀλλὰ δέον φυλάξαι τὴν ἐντολήν, τοῦτο μὲν οὐκ ἐποίησε, δι' ἀκρασίαν δὲ τῆς γαστρὸς ἡττηθείς, καὶ τὴν παρακοὴν ἐργασάμενος, θανάτῳ κατεδι-

5. Γεν. 2, 16 - 17.

ἄσχημον, ὅταν μέχρι τὰ μεσάνυκτα καταπίνοντες τὸν γνήσιον οἶνον, κατὰ τὸ πρωΐ, ἐνῷ αἱ ἀκτῖνες τοῦ ἡλίου ἀνυψώνονται, ὡσὰν νὰ ἐμέθυσαν πρόσφατα, ἀναδίδουν τέτοιαν δυσάρεστον ὀσμήν, καὶ φαίνωνται ἀηδεῖς μὲν εἰς ἐκείνους ποὺ τοὺς συναντοῦν, εὐκαταφρόνητοι δὲ εἰς τοὺς ὑπηρέτας των, καὶ χλευάζωνται ἀπὸ ὅλους ἐκείνους, οἱ ὁποῖοι ἀντιλαμβάνονται κάπως τὸ πρέπον, καὶ περισσότερον ἀπὸ ὅλα αὐτά, ὅταν, ἐξ αἰτίας τῆς μεγάλης αὐτῆς ἀκρατείας καὶ τῆς ἀκαίρου καὶ ἀνωφελοῦς ὑπερβάσεως τοῦ μέτρου, προκαλοῦν καὶ τὴν ἀγανάκτησιν τοῦ Θεοῦ; «Διότι οἱ μέθυσοι, λέγει ἡ Γραφή, δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ»[4]. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ γίνῃ ἀθλιώτερον ἀπὸ αὐτούς, οἱ ὁποῖοι ἐκδιώκονται ἀπὸ τὰ πρόθυρα τῆς βασιλείας ἐξ αἰτίας τῆς συντόμου καὶ ἐπιβλαβοῦς ἡδονῆς; Εἴθε ὅμως νὰ μὴ κυριευθῇ κανείς, ἀπὸ τοὺς συγκεντρωμένους ἐδῶ, ἀπὸ τὸ πάθος αὐτό. Ἀλλὰ μὲ κάθε σκέψιν καὶ σύνεσιν, καὶ ἀφοῦ φάγωμεν κατὰ τὴν σημερινὴν ἡμέραν καὶ ἀπαλλαγοῦμεν ἀπὸ τὴν τρικυμίαν καὶ τὴν ζάλην, τὴν ὁποίαν ἀπὸ τὴν φύσιν της προκαλεῖ ἡ μέθη, νὰ φθάσωμεν εἰς τὸ λιμάνι τῶν ἰδικῶν μας ψυχῶν, δηλαδὴ τὴν νηστείαν, διὰ νὰ ἠμπορέσωμεν μὲ ἀφθονίαν νὰ ἀπολαύσωμεν τὰ ἀγαθά, ποὺ προέρχονται ἀπὸ αὐτήν. Διότι ὅπως ἡ λαιμαργία γίνεται αἰτία καὶ πρόξενος ἀπείρων κακῶν εἰς τὸ ἀνθρώπινον γένος, ἔτσι καὶ ἡ νηστεία καὶ ἡ περιφρόνησις τῆς κοιλίας γίνεται πάντοτε εἰς ἡμᾶς αἰτία τῶν ἀνεκφράστων ἀγαθῶν. Διότι ἀφοῦ ἀπὸ τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον καὶ ἐγνώριζεν, ὅτι ἔχει μεγάλην ἀνάγκην ἀπὸ αὐτὸ τὸ φάρμακον διὰ τὴν σωτηρίαν τῆς ψυχῆς, ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴν ἔδωσεν εἰς τὸν πρωτόπλαστον αὐτὴν τὴν ἐντολήν, λέγων· «Ἀπὸ κάθε δένδρον ποὺ εὑρίσκεται μέσα εἰς τὸν παράδεισον ἠμπορεῖς νὰ φάγῃς ἀπὸ τὸ δένδρον ὅμως τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ δὲν θὰ φάγῃς»[5]. Τὸ νὰ λέγῃ δέ, αὐτὸ ἐδῶ φάγε καὶ ἐκεῖνο νὰ μὴ φάγῃς, ἦτο ἕνα εἶδος νηστείας. Ἀλλὰ ἐνῷ ἔπρεπε νὰ τηρήσῃ τὴν ἐντολήν, αὐτὸ μὲν δὲν ἔκαμεν, ἀφοῦ ὅμως ἐξ αἰτίας τῆς ἀκρατείας τῆς κοιλίας ἐνικήθη καὶ παρέβη τὴν

κάζετο. Ἐπειδὴ γὰρ εἶδεν ὁ πονηρὸς δαίμων ἐκεῖνος καὶ ἐχθρὸς τῆς φύσεως τῆς ἡμετέρας τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν τοῦ πρωτοπλάστου, καὶ τὸν ἀταλαίπωρον βίον ἐκεῖνον, καὶ ὅτι, καθάπερ ἄγγελος, οὕτω σώματι συμπεπλεγμένος διῆγεν ἐπὶ τῆς γῆς, βουλόμενος αὐτὸν ὑποσκελίσαι καὶ καταβαλεῖν ἐλπίδι μειζόνων ὑποσχέσεων, καὶ τῶν ἐν χερσὶν ἐξέβαλε. Τοσοῦτόν ἐστι τὸ μὴ μένειν ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλὰ τῶν μειζόνων ἐφίεσθαι. Καὶ τοῦτο αὐτὸ δηλῶν σοφός τις ἔλεγε· «Φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον». Εἶδες, ἀγαπητέ, πῶς ἐκ προοιμίων ἐξ ἀδηφαγίας ὁ θάνατος τὴν εἴσοδον ἔσχεν; Σκόπει δὲ πάλιν καὶ μετὰ ταῦτα τὴν θείαν Γραφὴν κατηγοροῦσαν συνεχῶς τῆς τρυφῆς, καὶ λέγουσαν ποτὲ μέν, «Ἐκάθισεν ὁ λαὸς φαγεῖν, καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν»· ἄλλοτε δέ, «Ἔφαγε, καὶ ἔπιε, καὶ ἐλιπάνθη, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος». Καὶ οἱ τὰ Σόδομα δὲ οἰκοῦντες μετὰ τῶν ἄλλων κακῶν ἐντεῦθεν τὴν ἀπαραίτητον ὀργὴν ἐκείνην ἀπεσπάσαντο. Ἄκουσον γὰρ τοῦ προφήτου λέγοντος· «Τοῦτο τὸ ἀνόμημα Σοδόμων, ὅτι ἐν πλησμονῇ ἄρτων ἐσπατάλων». Καθάπερ γὰρ πηγή τις καὶ ῥίζα τυγχάνει τῶν κακῶν ἁπάντων.

3. Εἶδες τῆς ἀδηφαγίας τὴν βλάβην; Ὅρα μοι πάλιν τῆς νηστείας τὰ κατορθώματα. Τεσσαράκοντα ἡμερῶν νηστείαν ἐπιδειξάμενος ὁ μέγας Μωσῆς, τῆς νομοθεσίας τὰς πλάκας λαβεῖν ἠδυνήθη· καὶ ἐπειδὴ κατελθὼν εἶδε τοῦ λαοῦ τὴν παρανομίαν, ἃς μετὰ τοσαύτης προσεδρίας λαβεῖν ἴσχυσε, ταύτας ῥίψας συνέκλασεν, ἄτοπον εἶναι λογισάμενος, μεθύοντα λαὸν καὶ παρανομοῦντα νομοθεσίαν Δεσπότου δέξασθαι. Διὸ καὶ ἑτέρων πάλιν τεσσαράκοντα ἡμερῶν νηστείας ἐδεήθη ὁ θαυμάσιος ἐκεῖνος προφήτης, ἵνα δυνηθῇ τὰς διὰ τὴν παρανομίαν αὐτῶν συντριβείας πλάκας πάλιν ἄνωθεν δεξάσ-

---

6. Σοφ. Σολ. 2, 24.
7. Ἐξ. 32, 6.
8. Δευτ. 32, 15.
9. Ἰεζ. 16, 49.

ἐντολήν, κατεδικάζετο εἰς θάνατον. Ἐπειδὴ λοιπὸν ὁ πονηρὸς ἐκεῖνος δαίμων καὶ ἐχθρὸς τῆς ἀνθρωπίνης φύσεως εἶδε τὴν συμπεριφορὰν τοῦ πρωτοπλάστου μέσα εἰς τὸν παράδεισον καὶ τὴν ἄνετον ἐκείνην ζωὴν καὶ ὅτι, ὡσὰν ἄγγελος, ἔτσι ἐζοῦσεν εἰς τὴν γῆν ἂν καὶ εἶχε σῶμα, ἐπιθυμῶν νὰ ἀνατρέψῃ αὐτὸν καὶ νὰ τὸν καταβάλῃ μὲ τὴν ἐλπίδα μεγαλυτέρων ὑποσχέσεων, τὸν ἐστέρησε καὶ ἐκεῖνα, ποὺ εἶχε εἰς τὰ χέρια του. Τόσον μέγα κακὸν εἶναι τὸ νὰ μὴ τηρῇ κανεὶς τοὺς καταλλήλους ὅρους, ἀλλὰ νὰ ἐπιθυμῇ τὰ μεγαλύτερα. Καὶ ἀκριβῶς αὐτὸ τὸ ἴδιον δηλώνων κάποιος σοφὸς ἔλεγε· «Μὲ τὸ φθόνον δὲ τοῦ διαβόλου εἰσῆλθεν ὁ θάνατος εἰς τὸν κόσμον»[6]. Εἶδες, ἀγαπητέ, πῶς ἀπὸ τὴν ἀρχὴν εἰσῆλθεν ὁ θάνατος ἕνεκα τῆς λαιμαργίας; Παρατήρησε ὅμως πάλιν καὶ ὕστερα ἀπὸ αὐτὰ τὴν Ἁγίαν Γραφήν, ἡ ὁποία συνεχῶς κατηγορεῖ τὰς ἀπολαύσεις καὶ ἄλλοτε μὲν λέγει, «Ἐκάθισαν οἱ ἄνθρωποι νὰ φάγουν καὶ νὰ πίουν καὶ ἐσηκώθησαν νὰ παίξουν»[7], ἄλλοτε δέ, «Ἔφαγε καὶ ἔπιε καὶ κατέστη λιπαρὸς καὶ παχύς, καὶ ἠσέβισεν ὁ ἀγαπημένος»[8]. Καὶ οἱ κάτοικοι τῶν Σοδόμων, μαζὶ μὲ τὰ ἄλλα κακά, ἐξ αἰτίας αὐτοῦ ἐπροκάλεσαν τὴν ἀναπόφευκτον ἐκείνην ὀργὴν τοῦ Θεοῦ. Ἄκουσε λοιπὸν τὸν προφήτην, ποὺ λέγει· «Αὐτὸ εἶναι τὸ ἁμάρτημα τῶν Σοδόμων, ὅτι ἐζοῦσαν εἰς ἀφθονίαν τροφῶν»[9]. Διότι εἶναι ὡσὰν κάποια πηγὴ καὶ ρίζα ὅλων τῶν κακῶν.

3. Εἶδες τὴν ζημίαν τῆς λαιμαργίας; Πρόσεξε, παρακαλῶ, πάλιν τὰ ἐπιτεύγματα τῆς νηστείας. Ἀφοῦ ἐνήστευσε σαράντα ἡμέρας ὁ μεγάλος Μωυσῆς, κατώρθωσε νὰ λάβῃ τὰς πλάκας τῆς νομοθεσίας. Ἐπειδὴ ὅμως, ὅταν κατῆλθεν ἀπὸ τὸ ὄρος, εἶδε τὴν παρανομίαν τοῦ λαοῦ, τὰς πλάκας ἐκείνας, τὰς ὁποίας μὲ τόσην προσπάθειαν κατώρθωσε νὰ λάβῃ, ἀφοῦ ἔρριψε κάτω τὰς συνέτριψεν, ἐπειδὴ ἐσκέφθη ὅτι εἶναι παράλογον νὰ δεχθῇ τὴν νομοθεσίαν τοῦ Θεοῦ λαός, ὁ ὁποῖος εἶναι μέθυσος καὶ παράνομος. Διὰ τοῦτο ἐχρειάσθη πάλιν ὁ θαυμάσιος ἐκεῖνος προφήτης ἄλλας σαράντα ἡμέρας νηστείας, διὰ νὰ ἠμπορέσῃ νὰ φέρῃ κάτω τὰς πλάκας, αἱ ὁποῖαι συνετρίβησαν ἐξ αἰτίας τῆς παρανο-

νος κατενεγκεῖν. Καὶ ὁ μέγας δὲ Ἠλίας τοσούτων ἡμερῶν νηστείαν ἐπεδείξατο, καὶ τὴν τοῦ θανάτου τυραννίδα διαφυγών, καὶ μετὰ πυρίνου ἅρματος ὡς εἰς τὸν οὐρανὸν ἀνελθών, καὶ οὐδέπω καὶ σήμερον θανάτου πεῖραν λαβών. Καὶ ὁ ἀνὴρ δὲ τῶν ἐπιθυμιῶν πολλῶν ἡμερῶν νηστείαν ἐπιδειξάμενος, οὕτως ἠξιώθη τῆς θαυμαστῆς ἐκείνης ὀπτασίας, ὃς καὶ τῶν λεόντων τὸν θυμὸν ἐχαλίνωσε, καὶ εἰς προβάτων ἡμερότητα μετέστησεν, οὐ τὴν φύσιν μεταβαλών, ἀλλὰ τῆς θηριωδίας μενούσης τὴν προαίρεσιν ἀμείψας. Ταύτῃ καὶ Νινευῖται χρησάμενοι τὴν ἀπόφασιν ἐνεκαλέσαντο τοῦ Δεσπότου, μετὰ τῶν ἀνθρώπων καὶ τὸ τῶν ἀλόγων γένος ταύτην ἐπιδείξασθαι παρασκευάσαντες, καὶ οὕτως ἀποστάντες ἕκαστος ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων, εἰς φιλανθρωπίαν ἐξεκαλέσαντο τὸν τῶν ἁπάντων Δεσπότην. Καὶ τί περὶ τοὺς δούλους ἔτι στρέφομαι (καὶ γὰρ ἔχομεν καὶ ἑτέρους πολλοὺς ἀριθμῆσαι, καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ καὶ διὰ ταύτης εὐδοκιμήσαντας), δέον ἐπὶ τὸν κοινὸν ἁπάντων ἡμῶν Δεσπότην ἐλθεῖν; Ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ αὐτὸς τεσσαράκοντα ἡμερῶν νηστείαν ἐπιδειξάμενος, οὕτω τῆς πρὸς τὸν διάβολον ἥψατο πάλης, πᾶσιν ἡμῖν ὑπογραμμὸν διδούς, ὥστε διὰ ταύτης καθοπλίζεσθαι, καὶ τὴν ἐντεῦθεν ἰσχὺν προσλαβόντας οὕτω παρατάττεσθαι εἰς τὴν πρὸς ἐκεῖνον μάχην. Ἀλλ' ἐνταῦθα ἴσως ἔροιτό τις ἂν τῶν ὀξὺ βλεπόντων καὶ διεγηγερμένων τὴν διάνοιαν τίνος ἕνεκεν τὰς αὐτὰς τοῖς δούλοις ἡμέρας ὁ Δεσπότης νηστεύων φαίνεται, καὶ οὐχ ὑπερηκόντισε τὸν ἀριθμόν; Οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γεγένηται, ἀλλὰ καὶ τοῦτο σοφῶς καὶ κατὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν. Ἵνα γὰρ μὴ νομισθῇ δοκήσει παραγεγενῆσθαι, καὶ μὴ ἀνειληφέναι σάρκα ἢ ἔξω τῆς φύσεως εἶναι τῆς ἀνθρωπίνης, διὰ τοῦτο τὸν αὐτὸν ἀριθμὸν νηστεύει, καὶ οὐ προστίθησι ταῖς ἡμέραις, ὥστε ἐπιστομίσαι τῶν ἀναι-

10. Βλ. Ἐξ. 24, 18· 32, 15 - 19· 34, 28.
11. Γ΄ Βασ. 19, 8.
12. Δαν. 10, 3.
13. Ἰωνᾶ 3, 7.
14. Ματθ. 4, 2.

μίας, ἀφοῦ τὰς ἐδέχθη πάλιν ἀπὸ τὸν Θεόν[10]. Καὶ ὁ μέγας δὲ Ἠλίας ἐνήστευσε τόσας ἡμέρας[11] καὶ ἀπέφυγε τὴν τυραννίδα τοῦ θανάτου καὶ ἀνῆλθε μὲ πύρινον ἅρμα εἰς τὸν οὐρανὸν καὶ ποτὲ μέχρι σήμερα δὲν ἐγνώρισε τὸν θάνατον. Καὶ ὁ Δανιὴλ[12] δὲ ἀφοῦ ἐνήστευε πολλὰς ἡμέρας, ἔτσι ἠξιώθη νὰ ἰδῇ τὸ θαυμαστὸν ἐκεῖνο ὅραμα, ὁ ὁποῖος ἀκόμη ἐχαλιναγώγησε τὸν θυμὸν τῶν λεονταριῶν καὶ τὸν μετέβαλεν εἰς ἡμερότητα τῶν προβάτων, χωρὶς νὰ μεταβάλῃ τὴν φύσιν, ἀλλά, ἐνῷ παρέμενεν ἡ θηριωδία, ἤλλαξε τὴν διάθεσίν των. Καὶ οἱ Νινευῖται, ἐπειδὴ ἐνήστευσαν, ἀνεκάλεσαν τὴν ἀπόφασιν τοῦ Θεοῦ, ἀφοῦ ἔκαμαν μαζὶ μὲ τοὺς ἀνθρώπους καὶ τὰ ζῷα νὰ νηστεύσουν[13], καὶ ἔτσι ἀφοῦ ἀπεμακρύνθησαν ὁ καθένας ἀπὸ τὰ πονηρὰ ἔργα, ἐπροκάλεσαν τὴν φιλανθρωπίαν τοῦ Δεσπότου τῶν πάντων. Καὶ διατί ἀκόμη ἀσχολοῦμαι μὲ τοὺς δούλους (καὶ πράγματι ἠμποροῦμεν καὶ ἄλλους πολλοὺς νὰ ἀναφέρωμεν, οἱ ὁποῖοι μὲ τὴν νηστείαν ἐπρόκοψαν καὶ εἰς τὴν Παλαιὰν καὶ εἰς τὴν Καινὴν Διαθήκην), εἶναι ἀνάγκη νὰ ἔλθω εἰς τὸν κοινὸν Δεσπότην ὅλων μας. Διότι καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀφοῦ καὶ ὁ ἴδιος ἐνήστευσε σαράντα ἡμέρας[14], ἔτσι ἤρχισε τὸν ἀγῶνα ἐναντίον τοῦ διαβόλου καὶ ἔδωσεν εἰς ὅλους μας τὸ παράδειγμα, ὥστε νὰ ὁπλιζώμεθα μὲ αὐτὴν καὶ ἀφοῦ λάβωμεν ἀπὸ ἐδῶ τὴν δύναμιν κατ᾽ αὐτὸν τὸν τρόπον νὰ παρατασσώμεθα εἰς τὴν μάχην ἐναντίον ἐκείνου. Ἀλλὰ ἐδῶ ἴσως θὰ ἤθελε νὰ ἐρωτήσῃ κάποιος ἀπὸ ἐκείνους, ποὺ ἔχουν ὀξυδέρκειαν καὶ ἀφυπνισμένην τὴν διάνοιαν· διὰ ποῖον λόγον ὁ Κύριος φαίνεται ὅτι νηστεύει τὰς ἰδίας ἡμέρας μὲ τοὺς δούλους καὶ δὲν ὑπερέβη τὸν ἀριθμὸν σαράντα; Δὲν ἔχει γίνει αὐτὸ ἁπλᾶ καὶ τυχαῖα, ἀλλὰ καὶ αὐτὸ μὲ σοφίαν καὶ σύμφωνα μὲ τὴν ἀνέκφραστον φιλανθρωπίαν του. Διὰ νὰ μὴ νομισθῇ λοιπὸν ὅτι ἦλθεν εἰς τὸν κόσμον φαινομενικὰ καὶ δὲν ἔχει ἀναλάβει σάρκα, ἢ ὅτι εὑρίσκεται ἐκτὸς τῆς ἀνθρωπίνης πραγματικότητος, δι᾽ αὐτὸ νηστεύει τὸν ἴδιον ἀριθμὸν ἡμερῶν καὶ δὲν προσθέτει ἡμέρας, διὰ νὰ ἀποστομώσῃ τὴν φιλόνεικον διάθεσιν ἐκείνων, ποὺ ἐπιθυμοῦν νὰ φέρωνται μὲ ἀναι-

σχυντεῖν βουλομένων τὴν φιλονεικίαν. Εἰ γὰρ καὶ τούτου γεγενημένου εἰσὶν ἔτι καὶ νῦν τινες ταῦτα τολμῶντες φθέγγεσθαι, εἰ μὴ τῇ οἰκείᾳ προγνώσει ταύτην αὐτῶν ἐξέκοψε τὴν ἀφορμήν, τί οὐκ ἂν ἐπεχείρησαν εἰπεῖν; Διὰ τοῦτο οὐκ ἀνέχεται πλείους ἡμέρας νηστεῦσαι, ἀλλὰ τοσαύτας ὅσας οἱ δοῦλοι· ἵνα δι' αὐτῶν τῶν πραγμάτων ἡμᾶς παιδεύσῃ, ὅτι τὴν αὐτὴν σάρκα καὶ αὐτὸς περιέκειτο καὶ οὐκ ἔξω τῆς φύσεως τῆς ἡμετέρας ὑπῆρχεν.

4. Ἀλλ' ὅτι μὲν μεγάλη τῆς νηστείας ἡ ἰσχύς, καὶ πολὺ τὸ ἐκ ταύτης κέρδος τῇ ψυχῇ προσγινόμενον, καὶ ἐκ τῶν δούλων καὶ ἐκ τοῦ Δεσπότου δῆλον ἡμῖν γεγένηται· παρακαλῶ οὖν τὴν ὑμετέραν ἀγάπην, εἰδότας αὐτῆς τὸ κέρδος, μὴ διὰ ῥαθυμίαν ἀπώσασθαι τὴν ἐκ ταύτης ὠφέλειαν, μηδὲ δυσχεραίνειν πρὸς τὴν ταύτης παρουσίαν, ἀλλὰ χαίρειν καὶ ἀγάλλεσθαι κατὰ τὸν μακάριον Παῦλον. «Ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται. Νηστεία γὰρ τῆς ψυχῆς ἐστι τροφή, καὶ καθάπερ αὕτη ἡ σωματικὴ τροφὴ πιαίνει τὸ σῶμα, οὕτω καὶ ἡ νηστεία τὴν ψυχὴν εὐτονωτέραν ἐργάζεται, κοῦφον αὐτῇ τὸ πτερὸν κατασκευάζει, μετάρσιον αὐτὴν ποιεῖ, τὰ ἄνω φαντάζεσθαι προξενεῖ, ἀνωτέραν αὐτὴν τῶν ἡδονῶν καὶ τῶν ἡδέων τοῦ παρόντος βίου ἀπεργαζομένη. Καὶ καθάπερ τὰ κοῦφα τῶν πλοίων ὀξύτερον τὰ πελάγη διαπερᾷ, τὰ πολλῷ τῷ φόρτῳ βαρούμενα ὑποβρύχια γίνεται, οὕτως ἡ μὲν νηστεία κουφότερον ἐργαζομένη τὸν λογισμόν, παρασκευάζει μετ' εὐκολίας τὸ πέλαγος τοῦ παρόντος βίου διαπερᾶν, καὶ πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἐπτοῆσθαι, καὶ μηδὲν ἡγεῖσθαι τὰ παρόντα, ἀλλὰ σκιᾶς καὶ ὀνειράτων οὐδαμινέστερον αὐτὰ παρατρέχειν. Ἡ δὲ μέθη καὶ ἡ ἀδηφαγία βαρύνουσα τὸν λογισμόν, καὶ πιαίνουσα τὴν σάρκα, αἰχμάλωτον ἐργάζεται τὴν ψυχήν, πανταχόθεν αὐτὴν πολιορκοῦσα, καὶ οὐκ ἀφιεῖσα τοῦ λογισμοῦ τὸ κριτήριον ἐρρωμένον ἔχειν,

---

15. Β' Κορ. 4, 16.

σχυντίαν. Διότι ἐὰν καὶ τώρα ἀκόμη, ἐνῷ ἔχει γίνει αὐτό, ὑπάρχουν μερικοὶ ποὺ τολμοῦν νὰ λέγουν αὐτά, ἐὰν δὲν ἀπέκοπτε μὲ τὴν ἰδικήν του πρόγνωσιν τὴν ἀφορμὴν των αὐτήν, τί δέν θὰ ἐπιχειρήσουν νὰ εἰποῦν; Δι᾽ αὐτὸ δὲν ἀνέχεται νὰ νηστεύσῃ περισσοτέρας ἡμέρας, ἀλλὰ τόσας ὅσας οἱ δοῦλοι, διὰ νὰ μᾶς διδάξῃ μὲ τὰ ἴδια τὰ ἔργα του, ὅτι καὶ αὐτὸς ἔφερε τὴν ἰδίαν σάρκα καὶ δὲν εὑρίσκετο ἐκτὸς τῆς ἀνθρωπίνης πραγματικότητος.

4. Ἀλλὰ ὅτι μὲν εἶναι μεγάλη ἡ δύναμις τῆς νηστείας καὶ πολὺ τὸ προστιθέμενον ἀπὸ αὐτὴν κέρδος εἰς τὴν ψυχήν μας, ἔχει γίνει φανερόν εἰς ἡμᾶς καὶ ἀπό τοὺς δούλους καὶ ἀπὸ τὸν Κύριον· παρακαλῶ λοιπὸν τὴν ἀγάπην σας, ἀφοῦ γνωρίζετε τὸ κέρδος της, νὰ μὴ ἀπορρίψετε ἐξ αἰτίας τῆς ἀδιαφορίας τὴν ὠφέλειαν ποὺ προέρχεται ἀπὸ τὴν νηστείαν, οὔτε νὰ δυσανασχετῆτε διὰ τὴν ἔλευσίν της, ἀλλὰ νὰ χαίρετε καὶ νὰ εὐφραίνεσθε σύμφωνα μὲ τὸν μακάριον Παῦλον· «Διότι ὅσον ὁ ἐξωτερικός μας ἄνθρωπος φθείρεται, τόσον ὁ ἐσωτερικός μας γίνεται νεώτερος»[15]. Διότι ἡ νηστεία εἶναι ἡ τροφὴ τῆς ψυχῆς, καὶ ὅπως ἀκριβῶς αὐτὴ ἡ σωματικὴ τροφὴ αὐξάνει τὸ σῶμα, ἔτσι καὶ ἡ νηστεία κάνει τὴν ψυχὴν περισσότερον ρωμαλέαν, καθιστᾷ τὰ πτερά της εὐκίνητα, τὴν μεταφέρει ὑπεράνω τοῦ κόσμου αὐτοῦ, γίνεται αἰτία νὰ φαντάζεται τὰ οὐράνια, ἀφοῦ καθιστᾷ αὐτὴν ἀνωτέραν ἀπὸ τὰς ἡδονὰς καὶ τὰς ἀπολαύσεις τῆς παρούσης ζωῆς. Καὶ ὅπως ἀκριβῶς τὰ ἐλαφρῶς φορτωμένα πλοῖα διασχίζουν τὰ πελάγη ταχύτερα, τὰ καθιστάμενα ἀπὸ τὸ πολὺ φορτίον δυσκίνητα καταποντίζονται· ἔτσι ἡ μὲν νηστεία ἀφοῦ κάμῃ περισσότερον ἐλαφρὸν τὸν νοῦν, προετοιμάζει νὰ διασχίσωμεν μὲ εὐκολίαν τὸ πέλαγος τῆς παρούσης ζωῆς καὶ νὰ στρεφώμεθα πρὸς τὸν οὐρανὸν καὶ νὰ συγκινούμεθα ἀπὸ τὰ οὐράνια καὶ νὰ μὴ δίδωμεν καμμίαν σημασίαν εἰς τὰ παρόντα, ἀλλὰ νὰ τὰ περιφρονοῦμεν ὡς εὐτελέστερα ἀπὸ τὴν σκιὰν καὶ τὰ ὄνειρα. Ἡ μέθη ὅμως καὶ ἡ λαιμαργία, ἐπειδὴ καθιστᾷ βαρὺν τὸν νοῦν καὶ παχύνει τὸ σῶμα, αἰχμαλωτίζει τὴν ψυχήν, ἀφοῦ τὴν πολιορκῇ ἀπὸ παντοῦ, καὶ ἀφοῦ δὲν ἐπιτρέπῃ τὸ

κατὰ κρημνῶν φέρεσθαι παρασκευάζει, καὶ κατὰ τῆς οἰκείας σωτηρίας ἅπαντα ἐργάζεσθαι. Μὴ δὴ ραθύμως οἰκονομῶμεν, ἀγαπητοί, τὰ κατὰ τὴν σωτηρίαν τὴν ἡμετέραν· ἀλλ' εἰδότες ὅσα κακὰ ἐντεῦθεν τίκτεται, φεύγωμεν τὴν ἐξ αὐτῆς βλάβην. Οὐδὲ γὰρ ἐν τῇ Καινῇ μόνον, ἔνθα πλείων ἡ ἐπίτασις τῆς φιλοσοφίας, καὶ μείζονα τὰ σκάμματα, καὶ μεγάλοι οἱ ἱδρῶτες, καὶ πολλὰ τὰ βραβεῖα, καὶ ἄφατοι οἱ στέφανοι, τὰ τῆς τρυφῆς ἀπηγόρευται, ἀλλὰ καὶ ἐπὶ τῆς Παλαιᾶς, ἡνίκα ἔτι τῇ σκιᾷ παρεκάθηντο, καὶ τῷ λύχνῳ ἦσαν προσηλωμένοι, καὶ καθάπερ παιδία γαλακτοτροφούμενα οὕτω κατὰ μικρὸν ἐνήγοντο, οὐδὲ τότε ἠφίεντο τρυφᾶν. Καὶ ἵνα μὴ νομίσητε ἁπλῶς ἡμᾶς κατηγοροῦντας τῆς τρυφῆς ταῦτα λέγειν, ἀκούσατε τοῦ προφήτου λέγοντος· «Οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά· οἱ πίνοντες τὸν διυλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι, ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα». Εἴδετε πόσην κατηγορίαν ἐποιήσατο τῆς τρυφῆς ὁ προφήτης, καὶ ταῦτα Ἰουδαίοις διαλεγόμενος, τοῖς ἀναισθήτοις, τοῖς ἀγνώμοσι, τοῖς καθ' ἑκάστην ἡμέραν γαστριζομένοις; Σκοπεῖτε γὰρ τῶν ρημάτων τὴν ἀκρίβειαν· διαβαλὼν αὐτῶν τὴν ἀδηφαγίαν καὶ τὴν πολλὴν ἐκ τοῦ οἴνου μέθην, τότε ἐπήγαγεν, «Ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα», μονονουχὶ δεικνύς, ὅτι μέχρι τοῦ φάρυγγος καὶ τῶν χειλέων ἐστὶν ἡ ἀπόλαυσις, καὶ περαιτέρω οὐ πρόεισιν. Ἀλλ' ἡ μὲν ἡδονὴ βραχεῖα καὶ πρόσκαιρος, ἡ δὲ ὀδύνη διηνεκής, καὶ πέρας οὐκ ἔχουσα. Καὶ ταῦτα, φησί, διὰ τῆς πείρας μαθόντες, «Ὡς ἑστῶτα ὅλα ἐλογίσαντο καὶ μένοντα, καὶ οὐχ ὡς φεύγοντα», τοῦτ' ἔστιν, ἀφιπτάμενα,

---

16. Μὲ τὰς ἐκφράσεις αὐτὰς ὁ Ι. Χρυσόστομος ἀναφέρεται εἰς τὸν Νόμον τῆς Π.Δ.

17. Ἀμὼς 6, 3 - 6.

κριτήριον τῆς σκέψεως νὰ εἶναι ἰσχυρόν, προετοιμάζει τὸν ἄνθρωπον νὰ κατευθύνεται εἰς τοὺς κρημνοὺς καὶ νὰ ἐργάζεται τὰ πάντα ἐναντίον τῆς ἰδικῆς του σωτηρίας. Ἂς μὴ ρυθμίζωμεν λοιπὸν μὲ ἀδιαφορίαν, ἀγαπητοί, τὰ ἀναφερόμενα εἰς τὴν σωτηρίαν μας· ἀλλὰ γνωρίζοντες πόσα κακὰ προέρχονται ἀπὸ ἐδῶ, ἂς ἀποφεύγωμεν τὴν ζημίαν ποὺ προκύπτει ἀπὸ αὐτήν. Διότι ὄχι μόνον εἰς τὴν Καινὴν Διαθήκην, ὅπου εἶναι μεγαλυτέρα ἡ ἔμφασις τῆς ἀληθείας καὶ μεγαλύτεραι αἱ δοκιμασίαι καὶ πολλοὶ οἱ ἱδρῶτες καὶ πολλὰ τὰ βραβεῖα καὶ ἄπειρα τὰ στεφάνια, ἔχουν ἀπαγορευθῆ αἱ ἀπολαύσεις, ἀλλὰ καὶ εἰς τὴν Παλαιὰν Διαθήκην, ὅταν ἀκόμη οἱ ἄνθρωποι ἐζοῦσαν εἰς τὴν σκιὰν καὶ ἐπρόσεχαν εἰς τὸ λυχνάρι καὶ ὡσὰν παιδιὰ ποὺ ἐτρέφοντο μὲ γάλα[16], ἔτσι σιγὰ - σιγὰ ἐκαθοδηγοῦντο, οὔτε τότε ἐπετρέπετο νὰ ζοῦν μὲ ἀπολαύσεις. Καὶ διὰ νὰ μὴ νομίσετε, ὅτι λέγομεν αὐτὰ διὰ νὰ κατηγοροῦμεν ἁπλῶς τὴν πολυτέλειαν, ἀκούσατε τὸν προφήτην, ὁ ὁποῖος λέγει· «Ἀλλοίμονον εἰς ἐκείνους, οἱ ὁποῖοι ἔρχονται εἰς κακὴν ἡμέραν, οἱ ὁποῖοι κοιμῶνται εἰς κατασκευασμένα ἀπὸ ἐλεφαντοστοῦν κρεββάτια καὶ ζοῦν ἄσωτα εἰς τὰς στρωμνάς των· οἱ ὁποῖοι τρώγουν τὰ ἐρίφια ἀπὸ τὰ ποίμνια καὶ τὰ μοσχάρια τοῦ γάλακτος ἀπὸ τὰ κοπάδια· οἱ ὁποῖοι πίνουν τὸν καθαρὸν οἶνον καὶ ἀλείφονται μὲ πολύτιμα ἀρώματα, ἐπειδὴ ἐθεώρησαν αὐτὰ ὡς μόνιμα καὶ ὄχι ὡς φευγαλέα»[17]. Εἴδατε πόσον ἐκατηγόρησεν ὁ προφήτης τὴν πολυτέλειαν, καὶ αὐτὰ ὅταν ὡμιλοῦσεν εἰς τοὺς Ἰουδαίους, οἱ ὁποῖοι ἦσαν ἀναίσθητοι, ἀχάριστοι καὶ καθημερινῶς ἔτρωγον ὑπερβολικά; Προσέχετε λοιπὸν τὴν ἀκρίβειαν τῶν λόγων· ἀφοῦ ἐκατηγόρησε τὴν λαιμαργίαν των καὶ τὴν πολλὴν μέθην ποὺ προκαλεῖ ὁ οἶνος, τότε ἐπρόσθεσεν, «Ἐθεώρησαν αὐτὰ ὡς μόνιμα καὶ ὄχι ὡς προσωρινά», σχεδὸν ἀποδεικνύων, ὅτι ἡ ἀπόλαυσις φθάνει μέχρι τὸν φάρυγγα καὶ τὰ χείλη καὶ δὲν προχωρεῖ περαιτέρω. Ἀλλὰ ἡ μὲν ἡδονὴ εἶναι σύντομος καὶ πρόσκαιρος, ἡ δὲ ὀδύνη εἶναι διαρκὴς καὶ δὲν ἔχει τέλος. Καὶ αὐτά, λέγει, ἀφοῦ ἔμαθαν μὲ τὴν πεῖραν των· «Ἐθεώρησαν ὅλα ὡς σταθερὰ καὶ μόνιμα καὶ ὄχι ὡς φευγαλέα», δηλαδή, ἐξαφανι-

καὶ οὐδὲ τὸ τυχὸν παραμένοντα. Τοιαῦτα γὰρ ἅπαντα τὰ ἀνθρώπινα καὶ τὰ σαρκικά· οὔπω παρεγένοντο, καὶ ἀπέπτη· τοιοῦτον ἡ τρυφή, τοιοῦτον ἡ δόξα ἡ ἀνθρωπίνη καὶ ἡ δυναστεία, τοιοῦτον ὁ πλοῦτος, τοιοῦτον ἡ εὐημερία πᾶσα τοῦ παρόντος βίου, οὐδὲν βέβαιον ἔχουσα, οὐδὲν στάσιμον, οὐδὲν πάγιον, ἀλλὰ ποταμίων ρευμάτων μᾶλλον παρατρέχει, καὶ ἐρήμους καὶ γυμνοὺς καταλιμπάνει τοὺς περὶ ταῦτα ἐπτοημένους. Ἀλλὰ τὰ πνευματικὰ οὐ τοιαῦτα, ἀλλ' ἀπεναντίας τούτοις, βέβαια καὶ ἀκίνητα, μεταβολὴν οὐκ ἐπιδεχόμενα, παντὶ τῷ αἰῶνι παρεκτεινόμενα. Πόσης οὖν οὐκ ἂν εἴη παραφροσύνης τῶν ἀκινήτων τὰ σαλευόμενα ἀνταλλάττεσθαι, τῶν διαιωνιζόντων τὰ πρόσκαιρα, τῶν ἀφιπταμένων τὰ διηνεκῶς μένοντα, τῶν πολλὴν ἐν τῷ μέλλοντι αἰῶνι τὴν ἀπόλαυσιν προξενούντων τὰ πολλὴν τὴν κόλασιν ἡμῖν ἐκεῖ κατασκευάζοντα; Ταῦτα δὴ πάντα ἐννοοῦντες, ἀγαπητοί, καὶ πολὺν τῆς ἡμετέρας σωτηρίας ποιούμενοι λόγον, καταφρονήσωμεν τῆς τρυφῆς τῆς ἀνοήτου καὶ ἐπιβλαβοῦς· ἀσπασώμεθα τὴν νηστείαν, καὶ τὴν ἄλλην ἅπασαν φιλοσοφίαν, καὶ τοῦ βίου πολλὴν τὴν μεταβολὴν ἐπιδειξώμεθα, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς τὴν τῶν ἀγαθῶν ἔργων πρᾶξιν ἐπειγώμεθα· ἵνα τὸν καιρὸν ἅπαντα τῆς ἁγίας τεσσαρακοστῆς, τὴν πνευματικὴν ἐμπορίαν ἐμπορευσάμενοι, καὶ πολὺν τὸν πλοῦτον συναγαγόντες τῆς ἀρετῆς, οὕτω καταξιωθῶμεν καὶ εἰς τὴν κυρίαν ἡμέραν παραγενέσθαι, καὶ μετὰ παρρησίας τῇ φρικτῇ καὶ πνευματικῇ τραπέζῃ προσελθεῖν, καὶ τῶν ἀπορρήτων ἐκείνων καὶ ἀθανάτων ἀγαθῶν μετασχεῖν μετὰ καθαροῦ τοῦ συνειδότος, καὶ τῆς ἐκεῖθεν πληρωθῆναι χάριτος, εὐχαῖς καὶ πρεσβείαις τῶν εὐαρεστησάντων αὐτῷ Χριστῷ τῷ φιλανθρώπῳ Θεῷ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν,

ζόμενα καὶ οὔτε δι᾿ ὀλίγον νὰ παραμένουν. Διότι τέτοια εἶναι ὅλα τὰ ἀνθρώπινα καὶ τὰ σαρκικά· ἀκόμη δὲν ἦλθαν καὶ ἐχάθησαν· τέτοιο πρᾶγμα εἶναι ἡ ἀπόλαυσις, τέτοιο ἡ ἀνθρωπίνη δόξα καὶ ἡ ἐξουσία, τέτοιο κάθε εὐτυχία τῆς παρούσης ζωῆς, χωρὶς νὰ ἔχῃ καμμίαν βεβαιότητα, καμμίαν σταθερότητα, καμμίαν μονιμότητα, ἀλλὰ τρέχει περισσότερον ἀπὸ τὸν ροῦν τῶν ποταμῶν καὶ ἐγκαταλείπει μόνους καὶ γυμνοὺς ἐκείνους, ποὺ καταγίνονται μὲ αὐτά. Τὰ πνευματικὰ ὅμως ἀγαθὰ δὲν εἶναι τέτοια, ἀλλά, ἀντιθέτως πρὸς αὐτά, σταθερὰ καὶ ἀκίνητα, χωρὶς νὰ μεταβάλλωνται, ἐκτεινόμενα αἰωνίως. Πόσης λοιπὸν ἀνοησίας δὲν θὰ ἦτο ἀπόδειξις τὸ νὰ ἀνταλλάσσῃ κανεὶς τὰ ἀσταθῆ μὲ τὰ ἀκίνητα, τὰ προσωρινὰ μὲ τὰ αἰώνια, τὰ παραμένοντα διαρκῶς μὲ τὰ ἐξαφανιζόμενα, ἐκεῖνα ποὺ προετοιμάζουν τὴν μεγάλην τιμωρίαν μας εἰς τὴν μέλλουσαν ζωὴν μὲ ἐκεῖνα, ποὺ προκαλοῦν τὴν μεγάλην ἀπόλαυσιν ἐκεῖ; Κατανοοῦντες λοιπὸν ὅλα αὐτά, ἀγαπητοί, καὶ φροντίζοντες πολὺ διὰ τὴν ἰδικήν μας σωτηρίαν, ἂς περιφρονήσωμεν τὴν ἀνώφελον καὶ βλαβερὰν ἀπόλαυσιν· ἂς ὑποδεχθοῦμεν μὲ ἀγάπην τὴν νηστείαν καὶ κάθε ἄλλην ἀρετήν, καὶ ἂς ἐπιδείξωμεν μεγάλην ἀλλαγὴν εἰς τὴν ζωήν μας καὶ καθημερινῶς ἂς τρέχωμεν ἐπειγόντως εἰς τὴν ἐκτέλεσιν ἀγαθῶν ἔργων, διὰ νὰ ἀξιωθοῦμεν ἔτσι, ἀφοῦ κατὰ τὴν διάρκειαν ὅλης τῆς Μεγάλης Τεσσαρακοστῆς ἀσχοληθοῦμεν μὲ τὸ πνευματικὸν ἐμπόριον καὶ συγκεντρώσωμεν μεγάλον πλοῦτον τῆς ἀρετῆς, νὰ φθάσωμεν εἰς τὴν ἡμέραν τοῦ Κυρίου καὶ νὰ προσέλθωμεν μὲ παρρησίαν εἰς τὴν φοβερὰν καὶ πνευματικὴν τράπεζαν καὶ νὰ μετάσχωμεν εἰς τὰ ἀπόρρητα καὶ ἀθάνατα ἐκεῖνα δῶρα μὲ καθαρὰν τὴν συνείδησιν καὶ νὰ γεμίσωμεν μὲ τὴν χάριν ἀπ᾿ αὐτό, μὲ τὰς εὐχὰς καὶ τὰς μεσιτείας ἐκείνων, ποὺ ἦσαν εὐάρεστοι εἰς αὐτὸν τὸν Χριστόν, τὸν φιλάνθρωπον Θεόν μας, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Β΄
(Γεν. 1, 1-2)

Εἰς τὴν ἀρχὴν τῆς κτίσεως· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν».

1. Πολλῆς σήμερον πληροῦμαι τῆς ἡδονῆς, ὁρῶν ὑμῶν τὰ ποθεινὰ πρόσωπα. Καὶ γὰρ οὐχ οὕτω πατέρες φιλόστοργοι χαίρουσι, καὶ εὐφραίνονται τῶν παίδων αὐτοὺς πανταχόθεν κυκλούντων, καὶ διὰ τῆς ἄλλης εὐκοσμίας καὶ τῆς ἄλλης θεραπείας πολλὴν τὴν ἡδονὴν παρεχόντων, ὡς ἐγὼ νῦν χαίρω καὶ εὐφραίνομαι, ὁρῶν ὑμῶν τὴν πνευματικὴν ταύτην σύνοδον μετὰ τοσαύτης εὐκοσμίας ἐνταῦθα παραγενομένην, καὶ ἀκμάζοντα τὸν πόθον ἔχουσαν περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων, καὶ τῆς σαρκικῆς τροφῆς ὑπεριδόντας, καὶ πρὸς τὴν πνευματικὴν ἑστίασιν ἐπειγομένους, καὶ δι' αὐτῶν τῶν ἔργων τὸ τοῦ Κυρίου λόγιον δεικνύντας, τὸ λέγον· «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ». Φέρε οὖν καὶ ἡμεῖς μιμησώμεθα τοὺς γηπόνους· καὶ καθάπερ ἐκεῖνοι, ἐπειδὰν ἴδωσι τὴν ἄρουραν ἐκκεκαθαρμένην, καὶ τῆς ἀπὸ τῶν βοτανῶν λύμης ἀπηλλαγμένην, μετὰ πολλῆς τῆς δαψιλείας τὰ σπέρματα καταβάλλουσι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἐπειδὴ τῇ τοῦ Θεοῦ χάριτι νῦν ἡμῖν ἡ ἄρουρα αὕτη ἡ πνευματικὴ καθαρεύει τῶν διενοχλούντων παθῶν, τῆς τρυφῆς ἐκποδὼν γεγενημένης, καὶ οὐδαμοῦ ζάλη οὐδὲ χειμὼν ἐν τοῖς λογισμοῖς, ἀλλὰ γαλήνη καὶ πολλὴ ἡ ἡσυχία, τῆς διανοίας ἐπτερωμένης, καὶ πρὸς αὐτόν, ὡς εἰπεῖν, τὸν οὐρανὸν τεταμένης, καὶ τὰ πνευματικὰ πρὸ τῶν σαρκικῶν φανταζομένης· μικρά τινα διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ λεπτοτέρων σήμερον κατατολμήσωμεν νοημάτων, τὰ ἀπὸ τῶν

1. Ματθ. 4, 4.

ΟΜΙΛΙΑ Β΄
(Γεν. 1, 1-2)

Εις την άρχήν της δημιουργίας· «Εις την άρχήν έδημιούργησεν ό Θεός τόν ούρανόν καί την γην».

1. Είμαι γεμάτος άπό χαράν σήμερα, καθώς βλέπω τά άγαπητά σας πρόσωπα Καί πράγματι ούτε οί στοργικοί πατέρες τόσον πολύ χαίρουν καί εύφραίνονται, όταν τά παιδιά περικυκλώνουν αύτούς άπό παντοῦ καί μέ τήν κοσμιότητα καί τάς άλλας περιποιήσεις των προκαλοῦν πολλήν εύχαρίστησιν, όπως έγώ τώρα χαίρω καί εύφραίνομαι, καθώς βλέπω τήν πνευματικήν σας αύτήν συγκέντρωσιν νά πραγματοποιῆται έδῶ μέ τόσον μεγάλην κοσμιότητα καί νά έχῃ σφοδράν έπιθυμίαν διά τήν άκρόασιν τῶν θείων λόγων, καί νά περιφρονῆτε τήν τροφήν τοῦ σώματος καί νά σπεύδετε πρός τό πνευματικόν συμπόσιον, καί νά άποδεικνύετε μέ τά έργα αύτά τόν λόγον τοῦ Κυρίου, ό όποῖος λέγει· «Δέν θά ζήσῃ ό άνθρωπος μόνον μέ τόν άρτον, άλλά μέ κάθε λόγον, πού έξέρχεται άπό τό στόμα τοῦ Θεοῦ»[1]. Έμπρός λοιπόν άς μιμηθοῦμεν καί ήμεῖς τούς γεωργούς· καί όπως άκριβῶς έκεῖνοι, όταν ίδοῦν τό χωράφι νά είναι τελείως καθαρόν καί άπηλλαγμένον άπό τά βλαβερά άγριόχορτα, ρίπτουν μέ πολλήν άφθονίαν τούς σπόρους, κατά τόν αύτόν λοιπόν τρόπον καί ήμεῖς, έπειδή μέ τήν χάριν τοῦ Θεοῦ τώρα τό πνευματικόν αύτό χωράφι είναι καθαρόν άπό τά ένοχλητικά πάθη καί έχει άπομακρυνθῆ ή πολυτέλεια, καί πουθενά δέν ύπάρχει ζάλη ούτε τρικυμία εις τάς σκέψεις μας, άλλά γαλήνη καί πολλή ήσυχία, ένῷ ή διάνοιά μας έχει άποκτήσει πτερά καί έχει στραφῆ πρός αύτόν, ώς θά έλέγαμεν, τόν ούρανόν καί σκέπτεται τά πνευματικά άντί τά σαρκικά· άς είποῦμεν όλίγα λόγια πρός τήν άγάπην σας καί άς τολμήσωμεν σήμερα νά έκθέσωμεν βαθύτερα νοήματα, παραθέτοντες είς σᾶς τά διδάγματα άπό

θείων Γραφῶν παρατιθέντες ὑμῖν διδάγματα. Εἰ γὰρ μὴ νῦν τοῦτο ποιήσαιμεν, ὅτε νηστεία καὶ γαστρὸς ὑπεροψία, καὶ τοσαύτη τῶν ὀρθῶν λογισμῶν ἡ γαλήνη, πότε δυνησόμεθα ταῦτα παραθεῖναι τῇ ἡμετέρᾳ ἀγάπῃ; Ὅτε τρυφὴ καὶ ἀδηφαγία καὶ πολλὴ ἡ ῥᾳθυμία; Ἀλλὰ τότε οὔτε αὐτοὶ τοῦτο δεόντως ποιήσομεν, οὔτε ὑμεῖς δυνήσεσθε καθάπερ ὑπὸ ἀχλύος τινὸς τῆς τῶν λογισμῶν ζάλης καταβαπτιζόμενοι δέξασθαί τι τῶν λεγομένων. Νῦν δέ, εἰ καί ποτε ἄλλοτε, καιρὸς τῶν τοιούτων διδαγμάτων, ὅτε οὐκ ἔτι κατεξανίσταται τῆς κυρίας ἡ δούλη, ἀλλ' εὐήνιος γενομένη πολλὴν τὴν πειθὼ καὶ τὴν ὑπακοὴν ἐπιδείκνυται, τὰ σκιρτήματα τῆς σαρκὸς καταστορέσασα, καὶ ἐπὶ τῶν οἰκείων ὅρων μένουσα. Νηστεία γάρ ἐστιν ἡ γαλήνη τῶν ἡμετέρων ψυχῶν, ἡ τῶν γεγηρακότων εὐκοσμία, ἡ τῶν νέων παιδαγωγός, ἡ τῶν σωφρονούντων διδάσκαλος, ἡ πᾶσαν ἡλικίαν καὶ φύσιν καθάπερ διαδήματί τινι κατακοσμοῦσα. Οὐδαμοῦ σήμερον θόρυβος, οὐδὲ κραυγή, οὐδὲ κρεῶν κατακοπαί, οὐδὲ μαγείρων δρόμοι· ἀλλὰ πάντα ἐκεῖνα ἀπελήλαται, καὶ εὐσχήμονά τινα καὶ κοσμίαν καὶ σώφρονα ἐλευθέραν ἡ πόλις ἡμῖν μιμεῖται νῦν. Ὅταν γὰρ ἐννοήσω τὴν ἀθρόαν μεταβολὴν τὴν σήμερον γεγενημένην, καὶ λογίσωμαι τῆς χθεσινῆς ἡμέρας τὴν ἀκαταστασίαν, θαυμάζω, καὶ ἐκπλήττομαι τῆς νηστείας τὴν ἰσχύν, ὅπως εἰς τὴν ἑκάστου συνείδησιν εἰσελθοῦσα μετέπλασε τὸν λογισμόν, ἐξεκάθαρε τὴν διάνοιαν, οὐκ ἀρχόντων μόνον, ἀλλὰ καὶ ἰδιωτῶν οὐκ ἐλευθέρων, ἀλλὰ καὶ δούλων· οὐκ ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν· οὐ πλουσίων, ἀλλὰ καὶ πενήτων· οὐ τῶν τὴν Ἑλλάδα γλῶτταν πεπαιδευμένων, ἀλλὰ καὶ βαρβάρων. Καὶ τί λέγω ἀρχόντων καὶ ἰδιωτῶν; Καὶ αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου τὸ συνειδὸς ὁμοίως τοῖς λοιποῖς πρὸς τὴν ταύτης ὑπακοὴν μετέστησε. Καὶ οὐκ ἔστι σήμερον διαφορὰν ἰδεῖν τῆς τοῦ πλουσίου τραπέζης, καὶ τῆς τοῦ πένητος·

2. Δηλ. τοῦ βασιλέως

τὰς θείας Γραφάς. Διότι ἐὰν δὲν θὰ κάμωμεν αὐτὸ σήμερα, ὁπότε ὑπάρχει νηστεία καὶ περιφρόνησις τῆς κοιλίας καὶ τόσον μεγάλη γαλήνη τῶν ὀρθῶν σκέψεών μας, πότε θὰ ἠμπορέσωμεν νὰ παρουσιάσωμεν αὐτὰ εἰς τὴν ἀγάπην σας; Ὅταν ὑπάρχῃ πολυτέλεια καὶ λαιμαργία καὶ μεγάλη ἀδιαφορία τί θὰ γίνῃ; Ἀλλὰ τότε οὔτε καὶ ἡμεῖς θὰ κάμωμεν αὐτὸ ὅπως πρέπει, οὔτε σεῖς θὰ ἠμπορέσετε βυθισμένοι εἰς κάποιο σκοτάδι τῆς ζάλης τῶν σκέψεων, νὰ δεχθῆτε κάτι ἀπὸ τὰ λεγόμενα. Τώρα ὅμως, περισσότερον ἀπὸ κάθε ἄλλην φοράν, εἶναι εὐκαιρία διὰ τὰ διδάγματα αὐτά, ὁπότε δὲν ἐξεγείρεται πλέον ἡ δούλη ἐναντίον τῆς κυρίας, ἀλλὰ ἀφοῦ κατέστη εὐπειθής, ἐπιδεικνύει μεγάλην ὑπακοὴν καὶ πειθαρχίαν, ἐπειδὴ ἔσβησεν ἐντελῶς τὰς σαρκικὰς ἐπιθυμίας της καὶ παραμένει εἰς τὴν ἰδικήν της κατάστασιν. Διότι ἡ νηστεία εἶναι ἡ γαλήνη τῶν ἰδικῶν μας ψυχῶν, ἡ εὐπρέπεια τῶν γερόντων, ἡ παιδαγωγὸς τῶν νέων, ἡ διδάσκαλος τῶν συνετῶν, ἐκείνη ποὺ στολίζει ὡσὰν κάποιο διάδημα κάθε ἡλικίαν καὶ γένος. Πουθενὰ σήμερα δὲν ὑπάρχει θόρυβος, οὔτε κραυγή, οὔτε τεμαχισμοὶ τῶν κρεάτων, οὔτε τρεξίματα μαγείρων· ἀλλὰ ὅλα αὐτὰ ἔχουν απομακρυνθῆ καὶ ἡ πόλις μας μιμεῖται τώρα κάποιαν εὐπρεπῆ καὶ σεμνὴν καὶ συνετὴν ἐλευθέραν κόρην. Ὅταν λοιπὸν σκεφθῶ τὴν γενικὴν ἀλλαγήν, ποὺ ἔχει συμβῆ σήμερα, καὶ ἀναλογισθῶ τὴν ἀκαταστασίαν τῆς χθεσινῆς ἡμέρας, θαυμάζω καὶ ἐκπλήσσομαι ἀπὸ τὴν δύναμιν τῆς νηστείας, πῶς εἰσελθοῦσα εἰς τὴν συνείδησιν τοῦ καθενὸς μετέβαλε τὴν σκέψιν, ἐκαθάρισεν ἐντελῶς τὸν νοῦν, ὄχι μόνον τῶν ἀρχόντων, ἀλλὰ καὶ τῶν ἁπλῶν πολιτῶν· ὄχι τῶν ἐλευθέρων, ἀλλὰ καὶ τῶν δούλων· ὄχι τῶν ἀνδρῶν, ἀλλὰ καὶ τῶν γυναικῶν· ὄχι μόνον τῶν πλουσίων, ἀλλὰ καὶ τῶν πτωχῶν· ὄχι αὐτῶν ποὺ ἐδιδάχθησαν τὴν ἑλληνικὴν παιδείαν, ἀλλὰ καὶ τῶν βαρβάρων. Καὶ διατί λέγω τῶν ἀρχόντων καὶ τῶν πολιτῶν; Καὶ τὴν συνείδησιν αὐτοῦ, ποὺ φέρει τὸ διάδημα τῆς ἐξουσίας[2], μετέβαλε νὰ ὑπακούσῃ εἰς τὴν νηστείαν καθ' ὅμοιον τρόπον μὲ τοὺς ὑπολοίπους ἀνθρώπους. Καὶ δὲν εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς σήμερα διαφορὰν εἰς τὸ

ἀλλὰ πανταχοῦ λιτὴ ἡ δίαιτα, ἀπηλλαγμένη κόμπου καὶ φαντασίας, καὶ μετὰ πλείονος τῆς ἡδονῆς σήμερον τῇ εὐτελείᾳ τῆς τραπέζης προσέρχονται, ἢ ὅτε πολλὰ αὐτοῖς τὰ καρυκεύματα παρέκειτο, καὶ πολὺς ὁ ἄκρατος.

2. Εἴδετε, ἀγαπητοί, ἐξ αὐτῶν τῶν προοιμίων τῆς νηστείας τὴν ἰσχύν; Διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος σήμερον τῆς προθυμίας, ἢ πρότερον, τῶν πρὸς ὑμᾶς ἅπτομαι λόγων, εἰδὼς ὅτι εἰς λιπαρὰν καὶ βαθύγεων ἄρουραν καταβάλλω τὰ σπέρματα, δυναμένην πολλαπλασίους ἡμῖν ταχέως ἀποδοῦναι τῶν καταβαλλομένων τοὺς καρπούς. Καταμάθωμεν τοίνυν, εἰ δοκεῖ, τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων ἐκ τῶν τοῦ μακαρίου Μωσέως λόγων τὴν δύναμιν. Ἀλλὰ προσέχετε, παρακαλῶ, μετὰ ἀκριβείας τοῖς παρ' ἡμῶν λεγομένοις· οὐ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλ' ἅπερ ἂν ἡ τοῦ Θεοῦ χάρις παράσχῃ διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν. Τίνα δὲ ταῦτά ἐστιν; «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἄξιον ἐνταῦθα διαπορῆσαι, τίνος ἕνεκεν ὁ μακάριος οὗτος προφήτης, μετὰ πολλὰς ὕστερον γενεὰς γεγονώς, ταῦτα ἡμῖν ἐκτίθεται. Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ. Ἐπειδὴ γὰρ ἐξ ἀρχῆς πλάσας τὸν ἄνθρωπον ὁ Θεός, δι' ἑαυτοῦ διελέγετο τοῖς ἀνθρώποις, ὡς ἀνθρώποις ἀκοῦσαι δυνατὸν ἦν. Οὕτω γὰρ πρὸς τὸν Ἀδὰμ ἦλθεν· οὕτω τῷ Κάϊν ἐπετίμησεν· οὕτω τῷ Νῶε διελέχθη· οὕτως ἐπεξενώθη τῷ Ἀβραάμ. Ὅτε δὲ εἰς πολλὴν κακίαν ἐξώκειλε πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, οὐδὲ οὕτω τέλεον ἀπεστράφη τὸ τῶν ἀνθρώπων γένος ὁ τῶν ἁπάντων δημιουργός· ἀλλ' ἐπειδὴ ἀνάξιοι λοιπὸν γεγόνασι τῆς ὁμιλίας τῆς αὐτοῦ, βουλόμενος πάλιν ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν, καθάπερ ἀνθρώποις μακρὰν ἀφεστῶσι γράμματα πέμπει, πρὸς ἑαυτὸν ἐφελκόμενος πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν. Καὶ ταῦτα τὰ γράμματα ἔπεμψε μὲν ὁ Θεός, ἐκόμισε δὲ Μωσῆς. Τί οὖν λέγει τὰ γράμματα; «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Σκόπει τοῦ θαυ-

τραπέζι τοῦ πλουσίου καὶ τοῦ πτωχοῦ· ἀλλὰ παντοῦ ἡ τροφὴ εἶναι ἁπλῆ, χωρὶς καύχησιν καὶ ἐπίδειξιν, καὶ μὲ πολλὴν εὐχαρίστησιν προσέρχονται σήμερα εἰς τὸ λιτὸν τραπέζι, παρὰ ὅταν ἐπροσφέροντο εἰς αὐτοὺς πολλὰ καρυκεύματα καὶ πολὺ γνήσιον κρασί.

2. Εἴδατε, ἀγαπητοί, ἀπὸ αὐτὴν τὴν ἀρχὴν τὴν δύναμιν τῆς νηστείας; Δι᾿ αὐτὸ καὶ ἐγὼ μὲ μεγαλυτέραν προθυμίαν σήμερα, παρὰ προηγουμένως, ἀρχίζω τὸν λόγον πρὸς σᾶς, γνωρίζων ὅτι ρίπτω τοὺς σπόρους εἰς εὔφορον καὶ γόνιμον χωράφι, τὸ ὁποῖον ἠμπορεῖ νὰ μᾶς ἀποδώσῃ γρήγορα τὸν καρπὸν πολλαπλάσιον ἀπὸ τὸν σπόρον. Ἂς ἐξετάσωμεν λοιπὸν καλῶς, ἐὰν θέλετε, τὴν δύναμιν αὐτῶν ποὺ ἀνεγνώσθησαν σήμερα ἐνώπιόν μας ἀπὸ τὰ λόγια τοῦ μακαρίου Μωυσέως. Προσέχετε ὅμως, παρακαλῶ, μὲ ἀκρίβειαν εἰς τὰ λεγόμενα ἀπὸ ἡμᾶς, διότι δὲν λέγομεν ἰδικά μας λόγια, ἀλλὰ ἐκεῖνα ποὺ θὰ δώσῃ ἡ χάρις τοῦ Θεοῦ διὰ τὴν ἰδικήν σας ὠφέλειαν. Καὶ ποῖα εἶναι αὐτά; «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἀξίζει ἐδῶ νὰ ἀπορήσῃ κανείς, διὰ ποῖον σκοπὸν ὁ μακάριος αὐτὸς προφήτης, ὁ ὁποῖος ἐγεννήθη ὕστερα ἀπὸ πολλὰς γενεάς, μᾶς ἐξιστορεῖ αὐτά. Οὔτε ἁπλῶς, οὔτε τυχαίως. Ἐπειδὴ λοιπόν, ὅταν ἀπὸ τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἐσυζητοῦσε μὲ τοὺς ἀνθρώπους, ὅπως ἦτο δυνατὸν νὰ ἀκούσουν οἱ ἄνθρωποι. Ἔτσι πράγματι ἦλθε πρὸς τὸν Ἀδάμ· ἔτσι ἐτιμώρησε τὸν Κάϊν· ἔτσι ὡμίλησε πρὸς τὸν Νῶε· ἔτσι ἐφιλοξενήθη ἀπὸ τὸν Ἀβραάμ. Ὅταν ὅμως ὁλόκληρον τὸ ἀνθρώπινον γένος παρεκτράπη εἰς μεγάλην κακίαν, οὔτε ἔτσι ἀπεστράφη ἐντελῶς τὸ ἀνθρώπινον γένος ὁ δημιουργὸς τοῦ σύμπαντος· ἀλλὰ ἐπειδὴ εἶχαν γίνει εἰς τὸ ἑξῆς ἀνάξιοι τῆς ὁμιλίας του, ἐπιθυμῶν νὰ ἀνανεώσῃ πάλιν τὴν φιλικήν του διάθεσιν πρὸς αὐτούς, ὡσὰν εἰς ἀνθρώπους ποὺ ἔχουν ἀπομακρυνθῆ μακρὰν αὐτοῦ στέλλει ἐπιστολάς, ἕλκων πρὸς τὸν ἑαυτόν του ὁλόκληρον τὸ ἀνθρώπινον γένος. Καὶ αὐτὰς τὰς ἐπιστολὰς ἔστειλε μὲν ὁ Θεός, τὰς ἔφερε δὲ ὁ Μωυσῆς. Τί λοιπὸν λέγουν αἱ ἐπιστολαί; «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρα-

μαστοῦ τούτου προφήτου, ἀγαπητέ, καὶ ἐν τούτῳ τὸ ἐξαίρετον. Οἱ μὲν γὰρ ἄλλοι προφῆται πάντες ἢ τὰ μετὰ πολὺν ἐσόμενα χρόνον εἶπον, ἢ τὰ κατ' αὐτὸν μέλλοντα συμβήσεσθαι τὸν καιρόν· ὁ δὲ μακάριος οὗτος μετὰ πολλὰς γενεὰς γεγονώς, ὑπὸ τῆς ἄνωθεν δεξιᾶς ὁδηγούμενος ἐκεῖνα εἰπεῖν κατηξιώθη, ἃ πρὸ τῆς αὐτοῦ γενέσεως ὑπὸ τοῦ τῶν ἁπάντων ἐδημιουργήθη Δεσπότου. Διὰ τοῦτο καὶ οὕτως ἤρξατο λέγων· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· μονονουχὶ πρὸς ἅπαντας ἡμᾶς λαμπρᾷ βοῶν τῇ φωνῇ, καὶ λέγων· μὴ γὰρ παρὰ ἀνθρώπου διδασκόμενος ταῦτα φθέγγομαι;

Ὁ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὰ παραγαγών, οὗτος καὶ τὴν ἐμὴν γλῶτταν πρὸς τὴν τούτων ἐξήγησιν παρώρμησεν. Ὡς οὖν οὐκέτι παρὰ Μωσέως ταῦτα ἀκούοντες, ἀλλὰ παρ' αὐτοῦ τοῦ τῶν ὅλων Θεοῦ διὰ τῆς τοῦ Μωσέως γλώττης, οὕτω τοῖς λεγομένοις προσέχωμεν, παρακαλῶ, καὶ πολλὰ χαίρειν τοῖς ἡμετέροις λογισμοῖς εἰπόντες· «Λογισμοὶ γάρ», φησίν, «ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν». Μετὰ πολλῆς τῆς εὐγνωμοσύνης δεχώμεθα τὰ λεγόμενα, μὴ ὑπερβαίνοντες τὸ οἰκεῖον μέτρον, μηδὲ τὰ ὑπὲρ ἡμᾶς περιεργαζόμενοι· ὅπερ πεπόνθασιν οἱ τῆς ἀληθείας ἐχθροί, βουληθέντες τοῖς οἰκείοις λογισμοῖς ἐπιτρέψαι τὸ πᾶν, καὶ οὐκ ἐννοήσαντες ὅτι ἀδύνατον τὴν ἀνθρωπείαν φύσιν τὴν τοῦ Θεοῦ δημιουργίαν περιεργάζεσθαι. Καὶ τί λέγω τὴν τοῦ Θεοῦ δημιουργίαν; Ἀλλ' οὐδὲ ἀνθρώπου τέχνην τοῦ ὁμογενοῦς ἡμῖν περιεργάζεσθαι δυνατόν. Εἰπὲ γάρ μοι, πῶς ἀπὸ τῆς μεταλλικῆς τέχνης χρυσίου συνίσταται φύσις; ἢ πῶς τῆς ὑέλου ἡ καθαρότης ἀπὸ ψάμμου γίνεται; Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. Εἰ τοίνυν ταῦτα τὰ πρὸ τῶν ὀφθαλμῶν κείμενα, καὶ ἅπερ διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν σοφία ἀνθρωπίνη ἐργάζεται, καταμαθεῖν οὐ δυνατόν, τὰ ἀπὸ τοῦ Θεοῦ

3. Σοφ. Σολ. 9, 14.

νὸν καὶ τὴν γῆν». Προσέχετε τὸν θαυμαστὸν αὐτὸν προφήτην, ἀγαπητοί, καὶ τὸ ἐξαιρετικὸν γνώρισμα ποὺ ὑπάρχει εἰς αὐτόν. Διότι οἱ μὲν ὅλοι οἱ ἄλλοι προφῆται εἶπαν ἐκεῖνα ποὺ θὰ γίνουν μετὰ πολὺν χρόνον ἢ ποὺ ἐπρόκειτο νὰ συμβοῦν κατὰ τὴν ἐποχήν των· ὁ μακάριος ὅμως αὐτός, ἐνῷ εἶχε ζήσει ὕστερα ἀπὸ πολλὰς γενεάς, ὁδηγούμενος ἀπὸ τὸ χέρι τοῦ Θεοῦ ἠξιώθη νὰ εἰπῇ ἐκεῖνα, τὰ ὁποῖα πρὶν ἀπὸ τὴν γένεσίν του ἐδημιουργήθησαν ἀπὸ τὸν Κύριον τοῦ σύμπαντος. Διὰ τοῦτο καὶ ἤρχισε τὸν λόγον του ἔτσι· «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· σχεδὸν πρὸς ὅλους μας φωνάζει μὲ καθαρὰν φωνὴν καὶ λέγει· μήπως λοιπὸν λέγω αὐτὰ διδασκόμενος ἀπὸ ἄνθρωπον; Ἐκεῖνος ποὺ ἀπὸ τὸ μηδὲν παρήγαγεν αὐτὰ εἰς τὴν ὕπαρξιν, αὐτὸς παρεκίνησε καὶ τὴν ἰδικήν μου γλῶσσαν εἰς τὴν ἐξήγησιν αὐτῶν. Ὡσὰν λοιπὸν νὰ μὴ ἀκούωμεν πλέον αὐτὰ ἀπὸ τὸν Μωυσῆ, ἀλλὰ ἀπὸ τὸν ἴδιον τὸν Θεὸν τῶν πάντων μὲ τὴν γλῶσσαν τοῦ Μωυσέως, ἔτσι ἂς ποσέχωμεν εἰς τὰ λεγόμενα, παρακαλῶ, ἀφοῦ εἰποῦμεν πολλὰ χαίρετε εἰς τοὺς ἰδικούς μας λογισμούς, διότι λέγει ἡ Γραφή, «Οἱ λογισμοὶ τῶν ἀνθρώπων εἶναι δειλοὶ καὶ ἀσταθεῖς αἱ σκέψεις αὐτῶν»[1]. Ἂς δεχώμεθα μὲ πολλὴν εὐγνωμοσύνην τὰ λεγόμενα, χωρὶς νὰ ὑπερβαίνωμεν τὸ ἀνθρώπινον μέτρον, οὔτε νὰ καταγινώμεθα μὲ ἔργα ἀνώτερα ἀπὸ ἡμᾶς· πρᾶγμα τὸ ὁποῖον ἔχουν πάθει οἱ ἐχθροὶ τῆς ἀληθείας, ἐπειδὴ ἠθέλησαν νὰ ἐπιτρέψουν τὰ πάντα εἰς τοὺς λογισμούς των καὶ δὲν κατενόησαν ὅτι εἶναι ἀδύνατον ἡ ἀνθρωπίνη φύσις νὰ ἐξετάζῃ λεπτομερειακὰ τὴν δημιουργίαν τοῦ Θεοῦ. Καὶ διατί λέγω τὴν δημιουργίαν τοῦ Θεοῦ; Ἀλλὰ οὔτε εἶναι δυνατὸν νὰ ἐξετάζωμεν τὴν τέχνην τοῦ συνανθρώπου μας. Διότι εἰπέ μου, πῶς ἀπὸ τὴν μεταλλοτεχνίαν γίνεται ὁ χρυσός; ἢ πῶς καθαρίζεται τὸ γυαλὶ ἀπὸ τὴν ἄμμον; Ἀλλὰ δὲν ἠμπορεῖς νὰ ἀπαντήσῃς. Ἐὰν λοιπὸν αὐτά, τὰ ὁποῖα εὑρίσκονται ἐνώπιόν μας καὶ τὰ ὁποῖα κάνει ἡ ἀνθρωπίνη σοφία ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, δὲν εἶναι δυνατὸν νὰ κατανοήσῃς, τὰ δημιουργηθέντα ἀπὸ τὸν Θεὸν προσπαθεῖς νὰ ἐξετάσῃς,

δημιουργηθέντα περιεργάζῃ, ἄνθρωπε; Καὶ ποίας ἂν τύχοις συγγνώμης; τίνος δὲ ἀπολογίας οὕτω μεμηνώς, καὶ τὰ ὑπὲρ τὴν σαυτοῦ φύσιν φανταζόμενος; Τὸ γὰρ λέγειν ἐξ ὑποκειμένης ὕλης τὰ ὄντα γεγενῆσθαι, καὶ μὴ ὁμολογεῖν ὅτι ἐξ οὐκ ὄντων αὐτὰ παρήγαγεν ὁ τῶν ἁπάντων δημιουργός, τῆς ἐσχάτης παραφροσύνης ἂν εἴη σημεῖον. Ἐμφράττων τοίνυν τῶν ἀγνωμόνων τὰ στόματα ὁ μακάριος οὗτος προφήτης, μέλλων ἄρχεσθαι τοῦ βιβλίου, οὕτως ἤρξατο· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ὅταν οὖν ἀκούσῃς τό, «Ἐποίησε», μηδὲν ἕτερον περιεργάζου, ἀλλὰ κάτω κύπτων, πίστευε τῷ λεχθέντι. Θεὸς γάρ ἐστιν ὁ πάντα ποιῶν καὶ μετασκευάζων, καὶ πρὸς τὸ αὐτοῦ βούλημα τὰ πάντα μεταρρυθμίζων. Καὶ ὅρα τῆς συγκαταβάσεως τὴν ὑπερβολήν· οὐδὲν περὶ τῶν ἀοράτων δυνάμεων διαλέγεται, οὐδὲ λέγει, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τοὺς ἀγγέλους, ἢ τοὺς ἀρχαγγέλους· οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ ταύτην ἡμῖν ἔτεμε τῆς διδασκαλίας τὴν ὁδόν. Ἐπειδὴ γὰρ Ἰουδαίοις διελέγετο τοῖς περὶ τὰ παρόντα ἐπτοημένοις, καὶ οὐδὲν νοητὸν φαντασθῆναι δυναμένοις, ἀπὸ τῶν αἰσθητῶν τέως αὐτοὺς ἐνάγει πρὸς τὸν τῶν ὅλων δημιουργόν, ἵνα ἐκ τῶν δημιουργημάτων τὸν τεχνίτην τοῦ παντὸς καταμαθόντες προσκυνήσωσι τὸν ἐργασάμενον, καὶ μὴ ἐναπομείνωσι τοῖς κτίσμασιν. Εἰ γὰρ καὶ τούτου γινομένου οὐκ ἐπαύσαντο τὰ κτίσματα θεοποιοῦντες, καὶ περὶ τὰ ἀτιμότατα τῶν ἀλόγων τὸ σέβας ἐπιδεικνύμενοι, ποῦ οὐκ ἂν μανίας ἐξώκειλαν, εἰ μὴ τοσαύτῃ τῇ συγκαταβάσει ἐχρήσατο;

3. Καὶ μὴ ξενισθῇς, ἀγαπητέ, εἰ Μωσῆς ταύτην ἔρχεται τὴν ὁδόν, ἐν ἀρχῇ καὶ ἐν προοιμίοις τοῖς παχυτέροις Ἰουδαίοις διαλεγόμενος, ὅπου γε καὶ ὁ Παῦλος ἐν τῇ χάριτι, ἡνίκα τοσαύτη ἡ ἐπίδοσις γέγονε τοῦ κηρύγματος, μέλλων τοῖς ἐν

ἄνθρωπε; Καὶ ποίαν συγγνώμην θὰ ἠμπορέσῃς νὰ ἔχῃς; καὶ ποίαν ἀπολογίαν, ἀφοῦ ἔχῃς φθάσει εἰς τέτοιαν παραφροσύνην καὶ φαντάζεσαι τὰ ὑψηλότερα ἀπὸ τὴν φύσιν σου; Διότι τὸ νὰ λέγῃς, ὅτι τὰ ὄντα ἔχουν γίνει ἀπὸ ὑπάρχουσαν ὕλην καὶ νὰ μὴ ἀναγνωρίζῃς ὅτι ἐδημιούργησεν αὐτὰ ἀπὸ τὸ μηδὲν ὁ δημιουργὸς τοῦ σύμπαντος, θὰ ἦτο ἀπόδειξις τῆς μεγίστης παραφροσύνης. Ἀποστομώνων λοιπὸν τοὺς ἀγνώμονας ὁ μακάριος αὐτὸς προφήτης, ὅταν ἐπρόκειτο νὰ ἀρχίσῃ τὸ βιβλίον του, ἔτσι ἤρχισεν· «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ὅταν λοιπὸν ἀκούσῃς τό, «Ἐδημιούργησε», τίποτε ἄλλο νὰ μὴ ἐξετάζῃς, ἀλλὰ κλίνων τὸ κεφάλι πρὸς τὰ κάτω, πίστευε εἰς αὐτό, ποὺ ἐλέχθη. Διότι ὁ Θεὸς εἶναι ἐκεῖνος, ὁ ὁποῖος δημιουργεῖ καὶ μεταβάλλει τὰ πάντα, καὶ σύμφωνα μὲ τὸ θέλημά του ἀλλάσει τὴν μορφὴν τῶν πάντων. Καὶ πρόσεχε τὴν ὑπερβολικὴν συγκατάβασιν· τίποτε δὲν ἀναφέρει διὰ τὰς ἀοράτους δυνάμεις, οὔτε λέγει, εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τοὺς ἀγγέλους ἢ τοὺς ἀρχαγγέλους· δὲν μᾶς ἐχάραξεν αὐτὸν τὸν τρόπον τῆς διδασκαλίας ἁπλᾶ, οὔτε τυχαῖα. Ἐπειδὴ λοιπὸν ὡμιλοῦσεν εἰς τοὺς Ἰουδαίους, οἱ ὁποῖοι ἠσχολοῦντο μὲ τὰ παρόντα καὶ δὲν ἠμποροῦσαν νὰ φαντασθοῦν τίποτε νοητόν, κατ' ἀρχὴν ἀπὸ τὰ αἰσθητὰ πράγματα ὁδηγεῖ αὐτοὺς πρὸς τὸν δημιουργὸν τῶν πάντων, διὰ νὰ προσκυνήσουν αὐτόν, ἀφοῦ γνωρίσουν καλὰ ἀπὸ τὰ δημιουργήματα τὸν ποιητὴν τοῦ παντός, καὶ νὰ μὴ παραμείνουν εἰς τὰ κτίσματα. Διότι ἐὰν καί, ἀφοῦ ἔγινεν αὐτό, δὲν ἐσταμάτησαν νὰ θεοποιοῦν τὰ κτίσματα καὶ νὰ ἐπιδεικνύουν τὸν σεβασμὸν των εἰς τὰ πλέον περιφρονημένα ἀπὸ τὰ ζῶα, εἰς ποῖον σημεῖον παραφροσύνης δὲν θὰ ἐπαρασύροντο, ἐὰν δὲν ἐξεδήλωνε τόσον μεγάλην συγκατάβασιν ὁ Θεός;

3. Καὶ μὴ παραξενευθῇς, ἀγαπητέ, ἐὰν ὁ Μωυσῆς χρησιμοποιῇ αὐτὸν τὸν τρόπον, ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴν ὅταν ὡμιλοῦσεν εἰς τοὺς ἀνοήτους Ἰουδαίους, τὸν ὁποῖον βεβαίως χρησιμοποιεῖ καὶ ὁ Παῦλος εἰς τὴν ἐποχὴν τῆς χάριτος, ὅταν ἡ πρόοδος τοῦ κηρύγματος ὑπῆρξε τόσον

Ἀθήναις διαλέγεσθαι, ἀπὸ τῶν ὁρωμένων ποιεῖται πρὸς αὐτοὺς τὴν διδασκαλίαν οὕτω λέγων· «Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται». Ἐπειδὴ γὰρ ᾔδει ταύτην αὐτοῖς κατάλληλον οὖσαν τὴν διδασκαλίαν, ταύτην ἦλθε τὴν ὁδόν. Πρὸς γὰρ τοὺς δεχομένους τὰ παρ' αὐτοῦ διδάγματα, οὕτως ὑπὸ τοῦ Πνεύματος ὁδηγούμενος καὶ τὴν διδασκαλίαν ἐποιεῖτο. Καὶ ἵνα μάθῃς, ὅτι ἡ τῶν προσώπων διαφορὰ καὶ ἡ τῶν ἀκουόντων παχύτης τούτου αἰτία γίνεται, ἄκουε αὐτοῦ, ἡνίκα πρὸς Κολοσσαεῖς ἐπέστελλε, μηκέτι ταύτην ἐρχομένου τὴν ὁδόν, ἀλλ' ἑτέρως αὐτοῖς διαλεγομένου καὶ λέγοντος· «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἐκτίσθη». Καὶ Ἰωάννης δὲ ὁ τῆς βροντῆς υἱὸς ἐβόα λέγων «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν». Ἀλλ' οὐχ ὁ Μωϋσῆς οὕτως· εἰκότως· οὐδὲ γὰρ ἦν εὔλογον τοῖς ἔτι γαλακτοτροφεῖσθαι δεομένοις στερεᾶς μεταδοῦναι τροφῆς. Καθάπερ γὰρ οἱ διδάσκαλοι οἱ παρὰ τῶν γονέων τὰ παιδία δεχόμενοι τὰ πρῶτα στοιχεῖα αὐτοῖς παραδιδόασιν, οἱ δὲ παρ' ἐκείνων τὰ παιδία λαμβάνοντες, τὰ τελειότερα τῶν μαθημάτων αὐτοῖς ἐνηχοῦσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος Μωσῆς, καὶ ὁ τῶν ἐθνῶν διδάσκαλος, καὶ ὁ τῆς βροντῆς υἱὸς πεποιήκασιν. Ὁ μὲν γὰρ ἐκ προοιμίων παραλαβὼν τὴν φύσιν τὴν ἀνθρωπίνην, τὰ πρῶτα στοιχεῖα τοὺς ἀκούοντας ἐπαίδευσεν· οὗτοι δὲ παρὰ Μωϋσέως παραλαβόντες, λοιπὸν τὰ τελειότερα παρεδίδοσαν. Τέως οὖν ἐμάθομεν τῆς συγκαταβάσεως τὴν αἰτίαν, καὶ ὅτι Πνεύματι φθεγγόμενος καταλλήλως τοῖς ἀκούουσιν, ἅπαντα ἐξετίθετο, πάσας ὁμοῦ τὰς δίκην ζιζανίων ἐπιφυο-

4. Πράξ. 17, 24. 25.
5. Κολ. 1, 16.
6. Ἰω. 1, 3.

μεγάλη, ἐνῷ ἐπρόκειτο νὰ ὁμιλήσῃ πρὸς τοὺς Ἀθηναίους, διδάσκει αὐτοὺς ἀπὸ τὰ ὁρατὰ καὶ λέγει τὰ ἑξῆς· «Ὁ Θεὸς ὁ ὁποῖος ἐδημιούργησε τὸν κόσμον καὶ ὅλα, ὅσα ὑπάρχουν μέσα εἰς αὐτόν, αὐτὸς ὑπάρχων Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, δὲν κατοικεῖ εἰς ναούς, ποὺ κτίζουν μὲ τὰ χέρια των οἱ ἄνθρωποι, οὔτε ὑπηρετεῖται ἀπὸ χέρια ἀνθρώπων»[4]. Ἐπειδὴ λοιπὸν ἐγνώριζεν, ὅτι ἡ διδασκαλία αὐτὴ ἦτο κατάλληλος δι᾽ αὐτούς, ἐχρησιμοποίησε τὸν τρόπον αὐτόν. Διότι σύμφωνα πρὸς ἐκείνους, ποὺ ἐδέχοντο τὰ διδάγματά του, ἔτσι καὶ ἐδίδασκεν, ὁδηγούμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα. Καὶ διὰ νὰ μάθῃς, ὅτι ἡ διαφορὰ τῶν ἀνθρώπων καὶ ἡ βραδύνοια τῶν ἀκροατῶν γίνεται ἡ αἰτία αὐτοῦ, ἄκουε τὸν Παῦλον, ὁ ὁποῖος ὅταν ἔγραφε πρὸς τοὺς Κολοσσαεῖς, δὲν ἐχρησιμοποιοῦσε τὸν ἴδιον τρόπον, ἀλλὰ διαφορετικὰ ὡμιλοῦσε πρὸς αὐτοὺς καὶ ἔλεγε: «Διότι δι᾽ αὐτοῦ ἐδημιουργήθησαν ὅλα, ὅσα ὑπάρχουν εἰς τοὺς οὐρανοὺς καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε εἶναι οἱ θρόνοι, εἴτε αἱ κυριότητες, εἴτε αἱ ἀρχαί, εἴτε αἱ ἐξουσίαι, τὰ πάντα δι᾽ αὐτοῦ καὶ δι᾽ αὐτὸν ἔχουν δημιουργηθῆ»[5]. Καὶ ὁ Ἰωάννης δέ, ὁ υἱὸς τῆς βροντῆς, ἐφώναζε λέγων· «Τὰ πάντα ἔγιναν δι᾽ αὐτοῦ καὶ χωρὶς αὐτὸν δὲν ἔγινεν οὔτε ἕνα»[6]. Ὁ Μωυσῆς ὅμως δὲν ὡμίλησεν ἔτσι εὐλόγως· οὔτε βέβαια ἦτο λογικὸν νὰ δώσῃ στερεὰν τροφὴν εἰς ἐκείνους, ποὺ ἔπρεπε ἀκόμη νὰ τρέφωνται μὲ γάλα. Διότι ὅπως οἱ διδάσκαλοι, ποὺ ἀναλαμβάνουν ἀπὸ τοὺς γονεῖς τὰ παιδιά, παραδίδουν εἰς αὐτὰ τὰ πρῶτα γράμματα, οἱ δὲ γονεῖς παραλαμβάνοντες τὰ παιδιὰ ἀπὸ ἐκείνους, διδάσκουν τὰ τελειότερα μαθήματα εἰς αὐτά· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ὁ μακάριος Μωυσῆς καὶ ὁ ἀπόστολος τῶν ἐθνῶν καὶ ὁ υἱὸς τῆς βροντῆς ἔχουν πράξει. Διότι ὁ μὲν πρῶτος ἀφοῦ παρέλαβεν ἀπὸ τὴν ἀρχὴν τὸ ἀνθρώπινον γένος, ἐδίδαξε τὰ πρῶτα γράμματα εἰς τοὺς ἀκροατάς· οἱ ἄλλοι δὲ ἀφοῦ παρέλαβον ἀπὸ τὸν Μωυσῆ, παρέδιδον εἰς τὸ ἑξῆς τὰ τελειότερα γράμματα. Τώρα λοιπὸν ἐμάθαμεν τὴν αἰτίαν τῆς συγκαταβάσεως, καὶ ὅτι ὁμιλῶν καταλλήλως εἰς τοὺς ἀκροατάς, καθοδηγούμενος ἀπὸ

μένας αἱρέσεις τῇ Ἐκκλησίᾳ κάτωθεν ἀνασπῶν διὰ τοῦ εἰπεῖν· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Κἂν γὰρ Μανιχαῖος προσέλθῃ λέγων τὴν ὕλην προϋπάρχειν, κἂν Μαρκίων, κἂν Οὐαλεντῖνος, κἂν Ἑλλήνων παῖδες, λέγε πρὸς αὐτούς· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἀλλ' οὐ πιστεύει τῇ Γραφῇ. Ἀποστράφηθι λοιπὸν αὐτὸν ὡς μαινόμενον καὶ ἐξεστηκότα. Ὁ γὰρ τῷ δημιουργῷ τῶν ὅλων ἀπιστῶν, ὡς καὶ ψεῦδος τῆς ἀληθείας καταγινώσκων, ποίας ἂν τύχοι συγγνώμης ποτέ; Πεπλασμένον ἔχουσιν ἐκεῖνοι τὸ χρῶμα, καὶ ἐπιεικείας πρόσωπον ὑποδυόμενοι, κρύπτουσιν ἐν τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον. Ἀλλὰ σὺ μὴ ἀπατηθῇς, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μάλιστα μίσησον αὐτόν, ὅτι πρὸς μὲν σὲ τὸν ὁμόδουλον ἐπιείκειαν ὑποκρίνεται, πρὸς δὲ τὸν τῶν ὅλων Δεσπότην Θεὸν τὸν πόλεμον ἤρατο, καὶ κατὰ τῆς ἑαυτοῦ σωτηρίας τρέχων οὐκ αἰσθάνεται. Ἡμεῖς δὲ τῆς πέτρας ἐχώμεθα τῆς ἀρραγοῦς, καὶ ἐπὶ τὴν ἀρχὴν πάλιν ἐπανέλθωμεν. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ὅρα καὶ ἐξ αὐτοῦ τοῦ τῆς δημιουργίας τρόπου τὴν θείαν φύσιν διαλάμπουσαν, ὡς ἀπεναντίας τῇ ἀνθρωπίνῃ συνηθείᾳ τὴν δημιουργίαν ποιεῖται, πρότερον τὸν οὐρανὸν τείνας, καὶ τότε τὴν γῆν ὑποστορέσας· πρότερον τὸν ὄροφον, καὶ τότε τὸν θεμέλιον. Τίς εἶδε; τίς ἤκουσεν; Ἐπὶ μὲν γὰρ τῆς ἀνθρωπίνης δημιουργίας οὐκ ἂν τοῦτο γένοιτ' ἄν ποτε· ὅταν δὲ ὁ Θεὸς κελεύῃ, πάντα τῷ βουλήματι αὐτοῦ εἴκει καὶ παραχωρεῖ. Μὴ τοίνυν ἀνθρωπίνῳ λογισμῷ τὰ τοῦ Θεοῦ ἔργα περιεργαζώμεθα, ἀλλ' ἐκ τῶν

---

7. Μανιχαῖος· ἤκμασε κατὰ τὸν 3ον αἰ. Ὑπῆρξεν ἱδρυτὴς θρησκεύματος, ποὺ περιεῖχε στοιχεῖα ἀπὸ τὸν Ζωροαστρισμόν, τὸν Βουδδισμόν, τὸν Γνωστικισμὸν καὶ τὸν Χριστιανισμόν. Τὸ θρήσκευμά του ἐντάσσεται εἰς τὸ ρεῦμα τοῦ Γνωστικισμοῦ, ἐντὸς τοῦ ὁποίου κρατεῖ τὴν δυαρχικὴν πτέρυγα μαζὶ μὲ τὸν Μαρκιωνισμόν.

8. Μαρκίων· αἱρεσιάρχης τοῦ 2ου αἰ., συγκροτήσας δυαρχικὸν θεολογικὸν σύστημα καὶ ἰδιαιτέραν ἐκκλησίαν. Κατ' αὐτὸν δημιουργὸς τοῦ κόσμου εἶναι ὁ κατώτερος Θεός, ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα ἐκ προϋπαρχούσης ὕλης.

τὸ Ἅγιον Πνεῦμα, τὰ πάντα ἐξέθεσεν, ἐκριζώνων ὅλας μαζὶ τὰς ἀναφυομένας ὡσὰν ζιζάνια αἱρέσεις εἰς τὴν ἐκκλησίαν μὲ τὸ νὰ εἰπῇ· «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Καὶ εἴτε προσέλθῃ ὁ Μανιχαῖος[7] ἰσχυριζόμενος, ὅτι προϋπῆρχεν ἡ ὕλη, εἴτε ὁ Μαρκίων[8], εἴτε ὁ Οὐαλεντῖνος[9], εἴτε οἱ ἐθνικοί, λέγε πρὸς αὐτούς· «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἀλλὰ δὲν πιστεύει εἰς τὴν Ἁγίαν Γραφήν. Νὰ ἀποστραφῇς εἰς τὴν συνέχειαν αὐτὸν ὡς παράφρονα καὶ ἀνόητον. Διότι ἐκεῖνος ποὺ δὲν πιστεύει εἰς τὸν δημιουργὸν τῶν ὅλων, ἐπειδὴ ἀποδίδει μὲ ψέμα τὴν ἀλήθειαν, ποίαν συγγνώμην θὰ εἶναι δυνατὸν νὰ τύχῃ ποτέ; Ἐκεῖνοι ἔχουν προσποιητὸν χρῶμα, καὶ ὑποδυόμενοι πρόσωπον ἐπιεικείας, κρύπτουν μέσα εἰς τὸ δέρμα τοῦ προβάτου τὸν λύκον. Ἀλλὰ σὺ νὰ μὴ ἐξαπατηθῇς, ἀλλὰ καὶ δι' αὐτὸ ἀκριβῶς νὰ μισήσῃς ὑπερβολικὰ αὐτόν, διότι εἰς σὲ μὲν τὸν συνάνθρωπον ὑποκρίνεται ἐπιείκειαν, εἰς τὸν Θεὸν ὅμως, τὸν Δεσπότην τῶν ὅλων, ἤγειρε πόλεμον καὶ βαδίζων ἐναντίον τῆς ἰδικῆς του σωτηρίας δὲν αἰσθάνεται. Ἡμεῖς δὲ ἂς προσκολλώμεθα εἰς τὴν σταθερὰν πέτραν καὶ ἂς ἐπανέλθωμεν πάλιν εἰς τὴν ἀρχήν. «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Πρόσεξε, ὅτι καὶ ἀπὸ αὐτὸν τὸν τρόπον τῆς δημιουργίας διαλάμπει ἡ θεία φύσις, διότι κάνει τὴν δημιουργίαν ἀντίθετα πρὸς τὴν ἀνθρωπίνην συνήθειαν, ἀφοῦ ἐξέτεινε πρῶτα τὸν οὐρανὸν καὶ τότε ἥπλωσε κάτω ἀπὸ αὐτὸν τὴν γῆν· προηγουμένως τὴν ὀροφὴν καὶ ὕστερα τὸ θεμέλιον. Ποῖος εἶδε; ποῖος ἤκουσε; Διότι εἰς μὲν τὴν ἀνθρωπίνην δημιουργίαν δὲν θὰ ἦτο δυνατὸν νὰ συμβῇ αὐτὸ ποτέ· ὅταν δὲ ὁ Θεὸς προστάσσῃ, τὰ πάντα εἰς τὸ θέλημά του ὑποχωροῦν καὶ ὑπακούουν. Ἂς μὴ ἐξετάζωμεν λοιπὸν μὲ τὸν ἀνθρώπινον λογισμὸν τὰ ἔργα τοῦ Θεοῦ, ἀλλὰ ὁδηγούμενοι ἀπὸ τὰ

9. Οὐαλεντῖνος· ἀρχηγέτης θρησκευτικοῦ συστήματος κατὰ τὸν 2ον αἰ. Διεμόρφωσε παραλλαγὴν τοῦ συστήματος τῶν αἰώνων, ὡς ἐπακόλουθον δὲ τῆς πτώσεως ἑνὸς ἐξ αὐτῶν, τῆς Σοφίας, ἐδημιουργήθη ἀπὸ Δημιουργὸν ὁ κόσμος. [Περισσότερα διὰ τοὺς Μανιχαῖον, Μαρκίωνα καὶ Οὐαλεντῖνον βλ. Π. Κ Χρήστου, Ἑλληνικὴ Πατρολογία, τ. Β'.].

ἔργων ὁδηγούμενοι, θαυμάζωμεν τὸν τεχνίτην. «Τὰ γὰρ ἀόρατα αὐτοῦ», φησίν, «ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται».

4. Εἰ δὲ ἐπιμένοιεν οἱ τῆς ἀληθείας ἐχθροὶ λέγοντες, ἀδύνατον εἶναι ἐξ οὐκ ὄντων τι παραχθῆναι, ἐρώμεθα αὐτούς· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς ἐπλάσθη, ἢ ἑτέρωθέν ποθεν; Πάντως ἐροῦσιν, ὅτι ἐκ γῆς, καὶ συνομολογήσουσιν. Εἰπάτωσιν οὖν ἡμῖν, πῶς ἐκ γῆς σαρκὸς ἐγένετο φύσις. Ἀπὸ γῆς γὰρ πηλός, καὶ πλίνθος, καὶ κέραμος, καὶ ὄστρακον ἂν γένοιτο· πῶς οὖν σαρκὸς ἐγένετο φύσις; πῶς ὀστᾶ, καὶ νεῦμα, καὶ ἀρτηρίαι, καὶ πιμελή, καὶ δέρμα, καὶ ὄνυχες, καὶ τρίχες, καὶ ἐκ μιᾶς ὑποκειμένης ὕλης διαφόρων οὐσιῶν ποιότητες; Ἀλλ' οὐκ ἂν δυνηθεῖεν πρὸς ταῦτα διᾶραι στόμα ποτέ. Τί δὲ λέγω περὶ τοῦ σώματος τοῦ ἡμετέρου; Περὶ τοῦ ἄρτου, οὗ καθ' ἑκάστην ἡμέραν σιτούμεθα, εἰπάτωσαν ἡμῖν, πῶς μονοειδὴς ὢν μεταβάλλεται εἰς αἷμα καὶ φλέγμα καὶ χολήν, καὶ διαφόρους χυμούς. Καὶ ὁ μὲν σιτόχρους πολλάκις ἐστί· τὸ δὲ αἷμα πυρρὸν ἢ μέλαν. Εἰ τοίνυν ταῦτα τὰ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν ὁρώμενα εἰπεῖν ἡμῖν οὐκ ἂν δύναιντό ποτε, σχολῇ γ' ἂν εἴποιεν περὶ τῶν ἄλλων τοῦ Θεοῦ δημιουργημάτων. Ἀλλ' εἰ καὶ μετὰ τοσαύτην τῶν ἀποδείξεων περιουσίαν ἐπιμένοιεν τὴν οἰκείαν φιλονεικίαν κρατύνειν βουλόμενοι, ἡμεῖς μηδὲ οὕτω παυσόμεθα τὰ αὐτὰ πάλιν πρὸς αὐτοὺς λέγοντες· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Τοῦτο γὰρ ἱκανὸν μόνον τὸ ῥῆμα πάντας τῶν ἐναντίων τοὺς πύργους καταβαλεῖν, καὶ πάντας τοὺς ἀνθρωπίνους λογισμοὺς ἐξ αὐτῶν τῶν βάθρων ἀνασπάσαι· καὶ εἰ βουληθεῖεν ὀψέ ποτε τῆς φιλονικείας ἀποσχέσθαι, πρὸς τὴν τῆς ἀληθείας ὁδὸν αὐτοὺς χειραγωγῆσαι δυνήσεται. «Ἡ δὲ γῆ ἦν», φησίν, «ἀόρατος καὶ ἀκατασκεύαστος». Τίνος ἕνεκεν, εἰπέ μοι, τὸν μὲν οὐρανὸν φαιδρὸν καὶ ἀπηρτι-

10. Ρωμ. 1, 20.

ἔργα, ἅς θαυμάζωμεν τὸν δημιουργόν. «Διότι αἱ ἀόρατοι τελειότητες τοῦ Θεοῦ, λέγει ἡ Γραφή, ἀφ᾿ ὅτου ἐδημιουργήθη ὁ κόσμος, βλέπονται καθαρὰ ἐννοούμεναι εἰς τὰ δημιουργήματα»[19].

4. Ἐὰν ὅμως θὰ ἐπιμένουν οἱ ἐχθροὶ τῆς ἀληθείας λέγοντες, ὅτι εἶναι ἀδύνατον νὰ παραχθῇ κάτι ἀπὸ τὰ μηδέν, θὰ ἐρωτήσωμεν αὐτούς· ὁ πρῶτος ἄνθρωπος ἐπλάσθη ἀπὸ χῶμα ἢ ἀπὸ τίποτε ἄλλο; Ὁπωσδήποτε θὰ εἰποῦν, ὅτι ἀπὸ χῶμα ἐπλάσθη καὶ θὰ συμφωνήσουν. Ἂς μᾶς εἰποῦν λοιπόν, πῶς ἀπὸ τὰ χῶμα ἔγινεν ἡ φύσις τῆς σαρκός. Διότι ἀπὸ τὸ χῶμα θὰ ἠμποροῦσε νὰ γίνῃ πηλὸς καὶ πλίνθοι καὶ κεραμίδια καὶ ὄστρακα· πῶς λοιπὸν ἔγινεν ἡ φύσις τῆς σαρκός; πῶς τὰ ὀστᾶ, καὶ τὰ νεῦρα καὶ αἱ ἀρτηρίαι καὶ τὸ λίπος καὶ τὰ δέρμα καὶ τὰ νύχια καὶ αἱ τρίχες, καὶ ἐνῷ ὑπῆρχε μία οὐσία ποιότητες διαφόρων οὐσιῶν; Ἀλλὰ εἰς αὐτὰ δὲν θὰ ἠμπορέσουν νὰ ἀπαντήσουν ποτέ. Καὶ διατί λέγω διὰ τὸ ἰδικόν μας σῶμα; Διὰ τὸν ἄρτον, τὸν ὁποῖον καθημερινῶς τρώγομεν, ἄς μᾶς εἰποῦν, πῶς, ἐνῷ ἀποτελεῖται ἀπὸ ἕνα εἶδος, μεταβάλλεται εἰς αἷμα καὶ θερμότητα καὶ χολὴν καὶ διαφόρους χυμούς. Καὶ αὐτὸς μὲν ἔχει πολλὰς φορὰς τὸ χρῶμα τοῦ σιταριοῦ· τὸ αἷμα ὅμως εἶναι κόκκινον ἢ μαῦρον. Ἐὰν λοιπὸν αὐτά, τὰ ὁποῖα καθημερινῶς βλέπομεν ἐνώπιόν μας, δὲν θὰ ἠμπορέσουν νὰ μᾶς ἐξηγήσουν ποτέ, βεβαίως πολὺ ὀλιγώτερον δὲν θὰ ἠμπορέσουν νὰ εἰποῦν διὰ τὰ ἄλλα δημιουργήματα τοῦ Θεοῦ. Ἀλλὰ ἐὰν καὶ ὕστερα ἀπὸ τόσας πολλὰς ἀποδείξεις θὰ ἐπιμένουν, ἐπειδὴ θέλουν νὰ ἐνισχύσουν τὴν ἰδικήν των φιλονεικίαν, ἡμεῖς οὔτε ἔτσι θὰ σταματήσωμεν νὰ λέγωμεν πάλιν τὰ ἴδια πρὸς αὐτούς· «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Διότι αὐτὸς μόνον ὁ λόγος εἶναι εἰς θέσιν νὰ καταρρίψῃ ὅλους τοὺς πύργους τῶν ἐχθρῶν καὶ νὰ ἐκριζώσῃ ἀπὸ αὐτὰ τὰ θεμέλια ὅλους τοὺς ἀνθρωπίνους λογισμούς· καὶ ἐὰν θὰ θελήσουν ἀργὰ κάποτε νὰ ἀπομακρυνθοῦν ἀπὸ τὴν φιλονεικίαν, θὰ ἠμπορέσῃ νὰ ὁδηγήσῃ αὐτοὺς πρὸς τὸν δρόμον τῆς ἀληθείας. «Ἡ δὲ γῆ ἦτο, λέγει, ἀόρατος καὶ ἄμορφος». Διὰ ποῖον λόγον, εἰπέ μου, τὸν μὲν οὐρανὸν ἔκαμε λαμπρὸν καὶ

σμένον παρήγαγε, τὴν δὲ γῆν ἀμόρφωτον ἔδειξεν; Οὐχ ἁπλῶς οὐδὲ τοῦτο πεποίηκεν, ἀλλ' ἵνα, ἐν τῷ βελτίονι μέρει τῆς κτίσεως μαθὼν αὐτοῦ τὴν δημιουργίαν, μηδὲν ἀμφιβάλλῃς λοιπόν, μηδὲ νομίσῃς δι' ἀσθένειαν δυνάμεως τοῦτο γενέσθαι. Ἄλλως τε καὶ δι' ἕτερον τρόπον ἀμόρφωτον αὐτὴν παρήγαγεν. Ἐπειδὴ γὰρ αὐτὴ καὶ τροφὸς καὶ μήτηρ ἡμῶν ἐστι, καὶ ἐξ αὐτῆς καὶ γεγόναμεν καὶ τρεφόμεθα, καὶ αὐτὴ ἡμῖν καὶ πατρὶς καὶ κοινὸς τάφος γίνεται, καὶ πρὸς αὐτὴν πάλιν ἐπάνοδος, καὶ τῶν μυρίων ἀγαθῶν δι' αὐτῆς ἀπολαύομεν· ἵνα μὴ διὰ τὸ τῆς χρείας ἀναγκαῖον ὑπὲρ τὴν ἀξίαν αὐτὴν τιμήσωσι τὸ τῶν ἀνθρώπων γένος, δείκνυσί σοι αὐτὴν πρότερον ἀμόρφωτον καὶ ἀδιατύπωτον, ἵνα μὴ τῇ φύσει τῆς γῆς τὰς ἐξ αὐτῆς εὐεργεσίας λογίσῃ, ἀλλὰ τῷ ταύτην ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντι. Διὰ τοῦτό φησιν· «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος». Τάχα εὐθὺς καὶ ἐκ προοιμίων κατετείναμεν ὑμῶν τὴν διάνοιαν τοῖς λεπτοτέροις νοήμασι· διὸ προσήκει μέχρι τούτου στῆσαι τὸν λόγον, παρακαλέσαντας ὑμῶν τὴν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ ἀεὶ τούτων ἔναυλον ἔχειν τὴν μνήμην, καὶ μετὰ τῆς αἰσθητῆς τραπέζης, ἐπειδὰν ἐντεῦθεν ἐξέλθητε, παρατίθετε καὶ τὴν πνευματικὴν τράπεζαν. Καὶ λεγέτω μέν τινα τῶν ἐνταῦθα λεχθέντων ὁ ἀνήρ· ἀκουέτω δὲ ἡ γυνή, μανθανέτωσαν δὲ καὶ οἱ παῖδες, διδασκέσθωσαν δὲ καὶ οἱ οἰκέται, καὶ ἐκκλησία λοιπὸν γενέσθω ἡ οἰκία, ἵνα φυγαδεύηται μὲν ὁ διάβολος καὶ δραπετεύῃ ὁ πονηρὸς δαίμων ἐκεῖνος, καὶ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας· ἐπαναπαύηται δὲ αὐτόθι ἡ τοῦ ἁγίου Πνεύματος χάρις, καὶ πᾶσα εἰρήνη καὶ ὁμόνοια περιστοιχίζῃ τοὺς ἐνοικοῦντας. Ἐὰν γὰρ τῶν ἤδη πρότερον ῥηθέντων μνημονεύητε, καὶ τὰ μετὰ ταῦτα καταβαλλόμενα προθυμότερον δέξησθε, καὶ ἡμεῖς μετὰ πλείονος τῆς προθυμίας καὶ τῆς δαψιλείας ἐροῦμεν τὰ ὑπὸ τῆς τοῦ Θεοῦ χάρι-

τέλειον, τὴν δὲ γῆν ἐπαρουσίασε χωρὶς μορφήν; Δὲν ἔχει κάμει οὔτε αὐτὸ τυχαῖα, ἀλλά, ἀφοῦ κατανοήσῃς τὴν δημιουργίαν αὐτοῦ ἀπὸ τὸ καλύτερον μέρος τῆς κτίσεως, νὰ μὴ ἀμφιβάλλῃς καθόλου εἰς τὴν συνέχειαν, οὔτε νὰ νομίσῃς ὅτι αὐτὸ ἔχει γίνει ἐξ αἰτίας τῆς ἐλλείψεως δυνάμεως. Ἄλλωστε καὶ δι' ἄλλον λόγον ἔκαμεν αὐτὴν χωρὶς μορφήν. Ἐπειδὴ λοιπὸν αὐτὴ εἶναι καὶ τροφὸς καὶ μητέρα μας, καὶ ἀπὸ αὐτὴν ἔχομεν πλασθῆ καὶ τρεφόμεθα, καὶ αὐτὴ γίνεται εἰς ἡμᾶς καὶ πατρίδα καὶ κοινὸς τάφος καὶ πρὸς αὐτὴν πάλιν ἐπανερχόμεθα, καὶ ἀπολαμβάνομεν τὰ πάρα πολλὰ ἀγαθὰ διὰ μέσου αὐτῆς· διὰ νὰ μὴ τιμήσῃ αὐτὴν τὸ ἀνθρώπινον γένος περισσότερον ἀπὸ τὴν ἀξίαν της, ἐξ αἰτίας τῆς ἀναγκαιότητος τῆς ὠφελείας της, παρουσιάζει εἰς σὲ αὐτὴν πρῶτα χωρὶς μορφὴν καὶ σχῆμα, διὰ νὰ μὴ ὑπολογίσῃς εἰς τὴν φύσιν τῆς γῆς τὰς εὐεργεσίας, ποὺ προέρχονται ἀπὸ αὐτήν, ἀλλὰ εἰς ἐκεῖνον, ποὺ ἔφερεν αὐτὴν ἀπὸ τὸ μηδὲν εἰς τὴν ὕπαρξιν. Διὰ τοῦτο λέγει· «Ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἄμορφος». Ἴσως ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴν ἐστρέψαμεν τὴν διάνοιάν σας εἰς τὰ βαθύτερα νοήματα· δι' αὐτὸ πρέπει νὰ σταματήσωμεν τὸν λόγον μέχρις αὐτὸ τὸ σημεῖον, ἀφοῦ παρακαλέσωμεν τὴν ἀγάπην σας νὰ ἐνθυμῆσθε τὰ λεχθέντα καὶ πάντοτε νὰ ἔχετε ζωηρῶς ἀποτυπωμένα αὐτὰ εἰς τὴν μνήμην σας καὶ μαζὶ μὲ τὸ τραπέζι τῶν ὑλικῶν ἀγαθῶν, ὅταν θὰ ἀναχωρήσετε ἀπὸ ἐδῶ, νὰ παραθέτετε καὶ τὸ πνευματικὸν τραπέζι. Καὶ ἂς λέγῃ μὲν ὁ ἄνδρας μερικὰ ἀπὸ τὰ λεχθέντα ἐδῶ· ἡ δὲ γυναῖκα ἂς ἀκούῃ, ἂς μανθάνουν καὶ τὰ παιδιά, ἂς διδάσκωνται ἐπίσης καὶ οἱ ὑπηρέται, καὶ ἂς γίνῃ εἰς τὴν συνέχειαν ἐκκλησία τὸ σπίτι, διὰ νὰ ἀπομακρύνεται μὲν ὁ διάβολος καὶ νὰ δραπετεύῃ ὁ πονηρὸς ἐκεῖνος δαίμων καὶ ἐχθρὸς τῆς ἰδικῆς μας σωτηρίας· νὰ ἐπαναπαύεται δὲ εἰς αὐτὸν τὸν χῶρον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος καὶ νὰ περιστοιχίζῃ τοὺς ἐνοίκους κάθε εἰρήνη καὶ ὁμόνοια. Διότι ἐὰν ἐνθυμῆσθε ἐκεῖνα, ποὺ ἤδη ἐλέχθησαν προηγουμένως, καὶ ἐκεῖνα ποὺ θὰ σπείρωμεν ἀργότερα, θὰ δεχθῆτε μὲ μεγαλυτέραν προθυμίαν καὶ ἡμεῖς θὰ εἰποῦμεν ἐκεῖνα, ποὺ χορηγεῖ ἡ χάρις τοῦ Θεοῦ, μὲ περισσοτέραν προθυμίαν καὶ

τος χορηγούμενα, ἐπειδὰν ἴδωμεν τῶν ἤδη καταβληθέντων τὴν βλάστην. Ἐπεὶ καὶ γηπόνος ὅταν ἴδῃ τὰ σπέρματα φυόμενα, μετὰ πολλῆς τῆς προθυμίας περισκοπῶν τὰς ἀρούρας, ἑτοίμως καὶ ἕτερα καταβάλλειν ἐπείγεται.

5. Ἵν' οὖν προθυμοτέρους ἡμᾶς ἐργάσησθε, τῶν ἤδη ῥηθέντων ἀσφαλῆ τὴν φυλακὴν ἐπιδείξασθε, καὶ μετὰ τῶν ὀρθῶν δογμάτων περὶ τὴν τοῦ βίου ἐπιμέλειαν πολλὴν ποιήσασθε τὴν σπουδήν. «Λαμψάτω γάρ», φησί, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς»· ἵνα καὶ ὁ βίος συμφωνῇ τοῖς δόγμασι, καὶ τὰ δόγματα κηρύττῃ τὸν βίον. «Πίστις γὰρ χωρὶς ἔργων νεκρά ἐστι, καὶ ἔργα χωρὶς πίστεως νεκρά ἐστι». Κἂν γὰρ δόγματα ἔχωμεν ὑγιῆ, βίου δὲ ἀμελῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν δογμάτων· πάλιν ἂν βίου μὲν ἐπιμελώμεθα, περὶ τὰ δόγματα δὲ χωλεύωμεν, οὐδὲ οὕτως ἔσται τι κέρδος ἡμῖν. Διὸ προσήκει ἑκατέρωθεν ἡμῖν τὴν οἰκοδομὴν ταύτην τὴν πνευματικὴν συνεσφίγχθαι· «Πᾶς γάρ», φησίν, «ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ». Ὅρα πῶς οὐ μόνον ἀκούειν ἡμᾶς βούλεται, ἀλλὰ καὶ ποιεῖν, καὶ διὰ τῶν ἔργων ἐπιδείκνυσθαι τὴν ὑπακοήν, καὶ τοῦτον μὲν φρόνιμον ἐκάλεσε, τὸν τὰ ἔργα τοῖς λόγοις ἀκόλουθα ἐπιδεικνύμενον, τὸν δὲ μέχρι τῶν λόγων ἱστάμενον, μωρὸν ὠνόμασεν εἰκότως. Ὁ γὰρ τοιοῦτος, φησίν, ἐπὶ τὴν ἄμμον τὴν οἰκίαν αὐτοῦ ᾠκοδόμησε· διὸ οὐδὲ τὴν προσβολὴν τῶν ἀνέμων ἐνεγκεῖν ἠδυνήθη, ἀλλὰ ταχέως κατέπεσε. Τοιαῦται γὰρ αἱ ῥάθυμοι ψυχαί, καὶ μὴ ἐπὶ τῆς πέτρας τῆς πνευματικῆς ἐστηριγμέναι· οὐ γὰρ περὶ οἰκοδομῆς νῦν ὁ λόγος καὶ οἰκίας, ἀλλὰ περὶ ψυχῶν ἐστι τὸ εἰρημένον, τῶν καὶ ἀπὸ τοῦ τυχόντος πειρασμοῦ σάλον ὑπομενουσῶν. Τῷ γὰρ ὀνόματι τοῦ ἀνέμου, καὶ τῆς βροχῆς, καὶ τῶν ποταμῶν, τῶν πειρα-

11. Ματθ. 5, 16.
12. Ἰακ. 2, 26.
13. Ματθ. 7, 24.
14. Βλ. Ματθ. 7, 1 - 27.

ἀφθονίαν, ὅταν ἰδοῦμεν τὴν βλάστησιν ἐκείνων, ποὺ ἤδη ἐσπείραμεν. Ἐπειδὴ καὶ ὁ γεωργὸς ὅταν ἰδῇ νὰ φυτρώνουν οἱ σπόροι, ἐξετάζων μὲ πολλὴν προθυμίαν τὰ χωράφια, σπεύδει γρήγορα νὰ σπείρῃ καὶ ἄλλους σπόρους.

5. Διὰ νὰ μᾶς κάνετε λοιπὸν περισσότερον προθύμους, νὰ φυλάξετε μὲ ἀκρίβειαν τὰ λεχθέντα μέχρι τώρα καὶ μαζὶ μὲ τὰς ὀρθὰς διδασκαλίας, νὰ προσπαθήσετε πολὺ διὰ τὴν ἀρετὴν εἰς τὴν ζωήν σας. «Ἂς λάμψῃ λοιπόν, λέγει, τὸ φῶς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἰδοῦν τὰ καλά σας ἔργα, καὶ νὰ δοξάσουν τὸν Πατέρα σας, ποὺ εἶναι στοὺς οὐρανούς»[11]. Διὰ νὰ συμφωνῇ καὶ ὁ τρόπος ζωῆς μὲ τὰς διδασκαλίας τῆς πίστεως καὶ αἱ διδασκαλίαι νὰ διακηρύσσουν τὸν τρόπον ζωῆς. «Διότι ἡ πίστις χωρὶς τὰ ἔργα εἶναι νεκρά, καὶ τὰ ἔργα χωρὶς τὴν πίστιν εἶναι νεκρά»[12]. Διότι καὶ ἂν ἀκόμη πιστεύωμεν εἰς τὰ ὀρθὰ δόγματα τῆς πίστεως, ἀλλὰ δὲν φροντίζωμεν διὰ τὸν τρόπον τῆς ζωῆς μας, δὲν θὰ μᾶς ὠφελήσουν καθόλου τὰ δόγματα. Ἂν πάλιν φροντίζωμεν μὲν διὰ τὸν τρόπον τῆς ζωῆς μας, εἴμεθα ὅμως ἀτελεῖς ὡς πρὸς τὰ δόγματα, οὔτε ἔτσι θὰ ἔχωμεν κάποιο κέρδος. Διὰ τοῦτο πρέπει καὶ ἀπὸ τὰ δύο μέρη νὰ περισφίγγεται ἡ πνευματικὴ αὐτὴ οἰκοδομή. «Διότι καθένας, λέγει, ποὺ ἀκούει τὰ λόγια μου αὐτὰ καὶ τὰ ἐκτελεῖ, θὰ ἐξομοιωθῇ μὲ ἄνδρα φρόνιμον»[13]. Πρόσεχε πῶς δὲν θέλει μόνον νὰ ἀκούωμεν, ἀλλὰ καὶ νὰ ἐκτελοῦμεν καὶ νὰ ἐπιδεικνύωμεν μὲ ἔργα τὴν ὑπακοήν μας· καὶ ὠνόμασε μὲν φρόνιμον αὐτόν, ποὺ ἐπιδεικνύει ἔργα σύμφωνα μὲ τὰ λόγια, ἐκεῖνον ὅμως, ποὺ περιορίζεται μόνον εἰς τὰ λόγια, ὠνόμασεν ἀνόητον[14] καὶ εὐλόγως. Διότι αὐτός, λέγει, ἔκτισε τὸ σπίτι του ἐπάνω εἰς τὴν ἄμμον· δι' αὐτὸ οὔτε τὸ φύσημα τῶν ἀνέμων ἠμπόρεσε νὰ ἀντέξῃ, ἀλλὰ σύντομα κατέρρευσε. Τέτοιαι λοιπὸν εἶναι αἱ ἀδιάφοροι ψυχαὶ καὶ δὲν εἶναι στηριγμέναι ἐπάνω εἰς τὴν πνευματικὴν πέτραν· διότι ὁ λόγος δὲν γίνεται ἐδῶ διὰ τὴν οἰκοδομὴν καὶ τὸ σπίτι, ἀλλὰ ἀναφέρεται τὸ λεχθὲν εἰς τὰς ψυχάς, αἱ ὁποῖαι καὶ ἀπὸ τυχαῖον πειρασμὸν ὑφίστανται ταραχήν. Διότι μὲ τὸ ὄνομα τοῦ ἀνέμου, τῆς βροχῆς καὶ

σμῶν ἡμῖν τὴν ἐπαγωγὴν ἠνίξατο. Ὁ γὰρ στερρὸς καὶ ἐγρηγορὼς καὶ νήφων ταύτῃ μᾶλλον ἰσχυρότερος γίνεται· καὶ ὅσῳ τὰ τῆς θλίψεως ἐπιτείνεται, τοσούτῳ καὶ τὰ τῆς ἀνδρείας αὔξεται· ὁ δὲ ῥάθυμος καὶ ἀναπεπτωκώς, κἂν βραχεῖά τις αὔρα πειρασμοῦ προσπέσῃ, εὐθέως σαλεύεται καὶ καταπίπτει, οὐ παρὰ τὴν τῶν πειρασμῶν φύσιν, ἀλλὰ παρὰ τὴν τῆς προαιρέσεως ἀσθένειαν. Διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι, καὶ πρὸς πάντα παρεσκευασμένους εἶναι, ἵνα καὶ ἐν τῇ ἀνέσει συγκεκροτημένοι ὦμεν, καὶ ἐν ταῖς ἐπαγομέναις θλίψεσι νήφωμεν, καὶ πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα, διηνεκῶς τὴν εὐχαριστίαν ἀναπέμποντες τῷ φιλανθρώπῳ Θεῷ. Ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, πολλῆς ἀπολαυσόμεθα τῆς ἄνωθεν ῥοπῆς, καὶ οὕτω δυνησόμεθα καὶ τὸν παρόντα βίον ἀσφαλῶς διαπερᾶν, καὶ πρὸς τὴν μέλλουσαν ζωήν, πολλὴν ἑαυτοῖς προαποτίθεσθαι τὴν παρρησίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τῶν ποταμῶν, ὑπενόησε τὴν ἐπίθεσιν τῶν πειρασμῶν. Διότι ὁ σταθερὸς καὶ ὁ ἄγρυπνος καὶ ὁ νηφάλιος γίνεται ἔτσι πολὺ ἰσχυρότερος· καὶ ὅσον ἐντείνεται ἡ θλῖψις καὶ τὰ ἀκόλουθά της, τόσον αὐξάνει καὶ ἡ ἀνδρεία. Ὁ ἀδιάφορος ὅμως καὶ ὁ δειλός, καὶ ἂν ἀκόμη φυσήξῃ ἐλαχίστη αὔρα πειρασμοῦ, ἀμέσως κλονίζεται καὶ πίπτει ἐντελῶς, ὄχι ἀπὸ τὴν δύναμιν τῶν πειρασμῶν, ἀλλὰ ἀπὸ τὴν ἀδυναμίαν τῆς θελήσεώς του. Διὰ τοῦτο πρέπει νὰ εἴμεθα νηφάλιοι καὶ ἄγρυπνοι καὶ προετοιμασμένοι δι' ὅλα, ὥστε καὶ εἰς τὴν ἄνεσιν νὰ εἴμεθα καλὰ ἐξασκημένοι καὶ εἰς τὰς ἐπερχομένας θλίψεις νὰ εἴμεθα νηφάλιοι, καὶ νὰ ἐπιδείξωμεν μεγάλην εὐγνωμοσύνην, διαρκῶς ἐκφράζοντες τὴν εὐχαριστίαν μας πρὸς τὸν φιλάνθρωπον Θεόν. Ἐὰν ἔτσι ρυθμίζωμεν τὰ ἰδικά μας, θὰ ἀπολαύσωμεν κατὰ πολὺ τὴν ἐνίσχυσιν ἀπὸ τὸν Θεόν, καὶ ἔτσι θὰ ἠμπορέσωμεν νὰ ζήσωμεν μὲ ἀσφάλειαν καὶ τὴν παροῦσαν ζωὴν καὶ εἰς τὴν μέλλουσαν ἀπὸ τώρα νὰ ἐξασφαλίσωμεν διὰ τοὺς ἑαυτούς μας μεγάλην παρρησίαν· τὴν ὁποίαν εἴθε ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Γ΄
(Γεν. 1, 1-5)

Εἰς τὰ ὑπόλοιπα τοῦ, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», ἕως τοῦ, «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία».

1. Θησαυρῷ τινι προσέοικεν ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις. Καθάπερ γὰρ ἐκεῖθέν τις κἂν μικρὸν ψῆγμα λαβεῖν δυνηθείη, πολὺν ἑαυτῷ τὸν πλοῦτον ἐργάζεται· οὕτω δὴ καὶ ἐπὶ τῆς θείας Γραφῆς, καὶ ἐν βραχείᾳ λέξει πολλήν ἐστιν εὑρεῖν τῶν νοημάτων τὴν δύναμιν, καὶ ἄφατον τὸν πλοῦτον, Καὶ οὐ θησαυρὸν μόνον, ἀλλὰ καὶ πηγὴν μιμεῖται τὰ θεῖα λόγια, δαψιλῆ τὰ νάματα ἀναβλύζουσαν, καὶ πολλὴν ἔχουσαν τὴν ἐπιρροήν· καὶ τοῦτο δι' αὐτῶν τῶν ἔργων χθὲς ἅπαντες μεμαθήκαμεν. Τῶν γὰρ προοιμίων ἀρξάμενοι τοῦ τῆς κτίσεως βιβλίου εἰς τό, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», πᾶσαν τὴν διδασκαλίαν ἐτελειώσαμεν, καὶ οὐδὲ οὕτω τὸ πᾶν καταλαβεῖν ἐξισχύσαμεν. Πολλὴ γάρ ἐστι τοῦ θησαυροῦ ἡ περιουσία, καὶ τῶν ναμάτων τῆς πηγῆς ταύτης τῆς πνευματικῆς ἡ δαψίλεια. Καὶ μὴ θαυμάσῃς, εἰ ἡμεῖς τοῦτο πεπόνθαμεν· καὶ οἱ πρὸ ἡμῶν κατὰ δύναμιν τὴν ἑαυτῶν τὰ ἐντεῦθεν νάματα ἐξήντλησαν, καὶ οἱ μεθ' ἡμᾶς πάλιν τοῦτο ποιῆσαι ἐπιχειρήσουσι, καὶ οὐδὲ οὕτω κενῶσαι δυνήσονται τὸ πᾶν· ἀλλ' αὔξεται τὰ τῆς ἐπιρροῆς, καὶ ἐπιδίδωσι τὰ νάματα. Τοιαύτη γὰρ τῶν ναμάτων τῶν πνευματικῶν ἡ φύσις· ὅσῳ ἄν τις μετὰ δαψιλείας τὰ ἐντεῦθεν ἀρύσασθαι βουληθῇ νάματα, τοσούτῳ μᾶλλον ἀναβλύζει, καὶ ἐπιδίδωσιν ἡ χάρις ἡ πνευματική. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, «Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ὁ

ΟΜΙΛΙΑ Γ΄
(Γεν. 1, 1-5).

Εἰς τὰ ὑπόλοιπα τοῦ, «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», ἕως τοῦ, «Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωί, ἡμέρα πρώτη».

1. Ἡ ἀνάγνωσις τῶν ἁγίων Γραφῶν ὁμοιάζει μὲ κάποιον θησαυρόν. Διότι ὅπως ἀκριβῶς ἐὰν κανεὶς ἠμπορέση νὰ λάβη ἀπὸ ἐκεῖ ἔστω ἕνα μικρὸν τεμάχιον, φέρει εἰς τὸν ἑαυτόν του μεγάλον πλοῦτον, ἔτσι λοιπὸν καὶ εἰς τὴν περίπτωσιν τῆς Ἁγίας Γραφῆς, καὶ εἰς τὴν μικρὰν λέξιν εἶναι δυνατὸν νὰ εὕρῃ μεγάλην δύναμιν νοημάτων καὶ ἀνέκφραστον πλοῦτον. Καὶ ὄχι μόνον μὲ θησαυρόν, ἀλλὰ τὰ θεῖα λόγια παρομοιάζονται καὶ μὲ πηγήν, ἡ ὁποία ἀναβλύζει ἄφθονα ὕδατα καὶ ἔχει μεγάλην ὁρμητικότητα. Καὶ αὐτὸ ἔχομεν μάθει ὅλοι χθὲς μὲ τὰ ἴδια τὰ πράγματα. Διότι ἐνῷ ἠρχίσαμεν ἀπὸ τὴν εἰσαγωγὴν τοῦ βιβλίου τῆς δημιουργίας, ἐτελειώσαμεν ὅλην τὴν διδασκαλίαν εἰς τό, «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ οὔτε ἔτσι ἠμπορέσαμεν νὰ κατανοήσωμεν τὰ πάντα. Διότι εἶναι μεγάλη ἡ περιουσία τοῦ θησαυροῦ καὶ ἡ ἀφθονία τῶν ὑδάτων τῆς πνευματικῆς αὐτῆς πηγῆς. Καὶ μὴ παραξενεύεσαι, ἐὰν ἡμεῖς ἔχωμεν πάθει αὐτό. Καὶ οἱ ζήσαντες πρὶν ἀπὸ ἡμᾶς, ὅσον ἠμποροῦσαν, ἤντλησαν τὰ ὕδατα ἀπὸ τὴν πηγὴν αὐτήν, καὶ ἐκεῖνοι, ποὺ θὰ ζήσουν μετὰ ἀπὸ ἡμᾶς, θὰ ἐπιχειρήσουν νὰ κάμουν πάλιν αὐτό, καὶ οὔτε ἔτσι θὰ ἠμπορέσουν νὰ τὰ ἀδειάσουν ἐντελῶς· ἀλλὰ αὐξάνεται ἡ ὁρμητικότης καὶ πληθύνονται τὰ ὕδατα. Διότι τέτοια εἶναι ἡ φύσις τῶν πνευματικῶν ὑδάτων· ὅσον θὰ θελήσῃ κανεὶς νὰ ἀντλήσῃ μὲ ἀφθονίαν τὰ ὕδατα ἀπὸ ἐδῶ, τόσον περισσότερον ἀναβλύζει καὶ αὐξάνει ἡ πνευματικὴ χάρις. Δι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγεν, «Ἐὰν κάποιος διψᾷ, ἂς ἔλθῃ πρὸς ἐμὲ καὶ ἂς πίνῃ. Ἐκεῖνος, ποὺ πιστεύει

πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος»,[1] τὸ δαψιλὲς τῶν ναμάτων ἡμῖν ἐμφαίνων. Ἐπεὶ οὖν τοιαύτη τῶν ναμάτων τῶν πνευματικῶν ἡ φύσις, φέρε ἕκαστος ἡμῶν τὰ ἀγγεῖα τῆς διανοίας μετὰ δαψιλείας προσενέγκωμεν, ἵνα πληρώσαντες αὐτά, οὕτως ἐπανέλθωμεν. Ὅταν γὰρ ἴδῃ ἡ τοῦ Πνεύματος χάρις πόθον ζέοντα, καὶ διεγηγερμένην διάνοιαν, πλουσίαν τὴν παρ' ἑαυτῆς δωρεῖται χάριν. Ἀποστήσαντες τοίνυν ἑαυτοὺς πάντων τῶν βιωτικῶν, καὶ τὰς φροντίδας τῶν ἀκανθῶν δίκην συμπνίγειν δυναμένας, τὸν ἡμέτερον λογισμὸν ἐκτέμνοντες, ὅλην ἑαυτῶν τὴν διάνοιαν μεταστήσωμεν εἰς τὴν τῶν πνευματικῶν ἐπιθυμίαν, ἵνα πολλὴν ἐντεῦθεν δεξάμενοι τὴν ὠφέλειαν, καὶ κερδάναντές τι μέγα καὶ γενναῖον, οὕτως ἐξέλθωμεν. Ἀλλ' ἵνα σαφέστερος ὑμῖν ὁ λόγος γένηται, μικρὰ τῶν χθὲς εἰρημένων ὑπομνήσωμεν τὴν ὑμετέραν ἀγάπην, ἵν' οὕτω, καθάπερ σῶμα ἕν, καὶ τὰ σήμερον μέλλοντα ῥηθήσεσθαι συνάψωμεν τοῖς χθὲς εἰρημένοις. Ἐδείκνυμεν γὰρ χθές, καθάπερ μέμνησθε, πῶς ὁ μακάριος Μωϋσῆς διηγούμενος ἡμῖν τῶν στοιχείων τούτων τῶν ὁρωμένων τὴν δημιουργίαν ἔλεγεν, ὅτι «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος»· καὶ ἐδιδάσκομεν ὑμᾶς τὴν αἰτίαν τίνος ἕνεκεν καὶ διὰ τί οὕτω τὴν γῆν παρήγαγεν ἀμόρφωτον καὶ ἀδιατύπωτον, καὶ οἶμαι ὑμᾶς ἅπαντα μετὰ ἀκριβείας κατέχειν· ἀναγκαῖον οὖν σήμερον τοῖς ἀκολούθως εἰρημένοις ἐπεξελθεῖν. Ἐπειδὴ γὰρ εἶπεν, «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος», διδάσκει ἡμᾶς ἀκριβῶς, πόθεν ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, φάσκων· «Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». Σκόπει μοι ἐνταῦθα τοῦ μακαρίου προφήτου τὸ ἀπέριττον, καὶ ὅπως οὐ πάντα κατὰ μέρος διηγεῖται τὰ δημιουργηθέντα, ἀλλὰ τὰ συνεκτικώτατα

1. Ἰω. 7, 37-38.

εἰς ἐμένα, καθὼς εἶπεν ἡ Γραφή, θὰ τρέξουν ἀπὸ τὴν κοιλίαν του ποταμοὶ ὕδατος πνευματικοῦ»[1], παρουσιάζων εἰς ἡμᾶς τὴν ἀφθονίαν τῶν ὑδάτων. Ἐπειδὴ λοιπὸν τέτοια εἶναι ἡ φύσις τῶν πνευματικῶν ὑδάτων, ἐμπρὸς ἂς προσκομίσωμεν ὁ καθένας μας μὲ ἀφθονίαν τὰ δοχεῖα τῆς διανοίας, ὥστε ἀφοῦ γεμίσωμεν αὐτά, νὰ ἐπιστρέψωμεν ἔτσι εἰς τὰ σπίτια μας. Διότι ὅταν ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἰδῇ θερμὸν πόθον καὶ ἄγρυπνον διάνοιαν, χορηγεῖ πλουσίαν τὴν χάριν της. Ἀφοῦ λοιπὸν ἀπομακρύνωμεν τοὺς ἑαυτούς μας ἀπὸ ὅλα τὰ βιωτικὰ πράγματα καὶ τὰς φροντίδας, αἱ ὁποῖαι ἠμποροῦν, ὡσὰν ἀγκάθια, νὰ μᾶς συνθλίβουν, ἀποκόπτοντες τὴν ἰδικήν μας σκέψιν, ἂς μεταφέρωμεν ὅλην τὴν διάνοιάν μας εἰς τὴν ἐπιθυμίαν τῶν πνευματικῶν ἀγαθῶν, διὰ νὰ ἐξέλθωμεν ἔτσι, ἀφοῦ δεχθοῦμεν ἀπὸ ἐδῶ μεγάλην ὠφέλειαν καὶ κερδίσωμεν κάτι τὸ σημαντικὸν καὶ μέγα. Ἀλλὰ διὰ νὰ γίνῃ σαφέστερος εἰς σᾶς ὁ λόγος, ἂς ὑπενθυμίσωμεν εἰς τὴν ἀγάπην σας ὀλίγο ἀπὸ τὰ λεχθέντα χθές, ὥστε ἔτσι, ὅπως ἀκριβῶς ἕνα σῶμα, νὰ συνδέσωμεν αὐτά, ποὺ πρόκειται νὰ λεχθοῦν σήμερα, μὲ ἐκεῖνα, ποὺ ἐλέχθησαν χθές. Ἐδείξαμεν λοιπὸν χθές, ὅπως ἀκριβῶς ἐνθυμεῖσθε, πῶς ὁ μακάριος Μωυσῆς, διηγούμενος εἰς ἡμᾶς τὴν δημιουργίαν τῶν ὁρατῶν αὐτῶν στοιχείων, ἔλεγεν ὅτι «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἄμορφος»· καὶ σᾶς ἐδιδάξαμεν διὰ ποίαν αἰτίαν καὶ διὰ ποῖον σκοπὸν ἐδημιούργησεν ἔτσι τὴν γῆν χωρὶς μορφὴν καὶ σχῆμα καὶ νομίζω, ὅτι σεῖς γνωρίζετε ὅλα μὲ ἀκρίβειαν. Εἶναι ἀνάγκη λοιπὸν νὰ ἐξηγήσωμεν σήμερα τὰ λεγόμενα εἰς τὴν συνέχειαν. Ἀφοῦ λοιπὸν εἶπεν, «Ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἀσχημάτιστος», μᾶς διδάσκει μὲ ἀκρίβειαν, ἀπὸ ποίαν αἰτίαν ἦτο ἀόρατος καὶ ἀσχημάτιστος, λέγων· «Καὶ σκοτάδι ὑπῆρχεν ἐπάνω εἰς τὴν ἄβυσσον καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐφέρετο ἐπάνω εἰς τὰ ὕδατα». Ἐξέτασε, παρακαλῶ, τὴν ἁπλότητα ἐδῶ τοῦ μακαρίου προφήτου, καὶ πῶς δὲν διηγεῖται ξεχωριστὰ ὅλα τὰ δημιουργηθέντα, ἀλλὰ ἀφοῦ μᾶς ἐδίδαξε τὰ περισσότερον σημαντικὰ στοιχεῖα καὶ

τῶν στοιχείων ἡμᾶς διδάξας, καὶ οὐρανοῦ καὶ γῆς μνημονεύσας, τὰ ἄλλα παραλιμπάνει. Οὐδαμοῦ γὰρ εἰπὼν τῶν ὑδάτων τὴν δημιουργίαν, φησί· «Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». Τοῦτο γὰρ ἦν τὸ καλύπτον τῆς γῆς τὸ πρόσωπον, τὸ σκότος λέγω, καὶ ἡ ἄβυσσος τῶν ὑδάτων. Ἐμάθομεν ἐντεῦθεν, ὅτι ἅπαν τὸ ὁρώμενον ἄβυσσος ἦν ὑδάτων σκότῳ κεκαλυμμένη, καὶ ἐδεῖτο τοῦ σοφοῦ δημιουργοῦ, ὥστε πᾶσαν ταύτην τὴν ἀμορφίαν ἐξελεῖν, καὶ εἰς εὐκοσμίαν τινὰ τὰ πάντα ἀγαγεῖν. «Καὶ σκότος», φησίν, «ἐπάνω τῆς ἀβύσσου, καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». Τί βούλεται τοῦτο τὸ εἰρημένον; «Πνεῦμα», φησί, «Θεοῦ, ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». Ἐμοὶ δοκεῖ τοῦτο σημαίνειν, ὅτι ἐνέργειά τις ζωτικὴ προσῆν τοῖς ὕδασι, καὶ οὐκ ἦν ἁπλῶς ὕδωρ ἑστὼς καὶ ἀκίνητον, ἀλλὰ κινούμενον, καὶ ζωτικήν τινα δύναμιν ἔχον. Τὸ γὰρ ἀκίνητον πάντῃ ἄχρηστον· τὸ δὲ κινούμενον, πρὸς πολλὰ ἐπιτήδειον.

2. Ἵν' οὖν διδάξῃ ἡμᾶς, ὅτι τὸ ὕδωρ τοῦτο τὸ πολὺ καὶ ἀμήχανον, τινὰ δύναμιν ἔχει ζωτικήν, διὰ τοῦτό φησι· «Καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». Τοῦτο δὲ οὐχ ἁπλῶς προλαβοῦσα λέγει ἡ θεία Γραφή· ἀλλ' ἐπειδὴ προϊοῦσα μέλλει διηγεῖσθαι ἡμῖν, ὅτι καὶ ζῶα ἐκ τούτων τῶν ὑδάτων κατὰ πρόσταγμα τοῦ τῶν ἁπάντων δημιουργοῦ παρήχθη, διὰ τοῦτο ἐντεῦθεν ἤδη διδάσκει τὸν ἀκροατήν, ὅτι οὐχ ἁπλῶς ὕδωρ ἦν συνεστός, ἀλλὰ κινούμενον, καὶ διατρέχον, καὶ τὰ πάντα ἐπικλύζον. Ἐπεὶ οὖν πολλὴ κατεκέχυτο παντὸς τοῦ ὁρωμένου ἡ ἀμορφία, προσέταξεν ἀριστοτέχνης Θεός, καὶ τὰ τῆς ἀμορφίας διεσκεδάσθη, καὶ τὸ κάλλος τοῦτο τὸ ἀμήχανον τοῦ φωτὸς τοῦ ὁρωμένου παραχθέν, τό τε σκότος ἀπήλασε τὸ αἰσθητόν, καὶ τὰ πάντα κατηύγασε. «Καὶ εἶπε», φησίν, «ὁ Θεός, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς». Εἶπε, καὶ ἐγένετο· ἐκέλευσε, καὶ τὸ μὲν σκότος ἐφυγαδεύθη, τὸ δὲ φῶς παρήχθη. Εἶδες δύναμιν ἄφατον; Ἀλλ' οἱ τῇ πλάνῃ προ-

ἀνέφερε τὸν οὐρανὸν καὶ τὴν γῆν, παραλείπει τὰ ἄλλα. Διότι ἐνῶ δὲν εἶπε πουθενὰ διὰ τὴν δημιουργίαν τῶν ὑδάτων, λέγει· «Καὶ σκοτάδι ὑπῆρχεν ἐπάνω εἰς τὴν ἄβυσσον, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐφέρετο ἐπάνω εἰς τὰ ὕδατα». Αὐτὸ βεβαίως ἐσκέπαζε τὴν ἐπιφάνειαν τῆς γῆς, δηλαδὴ τὸ σκοτάδι καὶ ἡ ἄβυσσος τῶν ὑδάτων. Ἀπὸ ἐδῶ ἐμάθαμεν, ὅτι κάθε τι τὸ ὁρατὸν ἦτο ἄβυσσος ὑδάτων, ἡ ὁποία ἐσκεπάζετο ἀπὸ σκοτάδι, καὶ ἐχρειάζετο τὸν πάνσοφον δημιουργόν, διὰ νὰ ἀφαιρέσῃ ὅλην αὐτὴν τὴν ἀμορφίαν καὶ νὰ φέρῃ τὰ πάντα εἰς κάποιαν τάξιν. /«Καὶ σκοτάδι ὑπῆρχε, λέγει, ἐπάνω εἰς τὴν ἄβυσσον καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐφέρετο ἐπάνω εἰς τὰ ὕδατα». Τί θέλουν νὰ εἰποῦν αὐτὰ τὰ λόγια; «Τὸ Πνεῦμα τοῦ Θεοῦ, λέγει, ἐφέρετο ἐπάνω εἰς τὰ ὕδατα». Μοῦ φαίνεται, ὅτι αὐτὸ σημαίνει, ὅτι εἰς τὰ ὕδατα ὑπῆρχεν ἐπὶ πλέον κάποια ζωτικὴ ἐνέργεια καὶ δὲν ἦσαν ἁπλῶς ὕδατα στάσιμα καὶ ἀκίνητα, ἀλλὰ κινούμενα καὶ ἔχοντα κάποιαν ζωτικὴν δύναμιν. Διότι τὸ ἀκίνητον εἶναι παντελῶς ἄχρηστον, τὸ κινούμενον ὅμως εἶναι ἱκανὸν διὰ πολλὰ πράγματα.

2. Διὰ νὰ μᾶς διδάξῃ λοιπόν, ὅτι τὸ ὕδωρ αὐτό, τὸ πολὺ καὶ ἀπερίγραπτον, ἔχει κάποιαν ζωτικὴν δύναμιν, δι' αὐτὸ λέγει· «Καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐφέρετο ἐπάνω εἰς τὰ ὕδατα».| Καὶ αὐτὸ δὲν τὸ λέγει τυχαῖα εἰς τὴν ἀρχὴν ἡ Ἁγία Γραφή· ἀλλὰ ἐπειδὴ προχωροῦσα πρόκειται νὰ μᾶς διηγηθῇ, ὅτι ἀπὸ τὰ ὕδατα αὐτὰ καὶ ζῶα ἐδημιουργήθησαν κατὰ τὴν προσταγὴν τοῦ δημιουργοῦ τοῦ σύμπαντος, δι' αὐτὸ ἀπὸ ἐδῶ ἤδη διδάσκει τὸν ἀκροατήν, ὅτι δὲν ἦτο ἁπλῶς ὕδωρ στάσιμον, ἀλλὰ κινούμενον καὶ ἔρρεε παντοῦ καὶ κατέκλυζε τὰ πάντα. Ἐπειδὴ λοιπὸν εἶχεν ἁπλωθῆ παντοῦ ἡ ἀμορφία ὅλων τῶν ὁρατῶν, ἐπρόσταξεν ὁ ἄριστος τεχνίτης, ὁ Θεός, καὶ διελύθη ἡ ἀμορφία καὶ τὸ κάλλος αὐτὸ τὸ ἔκτακτον τοῦ ὁρατοῦ φωτὸς ἀφοῦ ἐδημιουργήθη, καὶ τὸ αἰσθητὸν σκοτάδι ἀπεμάκρυνε καὶ τὰ πάντα ἐγέμισε φῶς. «Καὶ εἶπε, λέγει, ὁ Θεός, νὰ γίνῃ φῶς, καὶ ἔγινε φῶς». Εἶπε, καὶ ἔγινε· διέταξε, καὶ τὸ μὲν σκοτάδι διελύθη, τὸ δὲ φῶς παρήχθη. Εἶδες ἀνέκφραστον δύναμιν; Ἀλλὰ

κατειλημμένοι οὐ προσέχοντες τῇ ἀκολουθίᾳ τῶν εἰρημένων, οὐδὲ ἀκούοντες τοῦ μακαρίου Μωϋσέως λέγοντος· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· καὶ τότε ἐπάγοντος· «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος», διὰ τὸ σκότῳ καὶ τοῖς ὕδασι κεκαλύφθαι· οὕτω γὰρ ἔδοξε τῷ Δεσπότῃ ἐξ ἀρχῆς αὐτὴν παραγαγεῖν· φασὶν ὅτι προϋπέκειτο ἡ ὕλη, καὶ τὸ σκότος προϋπῆρχε. Τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; Ἀκούεις ὅτι «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο τὰ ὄντα, καὶ λέγεις ὅτι προϋπῆρχεν ἡ ὕλη; Καὶ τίς ἀνάσχοιτο τοσαύτης παροινίας τῶν νοῦν ἐχόντων; Μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ δημιουργῶν, ἵνα δεηθῇ τινος ὑποκειμένου, καὶ οὕτω τὰ τῆς τέχνης ἐπιδείξηται; Θεός ἐστιν, ᾧ πάντα εἴκει, λόγῳ καὶ προστάγματι δημιουργῶν. Ὅρα γάρ, εἶπε μόνον, καὶ παρήχθη τὸ φῶς, καὶ παρεχώρησε τὸ σκότος. «Καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους». Τί ἐστι «Διεχώρισεν»; Ἑκάστῳ ἰδίαν χώραν ἀπένειμε, κατάλληλον καιρὸν ἀφώρισε. Καὶ ἐπειδὴ τοῦτο γέγονε, τότε λοιπὸν ἑκάστῳ τὴν ἁρμόζουσαν προσηγορίαν ἐπιτίθησιν. «Ἐκάλεσε γάρ», φησίν, «ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα». Εἶδες διαίρεσιν ἀρίστην, καὶ δημιουργίαν θαυμαστήν, καὶ πάντα λόγον ὑπερβαίνουσαν, λόγῳ μόνῳ καὶ ἐπιτάγματι γινομένην; Εἶδες πόσῃ τῇ συγκαταβάσει ὁ μακάριος οὗτος προφήτης ἐχρήσατο, μᾶλλον δὲ ὁ φιλάνθρωπος Θεὸς διὰ τῆς τοῦ προφήτου γλώττης παιδεύων τὸ τῶν ἀνθρώπων γένος, εἰδέναι τῶν γινομένων τὴν τάξιν, καὶ τίς ὁ τοῦ παντὸς δημιουργός, καὶ ὅπως ἕκαστον παρήχθη. Ἐπειδὴ γὰρ ἔτι ἀτελέστερον διέκειτο τὸ τῶν ἀνθρώπων γένος, καὶ οὐκ ἠδύνατο τῶν τελειοτέρων συνιέναι τὴν κατανόησιν, διὰ τοῦτο πρὸς τὴν τῶν ἀκουόντων ἀσθένειαν τὸ Πνεῦμα

οἱ προκατειλημμένοι ἀπὸ τὴν πλάνην χωρὶς νὰ προσέχουν τὴν συνέχειαν τῶν λεχθέντων, οὔτε νὰ ἀκούουν τὸν μακάριον Μωυσῆ, ποὺ λέγει· «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· καὶ ὕστερα ἐπρόσθεσεν· «Ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἀσχημάτιστος», ἐπειδὴ εἶχε σκεπασθῆ ἀπὸ τὸ σκοτάδι καὶ τὰ ὕδατα, διότι ἔτσι ἐφάνη καλὸν εἰς τὸν Θεὸν νὰ κατασκευάσῃ αὐτὴν ἀπὸ τὴν ἀρχήν, ἰσχυρίζονται ὅτι προϋπῆρχε καὶ ἡ ὕλη καὶ τὸ σκοτάδι. Τί θὰ ἠμποροῦσε νὰ γίνῃ χειρότερον ἀπὸ τὴν ἀνοησίαν αὐτήν; Ἀκούεις ὅτι «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ ὅτι ἀπὸ τὸ μηδὲν ἐδημιουργήθησαν τὰ ὄντα, καὶ λέγεις ὅτι προϋπῆρχεν ἡ ὕλη; Καὶ ποῖος ἀπὸ τοὺς ἔχοντας νοῦν θὰ ἠμποροῦσε νὰ ἀνεχθῇ τόσον μεγάλην παραφροσύνην; Μήπως λοιπὸν ὁ ἄνθρωπος εἶναι ὁ δημιουργός, διὰ νὰ χρειασθῇ κάποιαν οὐσίαν ὡς βάσιν καὶ ἔτσι νὰ ἐπιδείξῃ τὰ ἔργα τῆς τέχνης του; Ὁ Θεὸς εἶναι, εἰς τὸν ὁποῖον τὰ πάντα ὑπακούουν, ποὺ δημιουργεῖ μὲ τὸν λόγον καὶ τὴν προσταγήν. Διότι πρόσεχε, εἶπε μόνον, καὶ ἔγινε τὸ φῶς, καὶ ὑπεχώρησε τὸ σκοτάδι. «Καὶ διεχώρισεν ὁ Θεὸς τὸ φῶς ἀπὸ τὸ σκοτάδι». Τί σημαίνει, «Διεχώρισεν»; Εἰς τὸν καθένα ἔδωσεν ἰδιαίτερον τόπον, προσδιώρισε τὸν κατάλληλον χρόνον. Καὶ ὅταν εἶχε γίνει αὐτό, τότε ἔδωσεν εἰς τὸ καθένα τὴν κατάλληλον ὀνομασίαν. «Ὠνόμασε, λέγει, ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκοτάδι ὠνόμασε νύκτα». Εἶδες ἀρίστην διάκρισιν καὶ θαυμαστὴν δημιουργίαν, ἡ ὁποία ὑπερβαίνει κάθε λογικὴν καὶ ἡ ὁποία ἔγινε μόνον μὲ τὸν λόγον καὶ τὴν προσταγήν; Εἶδες πόσην συγκατάβασιν ἐχρησιμοποίησεν ὁ μακάριος αὐτὸς προφήτης, μᾶλλον δὲ ὁ φιλάνθρωπος Θεὸς διὰ μέσου τῆς γλώσσης τοῦ προφήτου διδάσκων τὸ ἀνθρώπινον γένος, νὰ γνωρίζῃ τὴν τάξιν τῶν δημιουργημάτων, καὶ ποῖος εἶναι ὁ δημιουργὸς τοῦ σύμπαντος καὶ πῶς ἐδημιουργήθη τὸ καθένα; Ἐπειδὴ λοιπὸν τὸ ἀνθρώπινον γένος ἦτο ἀκόμη ἀτελέστερον καὶ δὲν ἠμποροῦσε νὰ κατανοήσῃ τὰ τελειότερα, δι' αὐτὸ τὸ Ἅγιον Πνεῦμα ἀφοῦ ἐκίνησε τὴν γλῶσσαν τοῦ προφήτου σύμφωνα μὲ τὴν

τὸ ἅγιον τὴν τοῦ προφήτου γλῶτταν κινῆσαν οὕτως ἅπαντα ἡμῖν διαλέγεται. Καὶ ἵνα μάθῃς ὅτι διὰ τὸ ἀτελὲς τῆς ἡμετέρας διανοίας ταύτῃ ἐχρήσατο τῇ συγκαταβάσει τῆς διηγήσεως, ὅρα τὸν τῆς βροντῆς υἱόν, ὅτε πρὸς ἀρετὴν ἐπέδωκε τὸ τῶν ἀνθρώπων γένος, οὐκέτι ταύτην ἐρχόμενον τὴν ὁδόν, ἀλλ' ἐπὶ τὴν ὑψηλοτέραν διδασκαλίαν ἄγοντα τοὺς ἀκροωμένους. Εἰπὼν γάρ, «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος», ἐπήγαγεν· «Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον». Καθάπερ γὰρ ἐνταῦθα τὸ φῶς τοῦτο τὸ αἰσθητόν, τῷ προστάγματι τοῦ Δεσπότου παραχθέν, τὸ σκότος τοῦτο τὸ ὁρώμενον ἀπέκρυψεν, οὕτω καὶ τὸ νοητὸν φῶς τῆς πλάνης τὸ σκότος ἀπήλασε, καὶ πρὸς τὴν ἀλήθειαν τοὺς πλανωμένους ἐχειραγώγησε.

3. Δεξώμεθα οὖν μετὰ πολλῆς τῆς εὐγνωμοσύνης τὰ παρὰ τῆς θείας Γραφῆς διδάγματα, καὶ μὴ ἀντιβλέπωμεν τῇ ἀληθείᾳ, μηδὲ τῷ σκότει παραμένωμεν, ἀλλὰ πρὸς τὸ φῶς ἐπειγώμεθα, καὶ ἄξια τοῦ φωτὸς καὶ τῆς ἡμέρας διαπραττώμεθα ἔργα, καθάπερ καὶ Παῦλος παραινεῖ λέγων· Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, καὶ μὴ ἐργαζώμεθα τὰ ἔργα τοῦ σκότους». «Καὶ ἐκάλεσε», φησίν, «ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα». Ἀλλ' ὃ μικροῦ ἡμᾶς παρέδραμεν, ἀναγκαῖον τοῦτο ἐπαναλαβεῖν πάλιν. Ἐπειδὴ γὰρ εἶπε, «γενηθήτω φῶς, καὶ ἐγένετο φῶς», ἐπήγαγε· «Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν». Θέα μοι, ἀγαπητέ, ἐνταῦθα, πόση ἡ συγκατάβασις τῶν ῥημάτων. Τί οὖν, πρὶν ἢ γενέσθαι οὐκ ᾔδει, ὅτι καλόν, ἀλλὰ μετὰ τὸ παραχθῆναι ἡ ὄψις ἔδειξε τῷ δημιουργῷ τὸ κάλλος τοῦ παραχθέντος. Καὶ τίς ἂν εἴποι τοῦτο τῶν νοῦν ἐχόντων; Εἰ γὰρ ἄνθρωπος τέχνῃ τινὶ ἐργαζόμενος, καὶ πρὶν ἢ κατασκευάσῃ τὸ ὑπ' αὐτοῦ δημιουργούμενον, καὶ πρὶν ἢ μορφώσῃ, οἶδε τὴν χρείαν, εἰς ἣν

2. Ἰω. 1, 1. 9.
3. Ρωμ. 13, 13.

ἀδυναμίαν τῶν ἀκροατῶν, μᾶς διηγεῖται τὰ πάντα κατ' αὐτὸν τὸν τρόπον. Καὶ διὰ νὰ μάθης, ὅτι ἐξ αἰτίας τῆς ἀτελείας τῆς ἰδικῆς μας διανοίας ἐχρησιμοποίησεν αὐτὴν τὴν συγκατάβασιν τῆς διηγήσεως, πρόσεχε τὸν υἱὸν τῆς βροντῆς, ὁ ὁποῖος ὅταν τὸ ἀνθρώπινον γένος προώδευσεν εἰς τὴν ἀρετήν, δὲν μετεχειρίζετο πλέον αὐτὸν τὸν τρόπον, ἀλλὰ ὡδηγοῦσε τοὺς ἀκροατάς του εἰς τὴν ὑψηλοτέραν διδασκαλίαν. Διότι ἀφοῦ εἶπεν, «Εἰς τὴν ἀρχὴν ὑπῆρχεν ὁ Λόγος, καὶ ὁ Λόγος ἦτο ἀχώριστος ἀπὸ τὸν Θεὸν καὶ Θεὸς ἦτο ὁ Λόγος», ἐπρόσθεσεν· «Ἦτο τὸ φῶς τὸ ἀληθινόν, ποὺ φωτίζει κάθε ἄνθρωπον, ὁ ὁποῖος ἔρχεται εἰς τὸν κόσμον»[2]. Διότι ὅπως ἀκριβῶς ἐδῶ τὸ αἰσθητὸν αὐτὸ φῶς, ἀφοῦ ἐδημιουργήθη μὲ τὴν προσταγὴν τοῦ Θεοῦ, ἀπέκρυψε τὸ ὁρατὸν αὐτὸ σκοτάδι· ἔτσι καὶ τὸ πνευματικὸν φῶς ἀπεμάκρυνε τὸ σκοτάδι τῆς πλάνης καὶ ὡδήγησε τοὺς εὑρισκομένους εἰς πλάνην πρὸς τὴν ἀλήθειαν.

3. Ἂς δεχθοῦμεν λοιπὸν μὲ πολλὴν εὐγνωμοσύνην τὰ διδάγματα ἀπὸ τὴν Ἁγίαν Γραφὴν καὶ ἂς μὴ παραβλέπωμεν τὴν ἀλήθειαν, οὔτε νὰ παραμένωμεν εἰς τὸ σκοτάδι, ἀλλὰ ἂς σπεύδωμεν πρὸς τὸ φῶς καὶ ἂς πράττωμεν ἔργα ἄξια τοῦ φωτὸς καὶ τῆς ἡμέρας, ὅπως καὶ ὁ Παῦλος συμβουλεύει λέγων· «Ἂς συμπεριφερθῶμεν μὲ εὐπρέπειαν ὡσὰν νὰ εἶναι ἡμέρα, καὶ ἂς μὴ πράττωμεν τὰ ἔργα ποὺ γίνονται εἰς τὸ σκοτάδι»[3]. «Καὶ ὠνόμασεν ὁ Θεός, λέγει ἡ Γραφή, τὸ φῶς ἡμέραν καὶ τὸ σκοτάδι ὠνόμασε νύκτα». Ἀλλὰ ἐκεῖνο ποὺ μᾶς διέφυγεν ὀλίγον, εἶναι ἀνάγκη νὰ ἐπαναλάβωμεν πάλιν. Ἀφοῦ λοιπὸν εἶπε, «Νὰ γίνῃ φῶς, καὶ ἔγινε φῶς», ἐπρόσθεσε· «Καὶ εἶδεν ὁ Θεός, ὅτι τὸ φῶς ἦτο καλόν». Πρόσεχε, ἀγαπητέ, ἐδῶ, πόση εἶναι ἡ συγκατάβασις τῶν λόγων. Τί λοιπόν, προτοῦ ἀκόμη νὰ γίνῃ δὲν ἐγνώριζεν, ὅτι ἦτο καλόν, ἀλλὰ μετὰ τὴν δημιουργίαν τὸ θέαμα ἔδειξεν εἰς τὸν δημιουργὸν τὴν ὀμορφιὰν τοῦ δημιουργηθέντος; Καὶ ποῖος θὰ ἠμποροῦσεν ἀπὸ τοὺς ἔχοντας νοῦν νὰ εἰπῇ αὐτό; Διότι ἐὰν ὁ ἄνθρωπος, ποὺ ἔχει κάποιαν τέχνην, καὶ προτοῦ ἀκόμη κατασκευάσῃ τὸ δημιούργημά του, καὶ προτοῦ νὰ τὸ δώσῃ σχῆμα, γνωρίζει τὴν

συντελεῖ τὸ ὑπ' αὐτοῦ γινόμενον, πολλῷ μᾶλλον ὁ τῶν ἁπάντων δημιουργός, ὁ λόγῳ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, ᾔδει καὶ πρὸ τοῦ δημιουργηθῆναι τὸ φῶς, ὅτι καλόν. Τίνος οὖν ἕνεκεν ταύτῃ τῇ λέξει ἐχρήσατο; Πρὸς τὴν συνήθειαν τὴν ἀνθρωπίνην συγκαταβαίνων φθέγγεται ὁ μακάριος οὗτος προφήτης. Καὶ καθάπερ οἱ ἄνθρωποι, ἐπειδὰν τι μετὰ πολλῆς τῆς ἐπιμελείας ἐργάσωνται, καὶ τέλος ἐπιθῶσι τοῖς οἰκείοις καμάτοις, τότε ἐκ τῆς δοκιμασίας καὶ τὸν ἔπαινον προσάγουσι τοῖς ὑπ' αὐτῶν γινομένοις, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ θεία Γραφή, νῦν συγκατιοῦσα τῇ ἀσθενείᾳ τῆς ἀκοῆς τῆς ἡμετέρας, φησί· «Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν», καὶ τότε ἐπήγαγε· «Καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα», καὶ ἰδίαν τινὰ χώραν ἀπένειμεν ἑκάστῳ, ὅρους τινὰς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἑκάστῳ πηγνύς, ὥστε εἰς τὸ διηνεκὲς τούτους ἀπαραποδίστους διαφυλάττειν. Καὶ τοῦτο ἔξεστι συνιδεῖν ἑκάστῳ τῶν εὖ φρονούντων, πῶς ἐξ ἐκείνου μέχρι τοῦ παρόντος οὔτε τὸ φῶς ὑπερέβη τοὺς οἰκείους ὅρους, οὔτε τὸ σκότος τὴν οἰκείαν τάξιν παρῆλθε, σύγχυσίν τινα καὶ ἀταξίαν ἐργασάμενον. Καὶ γὰρ ἱκανὸν καὶ τοῦτο μόνον τοῖς ἀγνωμονεῖν βουλομένοις πρὸς τὴν πειθὼ καὶ τὴν ὑπακοὴν τῶν παρὰ τῆς θείας Γραφῆς λεγομένων ἀναγαγεῖν, ὥστε μιμήσασθαι κἂν τῶν στοιχείων τὴν τάξιν, τῶν ἀπαραποδίστον τηρούντων τὸν δρόμον, καὶ μὴ ὑπερβαίνειν τὰ οἰκεῖα μέτρα, ἀλλ' ἐπιγινώσκειν τὴν οἰκείαν φύσιν. Εἶτα ἐπειδὴ ἑκάστῳ τὴν προσηγορίαν ἐπέθηκεν, ἀμφότερα εἰς τὸ αὐτὸ συναγαγών, φησι· «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία». Τὸ τέλος τῆς ἡμέρας καὶ τὸ τέλος τῆς νυκτὸς μίαν ἐμφαίνων ὠνόμασεν, ἵνα τάξιν τινὰ καὶ ἀκολουθίαν ἐπιστήσῃ τοῖς ὁρωμένοις, καὶ μηδεμία σύγχυσις ᾖ. Ἀλλ' εἰδέναι

ἀνάγκην, τὴν ὁποίαν ἐξυπηρετεῖ τὸ γινόμενον ἀπὸ αὐτόν, πολὺ περισσότερον ὁ δημιουργὸς τῶν πάντων, ὁ ὁποῖος ἔφερε μὲ τὸν λόγον του τὰ πάντα ἀπὸ τὸ μηδὲν εἰς τὴν ὕπαρξιν, ἐγνώριζε καὶ προτοῦ νὰ δημιουργηθῇ τὸ φῶς, ὅτι ἦτο καλόν. Διὰ ποῖον λοιπὸν λόγον ἐχρησιμοποίησεν αὐτὴν τὴν λέξιν; Ὁ μακάριος αὐτὸς προφήτης ὁμιλεῖ συγκαταβαίνων εἰς τὴν ἀνθρωπίνην συνήθειαν. Καὶ ὅπως ἀκριβῶς οἱ ἄνθρωποι, ὅταν πράξουν κάτι μὲ πολλὴν ἐπιμέλειαν καὶ θέσουν τέλος εἰς τὰς προσπαθείας των, τότε ἀπὸ τὴν ἐξέτασιν παρέχουν καὶ τὸν ἔπαινον εἰς τὰ δημιουργήματά των· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ἡ Ἁγία Γραφή, συγκαταβαίνουσα τώρα εἰς τὴν ἀδυναμίαν τῆς αἰσθήσεώς μας, λέγει· «Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι ἦτο καλόν», καὶ ὕστερα ἐπρόσθεσε· «Καὶ διεχώρισεν ὁ Θεὸς τὸ φῶς ἀπὸ τὸ σκοτάδι καὶ ὠνόμασεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκοτάδι ὠνόμασε νύκτα», καὶ ἔδωσεν εἰς τὸ καθένα κάποιαν ἰδιαιτέραν θέσιν, ὁρίζων ἀμέσως ἀπὸ τὴν ἀρχὴν εἰς τὸ καθένα κάποια χρονικὰ ὅρια, ὥστε νὰ διαφυλάσσουν αὐτὰ ἀπαραβίαστα διὰ παντός. Καὶ αὐτὸ εἶναι δυνατὸν νὰ τὸ ἀντιληφθῇ καθένας ἀπὸ τοὺς σκεπτομένους ὀρθῶς, πῶς ἀπὸ τότε μέχρι σήμερα οὔτε τὸ φῶς ὑπερέβη τὰ ἰδικά του ὅρια, οὔτε τὸ σκοτάδι παρέβη τὴν ἰδικήν του τάξιν, διὰ νὰ προκαλέσῃ κάποιαν σύγχυσιν καὶ ἀταξίαν. Καὶ πράγματι αὐτὸ μόνον εἶναι ἀρκετὸν νὰ ὁδηγήσῃ ἐκείνους, ποὺ θέλουν νὰ φέρωνται ἀγνωμόνως, πρὸς τὴν πίστιν καὶ τὴν ὑπακοὴν τῶν λεγομένων ἀπὸ τὴν Ἁγίαν Γραφήν, διὰ νὰ μιμηθοῦν τουλάχιστον τὴν τάξιν τῶν στοιχείων τῆς φύσεως, τὰ ὁποῖα τηροῦν ἀπαρέγκλιτον τὴν πορείαν των, καὶ νὰ μὴ ὑπερβαίνουν τὰ ἰδικά των μέτρα, ἀλλὰ νὰ γνωρίζουν καλὰ τὴν φύσιν των. Ἔπειτα, ἀφοῦ ἔδωσεν εἰς τὸ καθένα τὴν ὀνομασίαν καὶ συνένωσε καὶ τὰ δύο εἰς τὸ ἴδιον σημεῖον, λέγει· «Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωί, ἡμέρα πρώτη». Τὸ τέλος τῆς ἡμέρας καὶ τὸ τέλος τῆς νυκτὸς ὥρισε νὰ δεικνύῃ μίαν ἡμέραν, διὰ νὰ θέσῃ κάποιαν τάξιν καὶ συνέπειαν εἰς τὰ πράγματα καὶ νὰ μὴ ὑπάρχῃ καμμία σύγχυσις. Ἀλλὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν διδα-

ἔχομεν διδασκόμενοι παρὰ τοῦ Πνεύματος τοῦ ἁγίου, διὰ τῆς τοῦ μακαρίου τούτου προφήτου γλώττης, τίνα μὲν κατὰ τὴν πρώτην ἐδημιουργήθη ἡμέραν, τίνα δὲ ἐν ταῖς ἄλλαις. Καὶ τοῦτο δὲ αὐτὸ τῆς τοῦ φιλανθρώπου Θεοῦ ἐστι συγκαταβάσεως. Οὐ γὰρ ἠπόρει ἡ παντοδύναμος αὐτοῦ χείρ, καὶ ἡ ἄπειρος σοφία, καὶ ἐν μιᾷ ἡμέρᾳ τὰ πάντα παραγαγεῖν. Τί δὲ λέγω, ἐν μιᾷ ἡμέρᾳ; Καὶ ἐν ἀκαριαίᾳ ῥοπῇ. Ἀλλ' ἐπειδὴ οὐ διὰ τὴν ἑαυτοῦ χρείαν παρήγαγέ τι τῶν ὄντων· οὐδενὸς γὰρ δεῖται ἀνενδεὴς ὤν, ἀλλὰ φιλανθρωπίᾳ τινὶ καὶ ἀγαθότητι τὰ πάντα ἐτεκτήνατο· διὰ τοῦτο κατὰ μέρος δημιουργεῖ, καὶ διδασκαλίαν ἡμῖν σαφῆ τῶν γινομένων παραδίδωσι διὰ τῆς τοῦ μακαρίου προφήτου γλώττης, ἵνα μαθόντες ἀκριβῶς μὴ προσπταίωμεν τοῖς ἐξ ἀνθρωπίνων λογισμῶν κινουμένοις. Εἰ γάρ, καὶ τούτων οὕτω γεγενημένων, εἰσί τινες οἱ αὐτόματα λέγοντες γεγενῆσθαι πάντα τὰ ὄντα, εἰ μὴ τοσαύτῃ ἐχρήσατο τῇ συγκαταβάσει καὶ διδασκαλίᾳ, τί οὐκ ἂν ἐτόλμησαν οἱ κατὰ τῆς ἑαυτῶν σωτηρίας ἅπαντα καὶ λέγειν καὶ πράττειν σπουδάζοντες;

4. Τί γὰρ ἂν εἴη ἀθλιώτερον καὶ ἀνοητότερον τῶν ταῦτα λέγειν ἐπιχειρούντων, καὶ αὐτόματα φασκόντων γεγενῆσθαι τὰ ὄντα, καὶ τῆς τοῦ Θεοῦ προνοίας ἀποστερούντων τὴν πᾶσαν δημιουργίαν; Πῶς γὰρ ἂν ἔχοι λόγον, εἰπέ μοι, τὰ τοσαῦτα στοιχεῖα καὶ τὴν τοσαύτην διακόσμησιν ἄνευ τινὸς τοῦ κυβερνῶντος καὶ τὰ πάντα κρατοῦντος ἡνιοχεῖσθαι; Καὶ ναῦς μὲν οὐκ ἄν ποτε δυνηθείη κυβερνήτου χωρὶς τὰ τῆς θαλάττης κύματα διαδραμεῖν, οὐδὲ στρατιώτης ἐργάζεσθαί τι γενναῖον μὴ τοῦ στρατηγοῦντος ἐφεστῶτος, οὐδὲ οἰκία συνεστάναι μὴ τοῦ ταύτην οἰκονομοῦντος παρόντος· ὁ δὲ ἄπειρος οὗτος κόσμος, καὶ ἡ τῶν στοιχείων τούτων διακόσμησις ἁπλῶς καὶ ὡς ἔτυχε φέρεσθαι ἠδύνατο, μή τινος ὄντος τοῦ ἡνιοχεῖν τὰ πάντα δυναμένου, καὶ κατὰ τὴν οἰκείαν σο-

σκόμενοι ἀπὸ τὸ Ἅγιον Πνεῦμα, μὲ τὴν γλῶσσαν τοῦ μακαρίου αὐτοῦ προφήτου, ποῖα ἐδημιουργήθησαν κατὰ τὴν πρώτην μέραν καὶ ποῖα εἰς τὰς ἄλλας. Καὶ αὐτὸ δὲ εἶναι γνώρισμα τῆς συγκαταβάσεως τοῦ φιλανθρώπου Θεοῦ. Διότι δὲν εὑρίσκετο εἰς ἀμηχανίαν τὸ παντοδύναμιν χέρι του καὶ ἡ ἄπειρος σοφία νὰ δημιουργήσῃ τὰ πάντα μέσα εἰς μίαν ἡμέραν. Καὶ διατί λέγω, μέσα εἰς μίαν ἡμέραν; Καὶ μέσα εἰς μίαν στιγμὴν μόνον ἠμπορεῖ. Ἐπειδὴ ὅμως δὲν ἐδημιούργησε τίποτε ἀπὸ τὰ ὄντα διὰ τὴν ἰδικήν του ἀνάγκην, διότι δὲν χρειάζεται τίποτε καθόσον εἶναι ἀνενδεής, ἀλλὰ κατεσκεύασε τὰ πάντα ἀπὸ φιλανθρωπίαν καὶ ἀγαθότητα· δι' αὐτὸ δημιουργεῖ τμηματικὰ καὶ μᾶς παραδίδει σαφῆ διδασκαλίαν τῶν ἔργων μὲ τὴν γλῶσσαν τοῦ μακαρίου προφήτου, ὥστε ἀφοῦ μάθωμεν μὲ ἀκρίβειαν νὰ μὴ συγκρουώμεθα μὲ ἐκείνους, οἱ ὁποῖοι κινοῦνται ἀπὸ ἀνθρωπίνας σκέψεις. Ἐὰν λοιπόν, ἀφοῦ ἔτσι ἔχουν δημιοργηθῆ αὐτά, ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι ἰσχυρίζονται ὅτι ὅλα τὰ ὄντα ἔχουν γίνει μόνα των, ἐὰν δὲν ἐχρησιμοποιοῦσε τόσην συγκατάβασιν καὶ διδασκαλίαν, τί δὲν θὰ ἐτολμοῦσαν ἐκεῖνοι, ποὺ προσπαθοῦν νὰ λέγουν καὶ νὰ κάνουν τὰ πάντα ἐναντίον τῆς ἰδικῆς των σωτηρίας;

4. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ εἶναι περισσότερον ἄθλιον καὶ ἀνόητον ἀπὸ ἐκείνους, ποὺ ἐπιχειροῦν νὰ λέγουν αὐτὰ καὶ ἰσχυρίζονται, ὅτι τὰ ὄντα ἔχουν γίνει μόνα των καὶ στεροῦν ὅλην τὴν δημιουργίαν ἀπὸ τὴν πρόνοιαν τοῦ Θεοῦ; Διότι πῶς θὰ ἠμποροῦσε νὰ εἶναι λογικόν, εἰπέ μου, τὰ τόσον πολλὰ στοιχεῖα καὶ ἡ τόσον ἁρμονικὴ διάταξις τοῦ σύμπαντος νὰ διευθύνωνται χωρὶς κάποιον, ποὺ νὰ τὰ κυβερνᾷ καὶ νὰ ἐξουσιάζῃ τὰ πάντα; Καὶ ἕνα πλοῖον μὲν δὲν θὰ ἠμπορέσῃ ποτὲ χωρὶς κυβερνήτην νὰ διασχίσῃ τὰ κύματα τῆς θαλάσσης, οὔτε ὁ στρατιώτης νὰ πράξῃ κάτι ἡρωϊκὸν χωρὶς νὰ προΐσταται ὁ στρατηγός, οὔτε σπίτι νὰ στερεοποιηθῇ χωρὶς νὰ εἶναι παρὼν ὁ κτίστης· ὁ δὲ ἄπειρος αὐτὸς κόσμος καὶ ἡ ἁρμονικὴ διάταξις τῶν στοιχείων αὐτῶν ἠμποροῦσε νὰ κινῆται ἁπλᾶ καὶ τυχαῖα, χωρὶς νὰ ὑπάρχῃ κάποιος, ὁ ὁποῖος ἠμποροῦσε νὰ διευθύνῃ τὰ πάν-

φίαν συνέχοντος καὶ διαβαστάζοντος ἅπαντα τὰ δρώμενα; Ἀλλὰ τί περαιτέρω φιλονεικοῦμεν ταῦτα δεικνύειν ἐκείνοις, ἅ, κατὰ τὴν παροιμίαν, καὶ τυφλοῖς δῆλα καθέστηκεν; Ὅμως μὴ διαλιμπάνωμεν προτιθέντες αὐτοῖς τὰ ἀπὸ τῆς Γραφῆς διδάγματα, καὶ πᾶσαν ποιούμενοι σπουδήν, ὥστε καὶ τῆς πλάνης αὐτοὺς ἀπαλλάξαι, καὶ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν. Εἰ γὰρ καὶ ἔτι τῇ πλάνῃ εἰσὶ προκατειλημμένοι, ἀλλ' ὅμως ὁμογενεῖς τυγχάνουσι, καὶ προσήκει πολλὴν αὐτῶν ποιεῖσθαι τὴν πρόνοιαν, καὶ μηδέποτε ναρκᾶν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιμελείας τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθαι, καὶ κατάδηλον αὐτοῖς ἰατρείαν παρέχειν, ἵνα ὀψὲ γοῦν ποτε πρὸς τὴν ἀληθῆ ὑγίειαν ἐπανέλθωσιν. Οὐδὲν γὰρ οὕτω τῷ Θεῷ περισπούδαστον, ὡς ψυχῆς σωτηρία. Καὶ βοᾷ Παῦλος λέγων, «Ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν»· καὶ πάλιν αὐτὸς ὁ Θεός φησιν· «Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Διὰ γὰρ τοῦτο καὶ τὴν κτίσιν ταύτην ἅπασαν παρήγαγε, καὶ ἡμᾶς ἐδημιούργησεν, οὐχ ἵνα ἀπολώμεθα, οὐδὲ ἵνα εἰς κόλασιν ἡμᾶς παραπέμψῃ, ἀλλ' ἵνα σώσῃ, καὶ τῆς πλάνης ἐλευθερώσας τῆς βασιλείας τὴν ἀπόλαυσιν ἡμῖν δωρήσηται. Ταύτην γὰρ ἡμῖν καὶ ἡτοίμασεν, οὐ νῦν μετὰ τὸ γενέσθαι, ἀλλὰ πρὸ καταβολῆς κόσμου, καθὼς αὐτός φησι, «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Ὅρα φιλανθρωπίαν Δεσπότου, ὅπως καὶ πρὸ τῆς δημιουργίας, καὶ πρὶν ἢ παραγαγεῖν τὸν ἄνθρωπον, τὰ μυρία αὐτῷ ἀγαθὰ ηὐτρέπισε, δεικνὺς ὅσην πρόνοιαν ποιεῖται τοῦ γένους τοῦ ἡμετέρου, καὶ ὅτι πάντας βούλεται σωθῆναι. Τοιοῦτον τοίνυν ἔχοντες Δεσπότην, οὕτω φιλάνθρωπον, οὕτως ἀγαθόν, οὕτως ἥμερον, καὶ τῆς οἰκείας σωτηρίας φροντί-

---

4. Α' Τιμ. 2, 4.
5. Ἰεζ. 16, 23.
6. Ματθ. 25, 34.

τα καὶ κατὰ τὴν ἰδικήν του σοφίαν νὰ συγκρατῇ καὶ νὰ βαστάζῃ ὅλα τὰ ὁρατά; Ἀλλὰ διατί προσπαθοῦμεν ἀκόμη νὰ ἀποδεικνύωμεν εἰς ἐκείνους αὐτά, τὰ ὁποῖα, σύμφωνα μὲ τὴν παροιμίαν, ἔχουν καταστῆ φανερὰ καὶ εἰς τοὺς τυφλούς; Ὅμως ἂς μὴ παραλείπωμεν νὰ παρουσιάζωμεν εἰς αὐτοὺς τὰ διδάγματα ἀπὸ τὴν Ἁγίαν Γραφὴν καὶ νὰ φροντίζωμεν μὲ κάθε μέσον διὰ νὰ ἀπαλλάξωμεν αὐτοὺς ἀπὸ τὴν πλάνην καὶ νὰ τοὺς ἐπαναφέρωμεν πρὸς τὴν ἀλήθειαν. Διότι καὶ ἐὰν εἶναι προκατειλημμένοι ἀκόμη ἀπὸ τὴν πλάνην, ὅμως εἶναι τοῦ ἰδίου γένους μὲ ἡμᾶς, καὶ πρέπει νὰ φροντίζωμεν πολὺ δι' αὐτούς, καὶ ποτὲ νὰ μὴ εὑρισκώμεθα εἰς λήθαργον, ἀλλὰ νὰ ἐπιδεικνύωμεν τὰ ἰδικά των μὲ πολλὴν ἐπιμέλειαν καὶ νὰ παρέχωμεν εἰς αὐτοὺς τὴν κατάλληλον θεραπείαν, διὰ νὰ ἐπανέλθουν ἀργὰ λοιπὸν κάποτε εἰς τὴν πραγματικὴν ὑγείαν. Διότι τίποτε δὲν εἶναι εἰς τὸν Θεὸν τόσον περιζήτητον, ὅπως ἡ σωτηρία τῆς ψυχῆς. Καὶ φωνάζει ὁ Παῦλος λέγων, «Ὁ Θεὸς θέλει ὅλοι οἱ ἄνθρωποι νὰ σωθοῦν καὶ νὰ λάβουν πλήρη γνῶσιν τῆς ἀληθείας»[4]. Ἐπίσης καὶ ὁ ἴδιος ὁ Θεὸς λέγει· «Δὲν θέλω τὸν θάνατον τοῦ ἀσεβοῦς, ὅπως τὴν ἐπιστροφὴν αὐτοῦ καὶ τὴν ζωήν του»[5]. Διότι δι' αὐτὸ καὶ ἔκανε τὴν πλάσιν αὐτὴν ὅλην καὶ ἐδημιούργησεν ἡμᾶς, ὄχι διὰ νὰ χανώμεθα, οὔτε διὰ να μᾶς ἐξαποστείλῃ εἰς τὴν κόλασιν, ἀλλὰ διὰ νὰ μᾶς σώσῃ καὶ νὰ μᾶς χαρίσῃ τὴν ἀπόλαυσιν τῆς βασιλείας τῶν οὐρανῶν, ἀφοῦ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν πλάνην. Τὴν βασιλείαν λοιπὸν μᾶς τὴν προητοίμασεν, ὄχι τώρα μετὰ τὴν δημιουργίαν, ἀλλὰ ἀπὸ καταβολῆς κόσμου, καθὼς ὁ Χριστὸς λέγει, «Ἐλᾶτε σεῖς, ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, κληρονομήσατε τὴν βασιλείαν, ἡ ὁποία ἔχει ἑτοιμασθῆ διὰ σᾶς, ἀφ' ὅτου ἐθεμελιώνετο ὁ κόσμος»[6]. Πρόσεξε τὴν φιλανθρωπίαν τοῦ Κυρίου, πῶς καὶ πρὶν ἀπὸ τὴν δημιουργίαν, καὶ προτοῦ ἀκόμη νὰ πλάσῃ τὸν ἄνθρωπον, πρὸς χάριν του ἡτοίμασε τὰ ἄπειρα ἀγαθά, ἀποδεικνύων πόσον φροντίζει διὰ τὸ ἰδικόν μας γένος καὶ ὅτι θέλει ὅλοι νὰ σωθοῦν. Ἔχοντες λοιπὸν τέτοιον Κύριον, τόσον φιλάνθρωπον, τόσον ἀγαθόν, τόσον πρᾶον, ἂς φροντίζωμεν διὰ

ζωμεν, καὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων. Τοῦτο γὰρ ἡμῖν καὶ σωτηρίας ὑπόθεσις γενήσεται ὅταν μὴ ὑπὲρ ἑαυτῶν μόνον σπουδάσωμεν, ἀλλ' ὅταν καὶ τὸν πλησίον ὠφελῶμεν, καὶ πρὸς τὴν τῆς ἀληθείας ὁδὸν χειραγωγῶμεν. Καὶ ἵνα μάθῃς, ὅσον ἐστὶν ἀγαθὸν τὸ δυνηθῆναι μετὰ τῆς οἰκείας σωτηρίας καὶ ἕτερον κερδᾶναι, ἄκουσον ἐκ προσώπου τοῦ Θεοῦ λέγοντος τοῦ προφήτου· «Ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται». Τί δὲ τοῦτό ἐστιν; Ὁ ἐκ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν, φησί, χειραγωγῶν, ἢ ἀπὸ τῆς κακίας πρὸς ἀρετὴν ὁδηγῶν τὸν πλησίον, κατὰ δύναμιν ἀνθρωπίνην ἐμὲ μιμεῖται. Καὶ γὰρ καὶ αὐτὸς δι' οὐδὲν ἕτερον, Θεὸς ὤν, τὴν ἡμετέραν ὑπέδυ σάρκα, καὶ διὰ τὴν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους γέγονεν ἄνθρωπος. Καὶ τί λέγω, τὴν ἡμετέραν ὑπέδυ σάρκα, καὶ τὰ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπέμεινεν, ὅπου γε καὶ τὸν σταυρὸν κατεδέξατο, ἵνα ἡμᾶς τοὺς ὑπὸ ἁμαρτιῶν προδεδομένους τῆς κατάρας ἐλευθερώσῃ; Καὶ βοᾷ τοῦτο Παῦλος λέγων· «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα». Εἰ τοίνυν αὐτός, Θεὸς ὢν καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀπορρήτου τυγχάνων, διὰ φιλανθρωπίαν ἄφατον ταῦτα ἅπαντα κατεδέξατο δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν, τί οὐκ ἂν εἴημεν αὐτοὶ δίκαιοι περὶ τοὺς ὁμογενεῖς ἐπιδείξασθαι καὶ τὰ μέλη τὰ ἡμέτερα, ὥστε καὶ τῆς φάρυγγος αὐτοὺς ἐξαρπάσαι τοῦ διαβόλου, καὶ πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν χειραγωγῆσαι; Ὅσῳ γὰρ ψυχὴ σώματος κρείσσων, τοσούτῳ τῶν χρήμασι βοηθούντων τοῖς δεομένοις οὗτοι μειζόνων ἀξιοῦνται τῶν ἀμοιβῶν οἱ διὰ τῆς παραινέσεως καὶ τῆς συνεχοῦς διδασκαλίας τοὺς ῥαθύμους καὶ ἀναπεπτωκότας ἀνάγοντες ἐπὶ τὴν εὐθεῖαν ὁδόν, καὶ δεικνύντες τῆς μὲν κακίας τὸ δυσειδές, τῆς δὲ κατὰ Θεὸν ἀρετῆς τὴν πολλὴν εὐμορφίαν.

7. Ἱερ. 15, 19.
8. Γαλ. 3, 13.

τὴν σωτηρίαν μας καὶ τῶν ἰδικῶν μας ἀδελφῶν. Διότι αὐτὸ θὰ γίνῃ βάσις καὶ τῆς ἰδικῆς μας σωτηρίας, ὅταν δηλαδὴ δὲν φροντίζωμεν μόνον διὰ τοὺς ἑαυτούς μας, ἀλλὰ ὅταν ὠφελοῦμεν καὶ τὸν πλησίον μας καὶ τὸν ὁδηγοῦμεν πρὸς τὸν δρόμον τῆς ἀληθείας. Καὶ διὰ νὰ μάθῃς, πόσον ἀγαθὸν εἶναι τὸ νὰ ἠμπορέσῃς μαζὶ μὲ τὴν ἰδικήν σου σωτηρίαν καὶ ἄλλον νὰ κερδίσῃς, ἄκουσε τὸν προφήτην, ὁ ὁποῖος ἐκπροσωπῶν τὸν Θεὸν λέγει· «Ἐκεῖνος ποὺ ὁδηγεῖ τὸν ἄνθρωπον εἰς τιμιότητα ἀπὸ τὴν κακίαν, θὰ εἶναι ὡς στόμα μου»[7]. Τί ὅμως σημαίνει αὐτό; Ἐκεῖνος ποὺ ὁδηγεῖ τὸν ἄνθρωπον, λέγει, ἀπὸ τὴν πλάνην πρὸς τὴν ἀλήθειαν ἢ ἀπὸ τὴν κακίαν ὁδηγεῖ τὸν πλησίον πρὸς τὴν ἀρετήν, μιμεῖται ἐμὲ κατὰ τὴν ἀνθρωπίνην δύναμιν. Διότι καὶ αὐτὸς διὰ τίποτε ἄλλο, ἂν καὶ ἦτο Θεός, ὑπεδύθη τὴν ἰδικήν μας σάρκα, καὶ διὰ τὴν σωτηρίαν τοῦ ἀνθρωπίνου γένους ἔγινεν ἄνθρωπος. Καὶ διατί λέγω, ὑπεδύθη τὴν ἰδικήν μας σάρκα, καὶ ὅλα τὰ ἄλλα τὰ ἀνθρώπινα ὑπέμεινεν, ἀφοῦ βεβαίως καὶ τὸν σταυρὸν κατεδέχθη, διὰ νὰ ἐλευθερώσῃ ἀπὸ τὴν κατάραν ἡμᾶς, ποὺ εἴχαμεν προδοθῆ ἀπὸ τὰς ἁμαρτίας; Καὶ φωνάζει αὐτὸ ὁ Παῦλος λέγων· «Ὁ Χριστὸς μᾶς ἐξηγόρασεν ἀπὸ τὴν κατάραν τοῦ νόμου, γενόμενος πρὸς χάριν μας καταραμένος»[8]. Ἐὰν λοιπὸν αὐτός, ἐνῷ εἶναι Θεὸς καὶ ἔχει τὴν ἀσύλληπτον ἐκείνην οὐσίαν, ἀπὸ ἄπειρον φιλανθρωπίαν κατεδέχθη ὅλα αὐτὰ δι' ἡμᾶς καὶ τὴν ἰδικήν μας σωτηρίαν, τί δὲν θὰ ἦτο δίκαιον νὰ ἐπιδείξωμεν διὰ τοὺς συνανθρώπους μας καὶ τὰ ἰδικά μας μέλη, ὥστε νὰ ἁρπάσωμεν αὐτοὺς ἀπὸ τὸ στόμα τοῦ διαβόλου καὶ νὰ τοὺς ὁδηγήσωμεν πρὸς τὸν δρόμον τῆς ἀρετῆς; Διότι ὅσον ἀνωτέρα εἶναι ἡ ψυχὴ ἀπὸ τὸ σῶμα, τόσον μεγαλυτέραν ἀμοιβὴν ἀξιώνονται ἀπὸ ἐκείνους, ποὺ βοηθοῦν τοὺς ἔχοντας ἀνάγκην μὲ χρήματα, αὐτοί, οἱ ὁποῖοι μὲ συμβουλὰς καὶ συνεχῆ διδασκαλίαν ὁδηγοῦν τοὺς ἀδιαφόρους καὶ τοὺς ἀποθαρρυνομένους εἰς τὸν εὐθὺν δρόμον καὶ δεικνύουν ἀφ' ἑνὸς μὲν τὴν ἀσχημίαν τῆς κακίας, ἀφ' ἑτέρου δὲ τὴν μεγάλην ὀμορφιάν τῆς κατὰ Θεὸν ἀρετῆς.

5. Ταῦτα τοίνυν ἅπαντα εἰδότες, πρὸ τῶν ἄλλων ἁπάντων τῶν βιωτικῶν περὶ τῆς κατὰ ψυχὴν σωτηρίας διαλεγώμεθα τοῖς πλησίον, εἰς ταύτην αὐτοὺς ἐνάγοντες τὴν μέριμναν. Ἀγαπητὸν γάρ, ἀγαπητόν, συνεχῶς ταῦτα ἐνηχουμένην τὴν ψυχὴν δυνηθῆναι ἀνενεγκεῖν ἐκ τῆς ἀβύσσου τῶν κακῶν τῶν ἐν τῷ μέσῳ στρεφομένων, καὶ περιγενέσθαι τῆς τῶν παθῶν ἐπαναστάσεως, ἅπερ διηνεκῶς πολιορκεῖ τὴν ἡμετέραν ψυχήν. Καὶ διὰ τοῦτο χρεία ἡμῖν πολλῆς τῆς ἀγρυπνίας, ἐπειδὴ καὶ διηνεκὴς ἡμῖν ἐστιν ὁ πόλεμος, καὶ ἀνακωχὴν οὐδέποτε ἔχων· διὸ καὶ Παῦλος ἔλεγεν Ἐφεσίοις γράφων· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». Μὴ νομίσητε, φησί, τὸν τυχόντα ἡμῖν προκεῖσθαι ἀγῶνα· οὐ πρὸς ὁμογενεῖς ἡμῖν ἐστιν ἡ πάλη, οὐδὲ ἐξ ἴσης ἡμῖν ἐστι τὰ τῆς παρατάξεως. Καὶ γὰρ σώματι συμπεπλεγμένοι, τοῖς ἀσωμάτοις παλαίειν δυνάμεσι προστετάγμεθα· ἀλλὰ μὴ δείσητε· εἰ γὰρ καὶ ἀνώμαλος ἡ μάχη, ἀλλὰ μεγάλη τῶν ὅπλων τῶν ἡμετέρων ἡ δύναμις. Ἐπήγαγε γὰρ μονονουχὶ λέγων, ἐπειδὴ ἔγνωτε τῶν σημείων τὴν φύσιν, μὴ καταπέσητε, μηδὲ ναρκήσητε πρὸς τὴν πάλην· ἀλλὰ «Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου». Πολλαὶ γὰρ αἱ τούτου μεθοδεῖαι, τοῦτ' ἔστιν ὁδοί, δι' ὧν ὑποσκελίζειν ἐπιχειρεῖ τοὺς ῥαθυμοτέρους, καὶ δεῖ ταύτας ἀκριβῶς ἐπίστασθαι, ὥστε διαφυγεῖν αὐτοῦ τὰς λαβάς, καὶ μηδεμίαν αὐτῷ παρείσδυσιν ἀφιέναι, ἀλλὰ καὶ γλώττης ἀκρίβειαν ἐπιδείκνυσθαι, καὶ ὀφθαλμῶν ἀσφάλειαν, καὶ διανοίας καθαρότητα, καὶ διηνεκῶς ἐναγώνιον εἶναι, καθάπερ θηρίου τινὸς ἐπιόντος, καὶ λυμήνασθαι ἡμῖν ἐπιχειροῦντος. Διὰ γὰρ τοῦτο καὶ ἡ οὐρανομήκης ἐκείνη ψυχή, ὁ τῶν ἐ-

9. Ἐφ. 6, 12.
10. Ἐφ. 6, 11.

5. Γνωρίζοντες λοιπόν ὅλα αὐτά, ἂς συζητοῦμεν μὲ τοὺς ἄλλους, ἀντὶ ὅλων τῶν ἄλλων τῶν βιωτικῶν πραγμάτων, διὰ τὴν σωτηρίαν τῆς ψυχῆς, ὁδηγοῦντες αὐτοὺς εἰς αὐτὴν τὴν φροντίδα. Διότι εἶναι πολὺ ἀγαπητὸν νὰ ἠμπορέσῃ ἡ ψυχή, ποὺ διαρκῶς ἀκούει αὐτά, νὰ συνέλθῃ ἀπὸ τὴν ἄβυσσον τῶν κακῶν, τὰ ὁποῖα ὑπάρχουν ἄφθονα μεταξύ μας, καὶ νὰ νικήσῃ τὴν ἐξέγερσιν τῶν παθῶν, τὰ ὁποῖα συνεχῶς πολιορκοῦν τὴν ἰδικήν μας ψυχήν. Καὶ δι' αὐτὸ πρέπει νὰ ἀγρυπνοῦμεν πολύ, ἀφοῦ ὁ πόλεμός μας καὶ διαρκὴς εἶναι καὶ ποτὲ δὲν ἔχει ἀνακωχήν· διὰ τοῦτο καὶ ὁ Παῦλος, ὅταν ἔγραφε πρὸς τοὺς Ἐφεσίους, ἔλεγε· «Δὲν εἶναι ἡ πάλη μας πρὸς ἀντιπάλους ὁμοίους μας, μὲ αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας, ποὺ ἄρχουν εἰς τὸ σκοτάδι τοῦ αἰῶνος αὐτοῦ, πρὸς τὰ πνευματικὰ ὄντα τῆς πονηρίας, ποὺ κατοικοῦν εἰς τοὺς οὐρανούς»[9]. Νὰ μὴ νομίσετε, λέγει, ὅτι ἔχομεν ἐνώπιόν μας ἕνα τυχαῖον ἀγῶνα· ἡ πάλη μας δὲν εἶναι πρὸς συνανθρώπους μας, οὔτε εἶναι ἴση ἡ παράταξίς μας. Διότι ἂν καὶ ἔχομεν σῶμα, ἔχομεν προσταχθῆ νὰ πολεμοῦμεν μὲ ἀσωμάτους δυνάμεις· ἀλλὰ μὴ φοβηθῆτε, διότι ἐὰν καὶ ἡ μάχη εἶναι ἄνισος, εἶναι ὅμως μεγάλη ἡ δύναμις τῶν ἰδικῶν μας ὅπλων. Διότι ἐπρόσθεσεν αὐτά, σχεδὸν ὡσὰν νὰ ἔλεγεν, ἐπειδὴ ἐγνωρίσατε τὴν φύσιν τῶν ἐχθρῶν, νὰ μὴ χάσετε τὸ θάρρος, οὔτε νὰ ἀδρανήσετε πρὸς τὴν πάλην. Ἀλλὰ «Δι' αὐτὸ ἐνδυθῆτε ὁλόκληρον τὴν πανοπλίαν τοῦ Θεοῦ, διὰ νὰ ἠμπορέσετε νὰ ἀντιστέκεσθε εἰς τὰ τεχνάσματα τοῦ διαβόλου»[10]. Διότι εἶναι πολλὰ τὰ τεχνάσματα αὐτοῦ, δηλαδὴ οἱ τρόποι, μὲ τοὺς ὁποίους ἐπιχειρεῖ νὰ ὑπονομεύσῃ τοὺς περισσότερον ἀδρανεῖς, καὶ πρέπει νὰ τοὺς γνωρίζωμεν πολὺ καλά, διὰ νὰ ἀποφύγωμεν τὰς ἀφορμάς του, καὶ νὰ μὴ ἀφήνωμεν καμμίαν εἴσοδον εἰς αὐτόν, ἀλλὰ νὰ ἐπιδεικνύωμεν καὶ ἀκρίβειαν γλώσσης, καὶ σταθερότητα ὀφθαλμῶν, καὶ καθαρότητα σκέψεως καὶ διαρκῶς νὰ εἴμεθα ἕτοιμοι διὰ τὸν ἀγῶνα, ὡσὰν κάποιο θηρίον νὰ ἔρχεται ἐναντίον μας καὶ νὰ ἐπιχειρῇ νὰ μᾶς κατασπαράξῃ. Διὰ τοῦτο λοιπὸν καὶ ἡ οὐρανομήκης ἐκείνη ψυχή, ὁ

θνῶν διδάσκαλος, ἡ γλῶττα τῆς οἰκουμένης, ὁ ὑπὲρ τῆς τῶν μαθητευομένων σωτηρίας ἅπαντα πραγματευόμενος, εἰπών, «Ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ», πάλιν ἐπήγαγε, πάντοθεν ἡμᾶς περιφράττων, καὶ ἀχειρώτους ἐργαζόμενος, οὕτω λέγων· «Στῆτε οὖν περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς πίστεως, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ». Εἶδες πάντα τὰ μέλη ὅπως περιέφραξε, καὶ καθάπερ τις εἰς πόλεμόν τινα μέλλων ἐξαγαγεῖν, οὕτω πρῶτον μὲν τῇ ζώνῃ ἠσφαλίσατο, ὥστε εὔκολον εἶναι ἡμῖν τὸν δρόμον, ἔπειτα τὸν θώρακα ἐνέδυσεν, ἵνα μὴ ὑπὸ τῶν βελῶν πληττώμεθα, καὶ τοὺς πόδας ἠσφαλίσατο, καὶ πανταχόθεν τῇ πίστει περιέφραξεν; Αὕτη γάρ, αὕτη, φησί, καὶ τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι δυνήσεται. Τίνα δέ ἐστι τοῦ διαβόλου τὰ βέλη; Αἱ πονηραὶ ἐπιθυμίαι, οἱ ἀκάθαρτοι λογισμοί, τὰ πάθη τὰ ὀλέθρια, θυμός, βασκανία, φθόνος, ὀργή, μῖσος, χρημάτων ἐπιθυμία, καὶ ἡ ἄλλη ἅπασα ῥαθυμία. Ταῦτα, φησίν, ἅπαντα σβέσαι δυνήσεται ἡ μάχαιρα τοῦ Πνεύματος. Καὶ τί λέγω σβέσαι; Καὶ τὴν κεφαλὴν αὐτὴν τοῦ πολεμίου ἀποτεμεῖν δυνήσεται. Εἶδες πῶς ἐνεύρωσε τοὺς μαθητευομένους; πῶς κηροῦ μαλακωτέρους ὄντας σιδήρου στερροτέρους εἰργάσατο; Ἐπειδὴ γὰρ ἡμῖν οὐ πρὸς αἷμα καὶ σάρκα ὁ πόλεμος, ἀλλὰ πρὸς τὰς ἀσωμάτους δυνάμεις, διὰ τοῦτο οὐδὲ τὰ ὅπλα ἡμῖν σαρκικὰ περιέθηκεν, ἀλλὰ πάντα πνευματικά, καὶ οὕτως ἀποστίλβοντα, ὥστε μηδὲ τὴν ἐκ τούτων αἴγλην ἐνεγκεῖν δύνασθαι τὸν πονηρὸν ἐκεῖνον δαίμονα.

6. Τοιαῦτα τοίνυν ὅπλα ἐνδεδυμένοι μὴ φρίττωμεν τὴν πάλην, μηδὲ τὴν συμπλοκὴν φεύγωμεν, ἀλλὰ μηδὲ ῥαθυμῶμεν.

---

11. Ἐφ. 6, 14-17.

διδάσκαλος τῶν ἐθνῶν, ἡ γλῶσσα τῆς οἰκουμένης, ἐκεῖνος ποὺ ἐπιχειρεῖ τὰ πάντα διὰ τὴν σωτηρίαν τῶν μαθητῶν, ἀφοῦ εἶπεν, «Ἐνδυθῆτε ὅλα τὰ ὅπλα τοῦ Θεοῦ», πάλιν ἐπρόσθεσε, προφυλάσσων ἡμᾶς ἀπὸ παντοῦ καὶ καθιστῶν ἡμᾶς ἀκαταβλήτους, λέγων ἔτσι· «Σταθῆτε λοιπόν, ἀφοῦ ζωσθῆτε ὡς ἄλλην ζώνην τὴν ἀλήθειαν, καὶ ἐνδυθῆτε τὸν θώρακα τῆς πίστεως καὶ φορέσετε εἰς τὰ πόδια σας τὴν ἑτοιμασίαν τοῦ εὐαγγελίου τῆς εἰρήνης. Μαζὶ μὲ ὅλα αὐτὰ φορέσατε τὴν ἀσπίδα τῆς πίστεως, μὲ τὴν ὁποίαν θὰ ἠμπορέσετε νὰ σβήσετε ὅλα τὰ πύρινα βέλη τοῦ πονηροῦ, καὶ δεχθῆτε τὴν περικεφαλαίαν τῆς σωτηρίας καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ἡ ὁποία εἶναι ὁ λόγος τοῦ Θεοῦ»[11]. Εἶδες πῶς ἐπροφύλαξεν ἀπὸ παντοῦ ὅλα τὰ μέλη τοῦ σώματος, καὶ ὅπως ἀκριβῶς ὅταν κανεὶς πρόκειται νὰ μᾶς ἐξαγάγῃ εἰς κάποιον πόλεμον, ἔτσι κατὰ πρῶτον μὲν ἐπροφύλαξε μὲ τὴν ζώνην, ὥστε νὰ τρέχωμεν μὲ εὐκολίαν, ἔπειτα ἐφόρεσε τὸν θώρακα, διὰ νὰ μὴ μᾶς κτυποῦν τὰ βέλη καὶ ἐξησφάλισε τὰ πόδια καὶ ἀπὸ παντοῦ ἐπροφύλαξε μὲ τὴν πίστιν; Διότι αὐτή, λέγει, αὐτὴ θὰ ἠμπορέσῃ νὰ σβήσῃ καὶ τὰ πύρινα βέλη τοῦ πονηροῦ. Ποῖα ὅμως εἶναι τὰ βέλη τοῦ διαβόλου; Αἱ πονηραὶ ἐπιθυμίαι, αἱ ἀκάθαρτοι σκέψεις, τὰ καταστρεπτικὰ πάθη, ὁ θυμός, ἡ βασκανία, ὁ φθόνος, ἡ ὀργή, τὸ μῖσος, ἡ ἐπιθυμία τῶν χρημάτων καὶ κάθε ἄλλη ἀπερισκεψία. Ὅλα αὐτά, λέγει, θὰ ἠμπορέσῃ νὰ τὰ σβήσῃ ἡ μάχαιρα τοῦ Πνεύματος. Καὶ διατί λέγω θὰ τὰ σβήσῃ; Ἀκόμη καὶ αὐτὸ τὰ κεφάλι τοῦ ἐχθροῦ θὰ ἠμπορέσῃ νὰ ἀποκόψῃ. Εἶδες πῶς ἐνίσχυσε τοὺς μαθητάς; πῶς τοὺς κατέστησε ἰσχυροτέρους ἀπὸ τὸν σίδηρον, ἐνῷ ἦσαν μαλακώτεροι ἀπὸ τὸ κερί; Ἐπειδὴ λοιπὸν ὁ πόλεμός μας δὲν εἶναι ἐναντίον ἀνθρώπων, ποὺ ἔχουν σάρκα καὶ αἷμα, ἀλλὰ ἐναντίον ἀσωμάτων δυνάμεων, δι' αὐτὸ οὔτε ὅπλα σαρκικὰ μᾶς ἐχορήγησεν, ἀλλὰ ὅλα πνευματικὰ καὶ τόσον λαμπρά, ὥστε ὁ πονηρὸς ἐκεῖνος δαίμων νὰ μὴ ἠμπορέσῃ οὔτε τὴν λάμψιν αὐτῶν νὰ ὑποφέρῃ.

6. Φέροντες λοιπὸν τέτοια ὅπλα ἂς μὴ φοβούμεθα τὴν πάλην, οὔτε νὰ ἀποφεύγωμεν τὴν σύγκρουσιν, ἀλλὰ οὔτε

Ὥσπερ γὰρ νηφόντων ἡμῶν οὐκ ἄν ποτε περιγένοιτο ὁ πονηρὸς δαίμων ἐκεῖνος τῆς τῶν ὅπλων δυνάμεως, ἐὰν βουλώμεθα ἄκυρα αὐτοῦ ποιῆσαι τὰ μηχανήματα, οὕτως ἐὰν ῥαθυμῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται, τοῦ πολεμίου τῆς ἡμετέρας σωτηρίας διηνεκῶς ἐγρηγορότος, καὶ πάντα κατὰ τῆς σωτηρίας ἡμῶν διαπραττομένου. Πανταχόθεν τοίνυν ὁπλίζωμεν ἑαυτούς, καὶ ῥημάτων φειδόμενοι, καὶ πραγμάτων ἀπεχόμενοι τῶν βλάπτειν ἡμᾶς δυναμένων, καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων, καὶ τῆς ἄλλης ἀρετῆς, καὶ τὴν περὶ τοὺς πένητας δαψίλειαν ἐπιδεικνυώμεθα, εἰδότες ὅση τῆς περὶ τούτους θεραπείας ἡμῖν κείσεται ἡ ἀνταπόδοσις. «Ὁ γὰρ ἐλεῶν», φησί, «πτωχόν, δανείζει Θεῷ». Ὅρα δανείου φύσιν ξένην καὶ παράδοξον. Ἕτερός ἐστιν ὁ λαμβάνων, καὶ ἕτερος ὁ τῷ δανείῳ ἑαυτὸν ὑπεύθυνον καθιστάς· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι ἐπὶ τούτου τοῦ δανείου οὐκ ἔστιν ἀγνωμοσύνην ὑποστῆναι, οὐδὲ ἑτέραν τινὰ ζημίαν. Οὐδὲ γάρ, καθάπερ ἐνταῦθα, ἑκατοστὴν μόνον ὑπισχνεῖται δώσειν, ἀλλὰ ἑκατονταπλασίονα τῶν διδομένων, καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ ταῦτα μὲν ἐν τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι δὲ ζωὴν αἰώνιον. Καὶ ἐπὶ μὲν τοῦ παρόντος βίου εἴ τις ἡμῖν ὑπέσχετο διπλασίονα μόνον τῶν διδομένων ὑφ' ἡμῶν παρασχεῖν, προθύμως ἂν ἅπασαν ἡμῶν τὴν ὕπαρξιν προσηκάμεθα, ὅπου πολλὴ πολλάκις ἡ ἀγνωμοσύνη, πολλαὶ τῶν πλεονεκτούντων αἱ ὑπερβολαί. Καὶ γὰρ καὶ τῶν σφόδρα γνησίων πολλοὶ οὐδὲ αὐτὸ τὸ δανεισθὲν τοῖς δεδωκόσι παρέσχον, ἢ δι' ἀγνωμοσύνην τοῦτο ὑπομείναντες, ἢ καὶ πολλάκις ὑπὸ πενίας κωλυθέντες. Ἐπὶ δὲ τοῦ τῶν ἁπάντων Δεσπότου οὐδὲν τούτων ἐστὶ λογίσασθαι, ἀλλὰ καὶ τὸ δάνειον ἀκέραιον μένει, καὶ ὑπὲρ τῶν καταβαλλομένων ἑκατονταπλασίονα παρασχεῖν ὑπισχνεῖται μετὰ τοῦτο καὶ τὴν ἐν τῷ μέλλοντι ζωὴν ἡμῖν τα-

12. Παροιμ. 19, 17.

καὶ νὰ εἴμεθα ἀδιάφοροι. Διότι ὅπως, ὅταν εἴμεθα νηφάλιοι, ποτὲ δὲν θὰ ἠμπορέσῃ ὁ πονηρὸς ἐκεῖνος δαίμων νὰ νικήσῃ τὴν δύναμιν τῶν ὅπλων μας, ἐὰν θέλωμεν νὰ καταστήσωμεν ἀνίσχυρα τὰ τεχνάσματα αὐτοῦ· ἔτσι, ἐὰν εἴμεθα ἀδιάφοροι, δὲν θὰ ἔχωμεν κανένα κέρδος, ἐπειδὴ ὁ ἐχθρὸς τῆς ἰδικῆς μας σωτηρίας εἶναι ἄγρυπνος καὶ κάνει τὰ πάντα ἐναντίον της. Ἀπὸ παντοῦ λοιπὸν ἂς ὁπλίζωμεν τοὺς ἑαυτούς μας, ἀποφεύγοντες καὶ τὰ λόγια, ἀπέχοντες καὶ ἀπὸ πράγματα, ποὺ ἠμποροῦν νὰ μᾶς βλάπτουν, καὶ μαζὶ μὲ τὴν ἀποχὴν ἀπὸ τὰ φαγητὰ καὶ τὴν ἄλλην ἀρετὴν ἂς ἐπιδεικνύωμεν καὶ τὴν γενναιοδωρίαν πρὸς τοὺς πτωχούς, γνωρίζοντες πόση θὰ εἶναι ἡ ἀνταπόδοσις εἰς ἡμᾶς διὰ τὴν βοήθειαν πρὸς αὐτούς. «Διότι ἐκεῖνος ποὺ δίδει ἐλεημοσύνην εἰς τὸν πτωχόν, λέγει ἡ Γραφή, δανείζει τὸν Θεόν»[12]. Βλέπετε τὴν περίεργον καὶ παράδοξον φύσιν τοῦ δανείου. Ἄλλος εἶναι ἐκεῖνος, ποὺ λαμβάνει καὶ ἄλλος καθίσταται ὑπεύθυνος διὰ τὸ ἰδικόν του δάνειον· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ ὅτι εἰς τὴν περίπτωσιν τοῦ δανείου αὐτοῦ δὲν εἶναι δυνατὸν νὰ ὑποστῇ ἀδικίαν, οὔτε κάποιαν ἄλλην ζημίαν. Οὔτε βεβαίως, ὅπως ἀκριβῶς συμβαίνει ἐδῶ, ὑπόσχεται νὰ ἀνταποδώσῃ μόνον τὸ ἕνα τοῖς ἑκατόν, ἀλλὰ ἑκατονταπλάσια τῶν διδομένων, καὶ οὔτε σταματᾷ μέχρις ἐδῶ, ἀλλὰ αὐτὰ μὲν εἰς τὸ παρόν, καὶ εἰς τὸ μέλλον δὲ τὴν ζωὴν τὴν αἰώνιον. Καὶ εἰς μὲν τὴν παροῦσαν ζωήν, ἐὰν κάποιος μᾶς ὑπέσχετο, ὅτι θὰ μᾶς δώσῃ διπλάσια μόνον τῶν διδομένων ἀπὸ ἡμᾶς, θὰ ἐριψοκινδυνεύαμεν πρόθυμα ὅλην τὴν περιουσίαν μας, ὅπου ὑπάρχει πολλὰς φορὰς μεγάλη ἀδικία καὶ πολλαὶ ὑπερβολαὶ τῶν πλεονεκτῶν. Διότι καὶ πολλοὶ ἀπὸ τοὺς πλησιεστέρους συγγενεῖς δὲν ἔδωσαν οὔτε αὐτό, ποὺ ἐδανείσθησαν, εἰς τοὺς δανειστάς, ἢ ἐπειδὴ ἠνέχθησαν αὐτὸ ἐξ αἰτίας τῆς ἀχαριστίας ἢ ἐπειδὴ ἠμποδίσθησαν πολλάκις ἀπὸ τὴν πτωχείαν. Διὰ τὸν Κύριον ὅμως τῶν πάντων δὲν εἶναι δυνατὸν νὰ ὑπολογισθῇ τίποτε τέτοιο, ἀλλὰ καὶ τὸ δάνειον παραμένει ἀκέραιον καὶ ὑπόσχεται ὅτι θὰ δώσῃ ἑκατονταπλάσια διὰ λογαριασμὸν τῶν δανειστῶν μετὰ ἀπὸ αὐτὸ καὶ μᾶς ἐξασφαλίζει εἰς

μιεύεται. Τίς οὖν ἡμῖν λοιπὸν ἀπολογία λείπεται μὴ σπεύδουσι καὶ ἐπειγομένοις ἀντὶ τῶν ὀλίγων ἑκατονταπλασίονα λαβεῖν, καὶ ἀντὶ τῶν παρόντων τὰ μέλλοντα, καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀλλ' ἡδέως θύραις καὶ μοχλοῖς ἐναποκλείουσι τὰ χρήματα, καὶ οὐ βουλομένοις αὐτὰ νῦν προέσθαι τοῖς δεομένοις τὰ ἁπλῶς καὶ εἰκῆ κείμενα, ἵνα ἐν τῷ μέλλοντι αἰῶνι τῆς παρ' αὐτῶν προστασίας ἀπολαύσωμεν; «Ποιήσατε γὰρ ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς». Καὶ οἶδα, ὅτι πολλοὶ οὐ μόνον οὐ προσίενται τὰ παρ' ἡμῶν λεγόμενα, ἀλλὰ καὶ ὡς λῆρόν τινα καὶ μῦθον ἀκούοντες, οὐ προσέχουσι τοῖς ἡμετέροις λόγοις. Ἀλλ' ἐγὼ καὶ διὰ τοῦτο δάκνομαι, καὶ ὀδυνῶμαι, ὅτι οὔτε τῶν πραγμάτων ἡ πεῖρα, οὔτε ἡ τοσαύτη τοῦ Θεοῦ ὑπόσχεσις, οὔτε ὁ φόβος τῶν μελλόντων, οὔτε αἱ καθ' ἑκάστην ἡμέραν παρ' ἡμῶν παραινέσεις τῶν τοιούτων καθικέσθαι ἠδυνήθησαν, καὶ οὐ παύσομαι οὐδὲ οὕτω τῆς τοιαύτης συμβουλῆς, μέχρις ἂν τῇ πολλῇ συνεχείᾳ περιγενέσθαι δυνηθῶ, καὶ εἰς νῆψιν αὐτοὺς ἀγαγεῖν, καὶ ἐκ τοῦ κάρου καὶ τῆς μέθης, ἣν ἡ τῶν χρημάτων ἐπιθυμία ἤνεγκε σκοτώσασα τὸν λογισμόν, ἀνενεγκεῖν. Οἶδα γάρ, οἶδα ὅτι μετὰ τὴν τοῦ Θεοῦ χάριν καὶ ἡ τῶν ἡμετέρων λόγων συνέχεια, καὶ ἡ παρὰ τῆς νηστείας ἐπιμέλεια δυνήσεται αὐτοὺς ὀψὲ γοῦν ποτε ἀπαλλάξαι τοῦ χαλεποῦ τούτου νοσήματος, καὶ εἰς τελείαν ὑγίειαν ἐπαναγαγεῖν, ἵνα καὶ αὐτοὶ τῆς ἀπηρτημένης τοῖς τοιούτοις τιμωρίας ἐλευθερωθῶσι, καὶ ἡμεῖς τῆς ἀθυμίας ἀπαλλαγῶμεν, καὶ ὑπὲρ ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν,

---

13. Λουκᾶ 16, 9.

τὸ μέλλον τὴν αἰώνιον ζωήν. Ποία λοιπὸν ἀπολογία μένει εἰς ἡμᾶς, οἱ ὁποῖοι δὲν σπεύδομεν καὶ δὲν ἐπειγόμεθα νὰ λάβωμεν ἀντὶ τῶν ὀλίγων ἑκατονταπλάσια καὶ ἀντὶ τῶν παρόντων τὰ μέλλοντα καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀλλὰ μὲ εὐχαρίστησιν ἀπομονώνομεν τὰ χρήματα μὲ θύρας καὶ μοχλοὺς καὶ οἱ ὁποῖοι δὲν θέλομεν νὰ δανείσωμεν τώρα εἰς τοὺς ἔχοντας ἀνάγκην αὐτά, τὰ ὁποῖα εἶναι ἀποθηκευμένα ἁπλῶς καὶ χωρὶς σκοπόν, διὰ νὰ ἀπολαύσωμεν εἰς τὴν μέλλουσαν ζωὴν τὴν προστασίαν ἀπὸ αὐτά; «Κάμετε λοιπὸν διὰ τὸ καλόν σας φίλους ἀπὸ τὸν πλοῦτον, ποὺ εἶναι ἄδικος, ὥστε, ὅταν ἀποθάνετε, νὰ σᾶς ὑποδεχθοῦν αὐτοὶ εἰς τὰς αἰωνίους σκηνὰς τοῦ παραδείσου»[12]. Καὶ γνωρίζω, ὅτι πολλοὶ ὄχι μόνον δὲν ἐπιδοκιμάζουν τὰ λεγόμενά μου, ἀλλὰ καὶ ὡσὰν νὰ ἀκούουν κάποιαν φλυαρίαν καὶ μῦθον δὲν προσέχουν εἰς τὰ ἰδικά μου λόγια. Ἀλλὰ ἐγὼ καὶ δι' αὐτὸ θλίβομαι καὶ πονῶ, διότι οὔτε ἡ ἐμπειρία τῶν πραγμάτων, οὔτε ἡ μεγάλη ὑπόσχεσις τοῦ Θεοῦ, οὔτε ὁ φόβος τῶν μελλοντικῶν δεινῶν, οὔτε αἱ καθημεριναί μας συμβουλαὶ ἠμπόρεσαν νὰ πλησιάσουν αὐτούς· καὶ δὲν θὰ παύσω οὔτε ἔτσι τὴν συμβουλήν μου αὐτήν, μέχρις ὅτου θὰ ἠμπορέσω μὲ τὴν συνεχῆ προσπάθειαν νὰ ὑπερισχύσω καὶ νὰ ὁδηγήσω αὐτοὺς εἰς τὴν νηφαλιότητα καὶ τοὺς ἐπαναφέρω ἀπὸ τὴν κραιπάλην καὶ τὸ μεθύσι, τὸ ὁποῖον ἐπροκάλεσεν ἡ ἐπιθυμία τῶν χρημάτων, ἀφοῦ ἐθόλωσε τὴν σκέψιν. Γνωρίζω βεβαίως, γνωρίζω ὅτι μετὰ τὴν χάριν τοῦ Θεοῦ καὶ οἱ συνεχεῖς λόγοι μου καὶ ἡ ἄσκησις ἀπὸ τὴν νηστείαν θὰ ἠμπορέσῃ νὰ ἀπαλλάξῃ ἀργὰ βεβαίως κάποτε αὐτοὺς ἀπὸ τὴν φοβερὰν αὐτὴν ἀσθένειαν καὶ νὰ τοὺς ἐπαναφέρῃ εἰς πλήρη ὑγείαν, διὰ νὰ ἀπαλλαγοῦν καὶ αὐτοὶ ἀπὸ τὴν τιμωρίαν, ποὺ ἐπικρέμαται δι αὐτά, καὶ ἡμεῖς νὰ ἀπαλλαγοῦμεν ἀπὸ τὴν λύπην, καὶ νὰ ἀναπέμψωμεν δι' ὅλα δόξαν εἰς τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Δ΄
(Γεν. 1, 6-8)

«*Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος καὶ ὕδατος· καὶ ἐγένετο οὕτως*».

1. Ὁρῶν ὑμῶν, ἀγαπητοί, τὴν μετὰ προθυμίας καθ' ἑκάστην ἡμέραν ἐνταῦθα συνέλευσιν, μεγάλην καρποῦμαι τὴν ἡδονήν, καὶ οὐ παύομαι δοξάζων τὸν φιλάνθρωπον Θεὸν ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ. Ὥσπερ γὰρ τὸ πεινῆν σωματικῆς εὐεξίας ἐστὶ σημεῖον, οὕτω καὶ τὸ περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων ἐσπουδακέναι τῆς κατὰ ψυχὴν ὑγιείας τεκμήριον ἄν τις μέγιστον ποιήσαιτο. Διὸ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς μακαρισμοῖς ἐκείνοις, τοῖς ἐπὶ τοῦ ὄρους γεγενημένοις ἔλεγε· «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται». Τίς ἂν οὖν ὑμᾶς κατ' ἀξίαν ἐπαινέσαι δυνηθείη, τοὺς ἅπαξ παρὰ τοῦ τῶν ἁπάντων Δεσπότου τὸν μακαρισμὸν δεξαμένους, καὶ τὰ μυρία προσδοκῶντας παρ' αὐτοῦ ἀγαθά; Τοιοῦτος γὰρ ὁ ἡμέτερος Δεσπότης· ὅταν ἴδῃ ψυχὴν πολλῷ τῷ πόθῳ καὶ ἐπιτεταμένῃ τῇ προθυμίᾳ τοῖς πνευματικοῖς προσιοῦσαν, ἐπιδαψιλεύεται τὴν χάριν, καὶ πλουσίας παρ' ἑαυτοῦ χαρίζεται τὰς δωρεάς. Ὅθεν προσδοκῶ καὶ ἡμῖν διὰ τὴν ὑμετέραν ὠφέλειαν πλείονα παρασχεθήσεσθαι τὸν τῆς διδασκαλίας λόγον εἰς οἰκοδομὴν τῆς ὑμετέρας ἀγάπης. Δι' ὑμᾶς γὰρ καὶ τὴν προκοπὴν τὴν ὑμετέραν ἅπαντα τοῦτον τὸν πόνον ὑπομένομεν, ὥστε καὶ ὑμᾶς πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν θᾶττον ἀναδραμεῖν, καὶ πᾶσι τοῖς εἰς ὑμᾶς ὁρῶσι διδασκάλους γενέσθαι τῆς κατὰ Θεὸν πολιτείας, καὶ ἡμᾶς πλείονος ἀπολαύειν τῆς παρρησίας, ὁρῶντας οὐ μάτην, οὐδὲ εἰκῇ πονου-

---

1. Ματθ. 5, 6.

ΟΜΙΛΙΑ Δ΄
(Γεν. 1, 6 - 8)

«Καὶ εἶπεν ὁ Θεός· ἂς γίνῃ τὸ στερέωμα ἀνάμεσα εἰς τὰ ὕδατα, διὰ νὰ διαχωρίζῃ αὐτὰ εἰς δύο μέρη· καὶ ἔγινεν ἔτσι».

1. Καθὼς βλέπω, ἀγαπητοί, τὴν συγκέντρωσίν σας ποὺ μὲ προθυμίαν γίνεται καθημερινῶς ἐδῶ, ἀπολαμβάνω μεγάλην εὐχαρίστησιν καὶ δὲν παύω νὰ δοξάζω τὸν φιλάνθρωπον Θεὸν διὰ τὴν ἰδικήν σας προκοπήν. Διότι ὅπως ἡ πεῖνα εἶναι ἀπόδειξις τῆς σωματικῆς εὐεξίας, ἔτσι καὶ τὸ ἐνδιαφέρον διὰ τὴν ἀκρόασιν τῶν θείων λόγων θὰ ἠμποροῦσε νὰ τὸ θεωρήσῃ κανεὶς μεγίστην ἀπόδειξιν τῆς ψυχικῆς ὑγείας. Δι' αὐτὸ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τοὺς μακαρισμοὺς ἐκείνους, ποὺ ἐλέχθησαν ἐπὶ τοῦ ὄρους, ἔλεγε· «Μακάριοι ἐκεῖνοι, οἱ ὁποῖοι ὡσὰν πεινασμένοι καὶ διψασμένοι ἐπιθυμοῦν τὴν δικαιοσύνην, διότι αὐτοὶ θὰ χορτασθοῦν»[1]. Ποῖος λοιπὸν θὰ ἠμπορέσῃ νὰ ἐπαινέσῃ ἀξίως σᾶς, οἱ ὁποῖοι ἐδέχθητε μίαν φορὰν τὸν μακαρισμὸν ἀπὸ τὸν Κύριον τῶν πάντων καὶ ἀναμένετε ἀπὸ αὐτὸν τὰ ἄπειρα ἀγαθά; Διότι τέτοιος εἶναι ὁ ἰδικός μας Κύριος· ὅταν ἰδῇ, ὅτι ἡ ψυχὴ προσέρχεται πρὸς τὰ πνευματικὰ ἀγαθὰ μὲ μεγάλον πόθον καὶ ὑπερβολικὴν προθυμίαν, χορηγεῖ μὲ ἀφθονίαν τὴν χάριν καὶ χαρίζει πλουσίας τὰς δωρεάς του. Ἑπομένως ἀναμένω καὶ εἰς ἡμᾶς διὰ τὴν ἰδικήν σας ὠφέλειαν ὅτι θὰ παρασχεθῇ μακρότερος ὁ λόγος τῆς διδασκαλίας πρὸς οἰκοδομὴν τῆς ἰδικῆς σας ἀγάπης. Διότι διὰ σᾶς καὶ τὴν ἰδικήν σας προκοπὴν ὑπομένομεν ὅλον αὐτὸν τὸν κόπον, ὥστε καὶ σεῖς ταχύτερα νὰ ἀναβῆτε εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς, καὶ εἰς ὅλους, ποὺ σᾶς βλέπουν, νὰ γίνετε διδάσκαλοι τῆς κατὰ Θεὸν ζωῆς, καὶ ἡμεῖς νὰ ἀπολαμβάνωμεν μεγαλυτέραν παρρησίαν, ὅταν βλέπωμεν, ὅτι δὲν κοπιάζομεν μάταια, οὔτε ἄσκοπα, ἀλλὰ νὰ αὐξάνε-

μένους ἡμᾶς, ἀλλὰ καθ' ἑκάστην ἡμέραν αὐξανόμενον τοῦτον τὸν σπόρον τὸν πνευματικόν, καὶ μὴ καθάπερ ἐν τῷ εὐαγγελίῳ ἐπὶ τοῦ σπείροντος γέγονεν, οὕτω καὶ ἐφ' ἡμῶν συμβῆναι. Ἐκεῖ μὲν γὰρ ἓν μέρος διεσώθη, καὶ τὰ τρία παραπώλετο. Τὸ μὲν γὰρ τῶν σπερμάτων τὸ παρὰ τὴν ὁδὸν καταβληθὲν ἄκαρπον ἔμεινε, τὸ δὲ ὑπὸ τῶν ἀκανθῶν ἀπεπνίγη, ἕτερον δὲ εἰς τὰς πέτρας καταβληθέν, καὶ ἐπὶ τῆς ἐπιφανείας μεῖναν, οὐδένα καρπὸν ἐνεγκεῖν ἠδυνήθη· ἐνταῦθα δὲ διὰ τὴν τοῦ Θεοῦ χάριν προσδοκῶμεν ἅπαντα τὸν σπόρον εἰς τὴν καλὴν γῆν καταβεβλῆσθαι, καὶ τοὺς μὲν ποιεῖν ἑκατόν, τοὺς δὲ ἑξήκοντα, τοὺς δὲ τριάκοντα. Τοῦτο ἡμῶν τὴν προθυμίαν αὔξει, τοῦτο τὴν διάνοιαν διεγείρει, τὸ εἰδέναι, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοὺς λόγους προϊέμεθα, ἀλλ' ὅτι νηφούσαις ταῖς ἀκοαῖς καὶ συντεταμένῃ τῇ διανοίᾳ τὰ παρ' ἡμῶν δέχεσθε. Καὶ ταῦτα οὐ κολακεύων ὑμῶν τὴν ἀγάπην λέγω, ἀλλὰ στοχαζόμενος τὴν προθυμίαν ἐκ τῶν χθὲς ἡμῖν εἰρημένων. Ἑώρων γὰρ ἅπαντας ἐκκρεμαμένους περὶ τὴν διδασκαλίαν, καὶ πάντα ποιοῦντας, ὥστε μηδὲ τὸ τυχὸν ὑμᾶς τῶν λεγομένων παραδραμεῖν· ἄλλως δὲ καὶ ἡ τῶν κρότων συνέχεια μεγίστη ἀπόδειξις ἐγένετο τοῦ μεθ' ἡδονῆς ὑμᾶς δέχεσθαι τὰ λεγόμενα. Ὁ δὲ μεθ' ἡδονῆς ἀκούων τινῶν λεγομένων, δῆλον ὅτι καὶ ἐμπήγνυσιν αὐτὰ τῇ διανοίᾳ, καὶ ἀνεξάλειπτα ἐργάζεται τῷ πλάτει τῆς διανοίας ἐναποτιθέμενος. Τίς ἂν οὖν πρὸς ἀξίαν καὶ ὑμᾶς ἐπαινέσειε, καὶ ἡμᾶς μακαρίσειεν, ὅτι εἰς ὦτα λέγομεν ἀκουόντων; «Μακάριος γάρ», φησίν, «ὁ λέγων εἰς ὦτα ἀκουόντων». Τοῦτο νηστείας τὸ κατόρθωμα, τοῦτο τὸ φάρμακον τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν εἰργάσατο. Εἰ δὲ ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τοσαύτην τὴν ἰσχὺν ἐπεδείξατο, προϊουσῶν τῶν ἡμερῶν πόσην χρὴ προσδοκῆσαι τὴν ὠφέλειαν προσγίνεσθαι; Μόνον ὑμεῖς, παρακαλῶ, «Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε», καὶ μηδεμίαν παρείσδυσιν δότε τῷ ἐχθρῷ τῆς

---

2. Ματθ. 13, 4-7.
3. Σοφ. Σειρ. 25, 9.
4. Φιλιπ. 2, 12.

ται καθημερινῶς ὁ πνευματικὸς αὐτὸς σπόρος, καὶ διὰ νὰ μὴ συμβῇ καὶ εἰς ἡμᾶς ἔτσι, ὅπως εἶχε γίνει εἰς τὴν περίπτωσιν τοῦ σπορέως εἰς τὸ εὐαγγέλιον[2]. Διότι ἐκεῖ μὲν διεσώθη ἕνα μέρος τοῦ σπόρου καὶ τὰ τρία εἶχαν χαθῆ. Διότι ἐκεῖνο μὲν τὸ μέρος τῶν σπόρων, ποὺ ἔπεσε πλησίον εἰς τὸν δρόμον, ἔμεινεν ἄκαρπον, ἄλλο δὲ μέρος κατεπνίγη ἀπὸ τὰ ἀγκάθια, καὶ ἄλλο ποὺ ἔπεσε εἰς τὰς πέτρας καὶ παρέμεινεν εἰς τὴν ἐπιφάνειαν, δὲν ἠμπόρεσε νὰ φέρῃ καθόλου καρπόν. Ἐδῶ ὅμως ἀναμένομεν ἐξ αἰτίας τῆς χάριτος τοῦ Θεοῦ ὅλος ὁ σπόρος νὰ πέσῃ εἰς τὸ εὔφορον χῶμα, καὶ ἄλλοι μὲν νὰ ἀποδώσουν ἑκατόν, ἄλλοι δὲ ἑξήντα καὶ ἄλλοι τριάντα. Αὐτὸ αὐξάνει τὴν προθυμίαν μας, αὐτὸ διεγείρει τὴν σκέψιν, τὸ νὰ γνωρίζωμεν δηλαδή, ὅτι δὲν λέγομεν τὰ λόγια μας ἁπλῶς καὶ τυχαίως, ἀλλὰ ὅτι δέχεσθε αὐτὰ μὲ διαυγῆ τὴν ἀκοὴν καὶ τεταμένην τὴν σκέψιν. Καὶ δὲν λέγω αὐτὰ διὰ νὰ κολακεύω τὴν ἀγάπην σας, ἀλλὰ ἐπειδὴ ἀναλογίζομαι τὴν προθυμίαν ἀπὸ τὰ λεχθέντα χθές. Διότι ἔβλεπα ὅλους νὰ εἶσθε ἀφωσιωμένοι εἰς τὴν ὁμιλίαν καὶ νὰ κάνετε τὰ πάντα, ὥστε νὰ μὴ σᾶς διαφύγῃ οὔτε τὸ ἐλάχιστον ἀπὸ τὰ λεγόμενα. Ἄλλωστε δὲ καὶ τὰ συνεχῆ χειροκροτήματα ἦσαν μεγίστη ἀπόδειξις τοῦ ὅτι ἐδέχεσθε τὰ λεγόμενα μὲ εὐχαρίστησιν. Ἐκεῖνος δὲ ποὺ ἀκούει μὲ εὐχαρίστησιν αὐτὰ ποὺ λέγονται, εἶναι φανερὸν ὅτι καὶ θέτει αὐτὰ βαθιὰ εἰς τὸν νοῦν του καὶ τὰ καθιστᾷ ἀνεξίτηλα, ἀφοῦ ἐναποθέτῃ αὐτὰ εἰς τὸ πλάτος τῆς διανοίας του. Ποῖος λοιπὸν θὰ ἠμποροῦσεν ἐπαξίως καὶ σᾶς νὰ ἐπαινέσῃ καὶ ἡμᾶς νὰ μακαρίσῃ, διότι ὁμιλοῦμεν εἰς ὦτα ἀκουόντων; «Διότι εἶναι εὐτυχής, λέγει, ἐκεῖνος ποὺ ὁμιλεῖ εἰς ὦτα ἀκουόντων»[3]. Τοῦτο εἶναι τὸ κατόρθωμα τῆς νηστείας, τοῦτο τὸ φάρμακον ἐπραγματοποίησε τὴν σωτηρίαν τῶν ἰδικῶν μας ψυχῶν. Ἐὰν ὅμως ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴν ἐπαρουσίασε τόσον μεγάλην δύναμιν, μὲ τὴν παρέλευσιν τῶν ἡμερῶν πόσην ὠφέλειαν πρέπει νὰ ἀναμείνωμεν ὅτι θὰ προέλθῃ; Μόνον σεῖς, παρακαλῶ, «Μὲ φόβον καὶ τρόμον νὰ ἐργάζεσθε τὴν σωτηρίαν σας»[4], καὶ νὰ μὴ ἐπιτρέψετε καμμίαν παρέμβασιν εἰς τὸν ἐχθρὸν τῆς

σωτηρίας τῆς ὑμετέρας. Ὁρῶν γὰρ ὑμῶν νῦν τὸν πλοῦτον τὸν πνευματικόν, μέμηνε καὶ ἀγριαίνει, καὶ καθάπερ λέων ὠρυόμενος περιέρχεται ζητῶν τίνα καταπίῃ. Ἀλλ' ἐὰν νήφωμεν, οὐδενὸς περιέσται διὰ τὴν τοῦ Θεοῦ χάριν.

2. Τοιαῦτα γὰρ ἡμῶν τὰ ὅπλα τὰ πνευματικά, ἅπερ ἡμᾶς ἐνέδυσεν ἡ τοῦ Πνεύματος χάρις, καθάπερ χθὲς ἐδιδάξαμεν τὴν ὑμετέραν ἀγάπην. Ἂν τοίνυν τούτοις διηνεκῶς ὦμεν πεφραγμένοι πάντα τὰ μέλη, οὐδὲν τῶν ὑπ' ἐκείνου ἀφιεμένων βελῶν καθικέσθαι ἡμῶν δυνήσεται, ἀλλ' ἄκυρα πρὸς αὐτὸν ἐπανήξει· ἀδάμαντος γὰρ ἡμᾶς στερροτέρους ἡ τοῦ Θεοῦ χάρις κατεσκεύασε, καὶ πάντῃ ἀναλώτους, ἐὰν βουλώμεθα. Ὥσπερ οὖν ὁ ἀδάμαντα παίων ἐκεῖνον μὲν ἔβλαψεν οὐδέν, ἑαυτοῦ δὲ τὴν ἰσχὺν καθεῖλε, καὶ ὁ πρὸς κέντρα λακτίζων, τοὺς οἰκείους αἱμάσσει πόδας, οὕτω δὴ καὶ ἐφ' ἡμῶν ἔσται καὶ τοῦ πολεμίου τῆς σωτηρίας τῆς ἡμετέρας, ἐὰν τοῖς ὅπλοις τοῖς δεδομένοις ἡμῖν παρὰ τῆς τοῦ Πνεύματος χάριτος ἑαυτοὺς διηνεκῶς φράττωμεν. Τοσαύτη γὰρ τούτων ἡ δύναμις, ὡς μηδὲ τὴν ἐξ αὐτῶν ἀστραπὴν ὑφίστασθαι τὸν πολέμιον, ἀλλ' ἀποτυφλοῦσθαι τὰς ὄψεις ἐκ τῆς αὐγῆς τῆς ἐκεῖθεν ἐκπεμπομένης. Τούτοις, παρακαλῶ, τοῖς ὅπλοις διαπαντὸς ἑαυτοὺς τειχίζοντες, οὕτω καὶ εἰς ἀγορὰν ἐμβάλλωμεν, καὶ φίλοις συγγενώμεθα, καὶ πράγματα μεταχειρίζωμεν. Καὶ τί λέγω εἰς ἀγοράν; Καὶ εἰς ἐκκλησίαν ἀπαντῶντες ταῦτα ἔχωμεν ἡμῖν περικείμενα, καὶ οἴκαδε ἐπανιόντες καὶ καθεύδοντες, καὶ διανιστάμενοι, καὶ μηδέποτε αὐτὰ ἀποθώμεθα παρὰ πᾶσαν ἡμῶν τὴν ζωήν· ἄπεισι γὰρ μεθ' ἡμῶν, καὶ τῆς ἐκεῖ παρρησίας ὑπόθεσις ἡμῖν μεγίστη γίνεται. Οὐδὲ γὰρ ὁμοίως τοῖς αἰσθητοῖς ὅπλοις βαρύνει τὸ σῶμα, ἀλλὰ μᾶλλον κουφίζει, καὶ μετάρσιον ἐργάζεται, καὶ τὴν ἰσχὺν ἐπιτείνει· μόνον ἐὰν αὐτὰ καθ' ἑκάστην ἡμέραν ἀποσμήχωμεν, ὥστε λαμπρὰ φαινόμενα διὰ τῆς οἰκείας ἀ-

ἰδικῆς σας σωτηρίας. Διότι ὅταν βλέπη τὸν πνευματικόν σας πλοῦτον τώρα, ὀργίζεται καὶ ἐξαγριώνεται καὶ ὡσὰν λεοντάρι βρυχώμενον περιτριγυρίζει ζητῶν κάποιον νὰ καταπιῇ. Ἀλλὰ ἐὰν εἴμεθα νηφάλιοι, δὲν θὰ καταβάλῃ κανένα ἐξ αἰτίας τῆς χάριτος τοῦ Θεοῦ.

2. Τέτοια λοιπὸν εἶναι τὰ πνευματικά μας ὅπλα, τὰ ὁποῖα μᾶς ἐχορήγησεν ἡ χάρις τοῦ Πνεύματος, ὅπως ἀκριβῶς χθὲς ἐδιδάξαμεν τὴν ἀγάπην σας. Ἐὰν λοιπὸν μὲ αὐτὰ φρουροῦμεν διαρκῶς ὅλα τὰ μέλη, δὲν θὰ ἠμπορέση κανένα ἀπὸ τὰ βέλη, ποὺ ρίπτει ἐκεῖνος, νὰ μᾶς ἐγγίση, ἀλλὰ θὰ ἐπιστρέψουν ἀνίσχυρα πρὸς αὐτόν, διότι ἡ χάρις τοῦ Θεοῦ μᾶς κατέστησεν ἰσχυροτέρους ἀπὸ τὸ διαμάντι, καὶ καθ' ὁλοκληρίαν ἀδαμάστους, ἐὰν θέλωμεν. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνος ποὺ κτυπᾷ τὸ διαμάντι, αὐτὸ μὲν δὲν τὸ ἔβλαψε καθόλου, κατέστρεψε δὲ τὴν δύναμίν του, καὶ ἐκεῖνος ποὺ λακτίζει εἰς καρφιά, πληγώνει τὰ πόδια του· ἔτσι βεβαίως θὰ συμβῇ καὶ εἰς μᾶς καὶ εἰς τὸν ἐχθρὸν τῆς ἰδικῆς μας σωτηρίας, ἐὰν προφυλάσσωμεν διαρκῶς τοὺς ἑαυτούς μας μὲ τὰ ὅπλα, τὰ ὁποῖα μᾶς ἐχορήγησεν ἡ χάρις τοῦ Πνεύματος. Διότι εἶναι τόσον μεγάλη ἡ δύναμις αὐτῶν, ὥστε νὰ μὴ ἀνέχεται ὁ ἐχθρὸς οὔτε τὴν λάμψιν των, ἀλλὰ νὰ τυφλώνεται ἀπὸ τὸ φῶς, ποὺ ἐκπέμπεται ἀπὸ αὐτά. Μὲ αὐτά, παρακαλῶ, τὰ ὅπλα ἀφοῦ ὀχυρώνωμεν πάντοτε τοὺς ἑαυτούς μας, ἔτσι καὶ εἰς τὴν ἀγορὰν ἂς περιφερώμεθα καὶ μὲ τοὺς συγγενεῖς ἂς συναναστρεφώμεθα καὶ πράγματα ἂς χρησιμοποιοῦμεν. Καὶ διατί λέγω εἰς τὴν ἀγοράν; Καὶ εἰς τὴν ἐκκλησίαν ὅταν ἐμφανιζώμεθα ἂς ἔχωμεν αὐτὰ μαζί μας καὶ ὅταν ἐπιστρέφωμεν εἰς τὸ σπίτι καὶ ὅταν κοιμώμεθα καὶ ὅταν ἐγειρώμεθα, καὶ ποτὲ ἂς μὴ ἀπομακρύνωμεν αὐτὰ εἰς ὅλην μας τὴν ζωήν, διότι ἀπέρχονται μαζί μας καὶ γίνονται ἡ μεγίστη βάσις τῆς παρρησίας μας κατὰ τὴν μέλλουσαν ζωήν. Οὔτε βέβαια βαρύνουν τὸ σῶμα ὁμοίως μὲ τὰ αἰσθητὰ ὅπλα, ἀλλὰ μᾶλλον τὸ ἐλαφρύνουν, τὸ καθιστοῦν εὐκίνητον καὶ ἐνισχύουν τὴν δύναμίν του· μόνον ἐὰν καθαρίζωμεν αὐτὰ καθημερινῶς, ὥστε καθὼς θὰ φαίνωνται λαμπερὰ νὰ βλάπτουν μὲ τὴν ἰδικήν των

στραπῆς πηροῦν τὰς ὄψεις τοῦ πονηροῦ δαίμονος, πάντα κατὰ τῆς σωτηρίας τῆς ἡμετέρας μηχανωμένου. Φέρε δὴ λοιπόν, ἐπειδὴ ἱκανῶς ὑμᾶς καθωπλίσαμεν, τὴν συνήθη παραθῶμεν ὑμῖν τράπεζαν, καὶ τὰ ἀκόλουθα τῶν χθὲς ἡμῖν εἰρημένων προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, πάλιν τὸν θαυμάσιον ἑστιάτορα τὸν μακάριον Μωϋσέα, τὸν μέγαν προφήτην τῆς καλῆς ταύτης διδασκαλίας ἡγεμόνα ποιησάμενοι. Ἴδωμεν οὖν τίνα ἐστίν, ἃ καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται, καὶ προσέχωμεν ἀκριβῶς τοῖς παρ' αὐτοῦ λεγομένοις. Οὐδὲ γὰρ οἰκείᾳ δυνάμει φθέγγεται, ἀλλ' ἅπερ ἂν ἡ τοῦ Πνεύματος χάρις ἐνηχήσῃ, ταῦτα διὰ τῆς οἰκείας προφέρει γλώττης διδάσκων τὴν τῶν ἀνθρώπων φύσιν. Ἀπαρτίσας τοίνυν τὸν περὶ τῆς πρώτης ἡμέρας λόγον, καὶ εἰπὼν μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν, «Ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία», πάλιν φησί· «Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος καὶ ὕδατος». Σκόπει μοι ἐνταῦθα, ἀγαπητέ, διδασκαλίας ἀκολουθίαν. Ἐπειδὴ γὰρ προλαβὼν ἡμῖν εἶπε μετὰ τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργίαν, ὅτι «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος», καὶ τὴν αἰτίαν προσέθηκεν, ὅτι διὰ τοῦτο ἦν ἀόρατος, διὰ τὸ καλύπτεσθαι ὑπὸ τοῦ σκότους, καὶ τῶν ὑδάτων· ὕδωρ γὰρ ἦν τὸ πᾶν, καὶ σκότος, καὶ οὐδὲν ἕτερον· εἶτα τοῦ Δεσπότου προστάξαντος, παρήχθη τὸ φῶς, καὶ διαχωρισμὸς γέγονε φωτὸς καὶ σκότους, καὶ τὸ μὲν τὴν τῆς ἡμέρας προσηγορίαν ἔλαβε, τὸ δὲ τὴν τῆς νυκτὸς ἐδέξατο· πάλιν ἡμᾶς διδάξαι βούλεται, ὅτι ὥσπερ τὸ σκότος διεῖλε τὸ φῶς παραγαγών, καὶ ἑκάστῳ τὴν ἁρμόζουσαν προσηγορίαν ἐπέθηκεν, οὕτω καὶ τὸ πλῆθος τῶν ὑδάτων προστάγματι διαιρεῖ.

3. *Καὶ ὅρα δύναμιν ἄφατον, καὶ πάντα ἀνθρώπινον λογισμὸν ὑπερβαίνουσαν. Κελεύει γὰρ μόνον, καὶ τὸ μὲν παράγεται τῶν στοιχείων, τὸ δὲ παραχωρεῖ. «Καὶ εἶπε», φησίν, «ὁ Θεός, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος καὶ ὕδατος». Τί ἐστι, «Γενη-*

---

5. Γεν. 1, 5.

λάμψιν τὰ μάτια τοῦ πονηροῦ δαίμονος, ὁ ὁποῖος μηχανεύεται τὰ πάντα ἐναντίον τῆς σωτηρίας μας. Ἐμπρὸς λοιπόν, ἐπειδὴ σᾶς ἐξωπλίσαμεν ἀρκετά, ἂς παραθέσωμεν εἰς σᾶς τὸ συνηθισμένον τραπέζι καὶ ἂς θέσωμεν ἐνώπιον τῆς ἀγάπης σας τὰ ἑπόμενα ἐκείνων, ποὺ εἴχομεν εἰπῆ χθές, ἀφοῦ καταστήσωμεν ὁδηγὸν πάλιν τῆς καλῆς αὐτῆς διδασκαλίας τὸν θαυμάσιον οἰκοδεσπότην, τὸν μακάριον Μωυσῆ, τὸν μεγάλον προφήτην. Ἂς ἰδοῦμεν λοιπὸν ποῖα εἶναι ἐκεῖνα, τὰ ὁποῖα θέλει καὶ σήμερα νὰ μᾶς διδάξῃ, καὶ ἂς προσέχωμεν μὲ ἀκρίβειαν εἰς τὰ λεγόμενα ἀπὸ αὐτόν. Διότι δὲν ὁμιλεῖ μὲ ἰδικήν του δύναμιν, ἀλλὰ ἐκεῖνα ἀκριβῶς ποὺ θὰ τοῦ μεταδώσῃ ἡ χάρις τοῦ Πνεύματος, αὐτὰ ἐκφέρει μὲ τὴν γλῶσσαν του διδάσκων τὸ ἀνθρώπινον γένος. Ἀφοῦ ἐσυμπλήρωσε λοιπὸν τὸν λόγον διὰ τὴν πρώτην ἡμέραν, καὶ ἀφοῦ εἶπε μετὰ τὴν δημιουργίαν τοῦ φωτός, «Ἔγινε βράδυ καὶ ἔγινε πρωί, ἡμέρα πρώτη»[5], πάλιν λέγει· «Καὶ εἶπεν ὁ Θεός· ἂς γίνῃ τὸ στερέωμα ἀνάμεσα εἰς τὰ ὕδατα, διὰ νὰ διαχωρίζῃ αὐτὰ εἰς δύο μέρη». Πρόσεχε ἐδῶ, παρακαλῶ, ἀγαπητέ, τὴν συνέπειαν τῆς διδασκαλίας. Ἐπειδὴ λοιπὸν μᾶς εἶπε προηγουμένως, ὕστερα ἀπὸ τὴν δημιουργίαν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι «Ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἄμορφος», ἐπρόσθεσε καὶ τὴν αἰτίαν, ὅτι διὰ τοῦτο ἦτο ἀόρατος, ἐπειδὴ ἐσκεπάζετο ἀπὸ τὸ σκοτάδι καὶ τὰ ὕδατα· διότι τὸ πᾶν ἦτο ὕδωρ, καὶ σκοτάδι, καὶ τίποτε ἄλλο· ἔπειτα ὅταν ἐπρόσταξεν ὁ Κύριος, παρήχθη τὸ φῶς, καὶ διεχωρίσθη τὸ φῶς ἀπὸ τὸ σκοτάδι, καὶ τὸ μὲν πρῶτον ὠνομάσθη ἡμέρα καὶ τὸ δεύτερον νύκτα· πάλιν θέλει νὰ μᾶς διδάξῃ, ὅτι ὅπως διήρεσε τὸ σκοτάδι δημιουργήσας τὸ φῶς καὶ εἰς τὸ καθένα ἔδωσε τὴν κατάλληλον ὀνομασίαν, ἔτσι διαιρεῖ καὶ τὰ πολλὰ ὕδατα μὲ τὴν προσταγήν του.

3. Καὶ πρόσεχε ἀνέκφραστον δύναμιν, ἡ ὁποία ὑπερβαίνει κάθε ἀνθρώπινον νοῦν. Διότι διατάσσει μόνον, καὶ τὸ μὲν ἕνα στοιχεῖον δημιουργεῖται, τὸ δὲ ἄλλο ὑποχωρεῖ. «Καὶ εἶπε, λέγει, ὁ Θεός, νὰ γίνῃ στερέωμα ἀνάμεσα εἰς τὰ ὕδατα, διὰ νὰ διαχωρίῃ αὐτὰ εἰς δύο μέρη». Τί σημαί-

θήτω στερέωμα»; Ὡς ἂν εἴποι τις γλώττῃ ἀνθρωπίνῃ, τειχίον τι καὶ διάφραγμα διαιροῦν μεταξύ, καὶ χωρισμὸν ἐργαζόμενον. Καὶ ἵνα μάθῃς τὴν πολλὴν ὑπακοὴν τῶν στοιχείων, καὶ τὴν ὑπερβάλλουσαν δύναμιν τοῦ δημιουργοῦ, φησί· «Καὶ ἐγένετο οὕτως». Εἶπε μόνον, καὶ τὸ ἔργον ἠκολούθησε. «Καὶ ἐποίησε», φησίν, «ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος». Γενομένου, φησί, τοῦ στερεώματος, τὰ μὲν τῶν ὑδάτων προσέταξεν ὑπὸ τοῦ στερεώματος φέρεσθαι, τὰ δὲ ὑπὲρ τῶν νώτων εἶναι τοῦ στερεώματος. Ἀλλὰ τί ἄν τις εἴποι τοῦτο εἶναι τὸ στερέωμα; Ὕδωρ πεπηγός, ἀλλ' ἀέρα τινὰ συνεστραμμένον, ἀλλ' ἑτέραν τινὰ οὐσίαν; Οὐκ ἄν τις ἁπλῶς τῶν εὖ φρονούντων διισχυρίσαιτο. Ἀλλὰ προσήκει πολλῇ τῇ εὐγνωμοσύνῃ κεχρημένους δέχεσθαι τὰ λεγόμενα, καὶ μὴ περαιτέρω τῆς οἰκείας φύσεως ὑπερβαίνοντας διερευνᾶσθαι τὰ ὑπὲρ ἡμᾶς, ἀλλὰ τοῦτο μόνον εἰδέναι καὶ κατέχειν παρ' ἑαυτοῖς, ὅτι τῷ προστάγματι τοῦ Δεσπότου παρήχθη τὸ στερέωμα τὸν χωρισμὸν τῶν ὑδάτων ἐργαζόμενον, καὶ τὰ μὲν κάτω κατέχον, τὰ δὲ ἄνω μετέωρα ὑπὲρ τῶν οἰκείων νώτων φέρειν δυνάμενον. «Καὶ ἐκάλεσε», φησίν, «ὁ Θεὸς τὸ στερέωμα οὐρανόν». Ὅρα πῶς τῇ αὐτῇ ἀκολουθίᾳ καὶ νῦν ἐχρήσατο ἡ θεία Γραφή. Καθάπερ εἶπε χθές, «Γενηθήτω φῶς», καὶ μετὰ τὸ παραχθῆναι, τότε ἐπήγαγεν, «Ἔστω διαχωρίζον ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους, καὶ οὕτω τὸ φῶς ἡμέραν ἐκάλεσεν»· οὕτω καὶ σήμερον εἶπε· «Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος». Εἶτα καθάπερ ἐπὶ τοῦ φωτός, οὕτω καὶ ἐνταῦθα ἐδίδαξεν ἡμᾶς τὴν χρείαν τοῦ στερεώματος, «Ὥστε διαχωρίζειν», φησίν, «ἀναμέσον ὕδατος καὶ ὕδατος». Καὶ ὅτε αὐτοῦ τὴν χρείαν φανερὰν ἡμῖν κατέστησε, τότε καθάπερ τῷ φωτὶ τὴν ὀνομασίαν προσέθηκεν, οὕτω καὶ τῷ στερεώματι τὴν προσηγορίαν ἐπέθηκεν. «Καὶ ἐκάλεσε», φησί, τὸ στερέωμα οὐρανόν», τοῦτο τὸ ὁρώμενον.

6. Γεν. 1, 4. 5.

νει, «Νὰ γίνῃ στερέωμα»; Ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς μὲ ἀνθρωπίνην γλῶσσαν, κάποιο τειχίον καὶ διάφραγμα, ποὺ διαιρεῖ μεταξὺ δύο πραγμάτων καὶ κάνει τὸ χώρισμα αὐτῶν. Καὶ διὰ νὰ μάθῃς τὴν μεγάλην ὑπακοὴν τῶν στοιχείων καὶ τὴν ὑπερβολικὴν δύναμιν τοῦ δημιουργοῦ, λέγει· «Καὶ ἔγινεν ἔτσι». Εἶπε μόνον, καὶ ἠκολούθησε τὸ ἔργον. «Καὶ ἔκαμε, λέγει, ὁ Θεὸς τὸ στερέωμα, καὶ ἐχώρισεν ὁ Θεὸς τὰ ὕδατα, τὰ εὑρισκόμενα κάτω ἀπὸ τὸ στερέωμα, ἀπὸ τὰ ὕδατα, τὰ εὑρισκόμενα ἐπάνω ἀπὸ αὐτό». Ὅταν ἔγινε, λέγει, τὸ στερέωμα, ἐπρόσταξε ἄλλα μὲν ὕδατα νὰ ρέουν κάτω ἀπὸ τὸ στερέωμα, ἄλλα δὲ νὰ εἶναι ἐπάνω ἀπὸ τὴν ἐπιφάνειαν τοῦ στερεώματος. Ἀλλὰ τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ὅτι εἶναι τὸ στερέωμα αὐτό; Ὕδωρ παγωμένον, ἢ μήπως κάποιος συμπυκνωμένος ἀέρας ἢ κάποια ἄλλη οὐσία; Δὲν θὰ ἠμποροῦσε νὰ ἰσχυρισθῇ εὔκολα αὐτὸ κανεὶς ἀπὸ τοὺς σώφρονας. Ἀλλὰ πρέπει μὲ πολλὴν εὐγνωμοσύνην νὰ δεχώμεθα τὰ λεγόμενα καὶ νὰ μὴ ἐξετάζωμεν περισσότερον τὰ εὑρισκόμενα ὑπεράνω ἡμῶν, ὑπερβαίνοντες τὴν ἰδικήν μας φύσιν, ἀλλὰ αὐτὸ μόνον νὰ γνωρίζωμεν καὶ νὰ κατέχωμεν καλῶς, ὅτι δηλαδὴ μὲ τὴν προσταγὴν τοῦ Κυρίου ἐδημιουργήθη τὸ στερέωμα διὰ νὰ χωρίζῃ τὰ ὕδατα, καὶ ἄλλα μὲν νὰ κρατῇ κάτω, τὰ ἄλλα δὲ νὰ ἠμπορῇ νὰ φέρῃ ἀκυρούμενα ἐπάνω ἀπὸ τὴν ἐπιφάνειάν του. «Καὶ ὠνόμασε, λέγει, ὁ Θεὸς τὸ στερέωμα οὐρανόν». Πρόσεξε, πῶς ἡ ἁγία Γραφὴ ἐχρησιμοποίησε καὶ τώρα τὴν ἰδίαν συνέπειαν. Ὅπως ἀκριβῶς εἶπε χθές, «Νὰ γίνῃ φῶς», καὶ ὅταν ἐδημιουργήθη, τότε ἐπρόσθεσε, «Ἂς χωρίζῃ τὸ φῶς ἀπὸ τὸ σκοτάδι, καὶ ἔτσι ὠνόμασε τὸ φῶς ἡμέραν»· ἔτσι καὶ σήμερα εἶπε· «Νὰ γίνῃ τὸ στερέωμα ἀνάμεσα εἰς τὰ ὕδατα». Ἔπειτα, ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τοῦ φωτός, ἔτσι καὶ ἐδῶ μᾶς ἐδίδαξε τὴν χρησιμότητα τοῦ στερεώματος, «Διὰ νὰ χωρίζῃ, λέγει, τὰ ὕδατα εἰς δύο μέρη». Καὶ ὅταν μᾶς ἐφανέρωσε τὴν χρησιμότητά του, τότε ὅπως καὶ εἰς τὸ φῶς ἔδωσε τὴν ὀνομασίαν, ἔτσι καὶ εἰς τὸ στερέωμα ἔδωσε τὴν ὀνομασίαν. «Καὶ ὠνόμασε, λέγει, τὸ στερέωμα οὐρανόν», αὐτὸ τὸ ὁ-

Καὶ πῶς, φησί, τινὲς βούλονται λέγειν πολλοὺς οὐρανοὺς γεγενῆσθαι; Οὐκ ἀπὸ τῆς θείας Γραφῆς ταῦτα διδασκόμενοι, ἀλλ' ἐξ οἰκείων λογισμῶν ὁρμώμενοι. Ὁ γὰρ μακάριος Μωϋσῆς οὐδὲν τούτων πλέον ἡμᾶς διδάσκει· εἰπὼν γάρ, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· εἶτα τὴν αἰτίαν διδάξας δι' ἣν ἀόρατος ἐτύγχανεν ἡ γῆ, ὑπὸ τοῦ σκότους καὶ τῶν ὑδάτων τῆς ἀβύσσου καλυπτομένη, μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν τάξει τινὶ καὶ ἀκολουθίᾳ χρώμενός φησι· «Καὶ εἶπεν ὁ Θεός, γενηθήτω στερέωμα». Εἶτα τὴν χρείαν αὐτοῦ τούτου τοῦ στερεώματος μετὰ ἀκριβείας διδάξας, καὶ εἰπών, «Ὥστε διαχωρίζειν ἀναμέσον ὕδατος καὶ ὕδατος», αὐτὸ τοῦτο τὸ στερέωμα οὐρανὸν ἐκάλεσε τὸ τῶν ὑδάτων χωρισμὸν ἐργασάμενον. Τίς ἂν οὖν λοιπὸν μετὰ τὴν τοσαύτην διδασκαλίαν ἀνάσχοιτο τῶν ἁπλῶς ἐξ οἰκείας διανοίας φθέγγεσθαι βουλομένων, καὶ ἀπεναντίας τῇ θείᾳ Γραφῇ πολλοὺς οὐρανοὺς λέγειν ἐπιχειρούντων; Ἀλλ' ἰδού, φησίν, ὁ μακάριος Δαυὶδ αἶνον ἀναφέρων τῷ Θεῷ ἔφησεν· «Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν». Μὴ θορυβηθῇς, ἀγαπητέ, μηδὲ νομίσῃς τὴν ἁγίαν Γραφὴν ἐναντία ἑαυτῇ λέγειν ποτέ· ἀλλὰ μάνθανε τὴν ἀλήθειαν τῶν εἰρημένων, καὶ κατέχων τὴν ἀκριβῆ ταύτης διδασκαλίαν, ἀπόφραξον τὰς ἀκοὰς τοῖς ἀπεναντίας ταύτῃ φθεγγομένοις.

4. Τί δέ ἐστιν, ὃ βούλομαι εἰπεῖν, ἀκούσατε μετὰ πολλῆς τῆς προσοχῆς, ἵνα μὴ εὐκόλως παρασαλεύησθε ὑπὸ τῶν τὰ παριστάμενα λέγειν βουλομένων. Πᾶσαι αἱ θεῖαι βίβλοι τῆς παλαιᾶς Διαθήκης τῶν Ἑβραίων γλώττῃ ἐξ ἀρχῆς ἦσαν συντεθειμέναι, καὶ τοῦτο πάντες ἂν ἡμῖν συνομολογήσαιεν. Οὐ πρὸ πολλῶν δὲ ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας βασιλεύς τις Πτολεμαῖος περὶ τὴν τῶν βιβλίων συναγωγὴν πολλήν τινα σπουδὴν ποιησάμενος, καὶ πολλὰ ἕτερα συναγαγὼν καὶ διάφορα, ἔγνω δεῖν καὶ ταύτας τὰς βίβλους συναγαγεῖν.

7. Ψαλμ. 148, 4.
8. Πρόκειται διὰ τὸν Πτολεμαῖον Β΄ Φιλάδελφον (270 - 246 π.Χ.)

ποῖον βλέπομεν. Καὶ πῶς, θὰ εἰπῇ κάποιος, θέλουν μερικοὶ νὰ λέγουν ὅτι ἔχουν γίνει πολλοὶ οὐρανοί; Λέγουν, χωρὶς νὰ διδάσκωνται αὐτὰ ἀπὸ τὴν Ἁγίαν Γραφήν, ἀλλὰ κινούμενοι ἀπὸ τὰς ἰδικάς των σκέψεις. Διότι ὁ μακάριος Μωυσῆς δὲν μᾶς διδάσκει τίποτε περισσότερον ἀπὸ αὐτά· ἀφοῦ εἶπε λοιπόν, «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· ἔπειτα ἀφοῦ ἐδίδαξε τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἡ γῆ ἦτο ἀόρατος, ἐπειδὴ ἐσκεπάζετο ἀπὸ τὸ σκοτάδι καὶ τὰ ὕδατα τῆς ἀβύσσου, μετὰ τὴν δημιουργίαν τοῦ φωτὸς χρησιμοποιῶν κάποιαν τάξιν καὶ συνέπειαν λέγει· «Καὶ εἶπεν ὁ Θεός, νὰ γίνῃ τὸ στερέωμα». Ἔπειτα ἀφοῦ ἐδίδαξε μὲ ἀκρίβειαν τὴν χρησιμότητα τοῦ στερεώματος αὐτοῦ, καὶ ἀφοῦ εἶπε, «Διὰ νὰ χωρίζῃ τὰ ὕδατα εἰς δύο μέρη», ὠνόμασεν οὐρανὸν αὐτὸ τὸ στερέωμα, τὸ ὁποῖον χωρίζει τὰ ὕδατα. Ποῖος λοιπὸν θὰ ἠμποροῦσεν εἰς τὸ ἑξῆς νὰ ἀνεχθῇ, μετὰ αὐτὴν τὴν διδασκαλίαν, ἐκείνους, ποὺ θέλουν νὰ ὁμιλοῦν ἁπλῶς ἐξ ἰδίων καὶ ἐπιχειροῦν νὰ λέγουν ἀντίθετα πρὸς τὴν Ἁγίαν Γραφὴν ὅτι ὑπάρχουν πολλοὶ οὐρανοί; Ἰδοὺ ὅμως, λέγει, ὁ μακάριος Δαυῒδ ἀναπέμπων δοξολογίαν πρὸς τὸν Θεόν, ἔλεγεν· «Δοξολογεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν»[7]. Μὴ θορυβῆσαι, ἀγαπητέ, οὔτε νὰ νομίσῃς ὅτι κάποτε ἡ Ἁγία Γραφὴ λέγει ἀντίθετα πρὸς τὸν ἑαυτόν της· ἀλλὰ νὰ μαθαίνῃς τὴν ἀλήθειαν τῶν λεχθέντων, καὶ ἀφοῦ κατέχῃς τὴν μὲ ἀκρίβειαν γενομένην διδασκαλίαν αὐτῆς, κλεῖσε τελείως τὰ αὐτιά σου εἰς τοὺς λέγοντας τὰ ἀντίθετα πρὸς αὐτήν.

4. Τί εἶναι δὲ ἐκεῖνο, τὸ ὁποῖο θέλω νὰ εἰπῶ, ἀκούσατε μὲ πολλὴν προσοχήν, διὰ νὰ μὴ παρασύρεσθε εὔκολα ἀπὸ ἐκείνους, ποὺ θέλουν νὰ λέγουν τὰ παρόντα. Ὅλα τὰ θεόπνευστα βιβλία τῆς Παλαιᾶς Διαθήκης εἶχαν συνταχθῆ ἀπὸ τὴν ἀρχὴν εἰς τὴν ἑβραϊκὴν γλῶσσαν, καὶ αὐτὸ θὰ ἠμπορούσαμεν ὅλοι μας νὰ παραδεχθοῦμεν. Ὀλίγα δὲ ἔτη πρὶν ἀπὸ τὴν γέννησιν τοῦ Χριστοῦ κάποιος βασιλεὺς Πτολεμαῖος[8], ὁ ὁποῖος ἔδειξε μέγα ἐνδιαφέρον διὰ τὴν συγκέντρωσιν τῶν βιβλίων καὶ ἀφοῦ συνεκέντρωσε πολλὰ ἄλλα καὶ διαφορετικὰ βιβλία, κατενόησεν ὅτι ἔπρεπε νὰ συγ-

Μεταπεμψάμενος οὖν τινας τῶν ἐν Ἱεροσολύμοις Ἰουδαίων, μεταβαλεῖν εἰς τὴν Ἑλλάδα γλῶτταν προσέταξε· καὶ δὴ τοῦτο εἰς ἔργον αὐτῷ ἐξενήνεκται. Ἐγένετο δὲ καὶ τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας ἔργον, ὥστε μὴ μόνον τοὺς τὴν Ἑβραίων γλῶτταν ἠσκημένους, ἀλλὰ καὶ πάντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπώσασθαι. Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐ τῶν τὰ Ἰουδαϊκὰ φρονούντων τις τὴν σπουδὴν ταύτην ἐποιήσατο, ἀλλ' ἀνὴρ τοῖς εἰδώλοις προσιετηκώς, καὶ ἀπεναντίας τῇ θρησκείᾳ διακείμενος. Τοιαῦτα γάρ ἐστιν ἅπαντα τὰ ὑπὸ τοῦ Δεσπότου τοῦ ἡμετέρου οἰκονομούμενα· ἀεὶ διὰ τῶν ἐναντίων αὔξει τὰ τῆς ἀληθείας προστάγματα. Ταῦτα δὲ οὐχ ἁπλῶς διηγησάμην ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἵνα εἰδέναι ἔχητε, ὅτι οὐ ταύτῃ τῇ γλώττῃ, τῇ ἡμετέρᾳ λέγω, ἀλλὰ τῇ Ἑβραΐδι ἦσαν συντεθειμέναι. Λέγουσι τοίνυν οἱ τὴν γλῶτταν ἐκείνην ἀκριβῶς ἠσκημένοι, τὸ τοῦ οὐρανοῦ ὄνομα πληθυντικῶς καλεῖσθαι παρὰ τοῖς Ἑβραίοις, καὶ τοῦτο καὶ οἱ τὴν Σύρων γλῶτταν ἐπιστάμενοι συνομολογοῦσι. Καὶ οὐκ ἄν τις εἴποι, τῇ γλώττῃ, φησί, τῇ παρ' αὐτοῖς, ὁ οὐρανός, ἀλλ' οἱ οὐρανοί. Διὰ τοῦτο τοίνυν οὕτως εἴρηται τὸ ὑπὸ τοῦ μακαρίου Δαυὶδ εἰρημένον, «Οἱ οὐρανοὶ τῶν οὐρανῶν», οὐκ ἐπειδὴ πολλοί εἰσιν οἱ οὐρανοί· οὐδὲ γὰρ τοῦτο ἡμᾶς ἐδίδαξεν ὁ μακάριος Μωϋσῆς· ἀλλ' ἐπειδὴ σύνηθες τῇ γλώττῃ τῶν Ἑβραίων οὕτως ὀνομάζειν τοῦ τὴν ἑνὸς προσηγορίαν πληθυντικῶς· ἐπεὶ εἰ πολλοὶ ἦσαν, οὐκ ἂν παρέλειπε τὸ Πνεῦμα τὸ ἅγιον μὴ διὰ τῆς γλώττης τοῦ μακαρίου τούτου προφήτου διδάξαι ἡμᾶς καὶ τῶν ἄλλων τὴν δημιουργίαν. Ταῦτα ἀκριβῶς κατέχετε, παρακαλῶ, ἵνα δύνησθε ἐπιστομίζειν τοὺς ἐναντία τῇ Ἐκκλησίᾳ δόγματα ἐπεισφέρειν βουλομένους, καὶ εἰδῆτε μετὰ ἀσφαλείας τῶν ἐν ταῖς θείαις Γραφαῖς κειμένων τὴν δύναμιν. Διὰ γὰρ τοῦτο καὶ συνεχῶς ἐνταῦθα παραγίνεσθε, καὶ

κεντρώση καὶ αὐτὰ τὰ βιβλία. Ἀφοῦ ἐπροσκάλεσε λοιπὸν μερικοὺς Ἰουδαίους, ποὺ ἐκατοικοῦσαν εἰς τὰ Ἰεροσόλυμα, παρήγγειλε νὰ μεταφράσουν αὐτὰ εἰς τὴν ἑλληνικὴν γλῶσσαν· καὶ βεβαίως ἔφεραν εἰς πέρας πρὸς χάριν του αὐτὸ τὸ ἔργον. Ἔγινε δὲ καὶ αὐτὸ τὸ ἔργον τῆς οἰκονομίας τοῦ Θεοῦ, ὥστε ὄχι μόνον οἱ ὁμιλοῦντες τὴν ἑβραϊκὴν γλῶσσαν, ἀλλὰ καὶ ὅλοι οἱ ἄνθρωποι τῆς οἰκουμένης νὰ ἀπολαύσουν τὴν ὠφέλειαν ἀπὸ αὐτά. Καὶ τὸ ἐντελῶς θαυμαστὸν καὶ περίεργον εἶναι, ὅτι τὸ ἐνδιαφέρον αὐτὸ ἐπέδειξεν ὄχι κάποιος, ποὺ ἐπίστευεν εἰς τὴν ἰουδαϊκὴν θρησκείαν, ἀλλὰ ἄνδρας ὁ ὁποῖος ἦτο ἀφωσιωμένος εἰς τὰ εἴδωλα καὶ διέκειτο ἐχθρικῶς πρὸς τὴν θρησκείαν. Διότι τέτοια εἶναι ὅλα ἐκεῖνα, τὰ ὁποῖα ρυθμίζει ὁ ἰδικός μας Κύριος· πάντοτε μὲ τοὺς ἐχθροὺς αὐξάνουν τὰ προστάγματα τῆς ἀληθείας. Αὐτὰ δὲ διηγήθην εἰς τὴν ἀγάπην σας ὄχι ἁπλῶς, ἀλλὰ διὰ νὰ ἠμπορῆτε νὰ γνωρίζετε, ὅτι δὲν εἶχαν συνταχθῆ εἰς αὐτὴν τὴν γλῶσσαν, δηλαδὴ τὴν ἑλληνικήν, ἀλλὰ εἰς τὴν ἑβραϊκήν. Λέγουν λοιπὸν οἱ ὁμιλοῦντες ἐκείνην τὴν γλῶσσαν μὲ ἀκρίβειαν, τὸ ὄνομα τοῦ οὐρανοῦ ἀπαντᾶται εἰς τὸν πληθυντικὸν εἰς τοὺς Ἑβραίους, καὶ αὐτὸ δέχονται καὶ οἱ γνωρίζοντες τὴν γλῶσσαν τῶν Σύρων. Καὶ δὲν θὰ εἰπῇ κανείς, λέγει, εἰς τὴν γλῶσσαν αὐτῶν: ὁ οὐρανός, ἀλλὰ οἱ οὐρανοί. Δι' αὐτὸ λοιπὸν ἔτσι ἔχει λεχθῆ ὁ λόγος τοῦ μακαρίου Δαυΐδ, «Οἱ οὐρανοὶ τῶν οὐρανῶν», ὄχι ἐπειδὴ οἱ οὐρανοὶ εἶναι πολλοί· οὔτε βεβαίως μᾶς ἐδίδαξεν αὐτὸ ὁ μακάριος Μωυσῆς· ἀλλ' ἐπειδὴ ἦτο συνήθεια εἰς τὴν ἑβραϊκὴν γλῶσσαν νὰ ὀνομάζουν ἔτσι τὴν ὀνομασίαν τοῦ ἑνὸς πράγματος εἰς τὸν πληθυντικόν. Διότι ἐὰν ἦσαν πολλοί, δὲν θὰ παρέλειπε τὸ Ἅγιον Πνεῦμα νὰ μὴ μᾶς διδάξῃ μὲ τὴν γλῶσσαν τοῦ μακαρίου αὐτοῦ προφήτου τὴν δημιουργίαν καὶ τῶν ἄλλων οὐρανῶν. Αὐτὰ νὰ κατέχετε μὲ ἀκρίβειαν, παρακαλῶ, διὰ νὰ ἠμπορῆτε νὰ ἀποστομώνετε ἐκείνους, ποὺ θέλουν νὰ εἰσάγουν δοξασίας ἀντιθέτους πρὸς τὴν Ἐκκλησίαν καὶ νὰ γνωρίζετε μὲ ἀσφάλειαν τὴν δύναμιν τῶν εὑρισκομένων λέξεων μέσα εἰς τὴν Ἁγίαν Γραφήν. Δι' αὐτὸ βεβαίως καὶ παρευρίσκε-

ἡμεῖς πυκνότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιούμεθα, ἵνα παρεσκευασμένοι ἦτε παντὶ τῷ αἰτοῦντι ὑμᾶς διδόναι λόγον. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν, εἰ δοκεῖ. «Καὶ ἐκάλεσεν ὁ Θεός», φησί, «τὸ στερέωμα οὐρανόν. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν». Σκόπει πόση τῶν ῥημάτων ἡ συγκατάβασις διὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην. Καθάπερ γὰρ ἐπὶ τοῦ φωτὸς εἶπεν, «Εἶδεν ὅτι καλόν», οὕτω καὶ νῦν ἐπὶ τοῦ οὐρανοῦ, ἤτοι τοῦ στερεώματος, «Καὶ εἶδεν», φησίν, «ὁ Θεὸς ὅτι καλόν»· διδάσκων ἡμᾶς διὰ τούτου τὸ κάλλος αὐτοῦ τὸ ἐν τοσούτῳ χρόνῳ ἀκμαῖον διετήρησε τὸ κάλλος, καὶ ὅσῳ πρόεισιν ὁ χρόνος τοσούτῳ καὶ τὸ κάλλος ἐπιτείνεται; Τί γὰρ ὡραιότερον γένοιτ' ἂν τοῦ παρὰ τοῦ δημιουργοῦ τὸν ἔπαινον δεξαμένου; Εἰ γὰρ ἡμεῖς ἀνθρώπου ἔργον ὁρῶντες ἀπηρτισμένον, θαυμάζομεν τὸ σχῆμα, τὴν θέσιν, τὸ κάλλος, τὴν ἀναλογίαν, τὸν ῥυθμόν, τὰ ἄλλα ἅπαντα, τὸ ὑπὸ τοῦ Θεοῦ δημιουργηθὲν πῶς ἄν τις κατ' ἀξίαν ἐπαινέσειε, καὶ μάλιστα ὅταν καὶ αὐτοῦ τοῦ Δεσπότου τὸν ἔπαινον δέξηται; Τοῦτο γὰρ διὰ τὴν ἡμετέραν συγκατάβασιν εἴρηται, καὶ ὄψει αὐτὸν ἐφ' ἑκάστου τῶν γινομένων τοῦτο λέγοντα, καὶ προαναιροῦντα τὴν τόλμαν τῶν μετὰ ταῦτα μελλόντων τὴν οἰκείαν γλῶσσαν ἀκονᾶν κατὰ τῆς τοῦ Θεοῦ δημιουργίας, καὶ λεγόντων, διὰ τί τὸ καὶ τὸ γέγονε; Τοὺς ταῦτα τοίνυν ἐπιχειροῦντας λέγειν προαναστέλλων φησί· «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν». Ὅταν δὲ ἀκούσῃς, ὅτι εἶδεν ὁ Θεός, καὶ ἐπῄνεσε, θεοπρεπῶς νόει τὸ ῥηθέν, καὶ ὡς εἰκὸς ἐπὶ Θεοῦ. Ὁ γὰρ παραγαγών, καὶ πρὶν ἢ δημιουργήσῃ, ἠπίστατο τοῦ δημιουργουμένου τὸ κάλλος· ἀλλ' ἐπειδὴ ἀνθρώπους ἡμᾶς ὄντας, καὶ τοσαύτῃ ἀσθενείᾳ περιβεβλημένους οὐκ ἐνῆν ἑτέρως ἀκοῦσαι, διὰ τοῦτο παρεσκεύασε τοῦ μακαρίου προφήτου τὴν γλῶτταν, τῇ παχύτητι

σθε ἐδῶ συνεχῶς, καὶ ἡμεῖς σᾶς διδάσκομεν συχνότερα, διὰ νὰ εἶσθε ἕτοιμοι νὰ δίδετε ἀπάντησιν εἰς τὸν καθένα, ποὺ σᾶς ἐρωτᾶ. Ἀλλὰ ἂς ἐπανέλθωμεν εἰς τὴν συνέχειαν, ἐὰν θέλετε. «Καὶ ὠνόμασεν ὁ Θεός, λέγει, τὸ στερέωμα οὐρανόν. Καὶ εἶδεν ὁ Θεός, ὅτι ἦτο καλόν». Παρατήρησε πόση εἶναι ἡ συγκατάβασις τῶν λέξεων ἐξ αἰτίας τῆς ἀνθρωπίνης ἀδυναμίας. Διότι ὅπως ἀκριβῶς εἶπεν εἰς τὴν περίπτωσιν τοῦ φωτός, «Εἶδεν ὅτι ἦτο καλόν», ἔτσι καὶ τώρα διὰ τὸν οὐρανόν, δηλαδὴ διὰ τὸ στερέωμα, «Καὶ εἶδε, λέγει, ὁ Θεὸς ὅτι ἦτο καλόν»· διδάσκων ἡμᾶς μὲ αὐτὸν τὸν τρόπον τὰ ἀνυπέρβλητον κάλλος αὐτοῦ. Διότι ποῖος δὲν θὰ ἐκπλαγῇ καὶ δὲν θὰ θαυμάσῃ, διότι εἰς τόσον πολὺν χρόνον διετήρησε ζωηρὸν τὸ κάλλος, καὶ ὅσον προχωρεῖ ὁ καιρός, τόσον ἐπαυξάνεται καὶ τὸ κάλλος; Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ γίνῃ ὡραιότερον ἀπὸ ἐκεῖνο, ποὺ ἐδέχθη τὸν ἔπαινον ἀπὸ τὸν δημιουργόν; Διότι ἐὰν ἡμεῖς, βλέποντες ἕνα συμπληρωμένον ἔργον ἀνθρώπου, θαυμάζωμεν τὸ σχῆμα, τὴν θέσιν, τὴν ὁμορφιάν, τὴν ἀναλογίαν, τὸν ρυθμόν, ὅλα τὰ ἄλλα, ἐκεῖνο ποὺ ἐδημιούργησεν ὁ Θεὸς πῶς θὰ ἠμπορέσῃ νὰ ἐπαινέσῃ κανεὶς ἐπαξίως, καὶ πρὸ παντὸς ὅταν δεχθῇ τὸν ἔπαινον καὶ αὐτοῦ τοῦ Κυρίου; Αὐτὸ βέβαια ἔχει λεχθῆ διὰ τὴν ἰδικήν μας συγκατάβασιν, καὶ θὰ ἰδῇς νὰ λέγῃ αὐτὸς τὸ ἴδιον εἰς κάθε δημιούργημα, καὶ νὰ ἀναιρῇ ἀπὸ πρὶν τὴν τόλμην ἐκείνων, ποὺ ὕστερα ἀπὸ αὐτὰ πρόκειται νὰ ἀκονίζουν τὴν γλῶσσαν των ἐναντίον τῆς δημιουργίας τοῦ Θεοῦ καὶ νὰ λέγουν, διατί ἔχει γίνει αὐτὸ καὶ αὐτό; Ἀνακόπτων λοιπὸν προκαταβολικὰ αὐτούς, ποὺ ἐπιχειροῦν νὰ λέγουν αὐτά, λέγει· «Καὶ εἶδεν ὁ Θεός, ὅτι ἦτο καλόν». Ὅταν δὲ ἀκούσῃς, ὅτι εἶδεν ὁ Θεὸς καὶ ἐπήνεσε, νὰ ἐννοῇς τὸ λεχθὲν ὅπως ἁρμόζει εἰς τὸν Θεόν, καὶ ὅπως εἶναι φυσικὸν εἰς αὐτόν. Διότι ὁ δημιουργήσας καὶ προτοῦ ἀκόμη δημιουργήσῃ, ἐγνώριζε καλὰ τὴν ὁμορφιὰν τοῦ δημιουργήματος· ἀλλὰ ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ ἀκούσωμεν κατὰ διαφορετικὸν τρόπον, καθόσον εἴμεθα ἄνθρωποι καὶ περιβαλλώμεθα μὲ τόσον μεγάλην ἀδυναμίαν, διὰ τοῦτο ἔκαμε τὴν γλῶσσαν τοῦ μα-

τούτων χρήσασθαι τῶν ῥημάτων πρὸς διδασκαλίαν τῆς τῶν ἀνθρώπων φύσεως.

Ὅταν τοίνυν ἀνατείνῃς τὸ ὄμμα, καὶ θεάσῃ τοῦ οὐρανοῦ τὸ κάλλος, τὸ μέγεθος, τὴν χρείαν, τότε ἐντεῦθεν ἐπὶ τὸν δημιουργὸν ἀνάδραμε, καθάπερ σοφός τις ἔλεγεν· «Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται». Καὶ σκόπει τοῦ Δεσπότου σου τὴν δύναμιν, ὅση τίς ἐστι, καὶ ἐκ τῆς τῶν στοιχείων τούτων δημιουργίας. Ὁ γὰρ εὐγνώμονα ψυχὴν ἔχων, εἰ βουληθείη καθ' ἕκαστον τῶν ὁρωμένων διερευνᾶσθαι· καὶ τί λέγω καθ' ἕκαστον τῶν γινομένων; τὴν οἰκείαν μόνον διάπλασιν ἐὰν ἀκριβῶς βουληθῇ διασκέψασθαι, ὄψεται καὶ διὰ τῶν μικρῶν τούτων τὴν ἄφατον καὶ ἀνεκδιήγητον τοῦ Θεοῦ δύναμιν. Εἰ δὲ τὰ ὁρώμενα ἱκανὰ διδάξαι τὸ μέγεθος τῆς τοῦ δημιουργοῦ δυνάμεως, ἐὰν καὶ ἐπὶ τὰς ἀοράτους δυνάμεις ἔλθῃς, καὶ τὸν λογισμὸν ἀνατείνῃς ἐπὶ τὰς τῶν ἀγγέλων στρατιάς, τῶν ἀρχαγγέλων, τῶν ἄνω δυνάμεων, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τῶν Χερουβίμ, τῶν Σεραφίμ, ποία διάνοια, ποῖος λόγος ἀρκεῖ ἐξειπεῖν τὴν μεγαλωσύνην αὐτοῦ τὴν ἀνεκδιήγητον; Εἰ γὰρ ὁ Δαυὶδ ὁ μακάριος προφήτης τῶν ὁρωμένων τὴν διακόσμησιν καταμαθὼν ἐβόα λέγων, «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας»· ἀνὴρ τοσούτου Πνεύματος ἠξιωμένος, καὶ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ μαθεῖν καταξιωθείς, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ γῆ καὶ σποδὸς ὄντες, καὶ διηνεκῶς ὀφείλοντες κάτω κύπτειν, καὶ ἐκπλήττεσθαι τοῦ τῶν ἁπάντων Δεσπότου τὴν ἄφατον φιλανθρωπίαν; Καὶ τί λέγω τὸν προφήτην; Ὁ γὰρ μακάριος Παῦλος, ἡ οὐρανομήκης ἐκείνη ψυχή, ὁ σῶμα περικείμενος, καὶ ταῖς ἀσωμάτοις δυνάμεσιν ἁμιλλώμενος, ὁ ἐν γῇ βαδίζων, καὶ τῇ προθυμίᾳ τὸν οὐρανὸν περιπολῶν, εἰς μέρος ἕν τι τῶν οἰκονο-

9. Σοφ. Σολ. 13, 5.
10. Ψαλμ. 103, 24.

καρίου προφήτου νὰ χρησιμοποιήσῃ τὰς χονδροειδεῖς αὐτὰς λέξεις πρὸς διδασκαλίαν τοῦ ἀνθρωπίνου γένους.

5. Ὅταν λοιπὸν σηκώσῃς τὸ βλέμμα σου πρὸς τὰ ἐπάνω καὶ ἰδῇς τὴν ὀμορφιὰν τοῦ οὐρανοῦ, τὸ μέγεθος, τὴν χρησιμότητα, τότε ἀπὸ ἐκεῖ νὰ ἀνατρέξῃς πρὸς τὸν δημιουργόν, ὅπως ἀκριβῶς κάποιος σοφὸς ἔλεγε· «Διότι ἀπὸ τὸ μέγεθος καὶ τὴν ὡραιότητα τῶν δημιουργημάτων κατ᾽ ἀναλογίαν συμπεραίνεται καὶ ὁ δημιουργός των»[9]. Καὶ παρατήρησε τὴν δύναμιν τοῦ Κυρίου σου, πόσον μεγάλη εἶναι, καὶ ἀπὸ τὴν δημιουργίαν τῶν στοιχείων αὐτῶν. Διότι ἐκεῖνος ποὺ ἔχει εὐγνώμονα ψυχήν, ἐὰν θὰ ἤθελε νὰ ἐξετάσῃ καθένα ἀπὸ τὰ δημιουργήματα χωριστά· καὶ διατί λέγω καθένα ἀπὸ τὰ δημιουργήματα χωριστά; τὴν ἰδικήν του μόνον διάπλασιν ἐὰν θελήσῃ νὰ διερευνήσῃ μὲ προσοχήν, θὰ ἰδῇ καὶ διὰ μέσου τῶν μικρῶν αὐτῶν τὴν ἄπειρον καὶ ἀνέκφραστον δύναμιν τοῦ Θεοῦ. Καὶ ἐὰν τὰ ὁρατὰ εἶναι εἰς θέσιν νὰ διδάξουν τὸ μέγεθος τῆς δυνάμεως τοῦ δημιουργοῦ, ἐὰν ἔλθῃς καὶ εἰς τὰς ἀοράτους δυνάμεις, καὶ στρέψῃς τὴν σκέψιν εἰς τὰς στρατιὰς τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν ἄνω δυνάμεων, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τῶν Χερουβείμ, τῶν Σεραφείμ, ποῖος νοῦς, ποῖος λόγος εἶναι ἀρκετὸς νὰ ἐξυμνήσῃ τὴν ἀνέκφραστον μεγαλωσύνην αὐτοῦ; Διότι ἐὰν ὁ Δαυΐδ, ὁ μακάριος προφήτης, ἀφοῦ κατενόησε τὴν ὡραιότητα τῶν ὁρατῶν ἐφώναζε λέγων, «Πόσον μεγάλα εἶναι τὰ ἔργα σου, Κύριε, ἔκαμες τὰ πάντα μὲ σοφίαν»[10]· ὁ ὁποῖος ἠξιώθη τόσου Πνεύματος καὶ ἠμπόρεσε νὰ μάθῃ τὰ ἀφανέρωτα καὶ τὰ κρυφὰ τῆς σοφίας, τί θὰ ἠμπορέσωμεν νὰ εἰποῦμεν ἡμεῖς, οἱ ὁποῖοι εἴμεθα χῶμα καὶ στάκτη. καὶ πρέπει διαρκῶς νὰ σκύβωμεν πρὸς τὰ κάτω καὶ νὰ θαυμάζωμεν τὴν ἄπειρον φιλανθρωπίαν τοῦ Κυρίου τῶν πάντων; Καὶ διατί ἀναφέρω τὸν προφήτην; Διότι ὁ μακάριος Παῦλος, ἡ μεγάλη ἐκείνη ψυχή, ὁ ὁποῖος εἶχε σῶμα καὶ ἐπροσπαθοῦσε νὰ συναγωνισθῇ μὲ τὰς ἀσωμάτους δυνάμεις, ὁ ὁποῖος ἐβάδιζεν εἰς τὴν γῆν καὶ μὲ τὴν προθυμίαν του επεριφέρετο εἰς τὸν οὐρανόν, ὅταν ἠσχολήθη μὲ ἕνα μέρος

μιῶν τοῦ Θεοῦ ἐμπεσὼν (τὸ κατὰ Ἰουδαίους καὶ Ἕλληνας λέγω, καὶ πῶς οἱ μὲν ἐξεβλήθησαν, οἱ δὲ ἀντεισήχθησαν), καὶ διαπορήσας καὶ ἰλιγγιάσας ἀνέκραξε μέγα βοῶν, καὶ λέγων, «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». Ἀλλ' ἐνταῦθα ἡδέως ἐροίμην τοὺς τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ γέννησιν περιεργάζεσθαι τολμῶντας, καὶ τοῦ ἁγίου Πνεύματος τὴν ἀξίαν καθαιρεῖν ἐπιχειροῦντας· πόθεν ὑμῖν, εἰπέ μοι, τῆς τοσαύτης τόλμης ἡ προπέτεια; ἀπὸ ποίας παροινίας εἰς τοσοῦτον μανίας ἐξωκείλατε; Εἰ γὰρ Παῦλος ὁ τοσοῦτος, καὶ τηλικοῦτος, τὰ κρίματα αὐτοῦ, τοῦτ' ἔστι, τὰς οἰκονομίας, τὰς διοικήσεις, ἀνεξερεύνητά φησιν εἶναι, καὶ οὐκ εἶπεν ἀκατάληπτα, ἀλλ' ἀνεξερεύνητα, ὥστε μηδὲ ἔρευναν ἐπιδέξασθαι καὶ ἀνεξιχνίαστοι, φησίν, αἱ ὁδοὶ αὐτοῦ, πάλιν τὸ αὐτὸ λέγων, ὁδοὺς τὰ προστάγματα καλῶν καὶ τὰς ἐντολάς, πῶς ὑμεῖς αὐτὴν τὴν οὐσίαν τοῦ Μονογενοῦς περιεργάζεσθαι τολμᾶτε, καὶ τοῦ ἁγίου Πνεύματος τὴν ἀξίαν ἐλαττοῦν τό γε καθ' ὑμᾶς; Ὁρᾶτε, ἀγαπητοί, ὅσον ἐστὶ κακὸν τὸ μὴ προσέχειν μετὰ ἀκριβείας τοῖς ἐν τῇ θείᾳ Γραφῇ κειμένοις. Οὗτοι γὰρ εἰ τὰ ἀπὸ τῆς θείας Γραφῆς διδάγματα μετ' εὐγνωμοσύνης ἐδέχοντο, καὶ μὴ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν εἰσέφερον, οὐκ ἂν εἰς τοσαύτην ἄνοιαν ἐτράπησαν. Ἀλλ' ἡμεῖς οὐδὲ οὕτω πανσώμεθα τὰ ἀπὸ τῆς θείας Γραφῆς αὐτοῖς ἐνηχοῦντες, καὶ τὰς ἑαυτῶν ἀκοὰς ἀποτειχίζοντες τοῖς ὀλεθρίοις αὐτῶν διδάγμασιν.

Ἀλλ' οὐκ οἶδα πῶς ὑπὸ τῆς ῥύμης τοῦ λόγου εἰς ταῦτα ἐξενεχθέντες, τῆς ἀκολουθίας ἐξεπέσαμεν· διὸ πάλιν ἐπαναγαγεῖν δεῖ τὸν λόγον ἐπὶ τὰ πρότερα, «Καὶ ἐκάλεσε», φησίν, «ὁ Θεὸς τὸ στερέωμα οὐρανόν, καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα». Ἐπι-

11. Ρωμ. 11, 33.

ἀπὸ τὰ σχέδια τοῦ Θεοῦ (τὸ ἀναφερόμενον δηλαδὴ εἰς τοὺς Ἰουδαίους καὶ ἐθνικούς, καὶ πῶς οἱ μὲν ἐξεδιώχθησαν, οἱ δὲ εἰσήχθησαν εἰς ἀντικατάστασίν των), καὶ ἀφοῦ ἐθαύμασε καὶ ἔπαθεν ἴλιγγον, ἀνέκραξε δυνατὰ καὶ λέγων, «Ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως τοῦ Θεοῦ! πόσον ἀνεξερεύνητοι εἶναι αἱ κρίσεις του καὶ ἀνεξιχνίαστοι οἱ τρόποι ἐνεργείας του»[11]. Ἀλλὰ ἐδῶ μὲ εὐχαρίστησιν θὰ ἐρωτήσω ἐκείνους, ποὺ τολμοῦν νὰ περιεργάζωνται τὴν γέννησιν τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ ἐπιχειροῦν νὰ καταλύσουν τὴν ἀθίαν τοῦ Ἁγίου Πνεύματος· ἀπὸ ποῦ, εἰπέ μου, προέρχεται εἰς σᾶς ἡ ἀπερισκεψία τόσης τόλμης; ἀπὸ ποίαν παραφροσύνην παρεσύρθητε εἰς τόσην μανίαν; Διότι ἐὰν ὁ Παῦλος, ὁ τόσον μέγας καὶ τόσον σπουδαῖος, λέγῃ ὅτι αἱ κρίσεις τοῦ Θεοῦ, δηλαδή, τὰ σχέδιά του καὶ οἱ τρόποι διοικήσεώς του, εἶναι ἀνεξερεύνητοι, καὶ δὲν εἶπεν ἀκατανόητοι, ἀλλὰ ἀνεξερεύνητοι, διὰ νὰ μὴ ἐπιδέχωνται οὔτε ἔρευναν καὶ ἂν λέγῃ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ, πάλιν τὸ αὐτὸ ἐννοῶν, διότι ὁδοὺς ὀνομάζει τὰς προσταγὰς καὶ ἐντολάς του, πῶς τολμᾶτε σεῖς νὰ περιεργάζεσθε τὴν οὐσίαν τοῦ Μονογενοῦς Υἱοῦ καὶ νὰ μειώνετε, ὅσον βεβαίως ἐξαρτᾶται ἀπὸ σᾶς, τὴν ἀξίαν τοῦ Ἁγίου Πνεύματος; Βλέπετε, ἀγαπητοί, πόσον κακὸν εἶναι τὸ νὰ μὴ προσέχετε μὲ ἀκρίβειαν εἰς τὰ κείμενα τῆς Ἁγίας Γραφῆς. Διότι ἐὰν ἐδέχοντο αὐτοὶ μὲ εὐγνωμοσύνην τὰς διδασκαλίας τῆς Ἁγίας Γραφῆς καὶ δὲν ἐξέφραζον τὰς ἰδικάς των σκέψεις, δὲν θὰ ἐξετρέποντο εἰς τόσον μεγάλην μωρίαν. Ἡμεῖς ὅμως οὔτε ἔτσι θὰ παύσωμεν νὰ διδάσκωμεν εἰς αὐτοὺς τὰ διδάγματα τῆς Ἁγίας Γραφῆς καὶ νὰ φράσσωμεν ἐντελῶς τὰ αὐτιά των εἰς τὰς καταστρεπτικὰς διδασκαλίας αὐτῶν.

6. Ἀλλὰ δὲν γνωρίζω, πῶς πάλιν ἀπὸ τὴν ὁρμὴν τοῦ λόγου ὁδηγηθέντες εἰς αὐτά, ἀπεμακρύνθημεν ἀπὸ τὴν συνέχειάν μας· δι' αὐτὸ πρέπει νὰ ἐπαναφέρωμεν πάλιν τὸν λόγον εἰς τὰ προηγούμενα. «Καὶ ὠνόμασε, λέγει, ὁ Θεὸς τὸ στερέωμα οὐρανόν, καὶ εἶδεν ὁ Θεός, ὅτι ἦτο καλόν. Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωί, ἡμέρα δευτέρα». Ἀφοῦ

θεὶς τὴν προσηγορίαν τῷ στερεώματι, καὶ ἐπαινέσας τὸ γεγονός, τέλος ἐπέθηκε τῇ δευτέρᾳ ἡμέρᾳ, καί φησι· «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα». Εἶδες πῶς μετὰ ἀκριβείας ἡμᾶς διδάσκει τὸ μὲν τέλος τοῦ φωτὸς ἑσπέραν καλῶν, τὸ δὲ τέλος τῆς νυκτὸς πρωΐαν, καὶ ἡμέραν τὸ πᾶν προσαγορεύων, ὥστε μὴ πλανᾶσθαι ἡμᾶς, μηδὲ νομίζειν τὴν ἑσπέραν τέλος εἶναι τῆς ἡμέρας, ἀλλ' εἰδέναι σαφῶς ὅτι ἀμφοτέρων τὸ μῆκος μίαν ἡμέραν πληροῖ; Καὶ ἡ μὲν ἑσπέρα τέλος τοῦ φωτὸς ἂν δικαίως λέγοιτο, ὁ δὲ ὄρθρος, τοῦτ' ἔστι, τὸ τέλος τῆς νυκτός, πλήρωμα τῆς ἡμέρας. Τοῦτο γὰρ βούλεται δηλοῦν ἡ θεία Γραφὴ φάσκουσα, «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα». Τάχα εἰς πολὺ μῆκος τὸν λόγον ἐξετείναμεν, οὐχ ἑκόντες, ἀλλ' ὑπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς τῶν λόγων ἀκολουθίας, καθάπερ ὑπὸ χειμάρρου τινὸς σφοδροτάτου παρασυρέντες. Καὶ τούτου δὲ ὑμεῖς αἴτιοι, οἱ μεθ' ἡδονῆς ἀκούοντες τῶν παρ' ἡμῶν λεγομένων. Οὐδὲν γὰρ οὕτω διεγείρειν δύναται τὸν λέγοντα, καὶ εἰς πλείονα εὐπορίαν ἀγαγεῖν νοημάτων, ὡς ἡ τῶν ἀκροατῶν προθυμία. Καὶ ὥσπερ οἱ ἀναπεπτωκότες καὶ ῥάθυμοι ἀκροαταὶ καὶ τὸν λέγειν δυνάμενον ὀκνηρότερον ἀπεργάζονται, οὕτως ὑμεῖς διὰ τὴν τοῦ Θεοῦ χάριν, κἂν αὐτῶν τῶν λίθων ὦμεν ἀφωνότεροι, ἱκανοὶ τυγχάνετε τὴν ἡμετέραν νωθείαν διεγεῖραι, καὶ τὸν ὕπνον ἀποτινάξαι, καὶ βιάσασθαι εἰπεῖν τι τῶν ὑμῖν χρησίμων καὶ εἰς τὴν ὑμετέραν οἰκοδομὴν θεοδίδακτοι ὄντες, δυνάμενοι, κατὰ τὸν μακάριον Παῦλον, καὶ ἄλλους νουθετεῖν, φέρε παρακαλέσωμεν ὑμᾶς, εἰ καί ποτε ἄλλοτε, κατὰ τὸν τῆς νηστείας καιρόν, πολλὴν τῆς ἀρετῆς τὴν κατὰ Θεὸν πρόνοιαν ποιήσασθαι, καὶ μὴ προσκορὴς ὑμῖν ὁ λόγος γένηται, εἰ καθ' ἑκάστην ἡμέραν ὑμῖν περὶ τῶν αὐτῶν διαλεγόμεθα· τὰ αὐτὰ γὰρ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, κατὰ τὸν μακάριον Παῦλον,

12. Ρωμ. 15, 14.

ἔθεσε τὴν ὀνομασίαν εἰς τὸ στερέωμα καὶ ἀφοῦ ἐπήνεσε τὸ δημιουργηθέν, ἔδωσε τέλος εἰς τὴν δευτέραν ἡμέραν, καὶ λέγει· «Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωΐ, ἡμέρα δευτέρα». Εἶδες πῶς μᾶς διδάσκει μὲ ἀκρίβειαν καλῶν τὸ μὲν τέλος τοῦ φωτὸς βράδυ, τὸ δὲ τέλος τῆς νυκτὸς πρωὶ καὶ ὅλον αὐτὸ ὀνομάζων ἡμέραν, διὰ νὰ μὴ ἐξαπατώμεθα μεῖς, οὔτε νὰ θεωροῦμεν ὅτι τὸ βράδυ εἶναι τέλος τῆς ἡμέρας, ἀλλὰ διὰ νὰ γνωρίζωμεν μὲ σαφήνειαν, ὅτι ἡ διάρκεια καὶ τῶν δύο ἀποτελεῖ μίαν ἡμέραν; Καὶ τὸ μὲν βράδυ δικαίως θὰ ἐλέγετο τέλος τοῦ φωτός, ὁ δὲ ὄρθρος, δηλαδή, τὸ τέλος τῆς νυκτός, ὁλοκλήρωσις τῆς ἡμέρας. Διότι αὐτὸ θέλει νὰ δηλώσῃ ἡ Ἁγία Γραφή, ὅταν λέγῃ, «Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωΐ, ἡμέρα δευτέρα».) Ἴσως ἐπεκτείναμεν τὴν ὁμιλίαν εἰς μεγάλην διάρκειαν, χωρὶς νὰ τὸ θέλωμεν, ἀλλὰ ἀπὸ αὐτήν, ὅπως θὰ ἠμποροῦσε νὰ εἴπῃ κανείς, τὴν συνέχειαν τῶν λόγων, ὡσὰν νὰ παρεσύρθημεν ἀπὸ κάποιον ὁρμητικώτατον χείμαρρον. Καὶ δι' αὐτὸ δὲ σεῖς εἶσθε οἱ ὑπεύθυνοι, οἱ ὁποῖοι ἀκούετε μὲ εὐχαρίστησιν τὰ λεγόμενα ἀπὸ ἡμᾶς. Διότι τίποτε δὲν ἠμπορεῖ νὰ διεγείρῃ τόσον πολὺ τὸν ρήτορα καὶ νὰ τὸν ὁδηγήσῃ εἰς μεγαλύτερον πλοῦτον σκέψεων, ὅπως ἡ προθυμία τῶν ἀκροατῶν. Καὶ ὅπως οἱ ἀποθαρρυνόμενοι καὶ ἀδιάφοροι ἀκροαταὶ καθιστοῦν ὀκνηρότερον καὶ τὸν δεινὸν ρήτορα, ἔτσι σεῖς ἐξ αἰτίας τῆς χάριτος τοῦ Θεοῦ, καὶ ἂν ἀκόμη εἴμεθα ἀφωνότεροι καὶ ἀπὸ αὐτοὺς τοὺς λίθους, εἶσθε ἱκανοὶ νὰ διεγείρετε τὴν ἰδικήν μας νωθρότητα καὶ νὰ ἀπομακρύνετε τὸν ὕπνον καὶ νὰ μᾶς ἐξαναγκάσετε νὰ σᾶς εἴπωμεν κάτι χρήσιμον καὶ νὰ συντελῇ εἰς τὴν ἰδικήν σας προκοπήν. Ἐπειδὴ λοιπὸν συμβαίνει νὰ εἶσθε τόσον θεοδίδακτοι καὶ ἠμπορεῖτε, σύμφωνα μὲ τὸν μακάριον Παῦλον, νὰ νουθετῆτε καὶ ἄλλους[13], ἂς σᾶς παρακαλέσωμεν, περισσότερον ἀπὸ κάθε ἄλλην φοράν, κατὰ τὸν καιρὸν τῆς νηστείας, νὰ φροντίσετε πολὺ διὰ τὴν κατὰ Θεὸν ἀρετὴν καὶ νὰ μὴ σᾶς προκαλῇ ἀπέχθειαν ὁ λόγος, ἐφ' ὅσον καθημερινὰ συζητοῦμεν δι' αὐτὰ τὰ θέματα· διότι τὸ νὰ λέγω τὰ ἴδια, εἰς ἐμὲ μὲν δὲν προκαλεῖ ὀκνηρίαν καὶ ἐνόχλησιν, κατὰ τὸν

ὑμῖν δὲ ἀσφαλές. Δεῖται γὰρ ἡμῶν ἡ ψυχὴ ῥάθυμος οὖσα συνεχοῦς τῆς ὑπομνήσεως. Καὶ καθάπερ τὸ σῶμα τοῦτο καθ' ἑκάστην ἡμέραν δεῖται τῆς σωματικῆς τροφῆς, ὥστε μὴ εἰς πολλὴν ἀσθένειαν ἐμπεσὸν ἀνενέργητον κεῖσθαι, οὕτω δὴ καὶ ἡ ψυχὴ χρήζει τῆς πνευματικῆς τροφῆς καὶ τῆς ἀρίστης πολιτείας, ὥστε ἐν συνηθείᾳ τινὶ τῶν καλῶν γινομένην αὐτήν, ἀχείρωτον λοιπὸν καταστῆναι ταῖς ἐπιβουλαῖς τοῦ πονηροῦ.

Καθ' ἑκάστην τοίνυν τὴν ἡμέραν ταύτης τὴν ἰσχὺν περιεργαζώμεθα, καὶ ἑαυτοὺς διερευνώμενοι μηδέποτε διαλείπωμεν· καὶ λογοθέσιον ἑαυτοῖς ποιῶμεν, καὶ τῶν εἰσαγομένων, καὶ τῶν ἐξαγομένων, τί μὲν χρησίμως ἐφθεγξάμεθα, τί δὲ ἀργὸν ῥῆμα προηνέγκαμεν, καὶ πάλιν, τί μὲν τῶν ἐπωφελῶν διὰ τῆς ἀκοῆς εἰς τὴν ψυχὴν εἰσηγάγομεν, τί δὲ τῶν βλάπτειν δυναμένων πάλιν εἰς ταύτην εἰσηνέγκαμεν. Καὶ τῇ μὲν γλώττῃ κανόνας τινὰς καὶ ὅρους ἐπιθῶμεν, ὥστε πρότερον διαμαρυκᾶσθαι τὰ ῥήματα, καὶ οὕτω προφέρειν τοὺς λόγους· τὴν δὲ διάνοιαν παιδεύωμεν μηδὲν προΐεσθαι τῶν βλαβερῶν, ἀλλὰ κἂν ἔξωθέν τι ἐπεισφέρηται τοιοῦτον, τοῦτο ὡς περιττὸν καὶ βλάπτειν δυνάμενον ἀποσείεσθαι, κἂν ἔνδοθεν τίκτηται, ταχέως αὐτὸ φυγαδεύειν τῷ εὐσεβεῖ λογισμῷ, καὶ μὴ νομίζωμεν τὴν ἀσιτίαν μόνον τὴν μέχρι τῆς ἑσπέρας ἀρκεῖν ἡμῖν πρὸς σωτηρίαν. Εἰ γὰρ Ἰουδαίοις τοῖς ἀγνώμοσιν ἔλεγεν ὁ φιλάνθρωπος Δεσπότης διὰ τοῦ προφήτου· «Ἰδοὺ ἔτη ἑβδομήκοντα μὴ νηστείαν νενηστεύκατέ μοι; Καὶ ἐὰν φάγητε καὶ πίνητε, οὐχ ὑμεῖς ἐσθίετε καὶ πίνετε; Τάδε λέγει Κύριος παντοκράτωρ· κρίμα δίκαιον κρίνατε, καὶ ἔλεον καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, καὶ χήραν, καὶ ὀρφανόν, καὶ προσήλυτον, καὶ πένητα μὴ καταδυναστεύετε, καὶ κακίαν ἕκαστος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν». Εἰ τοίνυν ἐκείνοις τοῖς ἐπὶ τῇ σκιᾷ παρακαθημένοις, καὶ

---

13. Φιλιπ. 3, 1.
14. Ζαχ. 7, 5-6· 9-10.

μακάριον Παῦλον, εἰς σᾶς δὲ εἶναι ἀσφαλές[13]. Διότι ἡ ψυχή μας, ἐπειδὴ εἶναι νωθρά, ἔχει ἀνάγκην ἀπὸ συνεχῆ ὑπενθύμισιν. Καὶ ὅπως ἀκριβῶς τὸ σῶμα μας καθημερινῶς χρειάζεται τὴν ὑλικὴν τροφήν, διὰ νὰ μὴ καθίσταται ἀδρανές, ὅταν περιέλθῃ εἰς μεγάλην ἀδυναμίαν, ἔτσι λοιπὸν καὶ ἡ ψυχὴ ἔχει ἀνάγκην ἀπὸ τὴν πνευματικὴν τροφὴν καὶ τὴν ἀρίστην συμπεριφοράν, ὥστε ἀφοῦ συνηθίσῃ κάπως τὸ καλόν, νὰ καταστῇ εἰς τὸ ἑξῆς ἀπόρθητος εἰς τὰς σκευωρίας τοῦ πονηροῦ.

7. Ἂς περιεργαζώμεθα λοιπὸν καθημερινῶς τὴν δύναμιν αὐτῆς καὶ ἂς μὴ σταματήσωμεν ποτὲ νὰ ἐξετάζωμεν μὲ προσοχὴν τοὺς ἑαυτούς μας· καὶ ἂς κάνωμεν ἔλεγχον εἰς τοὺς ἑαυτούς μας, καὶ τῶν εἰσαγομένων καὶ τῶν ἐξαγομένων, τί μὲν εἴπαμεν χρήσιμον, ποῖον δὲ ἀργὸν λόγον ἐπροφέραμεν, καὶ πάλιν, τί μὲν ὠφέλιμον μὲ τὴν ἀκοήν μας ἐφέραμεν εἰς τὴν ψυχήν, τί δὲ πάλιν ἐφέραμεν μέσα εἰς αὐτὴν ἀπὸ ἐκεῖνα, ποὺ ἠμποροῦν νὰ βλάπτουν. Καὶ εἰς μὲν τὴν γλῶσσαν ἂς θέσωμεν κάποιους κανόνας καὶ ὅρους, ὥστε πρῶτα νὰ ἀναμασᾷ τὰ λόγια καὶ ἔτσι νὰ τὰ προφέρῃ· τὸν δὲ νοῦν ἂς ἐκπαιδεύωμεν νὰ μὴ ἐκφράζῃ τίποτε βλαβερόν, ἀλλὰ καὶ ἂν ἀπὸ ἔξω εἰσέρχεται κάτι τέτοιο, αὐτὸ ἂς τὸ ἀπορρίψῃ ὡς περιττὸν καὶ ἱκανὸν νὰ βλάπτῃ, καὶ ἂν ἀκόμη γεννᾶται μέσα μας, γρήγορα νὰ τὸ φυγαδεύῃ μὲ τὴν εὐσεβῆ σκέψιν, καὶ ἂς μὴ νομίζωμεν, ὅτι ἡ νηστεία μόνον μέχρι τὸ βράδυ εἶναι ἀρκετὴ διὰ τὴν σωτηρίαν μας. Ἐὰν βέβαια ὁ φιλάνθρωπος Κύριος ἔλεγε πρὸς τοὺς ἀχαρίστους Ἰουδαίους διὰ μέσου τοῦ προφήτου· «Ἰδοὺ ἐπὶ ἑβδομήντα ἤδη ἔτη, μήπως ἐπολλαπλασιάσατε τὰς νηστείας σας πρὸς χάριν μου; Καὶ ὅταν ἐτρώγετε καὶ ἐπίνετε, δὲν εἴσθε σεῖς οἱ τρώγοντες καὶ οἱ πίνοντες; Τὰ ἑξῆς λέγει ὁ Κύριος τῶν δυνάμεων· ἀπονέμετε πραγματικὴν δικαιοσύνην καὶ κάνετε εὐσπλαγχνίαν καὶ οἰκτιρμὸν ὁ καθένας μὲ τὸν ἀδελφόν του, καὶ μὴ καταπιέζετε χήραν καὶ ὀρφανόν, ξένον καὶ πτωχόν, καὶ μὴ σκέπτεσθε κακὸν μέσα εἰς τὴν καρδίαν σας ὁ ἕνας κατὰ τοῦ ἄλλου»[14]. Ἐὰν λοιπὸν εἰς ἐκείνους ποὺ ἐκάθηντο εἰς τὴν σκιὰν καὶ ἦσαν

τῷ σκότῳ τῆς πλάνης προσηλωμένοις, οὐδὲν ὄφελος ἀπὸ τῆς νηστείας μόνης ἐγίνετο, μὴ ταῦτα κατωρθωκόσι, καὶ τὴν κακίαν τὴν πρὸς τὸν πλησίον ἐκ τῆς καρδίας ἐξορίσασι, ποίαν ἕξομεν ἡμεῖς ἀπολογίαν οἱ τὰ μείζονα ἀπαιτούμενοι, καὶ οὐ ταῦτα μόνον ποιεῖν κελευόμενοι, ἀλλὰ καὶ ἐχθροὺς ἀγαπᾶν, καὶ εὐεργετεῖν προστaττόμενοι; καὶ τί λέγω, εὐεργετεῖν; εὔχεσθαι μὲν οὖν ὑπὲρ αὐτῶν, καὶ τὸν Δεσπότην παρακαλεῖν, καὶ ἱκετεύειν εἰς τὴν ὑπὲρ τούτων κηδεμονίαν; Τοῦτο γὰρ ἡμῖν μάλιστα πάντων ἐν ἐκείνῃ τῇ φοβερᾷ προστήσεται ἡμέρᾳ, καὶ δαπάνη μεγίστη ἔσται τῶν ἡμῖν ἡμαρτημένων, ἐὰν οὕτω πρὸς τοὺς ἐχθρωδῶς πρὸς ἡμᾶς ἔχοντας διακείμεθα. Εἰ γὰρ καὶ μέγα ἐστὶ σφόδρα τὸ ἐπίταγμα, ἀλλ᾽ ἐὰν τὸ ἔπαθλον ἐννοήσῃς τὸ κείμενον τοῖς τοῦτο κατορθοῦσιν, οὐδὲν ὅλως φανεῖται, κἂν σφόδρα μέγα ᾖ. Τί δὲ τοῦτό ἐστιν; «Ἐὰν τοῦτο ποιήσητε», φησίν, «ὅμοιοι ἔσεσθε τοῦ Πατρὸς ὑμῶν, τοῦ ἐν τοῖς οὐρανοῖς». Καὶ ἵνα σαφέστερον ἡμῖν τὸν λόγον ποιήσῃ, ἐπήγαγεν, «Ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Μιμῇ γάρ, φησί, κατὰ δύναμιν ἀνθρωπίνην τὸν Θεόν. Καθάπερ γὰρ ἐκεῖνος οὐ δικαίοις μόνον τὸν ἥλιον ἀνατέλλει, ἀλλὰ καὶ τοῖς τὰ πονηρὰ ἐργαζομένοις, καὶ τὸν ὑετὸν καὶ τοὺς ἐτησίους ὄμβρους οὐ τοῖς ἀγαθοῖς μόνον χορηγεῖ, ἀλλὰ καὶ τοῖς πονηροῖς· οὕτω καὶ σύ, ἐὰν μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾷς, ἀλλὰ καὶ τοὺς ἐχθρωδῶς πρὸς σὲ διακειμένους, κατὰ τὴν δύναμιν τὴν σὴν τὸν Δεσπότην μιμῇ τὸν σόν. Εἶδες πῶς εἰς τὴν ἀνωτάτω κορυφὴν ἀνήγαγε τὸν ταύτης κατορθοῦν δυνάμενον τὴν ἀρετήν; Ἀλλὰ μὴ τὸ δυσχερὲς μόνον ἐννόει τοῦ πράγματος, ἀγαπητέ, ἀλλὰ πρότερον ἀναλογίζου κατὰ σαυτόν, ὅσης μέλλεις ἀξιοῦσθαι τῆς τιμῆς· καὶ ἡ τῆς

15. Ματθ. 5, 45.

προσηλωμένοι εἰς τὸ σκοτάδι τῆς πλάνης, δὲν προήρχετο κανένα κέρδος ἀπὸ τὴν νηστείαν μόνον, χωρὶς νὰ ἔχουν ἐπιτύχῃ αὐτὰ καὶ νὰ ἀπομακρύνουν ἀπὸ τὴν καρδίαν των τὴν κακίαν πρὸς τὸν πλησίον, ποίαν δικαιολογίαν θὰ ἔχωμεν, ἡμεῖς, οἱ ὁποῖοι εἴμεθα ὑποχρεωμένοι νὰ πράττωμεν τὰ μεγαλύτερα, καὶ δὲν προτρεπόμεθα μόνον νὰ κάνωμεν αὐτά, ἀλλὰ καὶ διατασσώμεθα νὰ ἀγαπῶμεν καὶ νὰ εὐεργετοῦμεν καὶ τοὺς ἐχθρούς μας; Καὶ διατί λέγω, νὰ εὐεργετοῦμεν; νὰ προσευχώμεθα λοιπὸν ὑπὲρ αὐτῶν καὶ νὰ παρακαλοῦμεν τὸν Κύριον καὶ νὰ τὸν ἱκετεύωμεν διὰ τὴν φροντίδα ὑπὲρ αὐτῶν; Διότι αὐτὸ θὰ παρουσιασθῇ πρὸ πάντων ἐνώπιόν μας κατὰ τὴν φοβερὰν ἐκείνην μέραν, καὶ θὰ εἶναι ἡ μεγίστη φθορὰ τῶν ἁμαρτιῶν μας, ἐὰν συμπεριφερώμεθα ἔτσι πρὸς ἐκείνους ποὺ μᾶς ἐχθρεύονται. Καὶ ἐὰν πράγματι ἡ ἐντολὴ εἶναι ὑπερβολικὰ μεγάλη, ἐὰν ὅμως γνωρίσῃς τὸ βραβεῖον, τὸ ὁποῖον δίδεται εἰς ἐκείνους, ποὺ κατορθώνουν αὐτήν, δὲν θὰ σοῦ φανῇ καθόλου, καὶ ἂν ἀκόμη εἶναι ὑπερβολικὰ μεγάλη. Ποῖον λοιπὸν εἶναι αὐτό; «Ἐὰν θὰ κάμετε αὐτό, λέγει, θὰ γίνετε ὅμοιοι πρὸς τὸν Πατέρα σας, ὁ ὁποῖος εἶναι εἰς τοὺς οὐρανούς». Καὶ διὰ νὰ μᾶς κάνῃ σαφέστερον τὸν λόγον, ἐπρόσθεσε, «Διότι ἀνατέλλει τὸν ἰδικόν του ἥλιον ἀδιακρίτως εἰς πονηροὺς καὶ εἰς ἀγαθούς, καὶ βρέχει τὴν βροχήν του εἰς δικαίους καὶ ἀδίκους»[15]. Νὰ μιμῆσαι λοιπόν, λέγει, τὸν Θεὸν κατὰ τὴν ἀνθρωπίνην δύναμιν. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος δὲν ἀνατέλλει τὸν ἥλιον μόνον εἰς τοὺς δικαίους, ἀλλὰ καὶ εἰς τοὺς ἐργαζομένους τὰ πονηρὰ ἔργα, καὶ δὲν χορηγεῖ τὴν ραγδαίαν βροχήν, οὔτε τὰς ἐτησίους νεροποντὰς μόνον εἰς τοὺς ἀγαθούς, ἀλλὰ καὶ εἰς τοὺς πονηρούς, ἔτσι καὶ σύ, ἐὰν δὲν ἀγαπᾷς μόνον ἐκείνους, ποὺ σὲ ἀγαποῦν, ἀλλὰ καὶ ἐκείνους, ποὺ διάκεινται ἐχθρικῶς πρὸς σέ, κατὰ τὴν δύναμίν σου μιμεῖσαι τὸν ἰδικόν σου Κύριον. Εἶδες πῶς ἀνεβίβασεν εἰς τὴν ὑψηλοτάτην κορυφὴν ἐκεῖνον, ποὺ ἠμπορεῖ νὰ ἐπιτυγχάνῃ αὐτὴν τὴν ἀρετήν; Ἀλλὰ μὴ σκέπτεσαι μόνον τὰς δυσκολίας τοῦ πράγματος, ἀγαπητέ, ἀλλὰ πρῶτα νὰ ἀναλογίζεσαι μόνος σου, πόσην μεγάλην τιμὴν πρό-

τιμῆς ὑπόθεσις τὸ βαρὺ καὶ φορτικὸν κοῦφόν σοι κατασκευαζέτω. Οὐ γὰρ ὀφείλεις χάριν εἰδέναι, ὅτι ἀφορμὴν εὑρίσκεις διὰ τῆς εἰς τὸν ἐχθρὸν εὐεργεσίας ἀνοιγῆναί σοι τῆς πρὸς τὸν Θεὸν παρρησίας τὰς θύρας, καὶ τῶν ἡμαρτημένων σοι τὴν δαπάνην ἐργάσασθαι; Ἀλλ' ἴσως ἐπιθυμεῖς ἀμύνασθαι τὸν ἐχθρόν, καὶ τὸν κακῶς σε διατιθέντα τοῖς ἴσοις περιβαλεῖν ἢ καὶ μείζοσι; Καὶ τί πλέον ἐκ τούτου ἔσται, ὅταν μετὰ τοῦ μηδὲ ὄνησίν σοί τινα γίνεσθαι, καὶ εὐθύνας μέλλεις ὑπὲρ τούτου ὑπέχειν ἐν τῷ φοβερῷ ἐκείνῳ δικαστηρίῳ, ὡς τοὺς ὑπ' αὐτοῦ τεθέντας νόμος παραχαράξας; Εἰπὲ γάρ ὥστε τοὺς ἐχθροὺς θεραπεύειν, ἢ θάνατον εἶναι τὴν τιμωρίαν, οὐκ ἂν διὰ τὸν φόβον τοῦ σωματικοῦ τούτου θανάτου πάντες ἐπέδραμον εἰς τὴν τοῦ νόμου ἐκπλήρωσιν; Πόσης οὖν οὐκ ἂν εἴη κατηγορίας ἄξιον, διὰ μὲν τὸν σωματικὸν θάνατον, ὃν καὶ ἄνευ τούτου τὸ τῆς φύσεως ἡμῖν χρέος πάντως ἐπάγει, πάντα καταδέχεσθαι ποιεῖν, διὰ δὲ τὸν θάνατον, ἔνθα παραμυθίαν οὐκ ἔστιν εὑρεῖν, ἔλαττον φροντίζειν τοῦ ὑπὸ τοῦ τῶν ἁπάντων Δεσπότου κειμένου νόμου;

Ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν ταῦτα διαλεγόμενος τοῖς οὐδὲ πρὸς τοὺς ἀγαπῶντας τὴν ἴσην ἀγάπην ἐπιδεικνυμένοις. Τίς οὖν ἡμᾶς λοιπὸν ἐξαιρήσεται τῆς κολάσεως ἐκείνης, ὅταν μὴ μόνον ἐκείνης τῆς ἐντολῆς ὦμεν μακρὰν ἀπῳκισμένοι, ἀλλὰ μηδὲ τὰ αὐτὰ τοῖς τελώναις πράττωμεν; «Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ἡμᾶς», φησί, «τί μέγα ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν;». Ὅταν οὖν μηδὲ τοῦτο παρ' ἡμῶν γίνηται, ποία σωτηρίας ἡμῖν ἐλπίς; Διὸ παρακαλῶ, μὴ γενώμεθα ἄσπλαγχνοι, ἀλλὰ δαμάσωμεν ἡμῶν τὸν λογισμόν, καὶ πρῶτον μὲν παιδεύσωμεν νικᾶν τὸν πλησίον ἐν τῇ ἀγάπῃ, καί, κατὰ τὸν μακάριον Παῦλον, τῇ τιμῇ ἀλλήλους προηγούμενοι ὑπερέχοντας ἑαυτῶν, καὶ μὴ ἀνέχε-

16. Ματθ. 5, 46.

κειται νὰ ἀξιωθῇς˙ καὶ ἡ ὑπόσχεσις τῆς τιμᾶς ἃς κάνῃ τὸ βαρὺ καὶ τὸ ἐνοχλητικὸν ἐλαφρὸν εἰς σέ. Καὶ δὲν πρέπει νὰ ἀναγνωρίζῃς εὐγνωμοσύνην, διότι εὑρίσκεις ἀφορμὴν μὲ τὴν εὐεργεσίαν εἰς τὸν ἐχθρὸν νὰ ἀνοιχθοῦν εἰς σὲ αἱ θύραι τῆς παρρησίας πρὸς τὸν Θεὸν καὶ νὰ σοῦ ἐξαλειφθοῦν αἱ ἁμαρτίαι; Ἴσως ὅμως ἐπιθυμεῖς νὰ ἀποκρούσῃς τὸν ἐχθρὸν καὶ νὰ ἀνταποδώσῃς τὰ ἴσα ἢ καὶ μεγαλύτερα εἰς ἐκεῖνον, ποὺ σὲ ἔθλαψε; Καὶ τί περισσότερον θὰ γίνῃ ἀπὸ αὐτό, ὅταν, μαζὶ μὲ τὸ ὅτι δὲν γίνεται εἰς σὲ καμμία ὠφέλεια, πρόκειται νὰ σοῦ ζητηθοῦν καὶ εὐθῦναι κατὰ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, διότι παρεχάραξες τοὺς νόμους, ποὺ ἐτέθησαν ἀπὸ τὸν Θεόν; Διότι εἰπέ μου, ἐὰν κάποιος ἐπίγειος βασιλεὺς ἐθέσπιζε τέτοιον νόμον, ὥστε νὰ περιποιούμεθα τοὺς ἐχθροὺς ἢ ὁ θάνατος νὰ εἶναι ἡ τιμωρία, δὲν θὰ ἔσπευδαν ὅλοι εἰς τὴν ἐκτέλεσιν τοῦ νόμου ἐξ αἰτίας τοῦ φόβου τοῦ σωματικοῦ αὐτοῦ θανάτου; Πόσην κατηγορίαν λοιπὸν δὲν θὰ ἄξιζε, διὰ μὲν τὸν σωματικὸν θάνατον, τὸν ὁποῖον καὶ χωρὶς αὐτὸν προκαλεῖ ὁπωσδήποτε τὸ χρέος τῆς φύσεώς μας, νὰ καταδεχώμεθα νὰ κάνωμεν τὰ πάντα, διὰ τὸν θάνατον ὅμως, ὅπου δὲν εἶναι δυνατὸν νὰ εὕρουμεν παρηγορίαν, νὰ φροντίζωμεν ὀλιγώτερον ἀπὸ τὸν νόμον, ὁ ὁποῖος τίθεται ἀπὸ τὸν Κύριον τῶν ὅλων;

8. Βεβαίως ὅμως ἐλησμόνησα, ὅταν ἔλεγα αὐτά, ἐκείνους ποὺ δὲν ἐπιδεικνύουν τὴν ἴσην ἀγάπην οὔτε πρὸς τοὺς ἀγαπῶντας αὐτούς. Ποῖος λοιπὸν θὰ μᾶς σώσῃ εἰς τὸ μέλλον ἀπὸ τὴν κόλασιν ἐκείνην, ὅταν ὄχι μόνον εἴμεθα μακρὰν ἀπὸ τὴν ἐντολὴν ἐκείνην, ἀλλὰ οὔτε τὰ ἴδια μὲ τοὺς τελώνας πράττωμεν; «Διότι, ἀγαπήσετε ἐκείνους μόνον, ποὺ σᾶς ἀγαποῦν, λέγει, τί μέγα κάνετε; δὲν κάνουν τὸ ἴδιον καὶ οἱ τελῶναι;»[18]. Ὅταν λοιπὸν δὲν κάμνωμεν οὔτε αὐτό, ποία ἡ ἐλπίδα τῆς σωτηρίας μας; Δι' αὐτό, παρακαλῶ, ἃς μὴ γινώμεθα ἄσπλαγχνοι, ἀλλὰ ἃς δαμάσωμεν τὴν σκέψιν μας καὶ πρῶτον μὲν ἃς μάθωμεν νὰ νικῶμεν τὸν πλησίον εἰς τὴν ἀγάπην, καί, κατὰ τὸν μακάριον Παῦλον, νὰ προλαμβάνετε ὁ ἕνας τὸν ἄλλον εἰς τὴν ἀπόδοσιν

σθαι ἐλαττοῦσθαι, ἀλλὰ νικᾶν, καὶ μὴ ὑπερβάλλεσθαι, ἀλλὰ καὶ πλείονα ἐπιδείκνυσθαι καὶ θερμοτέραν τὴν περὶ τοὺς ἀγαπῶντας διάθεσιν. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα συνέχει καὶ συγκροτεῖ τὴν ζωὴν τὴν ἡμετέραν, καὶ τούτῳ τῶν ἀλόγων καὶ τῶν θηρίων διεστήκαμεν, τῷ δύνασθαι, εἰ βουληθείημεν, τὴν προσήκουσαν ἡμῖν τάξιν διατηρεῖν, καὶ πολλὴν τὴν περὶ τοὺς πλησίον ὁμόνοιαν ἐπιδείκνυσθαι· ἔπειτα δὲ ἄγχειν τὸν λογισμόν, καὶ τὸ ἀτίθασσον τοῦτο θηρίον, τὸν θυμὸν λέγω, καταξαίνειν, καὶ τὸν ἀγῶνα αὐτῷ τοῦ φοβεροῦ κριτηρίου ἐφιστᾶν, καὶ παιδεύειν, ὅτι ὑπόσχοιτο πρὸς τοὺς ἐχθροὺς σπείσασθαι, μεγάλων τεύξεται τῶν ἀγαθῶν· εἰ δὲ ἔτι φιλονεικοίη, πολλὴν ὑποστήσεται δίκην. Οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῇ δαπανᾶν ἡμᾶς τὸν χρόνον προσήκει, ἀλλὰ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν πρὸ ὀφθαλμῶν λαμβάνειν τὸ τοῦ Κυρίου κριτήριον· καὶ τίνα μέν ἐστι τὰ πολλὴν ἡμῖν τὴν παρρησίαν προξενεῖν δυνάμενα, τίνα δὲ τὰ τὴν κόλασιν ἐπιτείνοντα. Καὶ οὕτω ταῦτα στρέφοντες ἐν τοῖς ἡμετέροις λογισμοῖς, περιγινώμεθα τῶν παθῶν, καταστέλλωμεν ἡμῶν τὰ τῆς σαρκὸς σκιρτήματα, καὶ νεκρώσωμεν ἡμῶν, κατὰ τὸν μακάριον Παῦλον, «Τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, θυμόν, πλεονεξίαν, κενοδοξίαν, βασκανίαν». Ἐὰν τούτοις τοῖς πάθεσι νεκροὺς ἑαυτοὺς καταστήσωμεν, ὡς μὴ δύνασθαι ἐν ἡμῖν ἐνεργεῖν, δυνησόμεθα τὸν καρπὸν τοῦ Πνεύματος δέξασθαι, ὅς ἐστιν «Ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια». Αὕτη τοῦ Χριστιανοῦ πρὸς τὸν ἄπιστον ἔστω ἡ διαφορά· ταῦτα ἡμῶν ἔστω τὰ γνωρίσματα, μὴ τῇ προσηγορίᾳ μόνον ἐγκαλλωπιζώμεθα, μηδὲ τῷ σχήματι μέγα φρονῶμεν, μᾶλλον δὲ μηδέ, εἰ ταῦτα κτησαίμεθα ἅπερ

17. Ρωμ. 12, 10 καὶ Φιλιπ. 2, 3.
18. Κολ. 3, 5.
19. Γαλ. 5, 22. 23.

τῆς τιμῆς ὡς ὑπέρτερον καὶ ἀνώτερον ἀπὸ τὸν ἑαυτόν σας[17]· καὶ νὰ μὴ ἀνεχώμεθα νὰ μειονεκτοῦμεν, ἀλλὰ νὰ νικῶμεν, καὶ νὰ μὴ ὑπερηφανευώμεθα, ἀλλὰ νὰ ἐπιδεικνύωμεν μεγαλυτέραν καὶ θερμοτέραν συμπάθειαν πρὸς ἐκείνους, ποὺ μᾶς ἀγαποῦν. Διότι τοῦτο εἶναι ποὺ κατ' ἐξοχὴν συγκροτεῖ καὶ διατηρεῖ τὴν ζωήν μας, καὶ εἰς τοῦτο διαφέρομεν ἀπὸ τὰ ζῶα καὶ τὰ θηρία, εἰς τὸ ὅτι ἠμποροῦμεν, ἐὰν θὰ θελήσωμεν, νὰ διατηροῦμεν τὴν ἁρμόζουσαν εἰς ἡμᾶς τάξιν καὶ νὰ ἐπιδεικνύωμεν μεγάλην ὁμόνοιαν διὰ τοὺς συνανθρώπους μας· ἔπειτα δὲ νὰ πιέζωμεν τὴν σκέψιν, καὶ τὸ ἀτίθασσον αὐτὸ θηρίον, ἐννοῶ τὸν θυμόν, νὰ ἐξαλείφωμεν ἐντελῶς, καὶ νὰ προβάλλωμεν εἰς τὴν ψυχήν μας τὴν ἀγωνίαν τοῦ φοβεροῦ δικαστηρίου καὶ νὰ διδάσκωμεν αὐτήν, ὅτι ἂν δεχθῇ νὰ συμφιλιωθῇ μὲ τοὺς ἐχθρούς, θὰ ἐπιτύχῃ τὰ μεγάλα ἀγαθά· ἐὰν ὅμως θὰ φιλονεικῇ ἀκόμη, θὰ ὑποστῇ μεγάλην τιμωρίαν. Οὔτε βέβαια πρέπει νὰ ἐξοδεύωμεν τὸν χρόνον μας ἁπλᾶ καὶ μάταια, ἀλλὰ κάθε ἡμέραν καὶ ὥραν νὰ προβάλλωμεν ἐνώπιόν μας τὴν κρίσιν τοῦ Κυρίου, καὶ ποῖα μὲν εἶναι ἐκεῖνα, ποὺ ἠμποροῦν νὰ μᾶς προκαλέσουν τὴν μεγάλην παρρησίαν καὶ ποῖα δὲ ἐκεῖνα, ποὺ ἐπαυξάνουν τὴν τιμωρίαν. Καὶ ἔτσι συλλογιζόμενοι αὐτά, ἂς ὑπερισχύσωμεν τῶν παθῶν, ἂς καταστέλλωμεν τὰς ἐπιθυμίας τῆς σαρκός μας καὶ ἂς νεκρώσωμεν, κατὰ τὸν μακάριον Παῦλον, «Τὰ μέλη μας ποὺ ἐπιθυμοῦν τὰ γήινα, τὴν πορνείαν, τὴν ἀκαθαρσίαν, κάθε πάθος, κάθε κακὴν ἐπιθυμίαν, τὸν θυμόν, τὴν πλεονεξίαν, τὴν κενοδοξίαν, τὴν βασκανίαν»[18]. Ἐὰν καταστήσωμεν νεκροὺς τοὺς ἑαυτούς μας εἰς τὰ πάθη αὐτά, ὥστε νὰ μὴ ἠμποροῦν νὰ ἐνεργοῦν μέσα μας, θὰ κατορθώσωμεν νὰ δεχθοῦμεν τὸν καρπὸν τοῦ Ἁγίου Πνεύματος, ὁ ὁποῖος εἶναι «Ἡ ἀγάπη, ἡ χαρά, ἡ εἰρήνη, ἡ μακροθυμία, ἡ καλωσύνη, ἡ ἀγαθὴ διάθεσις, ἀξιοπιστία, ἡ πραότης, ἡ ἐγκράτεια»[19]. Αὐτὴ ἂς εἶναι ἡ ὑπεροχὴ τοῦ χριστιανοῦ πρὸς τὸν ἄπιστον. Αὐτὰ ἂς εἶναι τὰ γνωρίσματά μας, ἂς μὴ καυχώμεθα μόνον διὰ τὸ ὄνομα, οὔτε νὰ ὑπερηφανευώμεθα διὰ τὴν ἐξωτερικὴν ἐμφάνισιν, μᾶλλον δὲ οὔτε, ἐὰν θὰ ἀποκτήσωμεν αὐτά

ἀπηριθμησάμην, μέγα φρονήσωμέν ποτε, ἀλλὰ καὶ τότε μᾶλλον ἑαυτοὺς συστείλωμεν. «Ὅταν γὰρ πάντα ποιήσητε», φησί, «λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν». Ἐὰν οὕτω μεμεριμνημένοι τυγχάνωμεν, καὶ τῆς ἑαυτῶν σωτηρίας φροντίζωμεν, δυνησόμεθα καὶ ἑαυτοὺς τὰ μέγιστα ὠφελεῖν, καὶ κολάσεως τῆς μελλούσης ἐξαρπάζειν, καὶ τοῖς εἰς ἡμᾶς ὁρῶσι διδάσκαλοι γίνεσθαι τῶν συμφερόντων· ἵνα μετὰ ἀκριβείας τὸν παρόντα διανύσαντες βίον, καταξιωθῶμεν τῆς ἐν τῷ μέλλοντι φιλανθρωπίας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, κράτος, τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

20. Λουκᾶ 17, 10.

πού άνέφερα, νά ύπερηφανευθοῦμεν ποτέ, ἀλλά καί τότε ἄς συγκρατήσωμεν περισσότερον τούς ἑαυτούς μας. «Διότι ὅταν κάμετε ὅλα, λέγει ὁ Ἰησοῦς, πρέπει νά λέγετε, ὅτι εἴμεθα δοῦλοι ἄχρηστοι»[29]. Ἐάν ἔτσι μεριμνῶμεν καί φροντίζωμεν διά τήν σωτηρίαν μας, θά ἠμπορέσωμεν νά ὠφελήσωμεν πάρα πολύ καί τούς ἑαυτούς μας καί νά ἀποφύγωμεν τήν μέλλουσαν τιμωρίαν καί νά γίνωμεν διδάσκαλοι ἐκείνων πού συμφέρουν εἰς αὐτούς, οἱ ὁποῖοι μᾶς παρακολουθοῦν· διά νά ἀξιωθοῦμεν, ἀφοῦ ζήσωμεν τήν παροῦσαν ζωήν κατά τόν ὀρθόν τρόπον, καί εἰς τήν μέλλουσαν ζωήν τήν φιλανθρωπίαν, τήν ὁποίαν εἴθε ὅλοι ἡμεῖς νά ἐπιτύχωμεν, μέ τήν χάριν καί τήν εὐσπλαγχνίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖον εἰς τόν Πατέρα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ε΄
(Γεν. 1, 9-13)

Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά.

1. Φέρε καὶ σήμερον ἐκ τῶν τοῦ μακαρίου Μωϋσέως ρημάτων τὴν ἑστίασιν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ, καὶ τὰ κατὰ τὴν τρίτην ἡμέραν παρὰ τοῦ Δεσπότου δημιουργηθέντα κατοπτεύσωμεν μετὰ ἀκριβείας. Εἰ γὰρ οἱ τὴν χρυσῖτιν γῆν ἀνορύττοντες, ἔνθα ἂν ἴδωσι φλέβας τινὰς ψήγματα ἐχούσας, οὐ πρότερον ἀφίστανται, μέχρις ἂν ἀναμοχλεύσαντες, καὶ εἰς αὐτὸ τὸ βάθος κατελθόντες πολλὴν τὴν εὐπορίαν ἐκεῖθεν καρπώσωνται, πολλῷ μᾶλλον ἡμᾶς προσήκει οὐ ψήγματα χρυσίου μέλλοντας διερευνᾶσθαι, ἀλλὰ θησαυρὸν ἄφατον εὑρίσκειν προσδοκῶντας, καθ' ἑκάστην ἡμέραν τοῦτον ἀνιχνεύειν, ἵνα πολὺν τὸν πλοῦτον τῆς περιουσίας τῆς πνευματικῆς ἐντεῦθεν καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν. Ἐκεῖ μὲν γὰρ ὁ πλοῦτος ὁ αἰσθητὸς πολλάκις καὶ κινδύνους ἔτεκε τοῖς αὐτὸν κτησαμένοις, καὶ πρὸ τῶν κινδύνων καὶ βραχεῖαν τὴν ἡδονὴν παρέχων ἀθρόον ἀπέπτη, ἢ συκοφαντῶν ἐπιθεμένων, ἢ λῃστῶν, ἢ τοιχωρύχων, ἢ τῶν οἰκετῶν τῶν φυλαττόντων ὑφελομένων, καὶ δραπετευσάντων. Ἐνταῦθα δὲ οὐδέν ἐστι τοιοῦτον ὑφικέσθαι· ἀνάλωτος γάρ ἐστιν ὁ πνευματικὸς οὗτος θησαυρός, καὶ ἐπειδὰν εἰς τὰ ταμιεῖα τῆς διανοίας τῆς ἡμετέρας ἐναποτεθῇ, ἀχείρωτος γίνεται πάσαις ταῖς ἐπιβουλαῖς, μόνον ἐὰν ἡμεῖς μὴ ραθυμήσαντες χώραν δῶμεν τῷ τοῦτον ἡμῶν ἀφελέσθαι ἐπιθυμοῦντι.

ΟΜΙΛΙΑ Ε΄
(Γεν. 1, 9-13)

«Καὶ εἶπεν ὁ Θεός· νὰ συγκεντρωθοῦν τὰ ὕδατα, τὰ εὑρισκόμενα κάτω ἀπὸ τὸν οὐρανόν, εἰς ἕνα μέρος, διὰ νὰ φανῇ ἡ ξηρά».

1. Ἐμπρὸς ἂς παραθέσωμεν καὶ σήμερα εἰς τὴν ἀγάπην σας τὸ συμπόσιον ἀπὸ τὰ λόγια τοῦ μακαρίου Μωυσέως, καὶ ἂς ἐξετάσωμεν μὲ ἀκρίβειαν ἐκεῖνα, ποὺ ἐδημιούργησεν ὁ Κύριος κατὰ τὴν τρίτην ἡμέραν. Διότι ἐὰν ἐκεῖνοι, οἱ ὁποῖοι σκάπτουν εἰς χρυσοφόρα χώματα, ὅπου ἂν ἰδοῦν μερικὰ στρώματα νὰ περιέχουν ψήγματα χρυσοῦ, δὲν ἀπομακρύνωνται πρωτύτερα, ἐκτὸς ἄν, ἀφοῦ ἀνακατώσουν τὸ χῶμα καὶ κατέλθουν εἰς αὐτὸ τὸ βάθος, λάβουν ἀπὸ ἐκεῖ πολὺν πλοῦτον, πολὺ περισσότερον πρέπει ἡμεῖς οἱ ὁποῖοι δὲν πρόκειται νὰ ἐξετάσωμεν ψήγματα χρυσοῦ, ἀλλὰ ἐλπίζομεν νὰ εὕρωμεν ἀνυπολόγιστον θησαυρόν, καθημερινῶς νὰ ἀνιχνεύωμεν αὐτόν, ὥστε, ἀφοῦ ἀπολαύσωμεν τὸν πολὺν πλοῦτον τῆς πνευματικῆς περιουσίας, νὰ ἐπιστρέψωμεν ἔτσι εἰς τὰ σπίτια μας. Διότι ἐκεῖ μὲν ὁ αἰσθητὸς πλοῦτος πολλὰς φορὰς ἐπροξένησε καὶ κινδύνους εἰς τοὺς κατόχους του, καὶ ἐνώπιον τῶν κινδύνων ἀφοῦ παρέχῃ σύντομον εὐχαρίστησιν ἐξαφανίζεται, εἴτε διότι ἐπετέθησαν οἱ συκοφάνται, εἴτε οἱ λησταί, εἴτε οἱ διαρρῆκται, εἴτε διότι οἱ φυλάσσοντες αὐτὸν ὑπηρέται τὸν ὑπεξῄρεσαν καὶ ἐδραπέτευσαν. Ἐδῶ ὅμως τίποτε τέτοιο δὲν ἠμπορεῖ νὰ πλησιάσῃ· διότι ὁ πνευματικὸς αὐτὸς θησαυρὸς εἶναι ἀπρόσβλητος, καὶ ὅταν τοποθετηθῇ μέσα εἰς τὰ θησαυροφυλάκια τῆς διανοίας μας, γίνεται ἀνίκητος εἰς ὅλας τὰς ἐπιθέσεις, ἐκτὸς ἐὰν ἡμεῖς ἐπειδὴ κατέστημεν ἀδιάφοροι δώσωμεν τὴν εὐκαιρίαν εἰς ἐκεῖνον, ποὺ ἐπιθυμεῖ νὰ μᾶς

Ὁ γὰρ ἐχθρὸς ὁ ἡμέτερος, ὁ πονηρὸς λέγω διάβολος, ἐπειδὰν ἴδῃ πλοῦτον πνευματικὸν συλλεγέντα, μέμηνε καὶ θήγει τοὺς ὀδόντας, καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδείκνυται, ὥστε καιρὸν ἐπιτήδειον εὑρεῖν, καὶ ὑφελέσθαι τι τῶν ἔνδον ἡμῖν ἀποκειμένων. Οὐδεὶς δὲ ἐκείνῳ καιρὸς ἐπιτήδειος, εἰ μὴ μόνον ἡ ῥαθυμία ἡ ἡμετέρα· διὸ προσήκει διηνεκῶς ἡμᾶς ἐγρηγορέναι, καὶ ἀποτειχίζειν ἐκείνῳ τὰς ἐφόδους. Ἐὰν γὰρ ἴδῃ νήφοντας, καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδεικνυμένους, ἐπειδὰν ἅπαξ καὶ δεύτερον ἐπιθέμενος θεάσηται, ὡς ἀνονήτοις ἐπιχειρεῖ, ἄπεισι λοιπὸν καταισχυνθείς, εἰδὼς ὅτι οὐδὲν αὐτῷ πλέον ἔσται, ἡμῶν πολλὴν τὴν φυλακὴν ἐπιδεικεκτημένους, ἐπειδὰν ἔφοδον προσδοκῶσι πολεμίων, πόσην γώνιοι τυγχάνειν ὀφείλομεν, οὕτως ἑαυτοὺς καθοπλίζωμεν, ὡσανεὶ παρεστῶτα τὸν ἐχθρὸν ἔχοντες, καὶ ἀδιαλείπτως ἐπιτηροῦντα, μή πού τι μικρὸν ἀπονυστάξαντες ἀφορμὴν ἐπιθέσεως αὐτῷ παράσχωμεν. Οὐχ ὁρᾷς τοὺς πολλὰ χρήματα κεκτημένους, ἐπειδὰν ἔφοδον προσδοκῶσι πολεμίων, πόσην πρόνοιαν ἐπὶ τὴν τούτων φυλακὴν ἐπιδείκνυνται· οἱ μὲν θύραις καὶ μοχλοῖς ἐναποκλείοντες, καὶ πᾶσαν ἀσφάλειαν ἐπιδεικνύμενοι· οἱ δὲ καὶ εἰς αὐτὴν τὴν γῆν κατορύττοντες, ὥστε δυνηθῆναι πάντας λαθεῖν; Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς προσήκει, τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγόντας, μετὰ πολλῆς φυλάττειν τοῦτον τῆς ἀκριβείας, καὶ μὴ προτιθέναι ὑπὸ τοῖς τῶν ἁπάντων ὀφθαλμοῖς, ἀλλ' ἐν τῷ ἀσφαλεστάτῳ τῆς διανοίας ταμείῳ τοῦτον κατακρύπτειν, καὶ πάσας τὰς ἐφόδους ἀποτειχίζειν τῷ τοῦτον ὑφελέσθαι ἐσπουδακότι, ἵνα ἀνάλωτον αὐτὸν διαφυλάξαντες, δυνηθῶμεν τῆς ζωῆς μεθιστάμενοι ἐφόδιά τινα ἔχειν πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν. Ὥσπερ γὰρ οἱ ἐπὶ τῆς ξένης τυγχάνοντες, ἐπειδὰν μέλλωσιν εἰς τὴν οἰκείαν ἐπανιέναι πατρίδα, ἀπὸ πολλοῦ

ἀφαιρέσῃ αὐτόν. Διότι ὁ ἰδικός μας ἐχθρός, δηλαδὴ ὁ πονηρὸς διάβολος, ὅταν ἰδῇ πνευματικὸν πλοῦτον συγκεντρωθέντα, καταλαμβάνεται ἀπὸ μανίαν καὶ ἀκονίζει τὰ δόντια του καὶ πάντοτε καιροφυλακτεῖ, ὥστε νὰ εὑρῇ τὴν κατάλληλον εὐκαιρίαν καὶ νὰ ἀφαιρέσῃ κάτι ἀπὸ τὰ φυλασσόμενα μέσα μας. Καμμία δὲ εὐκαιρία δὲν εἶναι κατάλληλος εἰς ἐκεῖνον, παρὰ μόνον ἡ ἰδική μας ἀδιαφορία· διὰ τοῦτο πρέπει διαρκῶς νὰ ἀγρυπνοῦμεν καὶ νὰ φράσσωμεν τελείως τὰς εἰσόδους εἰς ἐκεῖνον. Διότι ἐὰν μᾶς ἰδῇ νὰ εἴμεθα νηφάλιοι καὶ συνεχῶς ἄγρυπνοι, ὅταν παρατηρήσῃ, ἀφοῦ ἐπιτεθῇ διὰ πρώτην καὶ δευτέραν φοράν, ὅτι ἐπιχειρεῖ ἀνώφελα πράγματα, θὰ ἀπέλθῃ εἰς τὸ ἑξῆς κατεντροπιασμένος, ἐπειδὴ γνωρίζει, ὅτι δὲν θὰ ἔχῃ πλέον κανένα κέρδος, ὅταν ἡμεῖς ἐπιδεικνύωμεν μεγάλην ἐπαγρύπνησιν. Ἀφοῦ λοιπὸν γνωρίζομεν, ὅτι πρέπει νὰ ἀγωνιζώμεθα εἰς ὅλην τὴν ζωήν μας, ἔτσι πρέπει νὰ ἐξοπλίζωμεν τοὺς ἑαυτούς μας, ὡσὰν νὰ ἔχωμεν ἐνώπιόν μας τὸν ἐχθρὸν καὶ διαρκῶς νὰ μᾶς παρακολουθῇ, μήπως δώσωμεν εἰς αὐτὸν ἀφορμὴν ἐπιθέσεως, ἐπειδὴ ἠδιαφορήσαμεν δι᾽ ἐλάχιστον χρόνον. Δὲν βλέπεις τοὺς ἔχοντας πολλὰ χρήματα, ὅταν ἀναμένουν ἐπίθεσιν τῶν ἐχθρῶν, πόσον φροντίζουν διὰ φύλαξιν αὐτῶν· ἄλλοι μὲν παρέχουν κάθε ἀσφάλειαν κλειδώνοντες αὐτὰ μὲ θύρας καὶ μοχλούς· ἄλλοι δὲ κρύπτοντες μέσα εἰς αὐτὴν τὴν γῆν, διὰ νὰ ἠμπορέσουν νὰ μείνουν ἀπαρατήρητα ἀπὸ ὅλους; Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον πρέπει καὶ ἡμεῖς, ἀφοῦ συγκεντρώσωμεν τὸν πλοῦτον τῆς ἀρετῆς, νὰ φυλάσσωμεν αὐτὸν μὲ πολλὴν προσοχήν, καὶ νὰ μὴ τὸν ἐκθέτωμεν εἰς τὰ μάτια ὅλων, ἀλλὰ νὰ ἀποκρύπτωμεν αὐτὸν εἰς τὸ ἀσφαλέστατον θησαυροφυλάκιον τῆς διανοίας μας, καὶ νὰ ἀποφράσσωμεν ὅλους τοὺς δρόμους εἰς ἐκεῖνον, ποὺ προσπαθεῖ νὰ ἀφαιρέσῃ αὐτόν, ὥστε, ἀφοῦ τὸν διαφυλάξωμεν ἀνέπαφον, νὰ ἠμπορέσωμεν, ὅταν ἀποθάνωμεν, νὰ ἔχωμεν μερικὰ ἐφόδια διὰ τὴν ἀποδημίαν μας ἀπὸ ἐδῶ. Διότι ὅπως οἱ εὑρισκόμενοι εἰς ξένην χώραν, ὅταν πρόκειται νὰ ἐπανέλθουν εἰς τὴν ἰδικήν των πατρίδα, ἀπὸ πολὺν καιρὸν σιγὰ σιγὰ

τοῦ χρόνου κατὰ μικρὸν σπεύδουσι, καὶ ἐπείγονται συναγαγεῖν τοσαῦτα τὰ ἐφόδια, ὅσα πρὸς τὸ τῆς ὁδοῦ μῆκος ἀρκεῖν αὐτοῖς δυνήσεται, ἵνα μὴ λάθωσιν ἑαυτοὺς λιμῷ παραδιδόντες· κατὰ τὸ αὐτὸ ἀκόλουθον καὶ ἡμᾶς καθάπερ ἐπὶ ξένης ἐνταῦθα τυγχάνοντας (ξένοι γὰρ πάντες καὶ παρεπίδημοί ἐσμεν), ἐνταῦθα ἤδη σκοπεῖν καὶ προαποτίθεσθαι ἑαυτοῖς τὰ διὰ τῆς ἀρετῆς τῆς πνευματικῆς ἐφόδια· ἵν' ὅταν προστάξῃ ὁ Δεσπότης εἰς τὴν οἰκείαν ἡμᾶς πατρίδα ἐπανελθεῖν, ἐμπαράσκευοι ὦμεν, καὶ τὰ μὲν μεθ' ἑαυτῶν ἀποκομίσωμεν, τὰ δὲ προπέμψαντες ὦμεν. Τοιαύτη γὰρ τῶν ἐφοδίων τούτων ἡ φύσις· ἅπερ ἂν διὰ τῆς τῶν ἀγαθῶν τούτων πράξεων ἐργασίας θελήσωμεν ἑαυτοῖς προαποθέσθαι, προφθάσαντα ἡμᾶς ἐκεῖ, τὰς θύρας ἡμῖν ἀνοίγνυσι τῆς παρρησίας τῆς πρὸς τὸν Δεσπότην, καὶ τὴν εἴσοδον προευτρεπίζει, ὥστε μετὰ πάσης ἀδείας εἰσελθεῖν, καὶ πολλὴν εὑρεῖν παρὰ τῷ δικαστῇ τὴν εὔνοιαν.

2. Καὶ ἵνα μάθῃς, ἀγαπητέ, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐννόει μοι, ὅτι ὁ τὴν ἐλεημοσύνην μετὰ δαψιλείας ἐργαζόμενος καὶ ἐνταῦθα ἀγαθῷ συνειδότι τρεφόμενος διατελεῖ, καὶ ἐπειδὰν ἐντεῦθεν μεταστῇ, πολλὴν εὑρίσκει παρὰ τῷ δικαστῇ τὴν φιλανθρωπίαν, καὶ τῶν μακαρίων ἐκείνων ῥημάτων ἀκούσεται μετὰ τῶν λοιπῶν· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν». Τὸ αὐτὸ δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν γινόμενον εὕροι τις ἄν. Οὕτω καὶ ἐπὶ τῆς ἐξομολογήσεως τῶν ἁμαρτιῶν, καὶ ἐπὶ τῶν εὐχῶν τῶν μετὰ ἐκτενείας γινομένων συμβήσεται. Ὅταν γὰρ ἐν τῇ παρούσῃ ζωῇ διὰ τῆς ἐξομολογήσεως ἀπονίψασθαι τὰ πεπλημμελημένα δυνηθῶμεν, καὶ τὴν συγχώρησιν εὑρέσθαι παρὰ τοῦ Δεσπότου, ἄπιμεν ἐκεῖ καθαροὶ τῶν ἁμαρτημάτων, καὶ πολλὴν εὑρή-

---

1. Ματθ. 25, 34. 35.

ἑτοιμάζονται καὶ σπεύδουν νὰ συγκεντρώσουν τόσα ἐφόδια, ὅσα θὰ ἐπαρκέσουν εἰς αὐτοὺς κατὰ τὴν ἀπόστασιν τοῦ δρόμου, διὰ νὰ μὴ παραμελήσουν τοὺς ἑαυτούς των παραδίδοντες αὐτοὺς εἰς τὴν πεῖναν· κατὰ συνέπειαν καὶ ἡμεῖς, ὡσὰν νὰ εὑρισκώμεθα ἐδῶ εἰς ξένην χώραν (διότι ὅλοι εἴμεθα ξένοι καὶ προσωρινοί), πρέπει νὰ προσέχωμεν ἐδῶ πλέον καὶ νὰ ἀποθηκεύωμεν ἀπὸ πρὶν διὰ τοὺς ἑαυτούς μας, μὲ τὴν πνευματικὴν ἀρετήν, τὰ ἐφόδια· ὥστε, ὅταν διατάξῃ ὁ Κύριος νὰ ἐπανέλθωμεν εἰς τὴν ἰδικήν μας πατρίδα, νὰ εἴμεθα προετοιμασμένοι, καὶ ἄλλα μὲν νὰ μεταφέρωμεν μαζί μας, ἄλλα δὲ νὰ ἔχωμεν ἀποστείλει ἀπὸ πρίν. Διότι τέτοια εἶναι ἡ φύσις αὐτῶν τῶν ἐφοδίων· ἐκεῖνα ἀκριβῶς ποὺ θὰ θελήσωμεν νὰ ἀποθηκεύσωμεν ἀπὸ πρὶν διὰ τοὺς ἑαυτούς μας μὲ τὴν ἐκτέλεσιν τῶν ἀγαθῶν αὐτῶν πράξεων, ἐπειδὴ ἔφθασαν πρὶν ἀπὸ ἡμᾶς ἐκεῖ, μᾶς ἀνοίγουν τὰς θύρας τῆς παρρησίας πρὸς τὸν Κύριον καὶ προετοιμάζουν τὴν εἴσοδόν μας, διὰ νὰ εἰσέλθωμεν μὲ κάθε ἀσφάλειαν καὶ νὰ εὕρωμεν μεγάλην εὔνοιαν ἐνώπιον τοῦ κριτοῦ.

2. Καὶ διὰ νὰ μάθῃς, ἀγαπητέ, ὅτι αὐτὰ συμβαίνουν κατ' αὐτὸν τὸν τρόπον, σκέψου, παρακαλῶ, ὅτι ἐκεῖνος ποὺ κάνει πλουσιοπάροχα τὴν ἐλεημοσύνην καὶ ἐδῶ ζῇ μὲ ἀγαθὴν συνείδησιν συνεχῶς, καὶ ὅταν ἀπὸ ἐδῶ ἀπέλθῃ, εὑρίσκει πλησίον τοῦ δικαστοῦ μεγάλην φιλανθρωπίαν καὶ θὰ ἀκούσῃ τὰ μακάρια ἐκεῖνα λόγια μαζὶ μὲ τοὺς ὑπολοίπους· «Ἐλᾶτε σεῖς, ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, κληρονομήσατε τὴν βασιλείαν, ποὺ ἔχει ἑτοιμασθῆ διὰ σᾶς, ἀφ' ὅτου ἐθεμελιώνετο ὁ κόσμος· διότι ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω»[1]. Τὸ ἴδιον βεβαίως θὰ ἠμπορέσῃ νὰ εὕρῃ κανεὶς νὰ συμβαίνῃ καὶ μὲ τὰς ἄλλας ἀρετάς. Ἔτσι θὰ συμβῇ καὶ μὲ τὴν ἐξομολόγησιν τῶν ἁμαρτιῶν καὶ μὲ τὰς προσευχάς, ποὺ εἶναι ἐκτενεῖς. Διότι ὅταν ἠμπορέσωμεν εἰς τὴν παροῦσαν ζωὴν νὰ καθαρίσωμεν ἐντελῶς μὲ τὴν ἐξομολόγησιν τὰ ἁμαρτήματά μας καὶ νὰ λάβωμεν τὴν συγχώρησιν ἀπὸ τὸν Κύριον, θὰ ἀπέλθωμεν ἐκεῖ καθαροὶ ἀπὸ τὰ ἁμαρτήματα καὶ θὰ μᾶς χαρίσῃ μεγάλην παρρησίαν.

σαμεν τὴν παρρησίαν ἡμῖν δωρουμένην. Οὐδὲ γὰρ οἷόν τε λοιπὸν εὑρεῖν τινα παραμυθίαν ἐκεῖ τὸν μὴ ἐν τῷ παρόντι βίῳ ἀπονιψάμενον τὰ ἡμαρτημένα. «Ἐν γὰρ τῷ ᾅδῃ», φησί, «τίς ἐξομολογήσεταί σοι;». Καὶ εἰκότως· οὗτος γάρ ἐστιν ὁ τῶν σκαμμάτων καιρός, καὶ τῶν ἀγώνων καὶ τῶν παλαισμάτων· ἐκεῖνος δὲ τῶν στεφάνων, καὶ τῶν ἀμοιβῶν, καὶ τῶν βραβείων. Ἀγωνισώμεθα τοίνυν ὡς ἔτι ἐν τῷ σταδίῳ διάγομεν, ἵνα ἐν τῷ καιρῷ, καθ' ὃν δεῖ τὸν στέφανον κομίσασθαι καὶ τῶν καμάτων τὰς ἀμοιβάς, μὴ γενώμεθα τῶν καταισχυνομένων, ἀλλὰ τῶν μετὰ παρρησίας στέφανον ἐπὶ τῆς κεφαλῆς δεχομένων. Ταῦτα οὐχ ἁπλῶς, οὐδὲ μάτην προοιμιαζόμεθα ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλὰ βουλόμενοι καθ' ἑκάστην ἡμέραν εἰς ὑπόμνησιν ὑμᾶς ἀγαγεῖν τῶν ἀγαθῶν πράξεων, ἵνα τέλειοι καὶ ἀπηρτισμένοι τυγχάνοντες, καὶ κατὰ τὴν τῆς πολιτείας ἀρετὴν διαλάμποντες, γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα, καὶ φανήσεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἡμέτερον, εἰς ἡμέραν Χριστοῦ, ἵνα καὶ μόνον φαινόμενοι ὠφελῆτε τοὺς ὑμῖν συγγινομένους, καὶ τῆς προσούσης ὑμῖν εὐωδίας τῆς πνευματικῆς, καὶ τῆς ἀρίστης πολιτείας μεταλαμβάνωσιν οἱ κοινωνοῦντες ὑμῖν τῆς διαλέξεως. Ὥσπερ γὰρ ἡ τῶν φαύλων συνουσία καταβλάπτειν εἴωθε τοὺς ἀναμιγνυμένους, καθάπερ καὶ ὁ μακάριος Παῦλός φησι, «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί», οὕτω καὶ ἡ τῶν ἀγαθῶν συνουσία τὰ μέγιστα ὀνίνησι τοὺς πλησιάζοντας. Διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης συνεχώρησεν ἀναμεμίχθαι τοὺς ἀγαθοὺς τοῖς πονηροῖς, ἵνα κερδαίνωσί τι ἐκ τῆς συνουσίας, καὶ μὴ ἐναπομένωσι διηνεκῶς τῇ πονηρίᾳ, ἀλλὰ συνεχῆ ὑπόμνησιν ἔχοντες τὴν ἐκείνων θέαν, καρπώσωνταί τι πλέον ἐκ τῆς τούτων συνουσίας. Τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχύς, ὡς καὶ τοὺς μὴ

2. Ψαλμ. 6, 6.
3. Α΄ Κορ. 15, 33.

Βέβαια δέν εἶναι δυνατὸν νὰ εὕρῃ κάποιαν παρηγορίαν ἐκεῖ ἐκεῖνος, ποὺ δὲν ἐκαθάρισε εἰς τὴν παροῦσαν ζωὴν τὰ ἁμαρτήματά του. «Διότι εἰς τὸν ἅδην, λέγει, ποῖος θὰ ἐξομολογηθῇ εἰς σέ;»[2]. Καὶ εἶναι φυσικόν· διότι αὐτὸς εἶναι ὁ καιρὸς τῶν δοκιμασιῶν καὶ τῶν προσπαθειῶν καὶ τῶν ἀγωνισμάτων· ἐκεῖνος δὲ εἶναι ὁ καιρὸς τῶν στεφάνων καὶ τῶν ἀμοιβῶν καὶ τῶν βραβείων. Ἂς ἀγωνισθοῦμεν λοιπόν, ἐπειδὴ ἀκόμη εὑρισκόμεθα εἰς τὸ στάδιον, ὥστε εἰς τὸν καιρόν, κατὰ τὸν ὁποῖον πρέπει νὰ λάβωμεν τὸ βραβεῖον καὶ τὴν ἀμοιβὴν τῶν προσπαθειῶν μας, ἂς μὴ εἴμεθα ἀπὸ τοὺς κατεντροπιασμένους, ἀλλὰ ἀπὸ ἐκείνους, ποὺ δέχονται μὲ παρρησίαν τὸ βραβεῖον εἰς τὸ κεφάλι των. Δὲν ἀναφέραμεν εἰσαγωγικῶς αὐτὰ ἁπλῶς, οὔτε χωρὶς κάποιον σκοπὸν εἰς τὴν ἀγάπην σας, ἀλλὰ ἐπειδὴ θέλομεν νὰ ἐνθυμῆσθε καθημερινῶς τὰς ἀγαθὰς πράξεις, ὥστε γενόμενοι τέλειοι καὶ ὡλοκληρωμένοι, καὶ διαλάμποντες μὲ τὴν ἀρετὴν τῆς συμπεριφορᾶς σας, νὰ γίνετε ἄμεμπτοι καὶ ἀκέραιοι, ἄμωμα τέκνα τοῦ Θεοῦ, καὶ νὰ φανῆτε ὡς φωστῆρες εἰς τὸν κόσμον, παρέχοντες ὑπόδειγμα ζωῆς, πρὸς καύχησιν ἰδικήν μας, κατὰ τὴν ἡμέραν τοῦ Χριστοῦ καὶ διὰ νὰ ὠφελῆτε καὶ μόνον μὲ τὴν παρουσίαν σας ἐκείνους, ποὺ σᾶς συναναστρέφονται καὶ νὰ ἀπολαμβάνουν τὴν ἰδικήν σας πνευματικὴν εὐωδίαν καὶ τὴν ἀρίστην συμπεριφοράν σας ἐκεῖνοι, οἱ ὁποῖοι συμμετέχουν μαζί σας εἰς τὰς συζητήσεις. Διότι ὅπως ἀκριβῶς ἡ συναναστροφὴ μὲ τοὺς κακοὺς συνήθως βλάπτει τοὺς συναναστρεφομένους, καθὼς καὶ ὁ μακάριος Παῦλος λέγει, «Καταστρέφουν τὰ καλὰ ἤθη αἱ κακαὶ συναναστροφαί»[3]· ἔτσι καὶ ἡ συναναστροφὴ μὲ τοὺς ἀγαθοὺς ὠφελεῖ πάρα πολὺ τοὺς συναναστρεφομένους. Διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος Κύριός μας ἐπέτρεψε νὰ ἀναμειγνύωνται οἱ ἀγαθοὶ μὲ τοὺς κακούς, διὰ νὰ κερδίζουν κάτι ἀπὸ τὴν συναναστροφὴν καὶ νὰ μὴ παραμένουν διαρκῶς εἰς τὴν κακίαν, ἀλλὰ ἔχοντες συνεχῆ ὑπόμνησιν τὴν θέαν ἐκείνων, νὰ ὠφεληθοῦν κάτι περισσότερον ἀπὸ τὴν συναναστροφήν των μὲ αὐτούς. Διότι τέτοια εἶναι ἡ δύναμις τῆς ἀρετῆς, ὥστε καὶ ἐκεῖνοι, ποὺ δὲν μετέρχον-

μετιόντας αὐτὴν σφόδρα αὐτὴν αἰδεῖσθαι, καὶ πολὺν τὸν ὑπὲρ αὐτῆς ἔπαινον διεξιέναι. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ κακία πάλιν καὶ ὑπ' αὐτῶν τῶν μετιόντων αὐτὴν διηνεκῶς βάλλεται ταῖς κατηγορίαις· οὕτως ἐστὶ πᾶσι δήλη καὶ καταφανής, καὶ οὐδένα εὑρήσεις ποτὲ ταχέως ἐπὶ ταύτῃ παρρησιαζόμενον· ἀλλὰ καὶ τὸ θαυμαστόν, ὅτι ἃ διὰ τῶν ἔργων πράττειν ἐπιχειροῦσι, πολλάκις τοῖς λόγοις κακίζουσι, καὶ λανθάνειν τοὺς πολλοὺς βούλονται. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐπεδείξατο, τὸ ἑκάστῳ ἡμῶν ἐπιθεῖναι κριτήριον ἀδέκαστον τὸ συνειδός, ἔχον ἀκριβῆ τὴν διάγνωσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων· ὃ δὴ μάλιστα καὶ πάσης ἡμᾶς ἀπολογίας ἀποστερῆσαι δυνήσεται, οὐ δι' ἄγνοιαν προσπταίοντες τοῖς ἁμαρτήμασιν, ἀλλὰ διὰ ῥᾳθυμίαν ψυχῆς καὶ ἀμέλειαν τῆς ἀρετῆς.

3. Ταῦτα καθ' ἑκάστην ὥραν στρέφοντες παρ' ἑαυτοῖς, πολλὴν ποιώμεθα τὴν μέριμναν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ἵνα μή, τοῦ χρόνου παρατρέχοντος, λάθωμεν ἑαυτοὺς τὰ μέγιστα ζημιοῦντες. Ἀλλὰ τῶν μὲν προοιμίων ἅλις· ἀκούσωμεν δέ, εἰ δοκεῖ, τίνα ἐστίν, ἃ καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται ἡ τοῦ Πνεύματος χάρις διὰ τῆς τοῦ Μωϋσέως γλώττης. «Καὶ εἶπε», φησίν, «ὁ Θεός, συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο οὕτω». Βλέπε μοι, ἀγαπητέ, ἐνταῦθα τάξιν καὶ ἀκολουθίαν ἀρίστην. Ἐπειδὴ γὰρ εἶπεν ἐν ἀρχῇ, ὅτι «Ἦν ἡ γῆ ἀόρατος καὶ ἀκατασκεύαστος», τῷ καὶ τῷ σκότῳ καὶ τοῖς ὕδασι καλύπτεσθαι· εἶτα τῇ δευτέρᾳ ἡμέρᾳ τὸ στερέωμα κελεύσας γενέσθαι, τὸν χωρισμὸν τῶν ὑδάτων εἰργάσατο, καλέσας τὸ στερέωμα οὐρανόν· νῦν πάλιν διδάσκει ἡμᾶς, ὅτι ἐν τῇ τρίτῃ ἡμέρᾳ τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ, ἤτοι τοῦ στερεώματος, προσέταξεν εἰς μίαν συναγωγὴν συνελθὸν χώραν παρασχεῖν, καὶ ὀφθῆναι τὴν ξηράν· καὶ ἐγένετο οὕτως. Ἐπειδὴ γὰρ ἅπαντα ὑδάτων

4. Γεν. 1, 2.

ται αὐτήν, νὰ τὴν σέβωνται ὑπερβολικὰ καὶ νὰ τὴν ἐπαινοῦν πολύ. Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ἡ κακία πάλιν κατηγορεῖται διαρκῶς ἀπὸ ἐκείνους, ποὺ τὴν μετέρχονται· ἔτσι εἶναι εἰς ὅλους φανερὰ καὶ σαφής, καὶ δὲν θὰ εὕρῃς ποτὲ κανένα νὰ ὁμιλῇ σύντομα μὲ παρρησίαν δι' αὐτήν· ἀλλὰ καὶ τὸ παράδοξον εἶναι, ὅτι ἐκεῖνα ποὺ ἐπιχειροῦν νὰ κάνουν μὲ ἔργα, πολλὰς φορὰς κακίζουν μὲ τὰ λόγια καὶ ἐπιθυμοῦν νὰ διαφεύγουν τοὺς πολλούς. Καὶ αὐτὸ δὲ εἶναι δεῖγμα τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τὴν ὁποίαν ἐπέδειξε διὰ τὸ ἀνθρώπινον γένος, μὲ τὸ νὰ θέσῃ εἰς τὸν καθένα μας ὡς ἀδέκαστον κριτήριον τὴν συνείδησιν, ἡ ὁποία κάνει ἀκριβῆ διάγνωσιν τῶν καλῶν καὶ τῶν κακῶν· αὐτὴ λοιπὸν κυρίως θὰ ἠμπορέσῃ νὰ μᾶς στερήσῃ κάθε δικαιολογίαν, ἐπειδὴ δὲν ὑποπίπτομεν εἰς τὰ ἁμαρτήματα ἐξ αἰτίας τῆς ἀγνοίας μας, ἀλλὰ ἐξ αἰτίας τῆς ἀδιαφορίας τῆς ψυχῆς καὶ ἀμελείας τῆς ἀρετῆς.

3. Συλλογιζόμενοι αὐτὰ καθημερινῶς, ἂς φροντίζωμεν πολὺ διὰ τὴν σωτηρίαν μας, διὰ νὰ μὴ λησμονήσωμεν τοὺς ἑαυτούς μας, μὲ τὴν πάροδον τοῦ χρόνου, προκαλοῦντες μεγίστας ζημίας. Ἀλλὰ τὰ μὲν εἰσιαγωγικὰ εἶναι ἀρκετά. Ἂς ἀκούσωμεν ὅμως, ἐὰν θέλετε, ποῖα εἶναι ἐκεῖνα, τὰ ὁποῖα καὶ σήμερα θέλει νὰ μᾶς διδάξῃ ἡ χάρις τοῦ Πνεύματος μὲ τὴν γλῶσσαν τοῦ Μωυσέως. «Καὶ εἶπε, λέγει, ὁ Θεός, νὰ συγκεντρωθοῦν τὰ ὕδατα, τὰ εὑρισκόμενα κάτω ἀπὸ τὸν οὐρανὸν εἰς ἕνα μέρος, διὰ νὰ φανῇ ἡ ξηρά· καὶ ἔγινεν ἔτσι». Βλέπε, παρακαλῶ ἀγαπητέ, ἐδῶ τάξιν καὶ ἀρίστην συνέπειαν. Ἀφοῦ λοιπὸν εἶπεν εἰς τὴν ἀρχήν, ὅτι «Ἡ γῆ ἦτο ἀόρατος καὶ ἀσχημάτιστος»[4], ἐπειδὴ ἐσκεπάζετο ἀπὸ τὸ σκοτάδι καὶ τὰ ὕδατα· ἔπειτα κατὰ τὴν δευτέραν ἡμέραν ἀφοῦ διέταξε νὰ γίνῃ τὸ στερέωμα, ἔκαμε τὸν χωρισμὸν τῶν ὑδάτων καὶ ὠνόμασε τὸ στερέωμα οὐρανόν· τώρα πάλιν μᾶς διδάσκει, ὅτι κατὰ τὴν τρίτην ἡμέραν διέταξε τὸ ὕδωρ, τὸ ὁποῖον εὑρίσκετο κάτω ἀπὸ τὸν οὐρανόν, δηλαδὴ ἀπὸ τὸ στερέωμα, ἀφοῦ συγκεντρωθῇ εἰς ἕνα τόπον νὰ ἀφήσῃ μέρος καὶ νὰ ἐμφανισθῇ ἡ ξηρά· καὶ ἔγινεν ἔτσι. Ἀφοῦ λοιπὸν τὰ πάντα ἦσαν γεμᾶτα ἀπὸ ὕδωρ,

ἐπεπλήρωτο, κελεύει εἰς μίαν συναγωγὴν ὑδάτων τὸ πλῆθος συνελθεῖν, ἵνα οὕτως ὀφθῇ ἡ ξηρά. Σκόπει πῶς κατὰ μικρὸν ἡμῖν τὴν διακόσμησιν καὶ τὴν εὐμορφίαν αὐτῆς παραδείκνυσι. «Καὶ ἐγένετο», φησίν, οὕτω». Πῶς; Ὡς προσέταξεν ὁ Δεσπότης. Εἶπε μόνον, καὶ τὸ ἔργον ἠκολούθησε. Τοῦτο γὰρ ἴδιον Θεοῦ, τὸ κατὰ τὸ ἑαυτοῦ βούλημα τὰ δημιουργήματα ἡνιοχεῖν. «Καὶ συνήχθη», φησί, «τὸ ὕδωρ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά». Καθάπερ ἐπὶ τοῦ φωτός, σκότους ὄντος πανταχοῦ, ἐκέλευσε παραχθῆναι τὸ φῶς, καὶ διαχωρισμὸν εἰργάσατο τοῦ φωτὸς καὶ τοῦ σκότους, ὥστε τὸ μὲν τῇ ἡμέρᾳ ἀποκληρῶσαι, τὸ δὲ τῇ νυκτί· καὶ ἐπὶ τῶν ὑδάτων πάλιν τὸ στερέωμα παραγαγών, τὰ μὲν τὴν ἄνω χώραν ἐπέχειν ἐκέλευσε, τὰ δὲ ὑπὸ τὸ στερέωμα εἶναι· οὕτω καὶ νῦν αὐτὰ ταῦτα τὰ ὕδατα, τὰ ὑποκάτω τοῦ στερεώματος, προστάσσει εἰς μίαν συναγωγὴν συνδραμεῖν, ἵνα φανῇ ἡ ξηρά, καὶ τότε καὶ ταύτῃ τὸ οἰκεῖον ἐπιθῇ ὄνομα, ὥσπερ ἐπὶ τοῦ φωτὸς καὶ τοῦ σκότους· «Συνήχθη γάρ», φησί, «τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά, καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν». Εἶδες, ἀγαπητέ, πῶς ἀόρατον οὖσαν καὶ ἀκατασκεύαστον, καθάπερ ὑπὸ παραπετάσμασί τισι καλυπτομένην τοῖς ὕδασιν ἀπαμφιάσας, ὡς εἰπεῖν, δείκνυσιν ἡμῖν αὐτῆς τέως τὸ πρόσωπον, ἐπιθεὶς αὐτῇ τὴν οἰκείαν προσηγορίαν; «Καὶ τὰ συστήματα», φησί, τῶν ὑδάτων ἐκάλεσε θαλάσσας». Ἰδοὺ καὶ τὰ ὕδατα ἔλαβε τὴν οἰκείαν προσηγορίαν. Καθάπερ γάρ τις τεχνίτης ἄριστος ἐπειδὰν μέλλῃ κατασκευάζειν τι σκεῦος διὰ τῆς οἰκείας ἐπιστήμης, οὐ πρότερον τούτῳ τὴν οἰκείαν προσηγορίαν ἐπιτίθησι, μέχρις ἂν τὸ τέλος ἐπιθῇ τῷ κατασκευαζομένῳ· οὕτω δὴ καὶ ὁ φιλάνθρωπος Δεσπότης οὐ πρότερον τὰς προσηγορίας τοῖς στοιχείοις ἐπιτίθησι, μέχρις ἂν εἰς τὴν οἰκείαν χώραν τῷ οἰκείῳ προστάγματι ἐναποθῆται. Ἐπεὶ οὖν ἐδέξατο καὶ ἡ γῆ τὴν ἑαυτῆς προσηγορίαν,

διατάσσει νὰ συγκεντρωθῇ ὅλον εἰς ἕνα τόπον ὑδάτων, διά νὰ ἐμφανισθῇ ἔτσι ἡ ξηρά. Παρατήρησε πῶς μᾶς παρουσιάζει σιγὰ σιγὰ τὴν ἁρμονικὴν διάταξιν τοῦ σύμπαντος καὶ τὴν ὀμορφιὰν αὐτῆς. «Καὶ ἔγινε, λέγει, ἔτσι». Πῶς; Ὅπως διέταξεν ὁ Κύριος. Εἶπε μόνον καὶ ἠκολούθησε τὸ ἔργον. Διότι αὐτὸ εἶναι τὸ χαρακτηριστικὸν γνώρισμα τοῦ Θεοῦ, τὸ νὰ διευθύνῃ δηλαδὴ κατὰ τὴν θέλησίν του τὰ δημιουργήματα. «Καὶ συνεκεντρώθησαν, λέγει, τὰ ὕδατα, τὰ ὁποῖα ἦσαν κάτω ἀπὸ τὸν οὐρανὸν εἰς τοὺς ἰδιαιτέρους τόπους των, καὶ ἐφάνη ἡ ξηρά». Ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τοῦ φωτός, ἐνῷ ἦτο παντοῦ σκοτάδι, διέταξε νὰ γίνῃ τὸ φῶς καὶ ἔκαμε τὸν χωρισμὸν τοῦ φωτὸς ἀπὸ τὸ δὲ σκοτάδι εἰς τὴν νύκτα˙ καὶ εἰς τὴν περίπτωσιν τῶν τὸ δὲ σκοτάδι εἰς τὴν νύκτα˙ καὶ εἰς τὴν περίπτωσιν τῶν ὑδάτων πάλιν ἀφοῦ ἐδημιούργησε τὸ στερέωμα, διέταξεν ἄλλα μὲν νὰ καταλάβουν τὸ ἄνω μέρος, ἄλλα δὲ νὰ εἶναι κάτω ἀπὸ τὸ στερέωμα˙ ἔτσι καὶ τώρα αὐτὰ τὰ ὕδατα, τὰ ὁποῖα ἦσαν κάτω ἀπὸ τὸ στερέωμα, διατάσσει νὰ συρρεύσουν εἰς μίαν θέσιν, διὰ νά φανῇ ἡ ξηρά, καὶ τότε νὰ δώσῃ εἰς αὐτὴν τὸ κατάλληλον ὄνομα, ὅπως καὶ εἰς τὴν περίπτωσιν τοῦ φωτὸς καὶ τοῦ σκότους. «Συνεκεντρώθησαν λοιπόν, λέγει, τὰ ὕδατα εἰς τὰς θέσεις των καὶ ἐφάνη ἡ ξηρά, καὶ ὠνόμασεν ὁ Θεὸς τὴν ξηρὰν γῆν». Εἶδες, ἀγαπητέ, πῶς ἐνῷ ἦτο ἀόρατος καὶ ἀσχημάτιστος, ὡσὰν νὰ ἐσκεπάζετο μὲ κάποια παραπετάσματα ἀφοῦ τὴν ἀπεγύμνωσεν ἀπὸ τὰ ὕδατα, κατὰ κάποιον τρόπον, μᾶς φανερώνει διὰ πρώτην φορὰν τὸ πρόσωπόν της, καὶ ἔδωσεν εἰς αὐτὴν τὸ κατάλληλον ὄνομα; «Καὶ τὰ συγκεντρωθέντα, λέγει, ὕδατα ὠνόμασε θαλάσσας». Ἰδοὺ καὶ τὰ ὕδατα ἔλαβον τὴν κατάλληλον ὀνομασίαν. Ὅπως ἀκριβῶς λοιπὸν κάποιος ἄριστος τεχνίτης, ὅταν πρόκειται νὰ κατασκευάσῃ μὲ τὴν τέχνην του κάποιο ἀντικείμενον, δὲν δίδει προηγουμένως εἰς αὐτὸ τὸ ὄνομά του, μέχρις ὅτου τὸ ἀποτελειώσει, ἔτσι λοιπὸν καὶ ὁ φιλάνθρωπος Κύριος δὲν δίδει προηγουμένως εἰς τὰ στοιχεῖα τὰ ὀνόματα, μέχρις ὅτου μὲ τὴν προσταγήν του τοποθετήσῃ αὐτὰ εἰς κατάλληλον θέσιν. Ἀφοῦ λοι-

καὶ πρὸς τὴν οἰκείαν μορφὴν ἐπανῆλθε, καὶ τὰ ὕδατα συναχθέντα πάλιν τῆς οἰκείας ὀνομασίας ἠξιώθη. «Ἐκάλεσε γάρ», φησί, «τὰ συστήματα τῶν ὑδάτων θαλάσσας», καὶ ἐπήγαγε πάλιν, «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν». Ἐπειδὴ γὰρ ἀσθενὴς οὖσα τῶν ἀνθρώπων ἡ φύσις, οὐκ ἤρκει πρὸς ἀξίαν ἐπαινέσαι τὰ τοῦ Θεοῦ δημιουργήματα, προλαβοῦσα ἡ θεία Γραφὴ τὸν ὑπ' αὐτοῦ τοῦ δημιουργοῦ ἔπαινον ἡμᾶς διδάσκει.

4. Ὅταν τοίνυν μάθῃς, ὅτι καὶ αὐτῷ τῷ παραγαγόντι καλὰ ὤφθη τὰ γεγενημένα, μεῖζον μὲν ἕξεις τὸ θαῦμα, οὐδὲν δὲ πλέον εἰς ἔπαινον καὶ ἐγκωμίου λόγον εἰσενεγκεῖν δυνήσῃ. Τοιοῦτον γὰρ ἔχεις Δεσπότην τοιαῦτα ἐργαζόμενον, ἃ μηδὲ τὸν παρ' ἡμῶν ἔπαινον δέξασθαι δύναται. Πῶς γὰρ ἂν δυνηθείη ἀνθρωπίνη φύσις Θεοῦ ἔργα κατ' ἀξίαν ἐπαινέσαι, ἢ ὑμνῆσαί ποτε; Καὶ θέα μοι λοιπὸν ἐνταῦθα διὰ τῶν ἐπαγομένων τοῦ εὐμηχάνου Θεοῦ τὴν ἄφατον σοφίαν. Ἐπειδὴ γὰρ φανερὸν ἡμῖν τῆς γῆς τὸ πρόσωπον ἔδειξε, λοιπὸν τῷ οἰκείῳ προστάγματι τὴν προσήκουσαν εὐμορφίαν αὐτῇ χαρίζεται, καλλωπίζων αὐτῆς τὸ πρόσωπον τῇ ποικιλίᾳ τῶν σπερμάτων. «Καὶ εἶπε», φησίν, «ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ καθ' ὁμοιότητα, κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο οὕτως». Τί ἐστι τό, «Καὶ ἐγένετο οὕτως»; Προσέταξε, φησίν, ὁ Δεσπότης, καὶ εὐθέως ἡ γῆ τὰς οἰκείας ὠδῖνας διεγείρουσα, πρὸς τὴν τῶν σπερμάτων βλάστην ἑαυτὴν ηὐτρέπισε. «Καὶ ἐξήνεγκε», φησίν, «ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς». Ἐννόει μοι ἐνταῦθα, ἀγαπητέ, πῶς τῷ ῥήματι τοῦ Δεσπότου τὰ πάντα ἐγένετο τῇ γῇ. Οὔτε γὰρ ἄνθρωπος ἦν ὁ ἐργαζόμενος, οὐκ ἄροτρον, οὐ βοῶν συνεργία, οὐκ ἄλλη τις

πόν ἔλαβε καὶ ἡ γῆ τὸ ὄνομά της καὶ ἐπανῆλθε εἰς τὴν ἰδικήν της μορφήν, καὶ τὰ συγκεντρωθέντα ὕδατα πάλιν ἠξιώθησαν τὴν ἰδικήν των ὀνομασίαν. «Ὠνόμασε λοιπόν, λέγει, τὸ σύνολον τῶν ὑδάτων θαλάσσας», καὶ ἐπρόσθεσε πάλιν, «Καὶ εἶδεν ὁ Θεός, ὅτι ἦτο καλόν». Ἐπειδὴ βεβαίως ἡ ἀνθρωπίνη φύσις, ὡς ἀσθενής, δὲν ἦτο ἱκανὴ νὰ ἐπαινέσῃ ἐπαξίως τὰ δημιουργήματα τοῦ Θεοῦ, ὁμιλοῦσα προκαταβολικῶς ἡ Ἁγία Γραφὴ μᾶς διδάσκει τὸν ἔπαινον ἀπὸ τὸν ἴδιον τὸν δημιουργόν.

4. Ὅταν λοιπὸν μάθῃς, ὅτι εἰς αὐτὸν τὸν δημιουργὸν ἐφάνησαν καλὰ τὰ δημιουργήματα, ἀφ' ἑνὸς μὲν θὰ θαυμάσῃς περισσότερον, ἀφ' ἑτέρου δὲ δὲν θὰ ἠμπορέσῃς νὰ ἐκφέρῃς περισσότερον κανένα ἔπαινον καὶ ἐγκώμιον. Ἔχεις λοιπὸν τέτοιον Κύριον, ποὺ κάνει τέτοια ἔργα, τὰ ὁποῖα δὲν ἠμποροῦν νὰ δεχθοῦν οὔτε τὸν ἰδικόν μας ἔπαινον. Διότι πῶς θὰ ἠμπορέσῃ ἡ ἀνθρωπίνη φύσις νὰ ἐπαινέσῃ ἢ νὰ ὑμνήσῃ ποτὲ ἐπαξίως τὰ ἔργα τοῦ Θεοῦ; Καὶ πρόσεχε, παρακαλῶ, εἰς τὸ ἑξῆς ἐδῶ μὲ ὅσα ἀκολουθοῦν τὴν ἄπειρον σοφίαν τοῦ ἐπινοητικοῦ Θεοῦ. Ἀφοῦ λοιπὸν μᾶς ἐφανέρωσεν τὴν ἐπιφάνειαν τῆς γῆς, εἰς τὴν συνέχειαν μὲ τὴν ἐντολήν του χαρίζει εἰς αὐτὴν τὴν ἁρμόζουσαν ὀμορφιάν, καλλωπίζων τὴν ἐπιφάνειάν της μὲ τὴν ποικιλίαν τῶν φυτῶν. «Καὶ εἶπε, λέγει, ὁ Θεός· ἂς βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν, φυτὰ σπερματοφόρα καὶ καρποφόρα δένδρα, τὰ ὁποῖα φέρουν τοὺς καρποὺς τοῦ εἴδους των, περιέχοντας τὰ σπέρματά των, ἐπὶ τῆς γῆς. Καὶ ἔγινεν ἔτσι». Τί σημαίνει τό, «Καὶ ἔγινεν ἔτσι»; Ἐπρόσταξε, λέγει, ὁ Κύριος, καὶ ἀμέσως ἡ γῆ ἀφοῦ διήγειρε τὰς ὠδῖνας της, ἐστόλισε τὸν ἑαυτόν της μὲ τὴν βλάστησιν τῶν φυτῶν. «Καὶ ἡ γῆ παρήγαγε χόρτον χλωρόν, τὰ διάφορα εἴδη τῶν σπερματοφόρων φυτῶν καὶ τὰ διάφορα εἴδη τῶν καρποφόρων δένδρων, τὰ ὁποῖα περιέχουν μέσα των τοὺς σπόρους αὐτῶν ἐπὶ τῆς γῆς». Κατανόησε ἐδῶ, παρακαλῶ ἀγαπητέ, πῶς μὲ τὸν λόγον τοῦ Κυρίου τὰ πάντα ἔγιναν εἰς τὴν γῆν. Διότι δὲν ἦτο ὁ ἐργαζόμενος οὔτε ἄνθρωπος, οὔτε ἄροτρον, οὔτε ἐργασία βοδιῶν, οὔτε καμμία ἄλλη

περὶ αὐτὴν ἐπιμέλεια, ἀλλὰ μόνον ἤκουσε τοῦ ἐπιτάγματος, καὶ εὐθέως τὰ παρ' ἑαυτῆς ἐπεδείξατο. Ἐκ τούτου μανθάνομεν, ὅτι καὶ νῦν οὐ τῶν γηπόνων ἡ ἐπιμέλεια, οὐδὲ ὁ πόνος, καὶ ἡ λοιπὴ ταλαιπωρία ἡ κατὰ τὴν γεωργίαν γινομένη τῶν καρπῶν ἡμῖν τὴν φορὰν χαρίζεται, ἀλλὰ πρὸ τούτων ἁπάντων τὸ τοῦ Θεοῦ ῥῆμα τὸ ἐξ ἀρχῆς πρὸς αὐτὴν γενόμενον. Ἄλλως τε δὲ καὶ τὴν μετὰ ταῦτα ἀγνωμοσύνην τῶν ἀνθρώπων διορθουμένη ἡ θεία Γραφή, ἀκριβῶς ἡμῖν ἅπαντα διηγεῖται κατὰ τὴν τάξιν τῶν γεγονότων, ἵνα ἀναστείλῃ τῶν μάτην φθεγγομένων τὰς ἀπὸ τῶν οἰκείων λογισμῶν ληρωδίας τῶν λέγειν ἐπιχειρούντων, ὅτι τῆς τοῦ ἡλίου συνεργίας δεῖ πρὸς τὴν τῶν καρπῶν τελεσφόρησιν. Εἰσὶ δέ τινες οἳ καὶ τῶν ἄστρων τισὶ ταῦτα ἐπιγράφειν ἐπιχειροῦσι. Διὰ τοῦτο διδάσκει ἡμᾶς τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι πρὸ τῆς τῶν στοιχείων τούτων δημιουργίας, τῷ λόγῳ αὐτοῦ καὶ τῷ προστάγματι εἴκουσα ἡ γῆ πάντα τὰ σπέρματα ἐκδίδωσιν, οὐδενὸς ἑτέρου δεηθεῖσα πρὸς συνεργίαν. Ἤρκεσε γὰρ αὐτῇ ἀντὶ πάντων τὸ ῥῆμα ἐκεῖνο τὸ λέγον· «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου». Κατακολουθοῦντες τοίνυν τῇ θείᾳ Γραφῇ, μηδέποτε ἀνεχώμεθα τῶν ἁπλῶς τὰ περιστάμενα λεγόντων. Κἂν γὰρ ἄνθρωποι τὴν γῆν ἐργάζωνται, κἂν τὴν ἀπὸ τῶν ἀλόγων συνεργίαν ἔχωσι, καὶ πολλὴν τῇ γῇ ἐπιμέλειαν ἐπιδείξωνται, κἂν ἀέρων εὐκρασία γένηται, καὶ πάντα τὰ ἄλλα συνδράμῃ, εἰ μὴ τὸ νεῦμα τοῦ Δεσπότου γένοιτο, πάντα εἰκῇ καὶ μάτην, καὶ οὐδὲν ἔσται πλέον τῶν πολλῶν πόνων καὶ καμάτων, μὴ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης, καὶ τὴν τελεσφόρησιν χαριζομένης τοῖς γινομένοις. Τίς οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειεν ἐννοῶν, ὅπως τοῦ Δεσπότου τὸ ῥῆμα λέγον, «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου», εἰς αὐτὰς τῆς γῆς τὰς λαγόνας κατελθόν, καθάπερ πέπλῳ τινὶ θαυμαστῷ, οὕτω τῇ τῶν ἀνθῶν ποικιλίᾳ τῆς γῆς τὸ πρόσωπον κατεκόσμησε;

5. Δηλαδὴ τοῦ ἡλίου καὶ τῶν ἄστρων.

φροντίδα ἐλήφθη δι᾿ αὐτήν, ἀλλὰ μόνον ἤκουσε τὴν ἐντολὴν καὶ ἀμέσως ἐπαρουσίασε τὰ ἰδικά της. [᾿Απὸ αὐτὸ πληροφορούμεθα, ὅτι καὶ τώρα δὲν μᾶς χαρίζει τὴν καρποφορίαν οὔτε ἡ ἀσχολία τῶν γεωργῶν, οὔτε ὁ κόπος καὶ ἡ ὑπόλοιπος ἐργασία, ποὺ καταβάλλεται κατὰ τὴν καλλιέργειαν τῆς γῆς, ἀλλὰ περισσότερον ἀπὸ ὅλα αὐτὰ ὁ λόγος τοῦ Θεοῦ, ὁ ὁποῖος ἀπὸ τὴν ἀρχὴν ἐλέχθη πρὸς αὐτήν.] ῎Αλλωστε δὲ διὰ νὰ διορθώσῃ ἡ ῾Αγία Γραφὴ καὶ τὴν ἀχαριστίαν τῶν ἀνθρώπων ὕστερα ἀπὸ αὐτά, μᾶς διηγεῖται ὅλα μὲ ἀκρίβειαν κατὰ τὴν σειρὰν τῆς δημιουργίας των, διὰ νὰ σταματήσῃ τὰς φλυαρίας ἐκείνων, ποὺ ἐξ ἰδίων σκέψεων ὁμιλοῦν ἀνοήτως καὶ ἐπιχειροῦν νὰ λέγουν, ὅτι διὰ τὴν ὡρίμανσιν τῶν καρπῶν τῆς γῆς εἶναι ἀναγκαία ἡ συνεργασία τοῦ ἡλίου. Εἶναι δὲ καὶ μερικοί, οἱ ὁποῖοι ἐπιχειροῦν νὰ ἀναφέρουν αὐτὰ καὶ εἰς κάποια ἄστρα. Δι᾿ αὐτὸ μᾶς διδάσκει τὸ ῞Αγιον Πνεῦμα, ὅτι πρὶν ἀπὸ τὴν δημιουργίαν τῶν στοιχείων αὐτῶν[5], ὑποχωροῦσα ἡ γῆ εἰς τὸν λόγον καὶ τὴν ἐντολὴν τοῦ Θεοῦ παράγει ὅλα τὰ φυτά, χωρὶς νὰ χρειασθῇ τὴν βοήθειαν κανενὸς ἄλλου. Διότι ἦτο ἀρκετὸς εἰς αὐτήν, ἀντὶ ὅλων τῶν ἄλλων, ὁ λόγος ἐκεῖνος, ὁ ὁποῖος ἔλεγε· «Νὰ βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν». ᾿Ακολουθοῦντες λοιπὸν πιστὰ τὴν ῾Αγίαν Γραφήν, ἂς μὴ ἀνεχώμεθα ποτὲ ἐκείνους ποὺ λέγουν, ὅτι ἔγιναν μόνα των τὰ εὑρισκόμενα γύρω μας. Διότι καὶ ἂν ἀκόμη οἱ ἄνθρωποι καλλιεργοῦν τὴν γῆν, καὶ ἂν ἀκόμη ἔχουν τὴν βοήθειαν τῶν ζώων καὶ φροντίσουν πολὺ τὸ χωράφι των, καὶ ἂν πνεύσουν εὐνοϊκοὶ ἄνεμοι καὶ συνδράμουν ὅλα τὰ ἄλλα, ἐὰν δὲν θὰ ὑπάρξῃ ἡ συγκατάθεσις τοῦ Κυρίου, ὅλα εἶναι ἄσκοπα καὶ μάταια, καὶ δὲν θὰ προκύψῃ κανένα κέρδος ἀπὸ τοὺς πολλοὺς κόπους καὶ προσπαθείας, ἐὰν τὸ χέρι τοῦ Θεοῦ δὲν συνεργῇ καὶ δὲν χαρίζῃ τὴν καρποφορίαν εἰς αὐτὰ ποὺ γίνονται. Ποῖος δὲν θὰ ἐκπλαγῇ καὶ δὲν θὰ θαυμάσῃ, ὅταν κατανοῇ, πῶς ὁ λόγος τοῦ Κυρίου, ποὺ ἔλεγε, «Νὰ βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν», ἀφοῦ κατῆλθεν εἰς αὐτὰ τὰ σπλάγχνα τῆς γῆς, ὡσὰν μὲ κάποιο θαυμαστὸν πέπλον, ἔτσι μὲ τὴν ποικιλίαν τῶν ἀνθέων κατεστόλι-

Καὶ ἦν ἰδεῖν ἀθρόον τὴν πρότερον ἄμορφον καὶ ἀκατασκεύαστον τοσοῦτον δεξαμένην τὸ κάλλος, ὡς μικροῦ δεῖν ἁμιλλᾶσθαι τῷ οὐρανῷ. Καθάπερ γὰρ ἐκεῖνος μετ' οὐ πολὺ μέλλει κοσμεῖσθαι τῇ τῶν ἄστρων ποικιλίᾳ, οὕτω καὶ αὐτὴ τῇ διαφορᾷ τῶν ἀνθῶν οὕτως ἐκαλλωπίσατο, ὡς καὶ τὸν δημιουργὸν εἰς ἔπαινον ἄγειν· Εἶδε γάρ, φησίν, ὁ Θεός, ὅτι καλόν.

5. Εἶδες πῶς καθ' ἕκαστον τῶν γινομένων δείκνυσιν ἐπαινοῦντα τὸν δημιουργόν, ἵνα μετὰ ταῦτα ἡ τῶν ἀνθρώπων φύσις, ταῦτα διδασκομένη, ἐκ τῶν δημιουργημάτων ἀνατρέχῃ πρὸς τὸν δημιουργήσαντα; Εἰ γὰρ τὰ δημιουργήματα τοιαῦτα ὄντα νικᾷ τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ οὐδεὶς ἂν αὐτὰ κατ' ἀξίαν ἐπαινέσαι δυνήσεται· τί ἄν τις εἰπεῖν δυνηθείη περὶ αὐτοῦ τοῦ δημιουργοῦ; «Καὶ εἶδε», φησίν, «ὁ Θεός, ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη». Ὁρᾷς πῶς τῇ συνεχείᾳ τῆς διδασκαλίας ἐμπῆξαι βούλεται τῇ διανοίᾳ τῇ ἡμετέρᾳ τῶν λεγομένων τὴν δύναμιν; Ἐχρῆν γὰρ εἰπεῖν, καὶ ἐγένετο ἡμέρα τρίτη. Ἀλλ' ὅρα πῶς καθ' ἑκάστην ἡμέραν οὕτω φησί, «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη»· οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ἵνα μὴ συγχέωμεν τὴν τάξιν, μηδὲ νομίζωμεν ἑσπέρας καταλαβούσης τέλος εἰληφέναι τὴν ἡμέραν· ἀλλ' ἴδωμεν, ὅτι ἡ μὲν ἑσπέρα τέλος ἐστὶ τοῦ φωτός, καὶ ἀρχὴ τῆς νυκτός, ὁ δὲ ὄρθρος τέλος τῆς νυκτὸς καὶ πλήρωμα τῆς ἡμέρας. Τοῦτο γὰρ ἡμᾶς βούλεται διδάξαι ὁ μακάριος Μωϋσῆς λέγων, «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη». Καὶ μὴ ξενισθῇς, ἀγαπητέ, εἰ ταῦτα πολλάκις, καὶ συνεχῶς λέγει ἡ θεία Γραφή. Εἰ γὰρ καὶ μετὰ τὴν τοσαύτην συνέχειαν ἔτι οἱ τῇ πλάνῃ προκατειλημμένοι Ἰουδαῖοι, οἱ πεπωρωμένοι τὴν καρδίαν, φιλονεικεῖν πειρῶνται, καὶ τὴν ἑσπέραν ἀρχὴν τῆς ἐπιούσης ἡμέρας εἶναι νομίζουσιν, ἀπαιτῶντες ἑ-

σε τὴν ἐπιφάνειαν τῆς γῆς; Καὶ ἦτο δυνατὸν νὰ ἰδοῦμεν ὅτι ἡ γῆ, ἡ ὁποία προηγουμένως ἦτο χωρὶς μορφὴν καὶ σχῆμα, διὰ μιᾶς ἐδέχθη τόσην ὀμορφιάν, ὥστε παρ' ὀλίγον νὰ εἶναι ἐφάμιλλος πρὸς τὸν οὐρανόν. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ὕστερα ἀπὸ ὀλίγον πρόκειται νὰ στολισθῇ μὲ τὴν ποικιλίαν τῶν ἄστρων, ἔτσι καὶ αὐτὴ τόσον ἐστολίσθη μὲ τὰ διάφορα ἄνθη ὥστε καὶ τὸν δημιουργόν της νὰ ὁδηγῇ εἰς ἔπαινον. Διότι λέγει ἡ Γραφή, «Εἶδεν ὁ Θεός, ὅτι ἦτο καλόν».

5. Εἶδες πῶς μᾶς παρουσιάζει ἡ Γραφὴ τὸν δημιουργὸν νὰ ἐπαινῇ χωριστὰ κάθε ἕνα δημιούργημά του, ὥστε ὕστερα ἀπὸ αὐτὰ τὸ ἀνθρώπινον γένος, ἀφοῦ διδάσκεται αὐτά, νὰ κατευθύνεται ἀπὸ τὰ δημιουργήματα πρὸς τὸν δημιουργόν; Διότι ἐὰν τὰ δημιουργήματα, ποὺ εἶναι τέτοια, ὑπερβάλλουν τὴν ἀνθρωπίνην φύσιν καὶ κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ ἐπαινέσῃ αὐτὰ σύμφωνα μὲ τὴν ἀξίαν των, τί θὰ ἠμπορέσῃ νὰ εἰπῇ κανεὶς διὰ τὸν δημιουργόν; «Καὶ εἶδε, λέγει, ὁ Θεός, ὅτι ἦτο καλόν. Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωί, ἡμέρα τρίτη». Βλέπεις πῶς μὲ τὴν συνέχειαν τῆς διδασκαλίας θέλει νὰ βάλῃ τὴν δύναμιν τῶν λεγομένων μέσα εἰς τὴν διάνοιάν μας; Διότι ἔπρεπε νὰ εἰπῇ, καὶ ἔγινεν ἡμέρα τρίτη. Πρόσεξε ὅμως πῶς διὰ κάθε ἡμέραν ἔτσι λέγει, [«Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωί, ἡμέρα τρίτη», ὄχι ἁπλῶς, οὔτε τυχαίως, ἀλλὰ διὰ νὰ μὴ συγχέωμεν τὴν τάξιν, οὔτε νὰ νομίζωμεν, ὅτι ὅταν ἔλθῃ τὸ βράδυ, τελειώνει ἡ ἡμέρα· ἀλλὰ νὰ γνωρίζωμεν, ὅτι τὸ μὲν βράδυ εἶναι τὸ τέλος τοῦ φωτὸς καὶ ἡ ἀρχὴ τῆς νύκτας, τὸ δὲ πρωὶ τὸ τέλος τῆς νύκτας καὶ ἡ ὁλοκλήρωσις τῆς ἡμέρας. Αὐτὸ λοιπὸν θέλει νὰ μᾶς διδάξῃ ὁ μακάριος Μωυσῆς λέγων, «Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωί, ἡμέρα τρίτη».] Καὶ μὴ παραξενεύεσαι, ἀγαπητέ, ἐὰν ἡ Ἁγία Γραφὴ λέγῃ αὐτὰ πολλὰς φορὰς καὶ συνεχῶς. Διότι ἐὰν καὶ ὕστερα ἀπὸ αὐτὴν τὴν ἐπανάληψιν οἱ Ἰουδαῖοι, οἱ ὁποῖοι εἶναι προκατειλημμένοι ἀπὸ τὴν πλάνην καὶ ἔχουν πωρωμένην τὴν καρδίαν των, προσπαθοῦν ἀκόμη νὰ φιλονεικοῦν καὶ θεωροῦν, ὅτι τὸ βράδυ εἶναι ἀρχὴ τῆς ἑπομένης ἡμέρας,

αυτούς, καὶ παραλογιζόμενοι, καὶ τῇ σκιᾷ ἔτι παρακαθήμενοι, τῆς ἀληθείας οὕτω πᾶσι δήλης γεγενημένης, καὶ τῷ λύχνῳ προσεδρεύοντες, τοῦ ἡλίου τῆς δικαιοσύνης πανταχοῦ τὰς οἰκείας ἀκτῖνας ἀφιέντος, εἰ μὴ τοσαύτῃ τῇ διδασκαλίᾳ μετὰ πολλῆς τῆς ἀκριβείας ἐχρήσατο, τίς ἂν ἤνεγκε τῶν ἀγνωμόνων τὴν φιλονεικίαν; Ἀλλ' ἐκεῖνοι μὲν τῆς οἰκείας ἀνοίας ἀναμενέτωσαν τὰ ἐπίχειρα· ἡμεῖς δὲ οἱ καταξιωθέντες τὰς μαρμαρυγὰς δέξασθαι τοῦ ἡλίου τῆς δικαιοσύνης, πειθώμεθα τῇ τῆς θείας Γραφῆς διδασκαλίᾳ, καὶ τῷ κανόνι ταύτης ἐξακολουθοῦντες, οὕτω τὰ ὑγιῆ δόγματα ἐναποθώμεθα τοῖς ταμείοις τῆς διανοίας τῆς ἡμετέρας, καὶ μετὰ τῆς τούτων φυλακῆς πολλὴν πρόνοιαν τῆς ἑαυτῶν σωτηρίας ποιώμεθα, καὶ τὰ λυμαινόμενα ἡμῶν τὴν κατὰ ψυχὴν ὑγίειαν φεύγωμεν, καθάπερ δηλητηρίων φαρμάκων, πάντων τῶν τοιούτων ἀπεχόμενοι. Πολὺ γὰρ μείζων αὕτη ἡ βλάβη, καὶ τοσούτῳ μείζων, ὅσῳ ψυχὴ σώματος βελτίων. Ἐκεῖνα μὲν γὰρ τὰ φάρμακα τὸν σωματικὸν τοῦτον θάνατον ἐπάγει· τὰ δὲ τὴν ὑγίειαν τῆς ψυχῆς λυμαινόμενα, τὸν αἰώνιον ἡμῖν θάνατον προξενεῖ. Τίνα δέ ἐστι τὰ λυμαινόμενα ἡμᾶς; Πολλὰ μὲν καὶ διάφορα, μάλιστα δὲ τὸ πρὸς τὴν δόξαν ἐπτοῆσθαι τὴν ἀνθρωπίνην, καὶ μὴ εἰδέναι ταύτης ὑπερορᾶν. Τοῦτο γὰρ ἡμῖν αἴτιον πολλῶν γίνεται κακῶν, καὶ εἴ τινα ἔχομεν πλοῦτον πνευματικόν, τοῦτον κενοῖ, καὶ ἐρήμους ἡμᾶς καθίστησι τῆς ἐντεῦθεν ὠφελείας. Τί οὖν ἂν γένοιτο ταύτης τῆς λύμης ὀλεθριώτερον, ὅταν καὶ ἃ δοκοῦμεν ἔχειν, ἀφίπτασθαι ἡμῶν παρασκευάζει; Οὕτως ὁ Φαρισαῖος ἐκεῖνος τοῦ τελώνου γέγονεν ἐλάττων, οὐ δυνηθεὶς κρατῆσαι τῆς οἰκείας γλώττης, ἀλλὰ δι' ἐκείνης, καθάπερ διὰ θυρίδος τινὸς ἐκχέας πάντα αὐτοῦ τὸν πλοῦτον. Τοσοῦτόν ἐστι κενοδοξία κακόν.

6. Εἰπὲ γάρ μοι, τίνος ἕνεκεν καὶ διὰ τί ἐπτόησαι περὶ τὸν τῶν ἀνθρώπων ἔπαινον; Οὐκ οἶσθα, ὅτι καθάπερ σκιά,

6. Βλ. Λουκᾶ 18, 9 14 ὅπου ἡ παραβολὴ τοῦ Τελώνου καὶ Φαρισαίου.

παραπλανώμενοι καὶ παραλογιζόμενοι καὶ ἐξακολουθοῦντες νὰ κάθωνται εἰς τὴν σκιάν, ἐνῷ ἡ ἀλήθεια ἔχει γίνει τόσον φανερὰ εἰς ὅλους, καὶ ἔχοντες ἀκόμη τὸ λυχνάρι, ἐνῷ ὁ ἥλιος τῆς δικαιοσύνης ἐκπέμπει παντοῦ τὰς ἀκτῖνας του, ἐὰν δὲν ἐχρησιμοποιοῦσε τόσον μεγάλην διδασκαλίαν μὲ πολλὴν ἀκρίβειαν, ποῖος θὰ ἠμποροῦσε νὰ ὑποφέρῃ τὴν φιλονεικίαν τῶν ἀγνωμόνων; Ἀλλὰ ἐκεῖνοι μὲν ἂς ἀναμένουν τὴν τιμωρίαν τῆς ἰδικῆς των μωρίας· ἡμεῖς δὲ οἱ ὁποῖοι ἐκρίθημεν ἄξιοι νὰ δεχθοῦμεν τὴν λάμψιν τοῦ ἡλίου τῆς δικαιοσύνης, ἂς ὑπακούωμεν εἰς τὴν διδασκαλίαν τῆς Ἁγίας Γραφῆς, καὶ ἀκολουθοῦντες τὸν κανόνα αὐτῆς, ἂς τοποθετήσωμεν ἔτσι τὰ ὀρθὰ δόγματα μέσα εἰς τὰ θησαυροφυλάκια τῆς ἰδικῆς μας διανοίας, καὶ μαζὶ μὲ τὴν φύλαξιν αὐτῶν ἂς φροντίζωμεν πολὺ διὰ τὴν σωτηρίαν μας, καὶ ἂς ἀποφεύγωμεν ἐκεῖνα ποὺ καταστρέφουν τὴν ὑγείαν τῆς ψυχῆς μας, ἀπέχοντες ἀπὸ ὅλα αὐτά, ὅπως ἀκριβῶς ἀπὸ τὰ δηλητηριώδη φάρμακα. Διότι εἶναι πολὺ μεγαλυτέρα αὐτὴ ἡ βλάβη, καὶ τόσον μεγαλυτέρα, ὅσον ἀνωτέρα εἶναι ἡ ψυχὴ ἀπὸ τὸ σῶμα. Διότι ἐκεῖνα μὲν τὰ φάρμακα ἐπιφέρουν τὸν σωματικὸν αὐτὸν θάνατον· ἐκεῖνα δὲ ποὺ βλάπτουν πολὺ τὴν ἠγείαν τῆς ψυχῆς, μᾶς προκαλοῦν τὸν αἰώνιον θάνατον. Ποῖα δὲ εἶναι ἐκεῖνα, ποὺ μᾶς βλάπτουν; Πολλὰ καὶ διάφορα, μάλιστα δὲ τὸ νὰ συγκινούμεθα ἀπὸ τὴν ἀνθρωπίνην δόξαν καὶ νὰ μὴ γνωρίζωμεν νὰ περιφρονοῦμεν αὐτήν. Τοῦτο λοιπὸν γίνεται ἡ αἰτία πολλῶν κακῶν εἰς ἡμᾶς, καὶ ἐὰν ἔχωμεν κάποιον πνευματικὸν θησαυρόν, τὸν ἀφαιρεῖ καὶ μᾶς στερεῖ τὴν ὠφέλειαν, ποὺ προέρχεται ἀπὸ αὐτόν. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ γίνῃ καταστρεπτικώτερον ἀπὸ τὴν βλάβην αὐτήν, ὅταν καὶ ἐκεῖνα, τὰ ὁποῖα νομίζομεν ὅτι ἔχομεν, μᾶς τὰ ἐξαφανίζῃ; Ἔτσι ἐκεῖνος ὁ Φαρισαῖος ἔγινε μικρότερος ἀπὸ τὸν τελώνην, ἐπειδὴ δὲν ἠμπόρεσε νὰ συγκρατήσῃ τὴν γλῶσσαν του, ἀλλὰ ἐπειδὴ μὲ αὐτήν, ὡσὰν μὲ κάποιαν μικρὰν θύραν, ἐξεστόμισεν ὅλον τὸν πλοῦτον του[6]. Τόσον μέγα κακὸν εἶναι ἡ κενοδοξία.

6. Εἰπέ μου λοιπόν, διὰ ποῖον λόγον καὶ διατί συγκινεῖσαι διὰ τὸν ἔπαινον τῶν ἀνθρώπων; Δὲν γνωρίζεις, ὅτι ὅπως

καὶ εἴ τι ταύτης εὐτελέστερον, οὕτως ὁ παρὰ τούτων ἔπαινος εἰς τὸν ἀέρα διαχυθεὶς ἀφανίζεται; Ἄλλως τε καὶ εὐπερίτρεπτος καὶ εὐμετάβλητός ἐστιν ἡ τῶν ἀνθρώπων φύσις, καὶ οἱ αὐτοὶ νῦν μὲν ἐπαινοῦσι, νῦν δὲ κακίζουσι τὸν αὐτόν· ἐπὶ δὲ τῆς τοῦ Θεοῦ ψήφου οὐκ ἄν ποτε τοῦτο γένοιτο. Μὴ τοίνυν ἀνόητοι ὦμεν, μηδὲ εἰκῇ καὶ μάτην ἑαυτοὺς ἀπατῶμεν. Κἂν γὰρ ποιῶμέν τι ἀγαθόν, μὴ διὰ τοῦτο δὲ μόνον αὐτὸ μετερχώμεθα, ἵνα τὴν ἐντολὴν πληρώσωμεν τοῦ ἡμετέρου Δεσπότου, κἀκείνῳ μόνῳ γνώριμοι γενώμεθα, εἰκῇ τὸν πόνον ὑπομένομεν, τοῦ ἐντεῦθεν καρποῦ ἑαυτοὺς ἀποστεροῦντες. Ὁ γὰρ διὰ τὸ θηρᾶσθαι τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τι τῶν ἀγαθῶν ἐργαζόμενος, κἄν τε ταύτης ἀπολαῦσαι δυνηθῇ, κἄν τε μή· πολλάκις καὶ διὰ τοῦτο πάντα πράττων οὐδὲ ἐπιτυχεῖν ταύτης δυνήσεται· κἄν τε οὖν ἐπιτύχῃ, κἄν τε ἀποτύχῃ, ἀρκοῦσαν εἴληφεν ἐνταῦθα τὴν ἀμοιβήν, καὶ οὐδεμίαν λήψεται ἐκεῖ ὑπὲρ τούτου ἀνταπόδοσιν. Διὰ τί; Ἐπειδὴ προλαβὼν ἑαυτὸν ἀπεστέρησε τῆς παρὰ τοῦ κριτοῦ φιλοτιμίας, προτιμήσας τὰ παρόντα τῶν μελλόντων, καὶ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ψήφου τοῦ δικαίου κριτοῦ. Πάλιν ἂν δι' αὐτὸ τοῦτο μόνον ἐργαζώμεθά τι τῶν πνευματικῶν, ὥστε ἐκείνῳ μόνον ἀρέσαι τῷ ἀκοιμήτῳ ὀφθαλμῷ, ᾧ πάντα γυμνά ἐστι καὶ τετραχηλισμένα, καὶ ὁ θησαυρὸς ἡμῖν ἀνάλωτος μένει, καὶ τὰ τῆς ἀμοιβῆς ἀκέραια, καὶ ἡ χρηστὴ προσδοκία ἐντεῦθεν ἡμῖν ἤδη πολλὴν παρέχει τὴν παραμυθίαν, καὶ μετὰ τοῦ ἐν ἀσύλῳ ταμιείῳ ἐκείνην ἡμῖν διαφυλάττεσθαι τὴν ἀμοιβήν, καὶ ἡ παρὰ τῶν ἀνθρώπων ἀκολουθήσειε δόξα. Τότε γὰρ αὐτῆς μᾶλλον μετὰ δαψιλείας ἀπολαύομεν, ὅταν αὐτῆς ὑπερορῶμεν, ὅταν αὐτὴν μὴ ζητῶμεν, ὅταν αὐτὴν μὴ διώκωμεν. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν τὴν πνευματικὴν φιλοσοφίαν μετιόντων τοῦτο γίνεται, ὅπου γε καὶ ἐπὶ τῶν περὶ τὰ τοῦ κόσμου

ἀκριβῶς ἡ σκιά, καὶ ἐὰν ὑπάρχῃ κάτι εὐτελέστερον ἀπὸ αὐτήν, ἔτσι ὁ ἔπαινος ἀπὸ αὐτούς, ἀφοῦ διασκορπισθῇ εἰς τὸν ἀέρα, ἐξαφανίζεται; Ἄλλωστε ἡ φύσις τῶν ἀνθρώπων εὔκολα καὶ ἀνατρέπεται καὶ μεταβάλλεται, καὶ οἱ ἴδιοι τώρα μὲν ἐπαινοῦν, ὕστερα ὅμως ἐπικρίνουν τὸν ἴδιον ἄνθρωπον. Εἰς τὴν ἀπόφασιν ὅμως τοῦ Θεοῦ αὐτὸ δὲν ἠμπορεῖ νὰ γίνῃ ποτέ. Ἂς μὴ εἴμεθα λοιπὸν ἀνόητοι, οὔτε νὰ ἐξαπατῶμεν τοὺς ἑαυτούς μας ἄσκοπα καὶ μάταια. Διότι καὶ ἂν κάνωμεν κάτι ἀγαθόν, χωρὶς νὰ καταγινώμεθα εἰς αὐτὸ μόνον διὰ τοῦτο, διὰ νὰ ἐκπληρώσωμεν δηλαδὴ τὴν ἐντολὴν τοῦ Κυρίου μας καὶ νὰ γίνωμεν γνώριμοι μόνον εἰς ἐκεῖνον, ὑπομένομεν τὸν κόπον ἄσκοπα, ἀφοῦ στεροῦμεν ἀπὸ τοὺς ἑαυτούς μας τὸν καρπόν, ποὺ προέρχεται ἀπὸ ἐκεῖ. Διότι ἐκεῖνος ποὺ κάνει κάτι ἀγαθὸν διὰ νὰ ἐπιδιώξῃ τὴν δόξαν ἀπὸ τοὺς ἀνθρώπους, ἴσως θὰ ἠμπορέσῃ νὰ ἀπολαύσῃ αὐτήν, ἴσως ὅμως ὄχι· διότι πολλὰς φορὰς, ἂν καὶ κάνῃ τὰ πάντα πρὸς τὸν σκοπὸν αὐτόν, δὲν θὰ ἠμπορέσῃ νὰ ἐπιτύχῃ αὐτήν· καὶ εἴτε λοιπὸν ἐπιτύχῃ, εἴτε ἀποτύχῃ, ἔχει λάβει ἐδῶ ἱκανοποιητικὴν ἀμοιβὴν καὶ δὲν θὰ λάβῃ ἐκεῖ καμμίαν ἀνταπόδοσιν δι' αὐτό. Διατί; Διότι προκαταβολικῶς ἐστέρησε τὸν ἑαυτόν του ἀπὸ τὴν ἀγάπην τοῦ κριτοῦ, ἐπειδὴ ἐπροτίμησε τὰ παρόντα ἀγαθὰ ἀπὸ τὰ μέλλοντα, καὶ τὴν δόξαν τῶν ἀνθρώπων ἀπὸ τὴν ἀπόφασιν τοῦ δικαίου κριτοῦ. Ἐξ ἄλλου ἂν δι' αὐτὸ μόνον πράττωμεν κάτι τὸ πνευματικόν, διὰ νὰ ἀρέσωμεν δηλαδὴ μόνον εἰς ἐκεῖνον τὸν ἄγρυπνον ὀφθαλμόν, ἐνώπιον τοῦ ὁποίου τὰ πάντα εἶναι γυμνὰ καὶ ὁλοφάνερα, καὶ ὁ θησαυρός μας παραμένει ἀδαπάνητος καὶ ἡ ἀμοιβὴ ἀκεραία καὶ ἡ ἀγαθὴ προσδοκία ἀπὸ ἐδῶ ἀκόμη μᾶς παρέχει μεγάλην παρηγορίαν καὶ μαζὶ μὲ τὸ ὅτι ἡ ἀμοιβὴ ἐκείνη φυλάσσεται δι' ἡμᾶς μέσα εἰς ἀπαραβίαστον θησαυροφυλάκιον, θὰ ἀκολουθήσῃ καὶ ἡ δόξα ἀπὸ τοὺς ἀνθρώπους. Διότι τότε ἀπολαμβάνομεν αὐτὴν μὲ ἀφθονίαν, ὅταν τὴν περιφρονοῦμεν, ὅταν δὲν τὴν ἐπιζητοῦμεν, ὅταν δὲν τὴν ἐπιδιώκωμεν. Καὶ διατί ἀπορεῖς, ἐὰν αὐτὸ γίνεται εἰς ἐκείνους ποὺ καταγίνονται μὲ τὴν πνευματικὴν φιλοσοφίαν, ὅπου βέβαια καὶ ἐκείνους,

πράγματα ἐπτοημένων, τούτων μάλιστα οἱ πλείους καταφρονοῦσι, καὶ ὑπερορῶσι τῶν ἐπιζητεῖν βουλομένων τὴν παρὰ τῶν ἀνθρώπων εὐφημίαν, καὶ εὑρήσεις παρὰ πάντων ἑαυτοὺς σκωπτομένους ἐπὶ τῷ τῆς κενοδοξίας ἐφίεσθαι; Τί οὖν ἀθλιώτερον γένοιτο ἡμῶν τῶν τὰ πνευματικὰ μετιόντων, εἰ μέλλοιμεν ὁμοίως ἐκείνοις περὶ τὰς τῶν ἀνθρώπων κεχηνέναι εὐφημίας, καὶ μὴ ἀρκεῖσθαι τῷ ἐπαίνῳ τῷ παρὰ τοῦ Θεοῦ; καθάπερ καὶ ὁ Παῦλός φησιν, «Οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ». Οὐχ ὁρᾷς, ἀγαπητέ, καὶ ἐν ταῖς ἱπποδρομίαις, ὅπως οἱ τοὺς ἵππους ἐλαύνοντες, παντὸς τοῦ δήμου καθημένου, καὶ μυρίας εὐφημίας καταχέοντος οὐκ ἐπιστρέφονται, οὐδὲ ἡδονὴν τὴν ἐκ τῆς ἐκείνων εὐφημίας καρποῦνται, ἀλλὰ πρὸς ἕνα μόνον ὁρῶσι τὸν βασιλέα τὸν ἐν μέσῳ καθήμενον, καὶ τῷ νεύματι ἐκείνου προσέχοντες παντὸς ὑπερορῶσι τοῦ πλήθους, καὶ τότε μόνον μέγα φρονοῦσιν, ἐπειδὰν ἐκεῖνος αὐτοὺς στεφανώσῃ; Τούτους δὴ καὶ σὺ μιμούμενος, μὴ πολὺν λόγον ποιοῦ τῆς τῶν ἀνθρώπων εὐφημίας, μηδὲ διὰ τοῦτο τὴν ἀρετὴν μετέρχου, ἀλλὰ τὴν παρὰ τοῦ δικαίου κριτοῦ ψῆφον ἀνάμενε, καὶ τῷ ἐκείνου νεύματι προσέχων, οὕτω σου τὸν βίον ἅπαντα οἰκονόμει, ἵνα καὶ ἐνταῦθα διηνεκῶς ᾖς ταῖς χρησταῖς ἐλπίσι τρεφόμενος, κἀκεῖ τῶν αἰωνίων ἀπολαύσῃς ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν,

7. Ρωμ. 2, 29.

πού συγκινοῦνται πολύ διά τὰ πράγματα τοῦ κόσμου αὐτοῦ, οἱ περισσότεροι περιφρονοῦν καὶ παραβλέπουν ἐκείνους, πού ἐπιθυμοῦν νά ἀποκτήσουν τὸν ἔπαινον ἀπὸ τοὺς ἀνθρώπους, καὶ θὰ συναντήσῃς νὰ ἐμπαίζωνται αὐτά ἀπὸ ὅλους διά τὴν σφοδράν των ἐπιθυμίαν τῆς κενοδοξίας; Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ γίνῃ ἀθλιώτερον ἀπὸ ἡμᾶς, πού καταγινόμεθα μὲ τὰ πνευματικά, ἐὰν πρόκειται ὁμοίως μὲ ἐκείνους νὰ ἀνοίγωμεν τὸ στόμα μας εἰς τὰς ἐπευφημίας τῶν ἀνθρώπων καὶ νὰ μὴ ἀρκούμεθα εἰς τὸν ἔπαινον ἀπὸ τὸν Θεόν; ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει, «Τοῦ γνησίου δὲ πιστοῦ ὁ ἔπαινος δὲν προέρχεται ἀπὸ ἀνθρώπους, ἀλλὰ ἀπὸ τὸν Θεόν»[7]. Δὲν βλέπεις, ἀγαπητέ, καὶ εἰς τὰς ἱπποδρομίας, πῶς οἱ ὁδηγοῦντες τούς ἵππους, ἐνῷ ὅλος ὁ λαὸς κάθεται καὶ ἀπευθύνει ἀπείρους ἐπευφημίας, δὲν περιστρέφουν τὸ κεφάλι των, οὔτε ἀπολαμβάνουν τὴν εὐχαρίστησιν ἀπὸ τὴν ἐπευφημίαν ἐκείνων, ἀλλὰ βλέπουν πρὸς ἕνα μόνον, τὸν βασιλέα, ὁ ὁποῖος κάθεται εἰς τὸ μέσον καὶ προσέχοντες εἰς τὸ νεῦμα αὐτοῦ, παραβλέπουν ὅλον τὸ πλῆθος, καὶ τότε μόνον ὑπερηφανεύονται, ὅταν ὁ βασιλεὺς στεφανώσῃ αὐτούς; Μιμούμενος λοιπὸν καὶ σὺ αὐτούς, νὰ μὴ λογαριάζῃς πολύ τάς ἐπευφημίας τῶν ἀνθρώπων, οὔτε δι᾽ αὐτὸ νὰ μετέρχεσαι τὴν ἀρετήν, ἀλλὰ νὰ περιμένῃς τὴν ἀπόφασιν ἀπὸ τὸν δίκαιον κριτὴν καὶ προσέχων εἰς τὸ νεῦμα ἐκείνου, ἔτσι νὰ τακτοποιῇς ὅλην τὴν ζωήν σου, ὥστε καὶ εἰς τὴν παροῦσαν ζωὴν πάντοτε νὰ τρέφεσαι μὲ τὰς ἀγαθὰς ἐλπίδας, καὶ εἰς τὴν μέλλουσαν νὰ ἀπολαύσῃς τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εἴθε ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζί μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΣΤ´
(Γεν. 1, 14 - 19)

«Καὶ εἶπεν ὁ Θεὸς γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας καὶ ἀναμέσον τῆς νυκτός, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιρούς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς».

1. Βούλομαι τῆς συνήθους ἅψασθαι διδασκαλίας, καὶ ὀκνῶ, καὶ ἀναδύομαι· νέφος γὰρ ἀθυμίας ἐπελθὸν συνέχεε καὶ συνετάραξέ μου τὸν λογισμόν· μᾶλλον δὲ οὐκ ἀθυμίας μόνον, ἀλλὰ καὶ θυμοῦ, καὶ οὐκ οἶδ᾽ ὅ τι πράξω· ἀπορία γὰρ κατέχει τὴν διάνοιαν. Ὅταν γὰρ ἐννοήσω, ὅτι μικρὸν πνεύσαντος τοῦ διαβόλου, πᾶσαν ἡμῶν ἐκείνην τὴν συνεχῆ διδασκαλίαν, καὶ τὴν καθημερινὴν παραίνεσιν λήθῃ παραδόντες, εἰς τὴν σατανικὴν πομπὴν ἐκείνην ἅπαντες δεδραμήκατε, τὴν ἱπποδρομίαν καταλαβόντες, ποίᾳ προθυμίᾳ δυνήσομαι πάλιν τὴν πρὸς ὑμᾶς ποιήσασθαι διδασκαλίαν, τῶν προτέρων οὕτως ἀθρόον διαρρυέντων; Τὸ γὰρ μάλιστα ἐπιτεῖνόν μοι τὴν ἀθυμίαν, καὶ σφοδρότερόν μοι τὸν θυμὸν ἐργαζόμενον τοῦτό ἐστιν, ὅτι μετὰ τῆς παραινέσεως τῆς ἡμετέρας, καὶ τὴν αἰδῶ τῆς ἁγίας τεσσαρακοστῆς ἐξεβάλετε τῆς ἑαυτῶν ψυχῆς, καὶ οὕτω τοῖς τοῦ διαβόλου δικτύοις ἑαυτοὺς ἐκδεδώκατε. Πῶς ἄν τις δυνηθείη, κἂν λιθίνην ἔχῃ ψυχήν, πρᾴως ἐνεγκεῖν τὴν τοσαύτην ὑμῶν ὀλιγωρίαν; Αἰσχύνομαι, πιστεύσατε, καὶ ἐρυθριῶ, ὅταν ἴδω μάτην ἡμᾶς πονουμένους, καὶ εἰς πέτρας τὸν σπόρον καταβάλλοντας. Ἀλλ᾽ ἐμοὶ μέν, κἄν τε ἀκούητε τῶν λεγομένων, κἄν τε παρακούητε, τὰ τῶν

ΟΜΙΛΙΑ ΣΤ΄
(Γεν. 1, 14 - 19)

«Καὶ εἶπεν ὁ Θεός· ἂς γίνουν φωστῆρες εἰς τὸν θόλον τοῦ οὐρανοῦ διὰ τὸν φωτισμὸν τῆς γῆς, διὰ νὰ διαχωρίζουν τὴν ἡμέραν ἀπὸ τὴν νύκτα καὶ ἂς χρησιμεύουν ὡς σημεῖα, ὡς καθωρισμένοι καιροί, ὡς ἡμέραι καὶ ἔτη».

1. Ἐπιθυμῶ νὰ ἀρχίσω τὴν συνηθισμένην διδασκαλίαν καὶ μένω ἀναποφάσιστος καὶ ὑποχωρῶ· διότι ἕνα νέφος λύπης, ἀφοῦ ἐπαρουσιάσθη, μοῦ ἐπροκάλεσε σύγχυσιν καὶ ταραχὴν εἰς τὸν νοῦν· μᾶλλον δὲ ὄχι μόνον λύπης, ἀλλὰ καὶ ὀργῆς, καὶ δὲν γνωρίζω, τί νὰ κάμω· διότι ἀμηχανία κατέχει τὴν διάνοιάν μου. Διότι ὅταν σκεφθῶ, ὅτι μόλις ἔσπευσε δι᾽ ὀλίγον ὁ διάβολος, ἀφοῦ ἐλησμονήσατε ὅλην ἐκείνην τὴν συνεχῆ διδασκαλίαν μας καὶ τὴν καθημερινὴν παραίνεσιν, ἐτρέξατε ὅλοι εἰς τὴν σατανικὴν ἐκείνην πομπήν, διὰ νὰ παρακολουθήσετε τὴν ἱπποδρομίαν, μὲ ποίαν προθυμίαν θὰ ἠμπορέσω νὰ κάμω τὴν διδασκαλίαν πρὸς σᾶς, ἀφοῦ τὰ προηγούμενα ἔτσι διὰ μιᾶς ἐξηφανίσθησαν; Διότι ἐκεῖνο ποὺ κυρίως ἐπαυξάνει τὴν λύπην μου καὶ κάνει τὴν ὀργήν μου περισσότερον παράφορον εἶναι τοῦτο, ὅτι μαζὶ μὲ τὴν ἰδικήν μας παραίνεσιν, ἐξερριζώσατε ἀπὸ τὴν ψυχήν σας καὶ τὸν σεβασμὸν τῆς ἁγίας τεσσαρακοστῆς, καὶ ἔτσι παρεδώσατε τοὺς ἑαυτούς σας εἰς τὰ δίκτυα τοῦ διαβόλου. Πῶς θὰ ἠμπορέσῃ κανείς, καὶ ἂν ἀκόμη ἔχῃ λιθίνην ψυχήν, νὰ ὑποφέρῃ μὲ ἠρεμίαν τὴν τόσον μεγάλην ἀδιαφορίαν σας; Ἐντρέπομαι, πιστεύσατε, καὶ κοκκινίζω, ὅταν ἰδῶ νὰ κοπιάζωμεν μάταια καὶ νὰ σπείρωμεν τὸν σπόρον εἰς πέτρας. Ἀλλὰ εἰς ἐμὲ μέν, εἴτε ἀκούετε τὰ λεγόμενα, εἴτε δὲν τὰ προσέχετε, ὁ μι-

μισθῶν ἀπηρτισμένα τυγχάνει. Τὸ γὰρ ἐμαυτοῦ πᾶν ποιῶν διετέλεσα, καὶ τὸ ἀργύριον κατέβαλον, καὶ τὴν νουθεσίαν ἐποιησάμην· δέδοικα δὲ καὶ ἀγωνιῶ μὴ τούτῳ πλείονος ὑμῖν κατηγορήσεως αἴτιος γένωμαι. «Ὁ γὰρ δοῦλος», φησίν, «ἐκεῖνος ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς». Οὐδὲ γὰρ εἰς ἄγνοιαν ὑμῶν τις ἔχει καταφυγεῖν, οὕτως ἡμῶν καθ' ἑκάστην ἡμέραν τὰ αὐτὰ ἐνηχούντων, καὶ ὑποδεικνύντων καὶ τὰς διαβολικὰς πάγας, καὶ τῆς ἀρετῆς τὴν πολλὴν εὐκολίαν, ἐὰν νήφειν βουλοίμεθα. Ἢ οὐκ ἴστε ὅτι τοὺς οὕτω τῆς ἑαυτῶν σωτηρίας ἀμελοῦντας, καί ποτε μὲν ἐνταῦθα παραγινομένους, ἄλλοτε δὲ εἰς τὰ τοῦ διαβόλου δίκτυα ἑαυτοὺς ἐκδιδόντας τοῖς κυσὶ παραβάλλει ἡ θεία Γραφή; «Ἄνθρωπος γάρ», φησίν, ἀποστρέφων ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ πάλιν εἰς αὐτὴν ἐπανιών, ὅμοιός ἐστι κυνὶ ἐπιστρέφοντι ἐπὶ τὸν ἴδιον ἔμετον». Ὁρᾷς τίνι ἐοίκασιν οἱ πρὸς τὴν θέαν ἐκείνην τὴν παράνομον δεδραμηκότες; Οὐκ ἠκούσατε τοῦ Χριστοῦ λέγοντος, «Πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη»; Οἱ δὲ εἰς τὴν ἱπποδρομίαν δεδραμηκότες, καὶ τούτου χείρους γεγόνασιν. Ἐκείνου γὰρ ἡ οἰκία κἂν μετὰ τὴν προσβολὴν τὴν κατάπτωσιν ὑπέμεινε· ποταμοὺς γὰρ καὶ ἀνέμους εἶπεν, οὐχ ἵνα ὑδάτων πλῆθος αἰνίξηται ἡμῖν καὶ ἀνέμων σφοδρότητα, ἀλλὰ τῶν πειρασμῶν τὴν ἐπαγωγὴν τὴν σφοδρὰν καὶ τὴν κατάπτωσιν τῆς οἰκίας, οὐχ ἵνα περὶ αἰσθητῆς οἰκίας νομίσωμεν· περὶ γὰρ ψυχῆς ὁ λόγος τῆς ἀπὸ τῆς τῶν δεινῶν προσβολῆς καταπιπτούσης, καὶ μὴ δυνηθείσης ἀντισχεῖν· ἐφ' ὑμῶν δὲ οὔτε ἄνεμος ἐ-

1. Λουκᾶ 12, 47.
2. Παροιμ. 26, 11.
3. Ματθ. 7, 26 - 27.

σθός μου είναι ἀκέραιος. Διότι ἐκεῖνο, ποὺ ἐξηρτᾶτο ἀπὸ ἐμέ, τὸ ἔκαμα μὲ τὸ παραπάνω, καὶ τὰ χρήματα ἐπλήρωσα, καὶ τὴν συμβουλὴν ἔδωσα. Φοβοῦμαι ὅμως καὶ ἀγωνιῶ, μήπως μὲ αὐτὸ τὸ ἴδιον γίνω αἴτιος μεγαλυτέρας κατηγορίας ἐναντίον σας. «Διότι ὁ δοῦλος ἐκεῖνος, λέγει, ὁ ὁποῖος ἐγνώριζε τὸ θέλημα τοῦ κυρίου του καὶ δὲν ἔκαμε αὐτό, θὰ δαρῇ μὲ πολλὰς μαστιγώσεις»[1]. Οὔτε βέβαια ἠμπορεῖ κανεὶς σας νὰ καταφύγῃ εἰς τὴν ἄγνοιαν, ὅταν ἡμεῖς ἔτσι διδάσκωμεν καθημερινῶς τὰ ἴδια καὶ ὑποδεικνύωμεν καὶ τὰς παγίδας τοῦ διαβόλου, καὶ τὴν μεγάλην εὐκολίαν τῆς ἀρετῆς, ἐὰν θὰ ἠθέλαμεν νὰ εἴμεθα νηφάλιοι. Ἢ δὲν γνωρίζετε, ὅτι ἐκείνους, οἱ ὁποῖοι ἀδιαφοροῦν τόσον πολὺ διὰ τὴν σωτηρίαν των καὶ οἱ ὁποῖοι ἄλλοτε μὲν παρευρίσκονται ἐδῶ, ἄλλοτε δὲ παραδίδουν τοὺς ἑαυτούς των εἰς τὰ δίκτυα τοῦ διαβόλου, τοὺς παραλληλίζει ἡ Ἁγία Γραφὴ μὲ σκύλους; «Διότι ὁ ἄνθρωπος, λέγει, ὁ ὁποῖος ἀπομακρύνεται ἀπὸ τὰς ἁμαρτίας του καὶ ἐπανέρχεται πάλιν εἰς αὐτάς, εἶναι ὅμοιος μὲ σκύλον ποὺ ἐπιστρέφει εἰς ἰδικόν του ἔμετον»[2]. Βλέπεις μὲ ποῖον εἶναι ὅμοιοι ἐκεῖνοι, ποὺ ἔχουν τρέξει πρὸς τὸ παράνομον ἐκεῖνο θέαμα; Δὲν ἠκούσατε τὸν Χριστόν, ὁ ὁποῖος λέγει· «Καθένας ποὺ ἀκούει τοὺς λόγους μου αὐτοὺς καὶ δὲν τοὺς ἐκτελεῖ, θὰ εἶναι ὅμοιος πρὸς ἄνθρωπον ἀνόητον, ὁ ὁποῖος ἔκτισε τὸ σπίτι του ἐπάνω εἰς τὴν ἄμμον, καὶ ἦλθαν τὰ ποτάμια, καὶ ἐφύσηξαν οἱ ἄνεμοι καὶ προσέκρουσαν εἰς τὸ σπίτι ἐκεῖνο καὶ ἔπεσε· καὶ ἦτο ἡ πτῶσις του ὁλοκληρωτική»[3]; Ἐκεῖνοι ὅμως ποὺ ἔχουν τρέξει εἰς τὴν ἱπποδρομίαν, ἔχουν γίνει χειρότεροι καὶ ἀπὸ αὐτόν. Διότι τὸ σπίτι ἐκείνου κατέπεσε τουλάχιστον μετὰ τὴν προσβολήν· ἀνέφερε βεβαίως ποτάμια καὶ ἀνέμους, ὄχι διὰ νὰ μᾶς ὑποδηλώσῃ τὸ πλῆθος τῶν ὑδάτων καὶ τὴν ὁρμητικότητα τῶν ἀνέμων, ἀλλὰ τὴν σφοδρὰν ἐπίθεσιν τῶν πειρασμῶν· καὶ τὴν κατάρρευσιν τοῦ σπιτιοῦ, ὄχι διὰ νὰ νομίσωμεν, ὅτι ὁμιλεῖ διὰ αἰσθητὸν σπίτι, διότι ὁ λόγος εἶναι διὰ τὴν ψυχήν, ἡ ὁποία καταρρέει ἀπὸ τὴν προσβολὴν τῶν κακῶν καὶ δὲν ἠμπορεῖ νὰ ἀντισταθῇ. Ἐναντίον σας δὲ οὔτε ἄνεμος

κινήθη, οὔτε ποταμοὶ προσέρρηξαν, ἀλλ' ἁπλῶς αὔρα τις μικρὰ διαβολικὴ ἔπνευσε, καὶ πάντας ὑμᾶς ἀνερρίπισε. Τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; τί τῆς νηστείας ὄφελος, εἰπέ μοι; τί τῆς ἐνταῦθα συνελεύσεως τὸ κέρδος; Τίς οὐκ ἂν καὶ ὑπὲρ ὑμῶν στενάξειε, καὶ ἡμᾶς ταλανίσειεν; Ὑπὲρ ὑμῶν, μέν, ὅτι ἅπαντα, ὅσα συνηγάγετε, ὑφ' ἓν ἐξεχέατε, καὶ τὰς θύρας τῆς διανοίας ὑμῶν ἀνεπετάσατε τῷ πονηρῷ δαίμονι, ὥστε καὶ εἰσελθεῖν, καὶ μετὰ πολλῆς τῆς εὐκολίας πάντα ὑμῶν ἐκφορῆσαι τὸν πλοῦτον τὸν πνευματικόν· ἡμᾶς δὲ ταλανίσειεν εἰκότως, ὅτι εἰς νεκρὰς οὕτως ἐνηχοῦμεν ἀκοάς, καὶ τοσαύτην ζημίαν ὑπομένομεν καθ' ἑκάστην ἡμέραν σπείροντες μέν, μηδὲν δὲ καρποῦσθαι δυνάμενοι. Μὴ γὰρ διὰ τοῦτο λέγειν σπουδάζομεν, ὥστε ἁπλῶς τέρψαι ὑμῶν τὴν ἀκοήν, ἢ ὡς τοῦ παρ' ὑμῶν ἐπαίνου ἐφιέμενοι; Εἰ μὴ μέλλοιτέ τι κερδαίνειν ἐκ τῶν παρ' ἡμῶν λεγομένων, βέλτιον ἡμᾶς σιγῆσαι λοιπόν. Οὐδὲ γὰρ βούλομαι ὑμῖν πλείονα τὴν κατάκρισιν ἐργάζεσθαι. Καθάπερ γὰρ ἔμπορος, ἐπειδὰν πολὺν τὸν φόρτον συναγάγῃ, καὶ πεπληρωμένην τὴν ὁλκάδα ἔχων πολλοῦ τοῦ πλούτου, ἀθρόας καταιγίδος προσπεσούσης, καὶ τῆς τῶν πνευμάτων βίας περιγενομένης αὔτανδρον καταδύσῃ τὸ σκάφος, ἐλεεινὸν ἅπασι θέαμα γίνεται, γυμνὸς ἐξαίφνης φανείς, καὶ μετὰ πολὺν καὶ ἄφατον πλοῦτον ἐν ἐσχάτῃ πενίᾳ καταστάς, τὸν αὐτὸν δὴ τρόπον καὶ ὑμᾶς νῦν ὁ διάβολος διέθηκεν. Εὑρὼν γὰρ ὑμῶν πεπληρωμένην τὴν ὁλκάδα τὴν πνευματικὴν πολλοῦ πλούτου, καὶ ἄφατον ἰδὼν τὸν θησαυρόν, ὃν ἀπό τε τῆς νηστείας, ἀπό τε τῆς συνεχοῦς διδασκαλίας συναγαγεῖν ἠδυνήθητε, καθάπερ καταιγίδα τινὰ ἐπαφεὶς τὴν ἀνόητον ἐκείνην καὶ ἐπιβλαβῆ τῶν ἵππων ἅμιλλαν, δι' ἐκείνης ἐρήμους καὶ γυμνοὺς πάσης τῆς εὐπορίας κατέστησεν.

2. Οἶδα ὅτι σφοδρᾷ τῇ ἐπιτιμήσει κέχρημαι, ἀλλὰ σύγγνω-

έφύσηξεν, ούτε ποτάμια προσέκρουσαν, άλλά άπλώς κάποια έλαφρά αύρα τοῦ διαβόλου έφύσηξε καὶ ὅλους σᾶς ἔφερε έδῶ καὶ ἐκεῖ. Τί θὰ ἠμποροῦσε νὰ γίνῃ χειρότερον ἀπὸ αὐτὴν τὴν μωρίαν; εἰπέ μου, ποία ἡ ὠφέλεια τῆς νηστείας; ποῖον τὸ κέρδος ἀπὸ τὴν συγκέντρωσίν μας ἐδῶ; Ποῖος δὲν θὰ ἐστέναζε διὰ σᾶς καὶ δὲν θὰ μᾶς ἐλεεινολογοῦσε; Διὰ σᾶς μέν, διότι ὅλα, ὅσα ἐσυγκεντρώσατε, διεσκορπίσατε ἐξ αἰτίας ἑνός, καὶ τὰς θύρας τῆς διανοίας σας ἠνοίξατε τελείως εἰς τὸν πονηρὸν δαίμονα, ὥστε καὶ νὰ εἰσέλθῃ καὶ νὰ ἀποκομίσῃ μαζί του μὲ πολλὴν εὐκολίαν ὅλον τὸν πνευματικόν σας πλοῦτον. Ἡμᾶς δὲ θὰ ἐλεεινολογοῦμεν εὐλόγως, διότι διδάσκομεν ἔτσι εἰς νεκρὰς ἀκοὰς καὶ ὑπομένομεν καθημερινῶς τόσον μεγάλην ζημίαν ἀφοῦ σπείρωμεν μέν, χωρὶς ὅμως νὰ ἠμποροῦμεν νὰ ἀπολαμβάνωμεν καθόλου τὸν καρπόν. Μήπως λοιπὸν δι' αὐτὸ προσπαθοῦμεν νὰ ὁμιλοῦμεν, διὰ νὰ σᾶς εὐχαριστήσωμεν ἁπλῶς τὴν ἀκοήν σας ἢ διότι ἐπιθυμοῦμεν τὸν ἔπαινόν σας; Ἐὰν δὲν πρόκειται νὰ κερδίσετε κάτι ἀπὸ τὰ λεγόμενά μας, εἶναι καλύτερον νὰ σιωπήσωμεν εἰς τὸ μέλλον. Οὔτε βέβαια θέλω νὰ σᾶς κατηγορήσω περισσότερον. Διότι ὅπως ἀκριβῶς ὁ ἔμπορος, ὅταν συγκεντρώσῃ πολὺ φορτίον καὶ ἐνῷ ἔχει γεμᾶτον τὸ πλοῖον μὲ πολὺν πλοῦτον, ἀφοῦ ἐκσπάσῃ μεγάλη καταιγίδα καὶ ὑπερισχύσῃ ἡ ὁρμὴ τῶν ἀνέμων καὶ βυθισθῇ αὔτανδρον τὸ σκάφος, γίνεται ἐλεεινὸν θέαμα εἰς ὅλους, ἐπειδὴ ἐφάνη ξαφνικὰ γυμνὸς καὶ περιῆλθεν ὕστερα ἀπὸ τὸν πολὺν καὶ ἀνέκφραστον πλοῦτον εἰς τὴν ἐσχάτην πτωχείαν, κατὰ τὸν ἴδιον λοιπὸν τρόπον καὶ σᾶς τώρα μετεχειρίσθη ὁ διάβολος. Διότι ἀφοῦ εὗρε τὸ πνευματικόν σας πλοῖον γεμᾶτον μὲ πολὺν πλοῦτον καὶ εἶδε τὸν ἀνέκφραστον θησαυρόν, τὸν ὁποῖον ἠμπορέσατε νὰ συγκεντρώσετε καὶ ἀπὸ τὴν νηστείαν καὶ ἀπὸ τὴν συνεχῆ διδασκαλίαν, ὡσὰν κάποιαν καταιγίδα ἐξαπολύσας τὸν ἀνώφελον ἐκεῖνον καὶ ἐπιβλαβῆ ἀγῶνα τῶν ἵππων, μὲ αὐτὸν σᾶς ἐστέρησε καὶ σᾶς ἐγύμνωσεν ἀπὸ κάθε ἀφθονίαν ἀγαθῶν.

2. Γνωρίζω, ὅτι μεταχειρίζομαι αὐστηρὰν ἐπίκρισιν, ἀλλὰ

τε, παρακαλῶ· τοιοῦτον γὰρ ἡ ὀδυνωμένη ψυχή. Οὐδὲ γὰρ ἐξ ἀπεχθείας ταῦτα φθέγγομαι, ἀλλ' ἀπὸ κηδεμονίας καὶ φιλοστόργου ψυχῆς· διὸ τῆς σφοδρότητος μικρὸν καθυφείς, ἐπειδὴ αὐτῆς τῆς νομῆς τοῦ ἕλκους περιγέγονε, βούλομαι καὶ εἰς ἐλπίδας χρηστὰς ἀγαγεῖν τὴν ὑμετέραν ἀγάπην, ὥστε μὴ ἀπογνῶναι, μηδὲ ἀπαγορεῦσαι. Οὐδὲ γὰρ καθάπερ ἐπὶ τῶν αἰσθητῶν γίνεται πραγμάτων, οὕτω καὶ ἐνταῦθα συμβαίνει· ἐκεῖ μὲν γὰρ οὐκ ἔνι τὸν ἀπὸ τοῦ πλούτου ἐκείνου εἰς τὴν ἐσχάτην πενίαν κατενεχθέντα εὐθέως ἀνενεγκεῖν· ἐνταῦθα δὲ διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἐὰν βουλώμεθα μόνον καταγνῶναι τῶν ἤδη εἰργασμένων ἡμῖν, καὶ μέχρι τούτου στῆσαι τὰ τῆς ῥαθυμίας, δυνάμεθα ταχέως ἐπὶ τὴν προτέραν εὐπορίαν ἐπανελθεῖν. Τοιοῦτος γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος, οὕτω φιλότιμος καὶ μεγαλόδωρος· καὶ βοᾷ διὰ τοῦ προφήτου, λέγων· «Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Οἶδα ὅτι εὐγνώμονες ὄντες αἰσθάνεσθε τῶν ἐπταισμένων ὑμῖν, Οὐ μικρὰ δὲ ὁδὸς πρὸς τὴν ἐπάνοδον τῆς ἀρετῆς τό· εἰδέναι τῶν ἡμαρτημένων τὸ μέγεθος. Ἀλλὰ μή μοι πάλιν τὰ τῆς διαβολικῆς ἐκείνης ἀπάτης ῥήματά τις παραγέτω, λέγων· ποῖον γὰρ ἁμάρτημα, ἰδεῖν ἵππους τρέχοντας; Ἐὰν γὰρ βουληθῇς εὐγνωμόνως καταμαθεῖν ἅπαντα τὰ ἐκεῖ γινάμενα, εὑρήσεις πάντα μεστὰ σατανικῆς ἐνεργείας. Οὐ μόνον γὰρ ἵππους τρέχοντάς ἐστιν ἰδεῖν, ἀλλὰ καὶ κραυγῶν, καὶ βλασφημιῶν, καὶ μυρίων ἀκαίρων ἐστὶν ἀκοῦσαι λόγων, καὶ γυναῖκας ἡταιρηκυίας εἰς τὸ μέσον παριούσας ἰδεῖν, καὶ νέους πρὸς τὴν τῶν γυναικῶν ἁπαλότητα ἑαυτοὺς ἐκδιδόντας. Ἦ μικρά σοι ταῦτα δοκεῖ εἶναι πρὸς τὸ τὴν ψυχὴν αἰχμάλωτον ἐργάσασθαι; Εἰ γὰρ καὶ αἱ ἀπὸ ταὐτομάτου συντυχίαι πολλάκις ὑπεσκέλισαν καὶ κατέβαλον, καὶ εἰς

4. Ἰεζ. 18, 23.

συγχωρήσατέ με, παρακαλῶ· διότι τέτοια εἶναι ἡ πονεμένη ψυχή μου. Οὔτε βέβαια λέγω αὐτὰ ἀπὸ ἀπέχθειαν, ἀλλὰ ἀπὸ ἐνδιαφέρον καὶ ψυχικὴν φιλοστοργίαν. Διὰ τοῦτο, ἀφοῦ ἐγκαταλείψω δι' ὀλίγον τὴν αὐστηρότητα, ἐπειδὴ ἐνίκησα τὴν ἐπέκτασιν αὐτῆς τῆς θλίψεως, θέλω νὰ ὁδηγήσω τὴν ἀγάπην σας πρὸς τὰς ἀγαθὰς ἐλπίδας, ὥστε νὰ μὴ ἀπελπισθῆτε, οὔτε νὰ ἀποκάμετε. Οὔτε βέβαια, ὅπως ἀκριβῶς γίνεται εἰς τὰ αἰσθητὰ πράγματα, ἔτσι συμβαίνει καὶ ἐδῶ. Διότι ἐκεῖ μὲν δὲν εἶναι δυνατὸν ἐκεῖνος, ποὺ ἀπὸ τὸν πλοῦτον ἐκεῖνον κατέπεσεν εἰς τὴν ἐσχάτην πτωχείαν, νὰ ἐπανέλθῃ ἀμέσως εἰς τὴν προηγουμένην του κατάστασιν· ἐδῶ ὅμως ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ἐὰν θέλωμεν μόνον νὰ ἀντιληφθοῦμεν ἐκεῖνα, ποὺ ἤδη ἔχομεν πράξει, καὶ νὰ σταματήσωμεν μέχρις αὐτὸ τὸ σημεῖον τὴν ἀδιαφορίαν μας, ἠμποροῦμεν γρήγορα νὰ ἐπανέλθωμεν εἰς τὴν προηγουμένην πλουσίαν κατάστασιν. Διότι τέτοιος εἶναι ὁ ἰδικός μας Κύριος, τόσον φιλότιμος καὶ τόσον γενναιόδωρος· καὶ φωνάζει διὰ μέσου τοῦ προφήτου, λέγων· «Δὲν ἐπιθυμῶ βέβαια τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὅπως τὴν ἐπιστροφὴν καὶ τὴν ζωήν του»[4]. Γνωρίζω, ὅτι ἀντιλαμβάνεσθε τὰ σφάλματά σας, ἐπειδὴ εἴσθε εὐγνώμονες. Καὶ δὲν εἶναι μικρὸς ὁ δρόμος διὰ τὴν ἐπάνοδον εἰς τὴν ἀρετήν, τὸ νὰ γνωρίζωμεν τὸ μέγεθος τῶν ἁμαρτημάτων. Ἀλλὰ ἂς μὴ μοῦ παρουσιάσῃ πάλιν κανεὶς τὰ λόγια τῆς ἀπάτης ἐκείνης τοῦ διαβόλου, λέγων· ποῖον λοιπὸν εἶναι τὸ ἁμάρτημα, τὸ νὰ ἰδῇ κανεὶς τοὺς ἵππους νὰ τρέχουν; Διότι ἐὰν θελήσῃς μὲ ἀγαθὴν διάθεσιν νὰ γνωρίσῃς καλὰ ὅλα ἐκεῖνα, ποὺ γίνονται ἐκεῖ, θὰ τὰ εὕρῃς ὅλα πλήρη ἐνεργείας τοῦ σατανᾶ. Διότι ὄχι μόνον ἵππους νὰ τρέχουν εἶναι δυνατὸν νὰ ἰδῇ κανείς, ἀλλὰ καὶ κραυγὰς καὶ βλασφημίας καὶ ἄπειρα ἀπρεπῆ λόγια εἶναι δυνατὸν νὰ ἀκούσῃ, καὶ νὰ ἰδῇ νὰ ἐμφανίζωνται εἰς τὸ μέσον πόρναι γυναῖκες καὶ νέοι νὰ παραδίδουν τοὺς ἑαυτούς των εἰς τὴν τρυφερότητα τῶν γυναικῶν. Ἢ σοῦ φαίνονται αὐτὰ μικρά, διὰ νὰ καταστήσῃς αἰχμάλωτον τὴν ψυχήν σου; Διότι ἐὰν αἱ τυχαῖαι συμπτώσεις πολλὰς φορὰς ὑπενόμευσαν καὶ ἐταπείνωσαν καὶ ὡδήγησαν εἰς

αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον κατήνεγκαν τὸν μὴ προσέχοντα, τί εἰκὸς παθεῖν τοὺς ἐπ' αὐτὸ τοῦτο ἐκεῖ παραγινομένους, καὶ τοὺς ὀφθαλμοὺς ἑστιῶντας ταῖς παρανόμοις ἐκείναις θέαις, καὶ ἀπηρτισμένους μοιχοὺς ἐκεῖθεν κατιόντας; Εἰδὼς γὰρ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης τῆς φύσεως τῆς ἡμετέρας τὸ εὐεπηρέαστον, καὶ τῆς τοῦ διαβόλου κακουργίας τὸ πανοῦργον καὶ πολύπλοκον, ἐκ πολλοῦ τοῦ περιόντος τειχίζων ἡμᾶς, καὶ βουλόμενος ἀναλώτους ἐργάσασθαι ταῖς τούτου παγίσι, τὸν νόμον τοῦτον τέθεικεν, λέγων· «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», μοιχείαν ἀπηρτισμένην καλῶν τὴν μετὰ περιεργίας θεωρίαν γεγενημένην. Μὴ τοίνυν μοι λέγε λοιπόν· τί γὰρ βλάβος ἀπὸ τῆς ἐκεῖσε διατριβῆς; Καὶ αὐτὸ γὰρ μόνον τὸ τῆς τῶν ἵππων ἁμίλλης ἱκανὸν πολὺν τῇ ψυχῇ τὸν ὄλεθρον ἐπαγαγεῖν. Ὅταν γὰρ ὑπὲρ ἀνονήτων, καὶ μὴ μόνον μηδὲν τῇ ψυχῇ συμβαλλομένων, ἀλλὰ καὶ λυμαινομένων αὐτῇ τὸν καιρὸν καταναλίσκωμεν καὶ διαπληκτιζώμεθα, καὶ μυρία ῥητὰ καὶ ἄρρητα φθεγγώμεθα, τίς ἡμῖν ἔσται συγγνώμη; ποία δὲ ἀπολογία; Καὶ ἐνταῦθα μὲν ἐὰν μικρὸν παρατείνωμεν τὴν διδασκαλίαν, πολλοὶ δυσχεραίνουσι καὶ ἀλύουσι, καὶ πόνον τοῦ σώματος καὶ κάματον προβάλλονται, καὶ ταῦτα τοῦ θαυμαστοῦ τούτου ὀρόφου ἱκανοῦ ὄντος παραμυθήσασθαι· οὔτε γὰρ ὑπὸ κρυμοῦ ἐστιν ἐνοχληθῆναι, οὔτε ὑπὸ ὑετοῦ, ἢ τῆς τῶν ἀνέμων σφοδρότητος· ἐκεῖ δὲ καὶ ὑετοῦ λάβρου καταρρηγνυμένου, καὶ ἀνέμων σφοδρῶν πνεόντων, καὶ ἄλλοτε τοῦ ἡλίου θερμὴν τὴν ἀκτῖνα ἀφιέντος, οὐ μίαν οὐδὲ δύο ὥρας, ἀλλὰ τὸ πλέον τῆς ἡμέρας διημερεύουσι, καὶ οὔτε ὁ γέρων αἰδεῖται τὴν πολιάν, οὔτε ὁ νέος αἰσχύνεται πρὸς τὰ τῆς πολιᾶς ὑπεκκαύματα βαδίζων· ἀλλὰ τοσαύτη ἡ ἀπάτη, ὡς καὶ μεθ' ἡδονῆς τὸ δέ-

5. Ματθ. 5, 28.

αὐτὸ τὸ βάραθρον τῆς καταστροφῆς ἐκεῖνον, ποὺ δὲν προσέχει, τί εἶναι φυσικὸν νὰ πάθουν ἐκεῖνοι ποὺ διὰ τὸν σκοπὸν αὐτὸν ἀκριβῶς πηγαίνουν ἐκεῖ καὶ προσφέρουν εἰς τὰ μάτια των τὰ παράνομα ἐκεῖνα θεάματα καὶ ἐπανέρχονται ἀπὸ ἐκεῖ τέλειοι μοιχοί; Ἐπειδὴ λοιπὸν ὁ φιλάνθρωπος Κύριός μας γνωρίζει πόσον εὔκολα ἐπηρεάζεται ἡ ἀνθρωπίνη φύσις καὶ τὴν πονηρὰν καὶ πολύπλοκον δολιότητα τοῦ διαβόλου, ὀχυρώνουν ἡμᾶς ἀπὸ τὸν εὑρισκόμενον συνήθως γύρω μας καὶ θέλων νὰ μᾶς καταστήσῃ ἀσυλλήπτους εἰς τὰς παγίδας αὐτοῦ, ἔχει θεσπίσει αὐτὸν τὸν νόμον, λέγων· «Ἐκεῖνος, ποὺ βλέπει γυναῖκα διὰ νὰ τὴν ἐπιθυμήσῃ πρὸς ἁμαρτίαν, ἤδη ἐμοίχευσεν αὐτὴν μέσα εἰς τὴν καρδίαν του»[5], ἀποκαλῶν πλήρη μοιχείαν τὴν ματιὰν ποὺ γίνεται μὲ σαρκικὴν ἐπιθυμίαν. Νὰ μὴ μοῦ λέγῃς λοιπὸν εἰς τὸ ἑξῆς· ποία εἶναι ἡ βλάβη ἀπὸ τὴν παραμονήν μου ἐκεῖ; Διότι καὶ αὐτὴ μόνον ἡ ἅμιλλα τῶν ἵππων εἶναι ἱκανὴ νὰ φέρῃ εἰς τὴν ψυχὴν μεγάλην καταστροφήν. Διότι ὅταν χάνωμεν τὸν καιρόν μας εἰς ἀνωφελῆ πράγματα, τὰ ὁποῖα ὄχι μόνον δὲν προσφέρουν εἰς τὴν ψυχὴν τίποτε, ἀλλὰ ἀντιθέτως καταστρέφουν αὐτήν, καὶ φιλονεικοῦμεν καὶ λέγωμεν ἄπειρα ἐπιτρεπτὰ καὶ ἀνεπίτρεπτα, ποίαν συγγνώμην θὰ ἔχωμεν; καὶ ποίαν ἀπολογίαν θὰ κάνωμεν; Καὶ ἐδῶ μὲν ἐὰν παρατείνωμεν ὀλίγον τὴν διδασκαλίαν, πολλοὶ δυσφοροῦν καὶ στενοχωροῦνται πολύ, καὶ προβάλλουν ὡς πρόφασιν τὴν κόπωσιν καὶ τὴν ἀσθένειαν τοῦ σώματος, καὶ αὐτὰ συμβαίνουν, ὅταν ὁ θαυμαστὸς αὐτὸς οἶκος εἶναι ἱκανὸς νὰ παρηγορήσῃ· διότι δὲν εἶναι δυνατὸν νὰ ἐνοχληθῇ κανεὶς ἀπὸ παγετόν, οὔτε ἀπὸ βροχήν, οὔτε ἀπὸ τὴν ὁρμὴν τῶν ἀνέμων. Ἐκεῖ δέ, καὶ ὅταν ξεσπᾷ καταρρακτώδης βροχὴ καὶ ὅταν φυσοῦν σφοδροὶ ἄνεμοι καὶ ὅταν ἄλλοτε ὁ ἥλιος καίῃ, διαμένουν ὄχι μίαν οὔτε δύο ὥρας, ἀλλὰ τὸ περισσότερον μέρος τῆς ἡμέρας· καὶ οὔτε ὁ γέρων σέβεται τὰ γηρατειά του, οὔτε ὁ νέος ἐντρέπεται ποὺ ἀκολουθεῖ τὰς παρορμήσεις τοῦ γέροντος. Ἀλλὰ εἶναι τόσον μεγάλη ἡ ἀπάτη, ὥστε νὰ δέχωνται μὲ εὐχαρίστησιν τὸ δέλεαρ ἐκεῖνο τῶν ψυχῶν, καὶ νὰ μὴ κατανοοῦν ἀφ' ἑνὸς

λεαρ ἐκεῖνο τῶν ψυχῶν προσίεσθαι, καὶ μὴ ἐννοεῖν τῆς ἡδονῆς μὲν τῆς ἐπιβλαβοῦς τὸ βραχὺ καὶ πρόσκαιρον, τῆς δὲ ὀδύνης τὸ διηνεκές, καὶ τοῦ συνειδότος τὴν κατηγορίαν. Ὁρῶ γὰρ ἐνίων καὶ νῦν τὰ πρόσωπα, καὶ στοχάζομαι τῆς ψυχῆς τὴν κατάστασιν, καὶ ὅση νῦν αὐτοῖς ἡ μετάνοια εἰσέρχεται. Ἀλλ' ὅπως μὴ πάλιν τοῖς αὐτοῖς περιπέσητε, μηδὲ μετὰ τὴν τοσαύτην ἡμῶν παραίνεσιν πάλιν ἐπὶ τὰ σατανικὰ συνέδρια ἐκεῖνα δράμητε, ἀναγκαῖον διαμαρτύρασθαι. Οὐδὲ γὰρ πάντοτε καλὸν προσηνῆ φάρμακα ἐπιτιθέναι, ἀλλ' ὅταν ἡ τὸ ἕλκος δυσένδοτον, δεῖ καὶ τὰ στύφοντα καὶ τὰ δάκνειν δυνάμενα προσάγειν, ἵνα ταχεῖα γένηται ἡ διόρθωσις.

3. Μαθέτωσαν τοίνυν ἅπαντες οἱ τοῖς ἐγκλήμασιν ὑπεύθυνοι ὅτι εἰ καὶ μετὰ ταύτην ἡμῶν τὴν παραίνεσιν πάλιν τῇ αὐτῇ ῥαθυμίᾳ ἐπιμένωσιν, οὐκ ἀνεξόμεθα, ἀλλὰ τοῖς νόμοις τῆς Ἐκκλησίας χρησάμενοι μετὰ πολλῆς αὐτοὺς τῆς σφοδρότητος διδάξομεν, μὴ τοιαῦτα πλημμελεῖν, μηδὲ μετὰ τοσαύτης καταφρονήσεως τῶν θείων ἀκούειν λογίων. Καὶ ταῦτα οὐ περὶ πάντων λέγω τῶν ἐνταῦθα συνειλεγμένων, ἀλλὰ περὶ τῶν ὑπευθύνων τοῖς λεγομένοις. Ὁ μὲν γὰρ λόγος πρὸς ἅπαντας διαλέγεται· ἕκαστος δὲ τῶν ἀκουόντων δεχέσθω τὸ κατάλληλον φάρμακον· ὁ μὲν τῷ ἁμαρτήματι ὑπεύθυνος, ὥστε μέχρι τούτου στῆσαι τὰ τῆς ῥαθυμίας, καὶ μὴ περαιτέρω προελθεῖν, ἀλλὰ διὰ τῆς μετὰ ταῦτα σπουδῆς ἀνακαλέσασθαι ἑαυτόν, καὶ τῶν ἐπταισμένων ποιήσασθαι τὴν διόρθωσιν· ὁ δὲ ἀνεύθυνος ἀσφαλέστερος γενέσθω πρὸς τὸ μὴ ἁλῶναι, μηδὲ ὑπεύθυνος γενέσθαι ποτέ. Ἀλλ' ἵνα δι' αὐτῶν τῶν πραγμάτων πείσωμεν τὴν ὑμετέραν ἀγάπην, ὅτι ἀπὸ φιλοστοργίας καὶ πολλῆς κηδεμονίας δακνόμενοι τὴν ψυχήν, καὶ σφόδρα ὑπὲρ τῆς σωτηρίας τῆς ὑμετέρας δεδοικότες, ταῦτα εἰπεῖν προήχθημεν, φέρε πάλιν ἑαυτοὺς ταῖς χρησταῖς ἐλπίσι τρέφοντες τὴν συνήθη παραθῶμεν ὑμῖν διδασκαλίαν,

μὲν τὸ σύντομον καὶ πρόσκαιρον τῆς ἐπιβλαβοῦς ἡδονῆς, ἀφ' ἑτέρου δὲ τὸ συνεχὲς τῆς ὀδύνης καὶ τὸν ἔλεγχον τῆς συνειδήσεως. Διότι βλέπω καὶ τώρα τὰ πρόσωπα μερικῶν καὶ συμπεραίνω τὴν ψυχικήν των κατάστασιν καὶ πόσον τώρα μετανοοῦν αὐτοί. Ἀλλὰ διὰ νὰ μὴ ὑποπέσετε πάλιν εἰς τὰ ἴδια ἁμαρτήματα, οὔτε νὰ τρέξετε πάλιν ὕστερα ἀπὸ τὴν τόσην παραίνεσίν μας εἰς τὰς σατανικὰς ἐκείνας συγκεντρώσεις, εἶναι ἀνάγκη νὰ διαβεβαιώσετε τὴν μετάνοιάν σας. Διότι δὲν εἶναι πάντοτε καλὸν νὰ ἐπιθέτωμεν τὰ κατάλληλα φάρμακα, ἀλλὰ ὅταν ἡ πληγὴ δὲν ὑποχωρῇ εὔκολα, πρέπει νὰ παρέχωμεν καὶ ἐκεῖνα ποὺ εἶναι στυφὰ καὶ ἐκεῖνα ποὺ προκαλοῦν πόνον, διὰ νὰ συμβῇ γρήγορα ἡ θεραπεία.

3. Ἂς μάθουν λοιπὸν οἱ ὑπεύθυνοι δι' ἀδικήματα, ὅτι ἐὰν καὶ ὕστερα ἀπὸ τὴν παραίνεσίν μας αὐτὴν ἐπιμένουν πάλιν μὲ τὴν ἰδίαν ἀδιαφορίαν, δὲν θὰ τοὺς ἀνεχθοῦμεν, ἀλλὰ χρησιμοποιοῦντες τοὺς κανόνας τῆς Ἐκκλησίας θὰ διδάξωμεν αὐτοὺς μὲ μεγάλην αὐστηρότητα, νὰ μὴ κάνουν τέτοια σφάλματα, οὔτε νὰ ἀκούουν μὲ τόσον μεγάλην περιφρόνησιν τὰ θεῖα λόγια. Καὶ αὐτὰ δὲν τὰ λέγω δι' ὅλους, ποὺ εἶναι συγκεντρωμένοι ἐδῶ, ἀλλὰ διὰ τοὺς ὑπευθύνους εἰς ὅσα λέγονται. Διότι ὁ μὲν λόγος ἀπευθύνεται πρὸς ὅλους· ὁ καθένας δὲ ἀπὸ τοὺς ἀκροατὰς ἂς δέχεται τὸ κατάλληλον φάρμακον· ὁ μὲν ἔνοχος δι' ἁμαρτίας, ὥστε νὰ σταματήσῃ τὴν ἀδιαφορίαν του μέχρις αὐτὸ τὸ σημεῖον καὶ νὰ μὴ προχωρήσῃ περαιτέρω, ἀλλὰ μὲ τὴν προσπάθειάν του ὕστερα ἀπὸ αὐτὰ νὰ ἐπαναφέρῃ τὸν ἑαυτόν του καὶ νὰ ἐπανορθώσῃ τὰ σφάλματά του· ἐκεῖνος δέ, ποὺ δὲν εἶναι ἔνοχος, ἂς γίνῃ περισσότερον ἀσφαλὴς διὰ νὰ μὴ κυριευθῇ ἀπὸ τὴν ἁμαρτίαν, οὔτε νὰ γίνῃ ποτὲ ἔνοχος. Ἀλλὰ διὰ νὰ πείσωμεν τὴν ἀγάπην σας μὲ τὰ ἴδια τὰ πράγματα, ὅτι, ἀπὸ ἀγάπην καὶ μέγα ἐνδιαφέρον θλιβόμενοι κατὰ τὴν ψυχὴν καὶ φοβούμενοι πολὺ διὰ τὴν ἰδικήν σας σωτηρίαν, ἀπεφασίσαμεν νὰ εἰποῦμεν αὐτά, ἐμπρὸς πάλιν, τρέφοντες τοὺς ἑαυτούς μας μὲ τὰς ἀγαθὰς ἐλπίδας, ἂς παρουσιάσωμεν εἰς σᾶς τὴν συνηθισμένην διδασκαλίαν, ἀποδεικνύοντες εἰς

δεικνύντες ὑμῖν τὴν πατρικὴν εὔνοιαν, ἣν περὶ ὑμᾶς ἔχομεν· ἀλλά, παρακαλῶ, μετ' ἀκριβείας προσέχετε τοῖς λεγομένοις, ἵνα καρπώσησθέ τι πλέον, καὶ οὕτως οἴκαδε ἐπανέλθητε. Ἀναγκαῖον δὲ ταῦτα τὰ ἀναγνωσθέντα εἰπεῖν ἐπὶ τῆς ἡμετέρας ἀγάπης. «Καὶ εἶπε», φησίν, «ὁ Θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας, καὶ ἀναμέσον τῆς νυκτός. Καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιρούς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς. Καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο οὕτως». Ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς, ὅπως τὴν ἀμορφίαν τῆς γῆς ἐγκαλλώπισεν ὁ τῶν ὅλων δημιουργὸς ταῖς βοτάναις, καὶ τῇ τῶν ἀνθῶν ποικιλίᾳ, καὶ τῇ βλάστῃ τῶν σπερμάτων, σήμερον πάλιν μετήγαγε τὸν λόγον ἐπὶ τὸν τοῦ οὐρανοῦ κόσμον. Καθάπερ γὰρ ἡ γῆ καλλωπίζεται διὰ τῶν ἐξ αὐτῆς ἀναδιδομένων, οὕτω τὸν οὐρανὸν τοῦτον τὸν ὁρώμενον φαιδρότερον καὶ λαμπρότερον εἰργάσατο, τῇ τε τῶν ἄστρων ποικιλίᾳ καταστίξας αὐτόν, καὶ τῇ δημιουργίᾳ τῶν δύο φωστήρων τῶν μεγάλων, λέγω τοῦ ἡλίου καὶ τῆς σελήνης. «Καὶ ἐποίησε», φησίν, ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας». Εἶδες σοφίαν τοῦ δημιουργοῦ; Εἶπε μόνον, καὶ παρήχθη τὸ στοιχεῖον τοῦτο τὸ θαυμαστόν, ὁ ἥλιος λέγω. Τοῦτον γὰρ καλεῖ φωστῆρα μέγαν, καί φησιν αὐτὸν εἰς ἀρχὰς τῆς ἡμέρας γεγενῆσθαι. Οὗτος γὰρ φαιδροτέραν τὴν ἡμέραν ἀπεργάζεται, καθάπερ μαρμαρυγάς τινας τὰς οἰκείας ἀκτῖνας ἀφιείς, καὶ καθ' ἑκάστην ἡμέραν ἀκμαῖον τὸ οἰκεῖον κάλλος ἐπιδεικνύμενος, καὶ ἅμα τῷ ὄρθρῳ φαινόμενος, καὶ πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν διεγείρων πρὸς τὴν τῶν οἰκείων ἔργων ἐπιτήδευσιν.

4. Τούτου τὸ κάλλος ἐμφαίνων ὁ μακάριος προφήτης φησί· «Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐ-

σᾶς τὴν πατρικὴν ἀγάπην, τὴν ὁποίαν αἰσθανόμεθα διὰ σᾶς. Ἀλλά, παρακαλῶ, προσέχετε μὲ ἀκρίβειαν εἰς τὰ λεγόμενα, διὰ νὰ κερδίσετε κάτι περισσότερον καὶ ἔτσι νὰ ἐπιστρέψετε εἰς τὰ σπίτια σας. Εἶναι ἀνάγκη δὲ αὐτὰ ποὺ ἀνεγνώσθησαν νὰ ἐπαναλάβωμεν εἰς τὴν ἀγάπην σας. «Καὶ εἶπε, λέγει, ὁ Θεός· ἂς γίνουν φωστῆρες εἰς τὸν θόλον τοῦ οὐρανοῦ, πρὸς φωτισμὸν τῆς γῆς, διὰ νὰ διαχωρίζουν τὴν ἡμέραν ἀπὸ τὴν νύκτα. Καὶ ἂς χρησιμεύουν ὡς σημεῖα καὶ ὡς καθωρισμένοι καιροὶ καὶ ὡς ἡμέραι καὶ ὡς ἔτη. Καὶ ἂς εἶναι ὡς φωστῆρες εἰς τὸν θόλον τοῦ οὐρανοῦ, διὰ νὰ ρίπτουν φῶς ἐπὶ τῆς γῆς. Καὶ ἔγινεν ἔτσι». Ἐπειδὴ λοιπὸν μᾶς ἐδίδαξε χθὲς ὁ μακάριος Μωυσῆς, πῶς τὴν ἀσχημίαν τῆς γῆς ἐστόλισεν ὁ δημιουργὸς τῶν ὅλων μὲ τὰ χόρτα καὶ μὲ τὴν ποικιλίαν τῶν ἀνθέων καὶ μὲ τὴν βλάστησιν τῶν φυτῶν, σήμερα πάλιν μετέφερε τὸν λόγον εἰς τὸν διάκοσμον τοῦ οὐρανοῦ. Διότι ὅπως ἀκριβῶς ἡ γῆ στολίζεται μὲ ἐκεῖνα ποὺ φυτρώνουν ἀπὸ αὐτήν, ἔτσι τὸν οὐρανὸν αὐτόν, τὸν ὁποῖον βλέπομεν, ἔκαμε φωτεινότερον καὶ λαμπρότερον, καὶ μὲ τὴν ποικιλίαν τῶν ἄστρων καλύψας πλήρως αὐτόν, καὶ μὲ τὴν δημιουργίαν τῶν δύο μεγάλων φωστήρων, δηλαδὴ τοῦ ἡλίου καὶ τῆς σελήνης. «Καὶ ἐδημιούργησε, λέγει, ὁ Θεὸς τοὺς δύο μεγάλους φωστῆρας· τὸ μὲν μεγαλύτερον φωστῆρα διὰ νὰ ἐξουσιάζῃ τὴν ἡμέραν, καὶ τὸν μικρότερον φωστῆρα διὰ νὰ ἐξουσιάζῃ τὴν νύκτα· ἐδημιούργησεν ἐπίσης τὰ ἀστέρια». Εἶδες τὴν σοφίαν τοῦ δημιουργοῦ; Εἶπε μόνον, καὶ ἐδημιουργήθη τὸ θαυμαστὸν αὐτὸ στοιχεῖον, δηλαδὴ ὁ ἥλιος. Διότι αὐτὸν ὀνομάζει μεγάλον φωστῆρα, καὶ λέγει ὅτι αὐτὸς ἔχει γίνει διὰ νὰ ἐξουσιάζῃ τὴν ἡμέραν. Αὐτὸς λοιπὸν κάνει τὴν ἡμέραν φωτεινοτέραν, ἐκπέμπων ὡσὰν μαρμαρυγὰς τὰς ἰδικάς του ἀκτῖνας καὶ παρουσιάζων καθημερινῶς ἔντονον τὸ ἰδικόν του κάλλος καὶ ὅταν φαίνεται κατὰ τὸ πρωὶ ἀφυπνίζων ὅλους τοὺς ἀνθρώπους, διὰ νὰ ἀσχοληθοῦν εἰς τὰς ἐργασίας των.

4. Παρουσιάζων τὸ κάλλος αὐτοῦ ὁ μακάριος προφήτης λέγει· «Καὶ αὐτὸς ὁμοιάζει μὲ νυμφίον, ὁ ὁποῖος

του, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ· ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ». Ὁρᾷς ὅπως καὶ τὸ κάλλος ἡμῖν παρεδήλωσε, καὶ τὸ τάχος τῆς ἐνεργείας; Εἰπὼν γὰρ «Ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ», ἐσήμανεν ἡμῖν, ὅπως ἐν μιᾷ καιροῦ ῥοπῇ πᾶσαν διατρέχει τὴν οἰκουμένην, καὶ ἀπὸ περάτων εἰς πέρατα τὰς οἰκείας ἀκτῖνας ἀφίησι, πολλὴν τὴν ἑαυτοῦ χρείαν παρεχόμενος. Οὔτε γὰρ θερμαίνει μόνον, ἀλλὰ καὶ ξηραίνει· καὶ οὐ ξηραίνει μόνον, ἀλλὰ καὶ καίει, καὶ πολλὰς καὶ διαφόρους ἡμῖν τὰς χρείας παρέχεται, καὶ πολὺ τοῦ στοιχείου τούτου τὸ θαῦμα, καὶ οὐκ ἄν τις κατ' ἀξίαν ἅπαντα εἰπεῖν δυνηθείη. Ταῦτα δὲ λέγω, καὶ ἐπαίρω τῷ λόγῳ τὸ στοιχεῖον, ἵνα μὴ μέχρι τούτου στῇς, ἀγαπητέ, ἀλλ' ἐντεῦθεν ἀναδράμῃς, καὶ ἐπὶ τὸν τοῦ στοιχείου δημιουργὸν τὸ θαῦμα μεταγάγῃς. Ὅσῳ γὰρ ἂν μέγα δειχθῇ τὸ στοιχεῖον, τοσούτῳ πολὺ τοῦ δημιουργοῦ τὸ θαῦμα δείκνυται.

5. Ἀλλ' οἱ Ἑλλήνων παῖδες θαυμάσαντες καὶ ἐκπλαγέντες τὸ στοιχεῖον, οὐκ ἠδυνήθησαν διαβλέψαι, καὶ τὸν παραγαγόντα ἀνυμνῆσαι, ἀλλ' ἐναπέμειναν τῷ στοιχείῳ, καὶ τοῦτο ἐθεοποίησαν· διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλός φησι, «Καὶ ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα». Τί γὰρ ἂν αὐτῶν ἀνοητότερον γένοιτ' ἄν, μὴ δυνηθέντων ἐκ τοῦ δημιουργήματος τὸν δημιουργὸν καταμαθεῖν, ἀλλὰ τοσαύτην πλάνην πλανηθέντων, ὡς τὸ κτίσμα καὶ τὸ ποίημα εἰς τὴν αὐτὴν τάξιν τῷ δημιουργῷ ἀναγαγεῖν; Διά τοι τοῦτο καὶ ἡ θεία Γραφὴ προειδυῖα τὸ πρὸς πλάνην τῶν ῥαθύμων ἐπιρρεπές, μετὰ τρεῖς ἡμέρας διδάσκει ἡμᾶς τούτου τοῦ στοιχείου τὴν δημιουργίαν γεγενῆσθαι, μετὰ τὸ πάντα τα σπέρματα ἀπὸ τῆς γῆς ἀναδοθῆναι, μετὰ τὸ ἀπολαβεῖν τὴν

6. Ψαλμ. 18, 6-7.
7. Ρωμ. 1, 25.

ἐξέρχεται ἀπὸ τὸν θάλαμόν του καὶ μὲ ἰσχυρὸν ἄνδρα, ὁ ὁποῖος τρέχει μὲ χαρὰν τὴν πορείαν του· ἡ ἐκκίνησίς του ἀρχίζει ἀπὸ τὸ ἕνα ἄκρον τοῦ οὐρανοῦ καὶ ἡ διαδρομή του τελειώνει εἰς τὸ ἄλλο ἄκρον»[6]. Βλέπεις πῶς μᾶς ἐπαρουσίασε συγκεκαλυμμένα καὶ τὸ κάλλος καὶ τὴν ταχύτητα τῆς ἐνεργείας του; Διότι μὲ τὸ νὰ εἰπῇ, «Ἡ ἐκκίνησίς του ἀρχίζει ἀπὸ τὸ ἕνα ἄκρον τοῦ οὐρανοῦ καὶ ἡ διαδρομή του τελειώνει εἰς τὸ ἄλλο ἄκρον», μᾶς ἐδήλωσε, πῶς μέσα εἰς μίαν χρονικὴν στιγμὴν διατρέχει ὅλην τὴν οἰκουμένην, καὶ ἐκπέμπει ἀπὸ τὴν μίαν ἄκρην εἰς τὴν ἄλλην τὰς ἀκτῖνας του, παρέχων τὴν μεγάλην του ὠφέλειαν. Διότι ὄχι μόνον θερμαίνει, ἀλλὰ καὶ ξηραίνει· καὶ ὄχι μόνον ξηραίνει, ἀλλὰ καὶ καίει καὶ μᾶς παρέχει πολλὰς καὶ διαφόρους ὠφελείας, καὶ εἶναι μεγάλος ὁ θαυμασμὸς πρὸς τὸ στοιχεῖον αὐτὸ καὶ δὲν θὰ ἠμπορέσῃ κανεὶς νὰ τὰ εἰπῇ ὅλα ἐπαξίως. Λέγω δὲ αὐτά, καὶ τονίζω εἰς τὸν λόγον μου τὸ στοιχεῖον αὐτό, διὰ νὰ μὴ σταματήσῃς μέχρι τὸ σημεῖον τοῦτο, ἀγαπητέ, ἀλλὰ ἀπὸ ἐκεῖ νὰ κατευθύνεσαι πρὸς τὰ ἄνω καὶ νὰ μεταφέρῃς τὸν θαυμασμόν σου ἀπὸ τὸ στοιχεῖον εἰς τὸν δημιουργόν. Διότι ὅσον μέγα θὰ φανῇ τὸ στοιχεῖον, τόσον πολὺ ἀποδεικνύεται τὸ θαῦμα τοῦ δημιουργοῦ.

5. Ἀλλὰ οἱ ἐθνικοί, οἱ ὁποῖοι ἐθαύμασαν καὶ ἐξεπλάγησαν ἀπὸ τὸ στοιχεῖον, δὲν ἠμπόρεσαν νὰ διαβλέψουν, καὶ νὰ ὑμνήσουν τὸν δημιουργόν, ἀλλὰ παρέμειναν εἰς τὸ στοιχεῖον καὶ ἐθεοποίησαν αὐτό. Δι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος λέγει, «Καὶ ἀπέδωσαν τὸν θαυμασμὸν καὶ τὴν λατρείαν των εἰς τὰ δημιουργήματα παρὰ εἰς τὸν δημιουργόν»[7]. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ γίνῃ περισσότερον ἀνόητον ἀπὸ αὐτούς, οἱ ὁποῖοι δὲν ἠμπόρεσαν νὰ γνωρίσουν ἀπὸ τὸ δημιούργημα τὸν δημιουργόν, ἀλλὰ οἱ ὁποῖοι ἐπλανήθησαν τόσον πολύ, ὥστε νὰ ἀνυψώσουν τὸ κτίσμα καὶ τὸ δημιούργημα εἰς τὴν αὐτὴν τάξιν μὲ τὸν δημιουργόν; Διὰ τοῦτο βεβαίως καὶ ἡ Ἁγία Γραφή, ἐπειδὴ ἐγνώριζεν ἀπὸ πρὶν τὴν ῥοπὴν πρὸς τὴν πλάνην ἐκείνων ποὺ εἶναι ἀδιάφοροι, ὕστερα ἀπὸ τρεῖς ἡμέρας μᾶς διδάσκει ὅτι ἔγινεν ἡ δημιουργία αὐτοῦ τοῦ στοιχείου, ὕστερα ἀπὸ τὴν βλάστησιν

γῆν τὸν οἰκεῖον *κόσμον*· ἵνα μηδενὶ ἐξῇ τῶν μετὰ ταῦτα λέγειν, ὅτι ἄνευ τῆς τούτου ἐνεργείας, οὐκ ἂν ἐτελεσφορήθη τὰ ἀπὸ τῆς γῆς. Διὰ τοῦτο δείκνυσί σοι πρὸ τῆς τούτου δημιουργίας ἅπαντα πεπληρωμένα, ἵνα μὴ τούτῳ ἐπιγράφῃς τῶν καρπῶν τὴν τελεσφόρησιν, ἀλλὰ τῷ τῶν ἁπάντων δημιουργῷ, τῷ ἐξ ἀρχῆς εἰπόντι· «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου». Εἰ δὲ λέγοιεν, ὅτι συντελεῖ τι καὶ τοῦ ἡλίου ἡ χρεία πρὸς τοὺς καρποὺς πεπαίνεσθαι, οὐδὲ ἐγὼ ἀντιλέγω. Ὥσπερ γὰρ καὶ τὸν γηπόνον λέγων συνεργεῖν **πρὸς** τὴν τῆς γῆς ἐργασίαν, οὐ τῷ γηπόνῳ τὸ πᾶν λογίζομαι, ἀλλὰ κἂν μυριάκις ὁ γηπόνος τὰ παρ' ἑαυτοῦ ἐπιδείξηται, εἰ μὴ ὁ τῷ οἰκείῳ προστάγματι ἐξ ἀρχῆς αὐτὴν διεγείρας πρὸς τὴν τῶν καρπῶν αὐτὴν γένεσιν κινῆσαι βουληθῇ, οὐδὲν ὄφελος τῶν πολλῶν καμάτων· τὸν αὐτὸν δὴ τρόπον φημί, ὅτι κἂν μετὰ τοῦ γηπόνου καὶ ἡ τοῦ ἡλίου συνέργεια συμβάληται, καὶ ἡ τῆς σελήνης, καὶ ἡ τῶν ἀέρων εὐκρασία, οὐδὲ οὕτως ἔσται τι πλέον, μὴ τῆς ἄνωθεν δεξιᾶς συνεφαπτομένης· ἐκείνης δὲ τῆς κραταιᾶς χειρὸς βουλομένης, καὶ ἡ παρὰ τῶν στοιχείων ἐνέργεια τὰ μέγιστα συμβαλεῖται. Ταῦτα μετὰ ἀκριβείας κατέχοντες ἐπιστομίζετε τοὺς ἔτι πλανᾶσθαι βουλομένους, **καὶ** μὴ συγχωρεῖτε τὸ τοῦ δημιουργοῦ σέβας τοῖς κτίσμασιν **ἀπονέμειν**. Διὰ τοῦτο καὶ ἡ θεία Γραφὴ οὐ μόνον τὸ κάλλος αὐτοῦ ἡμῖν δείκνυσι, καὶ τὸ μέγεθος, καὶ τὴν χρείαν, διὰ τοῦ εἰπεῖν. «Ὡς νυμφίος», καὶ «Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν», ἀλλὰ καὶ τὸ ἀσθενὲς καὶ οὐδαμινόν. Ἄκουσον γάρ τί φησιν ἀλλαχοῦ· «Τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει». Μή σε ἀπατάτω, φησίν, ἡ θέα· ἐὰν **γὰρ** βουληθῇ ὁ δημιουργήσας προστάξαι, ὡς **οὐδὲ** γεγονὼς **ἀφίσταται**. Ταῦτα εἰ συνεῖδον Ἑλλήνων παῖδες, οὐκ ἂν τοσαύτην πλάνην ἐπλανήθησαν, ἀλλ' εἶδον ἂν καλῶς, ὅτι προσήκει

---

8. Γεν. 1, 11.
9. Σοφ. Σειρ. 17, 31.

ἐκ τῆς γῆς ὅλων τῶν φυτῶν, ἀφοῦ ἔλαβε ἡ γῆ τὸν ἰδικόν της διάκοσμον· διὰ νὰ μὴ ἠμπορέσῃ κανεὶς ὕστερα ἀπὸ αὐτὰ νὰ λέγῃ, ὅτι χωρὶς τὴν ἐνέργειαν τοῦ ἡλίου, δὲν θὰ ἔφεραν καρπὸν τὰ φυτὰ καὶ τὰ δένδρα τῆς γῆς. Δι᾽ αὐτὸ σοῦ φανερώνει ὅλα τέλεια πρὶν ἀπὸ τὴν δημιουργίαν αὐτοῦ, διὰ νὰ μὴ ἀποδίδῃς τὴν ὡριμότητα τῶν καρπῶν εἰς αὐτόν, ἀλλὰ εἰς τὸν δημιουργὸν τοῦ σύμπαντος, ὁ ὁποῖος ἀπὸ τὴν ἀρχὴν εἶπεν· «Ἂς βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν»[8]. Ἐὰν ὅμως θὰ ἔλεγαν, ὅτι συντελεῖ κάπως καὶ ἡ ὠφέλεια τοῦ ἡλίου διὰ νὰ ὡριμάζουν οἱ καρποί, οὔτε ἐγὼ ἀντιλέγω. Διότι ὅπως, ὅταν λέγω, ὅτι καὶ ὁ γεωργὸς βοηθεῖ εἰς τὴν καλλιέργειαν τῆς γῆς, δὲν λογαριάζω τὸ πᾶν εἰς τὸν γεωργόν, ἀλλὰ καὶ ἂν ἀκόμη ἐπιδείξῃ πολλὰς φορὰς ὁ γεωργὸς τὰς ἱκανότητάς του, ἐὰν δὲν θελήσῃ ἐκεῖνος, ποὺ ἀπὸ τὴν ἀρχὴν μὲ τὴν ἰδικήν του ἐντολὴν ἐδημιούργησεν αὐτήν, νὰ τὴν κινήσῃ πρὸς τὴν παραγωγὴν τῶν καρπῶν, δὲν προκύπτει κανένα κέρδος ἀπὸ τοὺς πολλοὺς μόχθους. Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον λέγω, ὅτι καὶ ἂν ἀκόμη μαζὶ μὲ τὸν γεωργὸν συμβάλῃ καὶ ἡ ἐπενέργεια τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ οἱ εὐνοϊκοὶ ἄνεμοι, οὔτε ἔτσι θὰ προκύψῃ μεγαλύτερον κέρδος, ἐὰν δὲν συντρέχῃ τὸ χέρι τοῦ Θεοῦ. Ὅταν δὲ ἐκεῖνο τὸ ἰσχυρὸν χέρι θέλῃ, καὶ ἡ ἐνέργεια τῶν στοιχείων θὰ βοηθήσῃ πάρα πολύ. Γνωρίζοντες μὲ ἀκρίβειαν αὐτά, ἀποστομώνετε ἐκείνους ποὺ θέλουν νὰ πλανῶνται (ἀκόμη, καὶ νὰ μὴ ἐπιτρέπετε τὸν σεβασμὸν τοῦ Θεοῦ νὰ τὸν ἀπονέμουν εἰς τὰ δημιουργήματα). Διὰ τοῦτο καὶ ἡ Ἁγία Γραφὴ μᾶς δεικνύει ὄχι μόνον τὸ κάλλος αὐτοῦ καὶ τὸ μέγεθος καὶ τὴν ὠφέλειαν, μὲ τὸ νὰ εἰπῇ, «Ὡς νυμφίος», καὶ «Ὡς ἰσχυρὸς ἄνδρας χαίρεται ποὺ τρέχει τὴν πορείαν του», ἀλλὰ καὶ τὴν ἀδυναμίαν καὶ τὴν μηδαμινότητα τοῦ ἡλίου· Διότι ἄκουσε τί λέγει ἀλλοῦ· «Ποῖον ἄλλο πρᾶγμα εἶναι φωτεινότερον ἀπὸ τὸν ἥλιον; καὶ αὐτὸ χάνεται, ὅταν δύῃ»[9]. Μὴ σὲ ἐξαπατᾶ, λέγει, τὸ θέαμα, διότι ἐὰν θελήσῃ ὁ δημιουργὸς νὰ προστάξῃ, ἐξαφανίζεται ὡσὰν νὰ μὴ εἶχεν ὑπάρξει ποτέ. Αὐτὰ ἐὰν ἐγνώριζαν οἱ ἐθνικοί, δὲν θὰ ἐπλανῶντο τόσον πολύ, ἀλλὰ

γῆν τὸν οἰκεῖον κόσμον· ἵνα μηδενὶ ἐξῇ τῶν μετὰ ταῦτα λέγειν, ὅτι ἄνευ τῆς τούτου ἐνεργείας, οὐκ ἂν ἐτελεσφορήθη τὰ ἀπὸ τῆς γῆς. Διὰ τοῦτο δείκνυσί σοι πρὸ τῆς τούτου δημιουργίας ἅπαντα πεπληρωμένα, ἵνα μὴ τούτῳ ἐπιγράφῃς τῶν καρπῶν τὴν τελεσφόρησιν, ἀλλὰ τῷ τῶν ἁπάντων δημιουργῷ, τῷ ἐξ ἀρχῆς εἰπόντι· «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου». Εἰ δὲ λέγοιεν, ὅτι συντελεῖ τι καὶ τοῦ ἡλίου ἡ χρεία πρὸς τοὺς καρποὺς πεπαίνεσθαι, οὐδὲ ἐγὼ ἀντιλέγω. Ὥσπερ γὰρ καὶ τὸν γηπόνον λέγων συνεργεῖν πρὸς τὴν τῆς γῆς ἐργασίαν, οὐ τῷ γηπόνῳ τὸ πᾶν λογίζομαι, ἀλλὰ κἂν μυριάκις ὁ γηπόνος τὰ παρ' ἑαυτοῦ ἐπιδείξηται, εἰ μὴ ὁ τῷ οἰκείῳ προστάγματι ἐξ ἀρχῆς αὐτὴν διεγείρας πρὸς τὴν τῶν καρπῶν αὐτὴν γένεσιν κινῆσαι βουληθῇ, οὐδὲν ὄφελος τῶν πολλῶν καμάτων· τὸν αὐτὸν δὴ τρόπον φημί, ὅτι κἂν μετὰ τοῦ γηπόνου καὶ ἡ τοῦ ἡλίου συνέργεια συμβάληται, καὶ ἡ τῆς σελήνης, καὶ ἡ τῶν ἀέρων εὐκρασία, οὐδὲ οὕτως ἔσται τι πλέον, μὴ τῆς ἄνωθεν δεξιᾶς συνεφαπτομένης· ἐκείνης δὲ τῆς κραταιᾶς χειρὸς βουλομένης, καὶ ἡ παρὰ τῶν στοιχείων ἐνέργεια τὰ μέγιστα συμβαλεῖται. Ταῦτα μετὰ ἀκριβείας κατέχοντες ἐπιστομίζετε τοὺς ἔτι πλανᾶσθαι βουλομένους, καὶ μὴ συγχωρεῖτε τὸ τοῦ δημιουργοῦ σέβας τοῖς κτίσμασιν ἀπονέμειν. Διὰ τοῦτο καὶ ἡ θεία Γραφὴ οὐ μόνον τὸ κάλλος αὐτοῦ ἡμῖν δείκνυσι, καὶ τὸ μέγεθος, καὶ τὴν χρείαν, διὰ τοῦ εἰπεῖν, «Ὡς νυμφίος», καὶ «Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν», ἀλλὰ καὶ τὸ ἀσθενὲς καὶ οὐδαμινόν. Ἄκουσον γὰρ τί φησιν ἀλλαχοῦ· «Τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει». Μή σε ἀπατάτω, φησίν, ἡ θέα· ἐὰν γὰρ βουληθῇ ὁ δημιουργήσας προστάξαι, ὡς οὐδὲ γεγονὼς ἀφίσταται. Ταῦτα εἰ συνεῖδον Ἑλλήνων παῖδες, οὐκ ἂν τοσαύτην πλάνην ἐπλανήθησαν, ἀλλ' εἶδον ἂν καλῶς, ὅτι προσήκει

8. Γεν. 1, 11.
9. Σοφ. Σειρ. 17, 31.

ἐκ τῆς γῆς ὅλων τῶν φυτῶν, ἀφοῦ ἔλαβε ἡ γῆ τὸν ἰδικόν της διάκοσμον· διὰ νὰ μὴ ἠμπορέσῃ κανεὶς ὕστερα ἀπὸ αὐτὰ νὰ λέγῃ, ὅτι χωρὶς τὴν ἐνέργειαν τοῦ ἡλίου, δὲν θὰ ἔφεραν καρπὸν τὰ φυτὰ καὶ τὰ δένδρα τῆς γῆς. Δι᾽ αὐτὸ σοῦ φανερώνει ὅλα τέλεια πρὶν ἀπὸ τὴν δημιουργίαν αὐτοῦ, διὰ νὰ μὴ ἀποδίδῃς τὴν ὡριμότητα τῶν καρπῶν εἰς αὐτόν, ἀλλὰ εἰς τὸν δημιουργὸν τοῦ σύμπαντος, ὁ ὁποῖος ἀπὸ τὴν ἀρχὴν εἶπεν· «Ἂς βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν»[8]. Ἐὰν ὅμως θὰ ἔλεγαν, ὅτι συντελεῖ κάπως καὶ ἡ ὠφέλεια τοῦ ἡλίου διὰ νὰ ὡριμάζουν οἱ καρποί, οὔτε ἐγὼ ἀντιλέγω. Διότι ὅπως, ὅταν λέγω, ὅτι καὶ ὁ γεωργὸς βοηθεῖ εἰς τὴν καλλιέργειαν τῆς γῆς, δὲν λογαριάζω τὸ πᾶν εἰς τὸν γεωργόν, ἀλλὰ καὶ ἂν ἀκόμη ἐπιδείξῃ πολλὰς φορὰς ὁ γεωργὸς τὰς ἱκανότητάς του, ἐὰν δὲν θελήσῃ ἐκεῖνος, ποὺ ἀπὸ τὴν ἀρχὴν μὲ τὴν ἰδικήν του ἐντολὴν ἐδημιούργησεν αὐτήν, νὰ τὴν κινήσῃ πρὸς τὴν παραγωγὴν τῶν καρπῶν, δὲν προκύπτει κανένα κέρδος ἀπὸ τοὺς πολλοὺς μόχθους. Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον λέγω, ὅτι καὶ ἂν ἀκόμη μαζὶ μὲ τὸν γεωργὸν συμβάλῃ καὶ ἡ ἐπενέργεια τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ οἱ εὐνοϊκοὶ ἄνεμοι, οὔτε ἔτσι θὰ προκύψῃ μεγαλύτερον κέρδος, ἐὰν δὲν συντρέχῃ τὸ χέρι τοῦ Θεοῦ. Ὅταν δὲ ἐκεῖνο τὸ ἰσχυρὸν χέρι θέλῃ, καὶ ἡ ἐνέργεια τῶν στοιχείων θὰ βοηθήσῃ πάρα πολύ. Γνωρίζοντες μὲ ἀκρίβειαν αὐτά, ἀποστομώνετε ἐκείνους ποὺ θέλουν νὰ πλανῶνται (ἀκόμη, καὶ νὰ μὴ ἐπιτρέπετε τὸν σεβασμὸν τοῦ Θεοῦ νὰ τὸν ἀπονέμουν εἰς τὰ δημιουργήματα). Διὰ τοῦτο καὶ ἡ Ἁγία Γραφὴ μᾶς δεικνύει ὄχι μόνον τὸ κάλλος αὐτοῦ καὶ τὸ μέγεθος καὶ τὴν ὠφέλειαν, μὲ τὸ νὰ εἰπῇ, «Ὡς νυμφίος», καὶ «Ὡς ἰσχυρὸς ἄνδρας χαίρεται ποὺ τρέχει τὴν πορείαν του», ἀλλὰ καὶ τὴν ἀδυναμίαν καὶ τὴν μηδαμινότητα τοῦ ἡλίου· Διότι ἄκουσε τί λέγει ἀλλοῦ· «Ποῖον ἄλλο πρᾶγμα εἶναι φωτεινότερον ἀπὸ τὸν ἥλιον; καὶ αὐτὸ χάνεται, ὅταν δύῃ»[9]. Μὴ σὲ ἐξαπατᾷ, λέγει, τὸ θέαμα, διότι ἐὰν θελήσῃ ὁ δημιουργὸς νὰ προστάξῃ, ἐξαφανίζεται ὡσὰν νὰ μὴ εἶχεν ὑπάρξει ποτέ. Αὐτὰ ἐὰν ἐγνώριζαν οἱ ἐθνικοί, δὲν θὰ ἐπλανῶντο τόσον πολύ, ἀλλὰ

ἐκ τῆς τῶν δημιουργημάτων θεωρίας ἐπὶ τὸν δημιουργὸν ἀναδραμεῖν. Διὰ τοῦτο καὶ τῇ τετάρτῃ ἡμέρᾳ αὐτὸν ἐδημιούργησεν, ἵνα μὴ νομίσῃς τοῦτον συνιστᾶν τὴν ἡμέραν. Ὃ γὰρ ἐπὶ τῶν σπερμάτων εἴπομεν, τοῦτο καὶ ἐπὶ τῆς ἡμέρας ἐροῦμεν, ὅτι ἐγένοντο μὲν τρεῖς ἡμέραι πρὸ τῆς τούτου δημιουργίας. Ἐβουλήθη δὲ ὁ Δεσπότης καὶ διὰ τοῦ στοιχείου τούτου φαιδρότερον τὸ φῶς τῆς ἡμέρας ἐργάσασθαι· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐλάττονος φωστῆρος εἴποιμεν ἄν, τῆς σελήνης λέγω· ἐπὶ τοῦ ἐλάττονος φωστῆρος εἴποιμεν ἄν, τῆς σελήνης λέγω γεγόνασι γὰρ τρεῖς νύκτες πρὸ τῆς ταύτης δημιουργίας. Ἀλλ' ὅμως καὶ αὐτὴ παραχθεῖσα τὴν παρ' ἑαυτῆς εἰσφέρει χρείαν, διασκεδάζουσα τῆς νυκτὸς τὸ σκότος, καὶ σχεδὸν εἰπεῖν τὰ αὐτὰ τῷ ἡλίῳ συντελοῦσα πρὸς τὰ ἄλλα πάντα. Ὁ μὲν γὰρ ἀφώρισται «Εἰς ἀρχὰς τῆς ἡμέρας», ἡ δὲ «Εἰς ἀρχὰς τῆς νυκτός». Τί ἐστιν, «Εἰς ἀρχὰς τῆς ἡμέρας», καί, «Εἰς ἀρχὰς τῆς νυκτός»; Τὴν ἐξουσίαν, φησίν, ἔλαβεν ὁ μὲν τῆς ἡμέρας, ἡ δὲ τῆς νυκτός, ἵν' ὁ μὲν φαιδροτέραν αὐτὴν ἀπεργάζηται διὰ τῶν οἰκείων ἀκτίνων, ἡ δὲ διασκεδάζῃ τὸ σκότος, καὶ τῇ φύσει τῶν ἀνθρώπων διὰ τοῦ φωτὸς οἰκείου παρέχῃ μετ' εὐκολίας κεχρῆσθαι τοῖς οἰκείοις ἐπιτηδεύμασι. Τότε γὰρ καὶ ὁδοιπόρος θαρρῶν τῆς ὁδοιπορίας ἅπτεται, καὶ ναύτης καθέλκει τὸ πλοῖον, καὶ τὰ πελάγη διαπερᾷ, καὶ ἕκαστος δὲ τῶν τὰ ἐπιτηδεύματα μετιόντων, μετὰ πολλῆς τῆς ἀδείας τὰ τῆς οἰκείας ἐπιστήμης μεταχειρίζει. Εἶτα ἐπειδὴ ἐδίδαξεν ἡμᾶς τῶν φωστήρων τούτων τὴν χρείαν, φησί· «Καὶ τοὺς ἀστέρας· καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, καὶ διαχωρίζειν ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους».

6. Ἐννόει καὶ τούτων πόσην ἡμῖν τὴν χρείαν ἐδήλωσεν, «Ἔθετο», φησίν, «αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ». Τί ἐστιν, «Ἔθετο»; Ὡς ἂν εἴποι τις, ἔπηξεν; Μὴ γένοιτο· ὁρῶμεν γὰρ αὐτοὺς πολλάκις ἐν μιᾷ καιροῦ ῥοπῇ πολὺ διά-

θά ἔβλεπαν καλά, ὅτι πρέπει ἀπό τὴν παρατήρησιν τῶν δημιουργημάτων νά ἀνατρέχουν πρὸς τὸν δημιουργόν. Δι' αὐτὸ καὶ κατὰ τὴν τετάρτην ἡμέραν ἐδημιούργησε τὸν ἥλιον, διὰ νά μὴ θεωρήσης, ὅτι αὐτὸς συγκροτεῖ τὴν ἡμέραν. Ἐκεῖνο λοιπὸν ποὺ εἴπαμεν εἰς τὴν περίπτωσιν τῶν σπόρων, θὰ εἰποῦμεν καὶ εἰς τὴν περίπτωσιν τῆς ἡμέρας, ὅτι ἐπέρασαν μὲν τρεῖς ἡμέραι πρὶν ἀπὸ τὴν δημιουργίαν αὐτοῦ. Ἠθέλησε δὲ ὁ Κύριος νά κάμη λαμπρότερον τὸ φῶς τῆς ἡμέρας καὶ μέ τὸ στοιχεῖον αὐτό. Τὸ ἴδιον θὰ ἠμποροῦμεν νά εἰποῦμεν καὶ διὰ τὸν μικρότερον φωστῆρα, ἐννοῶ τὴν σελήνην, διότι ὑπῆρξαν τρεῖς νύκτες πρὶν ἀπὸ τὴν δημιουργίαν αὐτῆς. Ἀλλ' ὅμως καὶ αὐτή, ἀφ' ὅτου ἐδημιουργήθη, προσφέρει τὴν ἰδικήν της ὠφέλειαν, διαλύουσα τό σκοτάδι τῆς νύκτας καὶ σχεδὸν τὸ ἴδιον μὲ τὸν ἥλιον συντελοῦσα πρὸς ὅλα τὰ ἄλλα. Διότι ὁ μὲν ἥλιος ἔχει ὁρισθῆ «διὰ νὰ ἐξουσιάζῃ τὴν ἡμέραν», ἡ δὲ σελήνη «διὰ νά ἐξουσιάζῃ τὴν νύκτα». Τί σημαίνει, «Νά ἐξουσιάζῃ τὴν ἡμέραν», καί, «Νὰ ἐξουσιάζῃ τὴν νύκτα»; Τὴν ἐξουσίαν, λέγει, ἔλαβε ὁ μὲν τῆς ἡμέρας, ἡ δὲ τῆς νύκτας, ὥστε ὁ μὲν νά κάνῃ τὴν ἡμέραν λαμπροτέραν μὲ τὰς ἰδικάς του ἀκτῖνας, ἡ δὲ νὰ διαλύῃ τὸ σκοτάδι καὶ μὲ τὸ ἰδικόν της φῶς νὰ ἐπιτρέπῃ εἰς τούς ἀνθρώπους νά ἐκτελοῦν μὲ εὐκολίαν τὰς ἐργασίας των. Διότι τότε καὶ ὁ ὁδοιπόρος μὲ θάρρος ἀρχίζει τὴν πορείαν του, καὶ ὁ ναύτης καθέλκει τὸ πλοῖον καὶ διασχίζει τὰ πελάγη καὶ ὁ καθένας ἀπὸ τοὺς ἀσχολουμένους μὲ κάποιο ἐπάγγελμα, χωρὶς φόβον μεταχειρίζεται τὴν τέχνην του. Ἔπειτα ἀφοῦ μᾶς ἐδίδαξε τὴν ὠφέλειαν τῶν φωστήρων αὐτῶν λέγει· «Καὶ ἐδημιούργησεν καὶ τούς ἀστέρας. Ἔθεσε δέ αὐτούς ὁ Θεὸς εἰς τὸν οὐράνιον θόλον, διά νὰ φωτίζουν ἐπὶ τῆς γῆς καὶ διὰ νὰ εἶναι κυρίαρχοι τῆς ἡμέρας καὶ τῆς νύκτας καὶ διὰ νὰ διαχωρίζουν τὸ φῶς ἀπὸ τὸ σκοτάδι».

6. Σκέψου πόσην χρησιμότητα ἔχουν αὐτὰ ποὺ μᾶς ἐφανέρωσε. «Ἔθεσε, λέγει, αὐτοὺς εἰς τὸν οὐράνιον θόλον». Τί σημαίνει, «ἔθεσε»; Ὅπως ἂν θὰ ἔλεγε κανείς, ἐκάρφωσεν; Ὄχι, δὲν σημαίνει κάτι τέτοιο. Διότι βλέπο-

στημα διατρέχοντας, καὶ οὐδέποτε ἐν ἑνὶ τόπῳ ἱσταμένους, ἀλλὰ τὸν οἰκεῖον δρόμον ἀποπληροῦντας, ὃν τρέχειν ἐτάχθησαν παρὰ τοῦ Δεσπότου. Τί οὖν ἐστι τό, «Ἔθετο»; Ἀντὶ τοῦ, προσέταξεν αὐτοὺς εἶναι ἐν τῷ οὐρανῷ. Καὶ γάρ ἐστιν ἰδεῖν προϊοῦσαν τὴν Γραφήν, καὶ ἀλλαχοῦ λέγουσαν, ὅτι «Ἔθετο τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ», οὐκ ἐπειδὴ ἐνέπηξεν αὐτὸν τῷ παραδείσῳ, ἀλλ' ὅτι προσέταξεν αὐτὸν εἶναι ἐν τῷ παραδείσῳ. Τὸν αὐτὸν δὴ τρόπον καὶ περὶ τῶν ἀστέρων εἴποιμεν ἄν, ὅτι προσέταξεν αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὄντας, τὸ οἰκεῖον φῶς ἐκπέμπειν ἐπὶ τῆς γῆς. Ἐννόησον γάρ μοι, ἀγαπητέ, ποίων λειμώνων καὶ παραδείσων οὐκ ἂν εἴη τερπνότερον ἰδεῖν ἐν μέσῃ τῇ νυκτὶ τὸν οὐρανὸν κατηστερωμένον, καὶ καθάπερ τισὶν ἄνθεσι τῇ διαφορᾷ τῶν ἄστρων καλλωπιζόμενον, καὶ πολὺ τὸ φῶς εἰς τὴν γῆν αὐτοὺς καταπέμποντας; Εἰς τοῦτο γὰρ καὶ ἐτάχθησαν, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, ὃ καθολικῶς καὶ περὶ τῶν μεγάλων φωστήρων εἴρηται, Ἐπειδὴ γὰρ τῶν δύο φωστήρων ἡμᾶς ἐδίδαξε τὴν δημιουργίαν, καὶ τῶν ἄστρων, περὶ πάντων κοινῇ λέγων φησί· «Καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, καὶ διαχωρίζειν ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους». Ὥσπερ γὰρ οὐκ ἔστιν ἐν ἡμέρᾳ ἰδεῖν ἀστέρας ἐν τῷ οὐρανῷ διατρέχοντας (τὸ γὰρ τοῦ ἡλίου φῶς τῇ πολλῇ φαιδρότητι ἀποκρύπτει ἐκείνων τὴν χρείαν), οὕτως οὐδὲ ἥλιος ἐν νυκτὶ ἂν φανείη ποτέ, ἀρκούσης τῆς σελήνης ἐπὶ τῷ οἰκείῳ φωτὶ καταυγάσαι τῆς νυκτὸς τὸ ζοφῶδες· ἀλλ' ἕκαστον τῶν στοιχείων τοῖς οἰκείοις ὅροις ἐμμένον οὐδέποτε ὑπερβαίνει τὸ οἰκεῖον μέτρον, ἀλλὰ τὴν διάταξιν τοῦ Δεσπότου φυλάττον, τὴν οἰκείαν ἐνέργειαν πληροῖ. Τίς ἂν εἴποι τὰ ἄλλα πάντα, ὅσα συντελεῖ πρὸς τὴν τῶν ἀνθρώπων φύσιν ἢ τῶν

10. Γεν. 2, 8.

μεν αὐτοὺς πολλὰς φορὰς νὰ διατρέχουν εἰς μίαν χρονικὴν στιγμὴν πολὺ διάστημα καὶ ποτὲ νὰ μὴ στέκωνται εἰς μίαν θέσιν, ἀλλὰ νὰ ἐκτελοῦν τὴν καθωρισμένην πορείαν, τὴν ὁποίαν ὥρισεν εἰς αὐτοὺς νὰ τρέχουν ὁ δημιουργός. Τί λοιπὸν σημαίνει τό, «ἔθεσε»; Ἀντὶ τοῦ, ἐπρόσταξεν αὐτοὺς νὰ εἶναι εἰς τὸν οὐρανόν. Καὶ πράγματι εἶναι δυνατὸν νὰ ἰδοῦμεν, καθὼς συνεχίζει ἡ Γραφή, καὶ ἀλλοῦ νὰ λέγη, ὅτι «Ἔθεσε τὸν Ἀδὰμ μέσα εἰς τὸν παράδεισον»[10], ὄχι ἐπειδὴ ἐκάρφωσεν αὐτὸν εἰς τὸν παράδεισον, ἀλλὰ διότι ἐπρόσταξεν αὐτὸν νὰ εὑρίσκεται μέσα εἰς τὸν παράδεισον. Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ διὰ τὰ ἀστέρια θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ὅτι ἐπρόσταξεν αὐτά, τὰ ὁποῖα εὑρίσκονται εἰς τὸν οὐράνιον θόλον, νὰ ἐκπέμπουν τὸ φῶς των εἰς τὴν γῆν. Διότι σκέψου, ἀγαπητέ, δὲν θὰ ἦτο περισσότερον εὐχάριστον ἀπὸ ὅλα τὰ λειβάδια καὶ τοὺς παραδείσους νὰ ἰδῃς κατὰ τὴν διάρκειαν τῆς νύκτας τὸν οὐρανὸν νὰ εἶναι γεμᾶτος ἀπὸ ἄστρα καὶ στολισμένος μὲ τὴν ποικιλίαν αὐτῶν ὡσὰν μὲ ἄνθη, καὶ νὰ ἐκπέμπουν αὐτὰ πολὺ φῶς εἰς τὴν γῆν; Ἐξ ἄλλου καὶ δι' αὐτὸ ὡρίσθησαν, διὰ νὰ ρίπτουν φῶς ἐπὶ τῆς γῆς καὶ νὰ ἐξουσιάζουν τὴν ἡμέραν καὶ τὴν νύκτα, πρᾶγμα ποὺ γενικῶς ἔχει λεχθῆ καὶ διὰ τοὺς μεγάλους φωστῆρας. Ἀφοῦ λοιπὸν μᾶς ἐδίδαξε τὴν δημιουργίαν τῶν δύο φωστήρων καὶ τῶν ἄστρων, ὁμιλῶν δι' ὅλα γενικῶς λέγει· «Καὶ νὰ εἶναι κυρίαρχοι τῆς ἡμέρας καὶ τῆς νύκτας, καὶ νὰ διαχωρίζουν τὸ φῶς ἀπὸ τὸ σκοτάδι». Διότι ὅπως δὲν εἶναι δυνατὸν κατὰ τὴν διάρκειαν τῆς ἡμέρας νὰ ἰδοῦμεν τὰ ἀστέρια νὰ διατρέχουν εἰς τὸν οὐρανὸν (διότι τὸ φῶς τοῦ ἡλίου μὲ τὴν πολλήν του λαμπρότητα ἀποκρύπτει τὴν λάμψιν ἐκείνων), ἔτσι οὔτε θὰ φανῇ ποτὲ ὁ ἥλιος κατὰ τὴν νύκτα, ἐπειδὴ εἶναι ἀρκετὴ ἡ σελήνη μὲ τὸ ἰδικόν της φῶς νὰ φωτίζῃ τὸ σκοτάδι τῆς νύκτας. Ἀλλὰ κάθε στοιχεῖον, παραμένον εἰς τὰ ὅριά του, ποτὲ δὲν ὑπερβαίνει τὸ ἰδικόν του μέτρον, ἀλλὰ διαφυλάσσον τὴν τάξιν τοῦ Κυρίου, ἐκπληρώνει τὴν ἀποστολήν του. Ποῖος θὰ ἠμποροῦσε νὰ εἰπῇ ὅλα τὰ ἄλλα, τὰ ὁποῖα παρέχει πρὸς τὸ ἀνθρώπινον γένος ἡ χρησιμότης τῶν φωστή-

φωστήρων τούτων καὶ τῶν ἀστέρων χρεία; «Ἔστωσαν γάρ», φησίν, «εἰς σημεῖα, καὶ εἰς καιρούς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς». Τί ἐστιν, «Εἰς σημεῖα, καὶ εἰς καιρούς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς»; Διδάξαι ἡμᾶς βούλεται ἡ θεία Γραφή, ὅτι ὁ τούτων δρόμος τὴν γνῶσιν ἡμῖν χαρίζεται τῶν καιρῶν, καὶ τῆς τῶν τροπῶν ἐναλλαγῆς, τῶν ἡμερῶν τὸν ἀριθμόν, τοῦ ἐνιαυτοῦ τὸν δρόμον, καὶ ἐκ τούτων δυνάμεθα διαγινώσκειν ἅπαντα. Καὶ γὰρ ὁ κυβερνήτης πρὸς τὸν τούτων δρόμον ὁρῶν, καὶ ἀτενίζων εἰς τὸν οὐρανόν, καὶ μετὰ ἀκριβείας ἅπαντα καταμανθάνων, τότε τῆς ναυτιλίας ἅπτεται, καὶ πελάγη διαπερᾷ, καὶ πολλάκις ζοφερωτάτης οὔσης τῆς νυκτός, ἀπὸ τῆς τῶν ἄστρων θεωρίας ἠδυνήθη τὸ σκάφος ἰθῦναι, καὶ διὰ τῆς οἰκείας τέχνης τὴν σωτηρίαν τοῖς ἐμπλέουσι χαρίσασθαι. Καὶ ὁ γηπόνος δὲ ἐντεῦθεν καταμαθὼν οἶδε, πότε μὲν προσήκει τὰ σπέρματα καταβαλεῖν, πότε δὲ τὴν γῆν ἀναμοχλεῦσαι, καὶ ἄροτρον ἑλκύσαι, καὶ πότε τὴν δρεπάνην ἀκονῆσαι, καὶ τὸν ἄμητον τῶν σπερμάτων ἐργάσασθαι. Καὶ εἰς τὴν τοῦ βίου σύστασιν οὐκ ὀλίγα ἡμῖν συμβάλλεται ἡ τῶν χρόνων εἴδησις, ὁ τῶν ἡμερῶν ἀριθμός, ὁ τοῦ ἐνιαυτοῦ κύκλος· καὶ πολλὰ ἄν τις εὕροι πρὸς τὴν ἀνθρωπίνην σύστασιν ὑπὸ τούτων τῶν δημιουργημάτων συντελούμενα, ἅπερ οὐκ ἂν δυνηθείη τις μετὰ ἀκριβείας ἅπαντα εἰπεῖν· διὸ χρὴ ἐκ τῶν ὀλίγων στοχασαμένους εἰδέναι, ὅση τούτων ἐστὶν ἡ χρεία, καὶ θαυμάσαντας τὰ δημιουργήματα, προσκυνεῖν τὸν τούτων δημιουργόν, καὶ ἀνυμνεῖν καὶ ἐκπλήττεσθαι τὴν ἄφατον φιλανθρωπίαν, ἣν περὶ τὴν τῶν ἀνθρώπων φύσιν ἐπεδείξατο, δι' οὐδὲν ἕτερον ταῦτα ἅπαντα παραγαγών, ἀλλ' ἢ διὰ τὸν ἄνθρωπον, ὃν μέλλει μετ' οὐ πολύ, καθάπερ τινὰ βασιλέα καὶ ἄρχοντα, ἐφιστᾶν πᾶσι τοῖς ὑπ' αὐτοῦ δημιουργηθεῖσι. «Καὶ εἶδεν ὁ Θεός», φησίν, «ὅτι καλόν». Εἶδες πῶς καθ' ἑκάστην ἡμέραν δείκνυσιν ἡ θεία Γραφὴ ἀρεσκόμενον αὐτὸν τοῖς δημιουργήμασιν, ἵνα πᾶσαν ἐκκόψῃ ἀφορμὴν τῶν ἐπισκήπτειν τολμώντων τοῖς ὑπ' αὐτοῦ γεγενημένοις; Ὅτι γὰρ τούτου ἕνεκεν καθ' ἕκαστον

ρων αὐτῶν καὶ τῶν ἄστρων; «Ἂς εἶναι, λέγει, ὡς σημεῖα, ὡς καθωρισμένοι καιροί, ὡς ἡμέραι καὶ ὡς ἔτη». Τί σημαίνει, «Ὡς σημεῖα, ὡς καθωρισμένοι καιροί, ὡς ἡμέραι καὶ ὡς ἔτη»; [Θέλει νὰ μᾶς διδάξῃ ἡ Ἁγία Γραφή, ὅτι ἡ πορεία αὐτῶν μᾶς χαρίζει τὴν ἐπίγνωσιν τῶν καιρῶν, καὶ τῆς ἐναλλαγῆς τῶν ἐποχῶν, τῶν ἡμερῶν τὸν ἀριθμόν, τοῦ ἔτους τὴν πορείαν, καὶ ἀπ' αὐτὰ ἠμποροῦμεν νὰ διακρίνωμεν μὲ ἀκρίβειαν τὰ πάντα.] Διότι καὶ ὁ κυβερνήτης πλοίου παρακολουθῶν τὴν πορείαν αὐτῶν καὶ ἀτενίζων εἰς τὸν οὐρανὸν καὶ γνωρίζων ὅλα μὲ ἀκρίβειαν, τότε ἀρχίζει τὸν πλοῦν καὶ διασχίζει τὰ πελάγη, καὶ ὅταν πολλάκις ἡ νύκτα ἦτο ὑπερβολικὰ σκοτεινή, ἠμπόρεσεν ἀπὸ τὴν παρατήρησιν τῶν ἄστρων νὰ κατευθύνῃ τὸ σκάφος καὶ νὰ χαρίσῃ μὲ τὴν ἰδικήν του τέχνην τὴν σωτηρίαν εἰς τοὺς ταξιδεύοντας μὲ τὸ πλοῖον. Καὶ ὁ γεωργὸς δὲ ἀφοῦ ἔμαθεν, ἀπὸ ἐδῶ γνωρίζει, πότε μὲν πρέπει νὰ σπείρῃ τὸν σπόρον, πότε δὲ νὰ σκαλίσῃ καὶ νὰ ὀργώσῃ τὴν γῆν, καὶ πότε νὰ ἀκονίσῃ τὰ δρεπάνια καὶ πότε νὰ θερίσῃ τοὺς καρπούς. Καὶ εἰς τὴν συγκρότησιν τῆς ζωῆς μᾶς προσφέρει πολλὰ ἡ γνῶσις τῶν ἐποχῶν, ὁ ἀριθμὸς τῶν ἡμερῶν, ὁ ἐτήσιος κύκλος. Καὶ θὰ ἠμποροῦσε νὰ εὕρῃ κανεὶς πολλά, ποὺ προσφέρουν τὰ δημιουργήματα αὐτὰ πρὸς τοὺς ἀνθρώπους, τὰ ὁποῖα δὲν θὰ ἠμπορέσῃ μὲ ἀκρίβειαν νὰ ἀναφέρῃ ὅλα. Διὰ τοῦτο πρέπει, ἀφοῦ κρίνωμεν ἀπὸ τὰ ὀλίγα, νὰ γνωρίζωμεν, πόση εἶναι ἡ ὠφέλεια αὐτῶν, καὶ ἀφοῦ θαυμάσωμεν τὰ δημιουργήματα, νὰ προσκυνοῦμεν τὸν δημιουργὸν αὐτῶν καὶ νὰ ἐξυμνοῦμεν αὐτόν, καὶ νὰ ἐκπλησσώμεθα ἀπὸ τὴν ἄπειρον φιλανθρωπίαν, τὴν ὁποίαν ἐπέδειξε διὰ τὸ ἀνθρώπινον γένος, ἀφοῦ ἐδημιούργησεν ὅλα αὐτὰ διά τίποτε ἄλλο, παρὰ διὰ τὸν ἄνθρωπον, τὸν ὁποῖον πρόκειται ὕστερα ἀπὸ ὀλίγον, ὡσὰν κάποιον βασιλέα καὶ ἄρχοντα νὰ τοποθετήσῃ ἐπάνω εἰς ὅλα τὰ δημιουργήματά του. «Καὶ εἶδεν ὁ Θεός, λέγει, ὅτι ἦτο καλὸν αὐτό». Εἶδες πῶς κάθε ἡμέραν παρουσιάζει ἡ Ἁγία Γραφὴ τὸν Θεὸν νὰ εὐχαριστῆται μὲ τὰ δημιουργήματά του, διὰ νὰ ἀποκλείσῃ κάθε ἀφορμὴν ἐκείνων, ποὺ τολμοῦν νὰ κατακρίνουν τὰ δημιουργήματα; Ὅτι

τοῦτο ἐπισημαίνεται ἡ θεία Γραφή, ἐκ τῆς συνεχείας δῆλον καθέστηκεν. Ἤρκει γὰρ μετὰ πάντα τὰ δημιουργήματα ἅπαξ εἰπεῖν, ὅτι πάντα ὅσα ἐποίησε, καλὰ λίαν· ἀλλ' εἰδυῖα τῆς ἀσθενείας τῶν ἡμετέρων λογισμῶν τὴν ὑπερβολήν, καὶ κατὰ μέρος τοῦτο ποιεῖ, διδάσκουσα ἡμᾶς, ὅτι σοφίᾳ τινὶ εὐμηχάνῳ, καὶ φιλανθρωπίᾳ ἀφάτῳ ἅπαντα παρήχθη. «Καὶ ἐγένετο», φησίν, «ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη». Ἐπειδὴ γὰρ ἀπήρτισε τὸν τοῦ οὐρανοῦ κόσμον, καλλωπίσας αὐτὸν τοῖς ἄστροις, καὶ τοὺς δύο φωστῆρας τοὺς μεγάλους παραγαγών, τέλος τῇ ἡμέρᾳ ἐπέθηκε· καί φησιν, «Ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη». Σκόπει πῶς καθ' ἑκάστην ἡμέραν οὕτω λέγει, τῇ πυκνότητι τῆς διδασκαλίας ἐμπῆξαι τῇ διανοίᾳ βουλόμενος τὰ θεῖα δόγματα,

7. Ταῦτα τοίνυν ἅπαντα κατέχοντες ἐγκεκολαμμένα ἡμῶν τῷ πλάτει τῆς καρδίας, πᾶσαν ῥᾳθυμίαν ἀποτιναξάμενοι, τά τε δόγματα κατέχωμεν τὰ ὑγιῆ μετὰ ἀκριβείας, καὶ τοὺς τῇ Ἑλληνικῇ πλάνῃ προκατειλημμένους μετὰ πάσης ἐπιεικείας διδάσκωμεν μὴ συγχέειν τὴν τάξιν, μηδὲ καταλιπόντας τὸν δημιουργὸν τὰ δημιουργήματα προσκυνεῖν, τὰ διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ χρείαν γεγενημένα. Κἂν γὰρ μυριάκις ἀποπνίγωνται Ἕλληνες, λαμπρᾷ τῇ φωνῇ βοῶ, ὅτι διὰ τὴν τῶν ἀνθρώπων φύσιν ταῦτα ἅπαντα ἐδημιουργήθη, ἐπεὶ ἀνενδεὴς ὢν ὁ δημιουργὸς οὐδενὸς τούτων ἐδεῖτο· ἀλλ' ἵνα τὴν περὶ ἡμᾶς φιλανθρωπίαν ἐπιδείξηται, ταῦτα ἅπαντα παρήγαγε, δεικνὺς ὅσου τιμᾶται τὸ τῶν ἀνθρώπων γένος, καὶ ἵνα ἐκ τούτων ὁδηγούμενοι τὴν προσήκουσαν αὐτῷ προσκύνησιν ἀναφέρωμεν. Πόσης γὰρ οὐκ ἂν εἴη παρανομίας προσπταίειν τῷ κάλλει τῶν γινομένων, καὶ τούτοις παρακαθῆσαι, καὶ μὴ ἀνατείνειν τὸ ὄμμα τῆς διανοίας πρὸς τὸν παραγαγόντα, καὶ πείθεσθαι τῷ μακαρίῳ Παύλῳ λέγοντι· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται»; Τί λέγεις, ἄνθρωπε; Ἰδὼν τὸν οὐρανὸν θαυμάζεις αὐτοῦ τὸ κάλλος, τῶν ἀστέρων τὴν ποικι-

11. Ρωμ. 1, 20.

λοιπὸν διὰ τὸν λόγον αὐτὸν ἐπισημαίνει ἡ Ἁγία Γραφὴ χωριστὰ κάθε ἕνα δημιούργημα, γίνεται φανερὸν ἀπὸ τὴν ἐπανάληψιν. Διότι ἦτο ἀρκετὸν ὕστερα ἀπὸ ὅλα τὰ δημιουργήματα νὰ εἴπῃ μίαν μόνον φοράν, ὅτι ὅλα ὅσα ἐδημιούργησεν, ἦσαν πολὺ καλά. Ἐπειδὴ ὅμως ἐγνώριζε τὴν ὑπερβολικὴν ἀδυναμίαν τῶν ἰδικῶν μας σκέψεων, κάμνει αὐτὸ καὶ ξεχωριστά, διδάσκουσα ἡμᾶς, ὅτι ὅλα ἐδημιουργήθησαν ἀπὸ κάποιαν ἐπινοητικὴν σοφίαν καὶ ἄπειρον φιλανθρωπίαν. «Καὶ ἔγινε, λέγει, βράδυ, καὶ ἔγινε πρωΐ, ἡμέρα τετάρτη». Παρατήρησε πῶς κάθε ἡμέραν ἔτσι λέγει, ἐπειδὴ θέλει μὲ τὴν συχνὴν διδασκαλίαν νὰ βάλῃ τὰς θείας ἀληθείας μέσα εἰς τὴν διάνοιάν μας.

7. Ἔχοντες λοιπὸν ὅλα αὐτὰ χαραγμένα εἰς τὸ βάθος τῆς καρδίας μας, ἀφοῦ ἀπομακρύνωμεν κάθε ἀδιαφορίαν, ἄς κατέχωμεν μὲ ἀκρίβειαν τὴν ὀρθὴν διδασκαλίαν καὶ ἄς διδάσκωμεν τοὺς προκατειλημμένους εἰς τὴν πλάνην τῶν ἐθνικῶν μὲ κάθε ἐπιείκειαν νά μὴ συγχέουν τὴν τάξιν τῆς δημιουργίας, οὔτε ἐγκαταλείψαντες τόν δημιουργὸν νὰ προσκυνοῦν τὰ δημιουργήματα, τά ὁποῖα ἐδημιουργήθησαν διά τὴν ἰδικήν μας σωτηρίαν καὶ ἀνάγκην. Καὶ ἄν ἀκόμη μυρίας φορὰς ὀργίζωνται οἱ ἐθνικοί, μὲ καθαρὰν φωνὴν κραυγάζω, ὅτι ὅλα αὐτὰ ἐδημιουργήθησαν διὰ τὸ ἀνθρώπινον γένος, ἐπειδὴ ὁ δημιουργός, ἀνενδεὴς ὤν, δὲν εἶχε τὴν ἀνάγκην κανενὸς ἀπὸ αὐτά· ἀλλὰ διὰ νὰ μᾶς φανερώσῃ τὴν ἀγάπην του πρὸς ἡμᾶς, ἐδημιούργησε ὅλα αὐτά, ἀποδεικνύων πόσον τιμᾷ τὸ ἀνθρώπινον γένος, καὶ διὰ νὰ προσφέρωμεν εἰς αὐτὸν τὴν ἁρμόζουσαν προσκύνησιν, ὁδηγούμενοι ἀπὸ τὰ δημιουργήματα. Πόσον λοιπὸν ἀνόητον δὲν θὰ ἦτο νὰ προσκρούῃ κανεὶς εἰς τὴν ὀμορφιάν τῶν δημιουργημάτων, καὶ νὰ κάθεται πλησίον αὐτῶν, καὶ νὰ μὴ ὑψώνῃ τὸ βλέμμα τῆς διανοίας πρὸς τὸν δημιουργὸν καὶ νὰ πείθεται εἰς τὸν μακάριον Παῦλον, ποὺ λέγει· «Διότι αἱ μὴ βλεπόμεναι ἰδιότητες τοῦ Θεοῦ, ἀφ' ὅτου ἐκτίσθη ὁ κόσμος, βλέπονται καθαρὰ διὰ μέσου τῶν δημιουργημάτων»[11]; Τί λέγεις, ἄνθρωπε; Ἀφοῦ εἶδες τὸν οὐρανόν, θαυμάζεις τὴν ὀμορφιάν του, τὴν ποικιλίαν τῶν ἄστρων,

λίαν, τῆς φαιδρότητος τὴν ὑπερβολήν; Μὴ στῇς μέχρι τούτου, ἀλλ' ἔκτεινόν σου τὴν διάνοιαν εἰς τὸν τούτων δημιουργόν· ἐκπλήττει σε πάλιν τοῦ ἡλίου τὸ φῶς, καὶ ὁρῶν αὐτοῦ πολλὴν οὖσαν τὴν χρείαν εἰς θαῦμα διεγείρῃ, καὶ ἐπειδὰν ἴδῃς τὰς ἀκτῖνας αὐτοῦ καταυγαζούσας σου τὰς ὄψεις, θαυμάζεις τοῦ στοιχείου τὸ κάλλος; Ἀλλὰ μηδὲ ἐνταῦθα μέχρι τούτου στῇς· ἀλλ' ἐννόησον, ὅτι εἰς τὸ δημιούργημα οὕτω θαυμαστὸν καὶ παράδοξον, καὶ πάντα ἀνθρώπινον νοῦν ὑπερβαῖνον ποταπὸς ἂν εἴη ὁ τοῦτο λόγῳ μόνῳ καὶ ἐπιτάγματι παραγαγών; Τὸ αὐτὸ καὶ ἐπὶ τῆς γῆς λογίζου· ἐπειδὰν ἴδῃς αὐτὴν τοῖς ἄνθεσι καλλωπιζομένην, καθάπερ ἱμάτιον ποικίλον, ἐφηπλωμένην αὐτῇ πανταχόθεν τὴν βλάστην τὴν ἀπὸ τῶν βοτανῶν, μὴ τῇ δυνάμει τῆς γῆς λογίσῃ τὰ ἐξ αὐτῆς τικτόμενα, μηδὲ τῇ τοῦ ἡλίου συνεργείᾳ, ἢ τῆς σελήνης· ἀλλ' ἐννόησον εὐγνωμόνως, ὅτι καὶ πρὸ τῆς τούτων δημιουργίας εἶπε μόνον, «Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου», καὶ παραχρῆμα ἅπαν τῆς γῆς τὸ πρόσωπον ἐφαιδρύνετο. Ἐὰν ταῦτα καθ' ἑκάστην ἡμέραν στρέφωμεν ἐν τοῖς ἡμετέροις λογισμοῖς, αὐτοί τε εὐγνώμονες ἐσόμεθα, καὶ τῷ Δεσπότῃ τὴν προσήκουσαν, μᾶλλον δὲ τὴν κατὰ δύναμιν τὴν ἡμετέραν δοξολογίαν ἀναπέμψομεν. Δοξάσομεν δὲ αὐτὸν οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τῆς ἀρίστης πολιτείας, ἐὰν μὴ πάλιν τοῖς αὐτοῖς περιπέσωμεν, ἀλλὰ ἐὰν πολλὰ χαίρειν εἰπόντες ταῖς διαβολικαῖς ἀπάταις, τῇ μετὰ ταῦτα προσοχῇ, καὶ τῇ πολλῇ σπουδῇ, καὶ τῇ συντόνῳ ἐξομολογήσει τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα. Ἀρκεῖ γὰρ αὐτῷ διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν τὸ ἀποστῆναι μόνον ἡμᾶς τῆς κακίας. Ἂν γὰρ τοῦτο ἑλώμεθα, εὐκόλως καὶ πρὸς τὴν τῶν ἀγαθῶν ἔργων πρᾶξιν ὁρμήσομεν. Μή μοι λοιπὸν ἐν ἱπποδρομίαις τις φαινέσθω, παρακαλῶ, ἀλλὰ μηδὲ ἐν τοῖς συλλόγοις τοῖς ἀκαίροις καταδαπανάτω τὸν καιρὸν τῆς ἡμέρας· μή μοι κύ-

12. Γεν. 1, 11.

τὴν ὑπερβολικὴν λαμπρότητα; Νὰ μὴ σταματήσης μέχρι τὸ σημεῖον αὐτό, ἀλλὰ νὰ ἐπεκτείνης τὴν διάνοιάν σου εἰς τὸν δημιουργὸν αὐτῶν. Σὲ προξενεῖ κατάπληξιν πάλιν τὸ φῶς τοῦ ἡλίου, καὶ καθὼς βλέπης νὰ εἶναι μεγάλη ἡ ὠφέλεια αὐτοῦ διεγείρεσαι πρὸς θαυμασμόν, καὶ ὅταν ἰδῇς τὰς ἀκτῖνας του νὰ φωτίζουν τὸ πρόσωπόν σου, θαυμάζεις τὸ κάλλος τοῦ στοιχείου; Ὅμως οὔτε εἰς τὴν περίπτωσιν αὐτὴν νὰ σταματήσης μέχρις αὐτὸ τὸ σημεῖον· ἀλλὰ σκέψου, ὅτι ἐὰν τὸ δημιούργημα εἶναι τόσον θαυμαστὸν καὶ παράδοξον καὶ ὑπερβαίνει κάθε ἀνθρώπινον νοῦν, ὁ ὁποῖος θὰ εἶναι ἐκεῖνος, ποὺ ἐδημιούργησεν αὐτὸ μόνον μὲ τὸν λόγον καὶ τὴν ἐντολήν του; Τὸ ἴδιον νὰ σκέπτεσαι καὶ διὰ τὴν γῆν· ὅταν ἰδῇς αὐτὴν νὰ στολίζεται μὲ τὰ ἄνθη, ὡσὰν κεντημένον ἱμάτιον, νὰ ἁπλώνεται παντοῦ εἰς αὐτὴν ἡ βλάστησις τῶν φυτῶν, νὰ μὴ ἀποδίδης εἰς τὴν δύναμιν τῆς γῆς τὰ γεννώμενα ἀπὸ αὐτήν, οὔτε εἰς τὴν σύμπραξιν τοῦ ἡλίου ἢ τῆς σελήνης· ἀλλὰ νὰ ἐνθυμῆσαι μὲ εὐγνωμοσύνην, ὅτι καὶ πρὶν ἀπὸ τὴν δημιουργίαν αὐτῶν εἶπε μόνον, «Ἂς βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν»[12], καὶ ἀμέσως ὅλη ἡ ἐπιφάνεια τῆς γῆς ἔγινε φαιδρά. Ἐὰν συλλογιζώμεθα καθημερινῶς αὐτά, καὶ ἡμεῖς οἱ ἴδιοι θὰ εἴμεθα εὐγνώμονες καὶ εἰς τὸν Κύριον θὰ ἀναπέμψωμεν τὴν ἁρμόζουσαν ἢ καλύτερα τὴν δοξολογίαν, ποὺ εἶναι σύμφωνος πρὸς τὴν ἰδικήν μας δύναμιν. Θὰ δοξάσωμεν δὲ αὐτὸν ὄχι μόνον δι' αὐτό, ἀλλὰ καὶ μὲ τὴν ἀρίστην συμπεριφοράν μας, ἐὰν δὲν ὑποπέσωμεν πάλιν εἰς τὰ ἴδια σφάλματα, ἀλλὰ ἐάν, ἀφοῦ εἴπουμεν πολλὰ χαίρετε εἰς τὰς πανουργίας τοῦ διαβόλου, μὲ τὴν προσοχήν μας ὕστερα ἀπὸ αὐτὰ καὶ τὴν μεγάλην φροντίδα καὶ τὴν συνεχῆ ἐξομολόγησιν ἀποσπάσωμεν τὴν εὔνοιαν τοῦ Θεοῦ. Διότι εἶναι ἀρκετὸν εἰς αὐτόν, ἐξ αἰτίας τῆς μεγάλης φιλανθρωπίας του, τὸ νὰ ἀπομακρυνθοῦμεν ἀπὸ τὴν κακίαν. Ἂν λοιπὸν προτιμήσωμεν αὐτό, θὰ σπεύσωμεν εὔκολα καὶ εἰς τὴν ἐκτέλεσιν τῶν ἀγαθῶν ἔργων. Νὰ μὴ ἐμφανίζεται λοιπὸν κανείς, παρακαλῶ, εἰς τὰς ἱπποδρομίας, οὔτε νὰ ἐξοδεύῃ τὰς ὥρας τῆς ἡμέρας εἰς ἀκαταλλήλους συγκεντρώσεις· νὰ μὴ ἐπιδίδεται κανείς, παρα-

βοις, καὶ τῇ ἐντεῦθεν τικτομένῃ κραυγῇ, καὶ τῇ λοιπῇ λύμῃ ἑαυτόν τις ἐκδιδότω. Τί γὰρ ὄφελος, εἰπέ μοι, τῆς νηστείας, ὅταν ἄσιτος μὲν διημερεύῃς, κύβοις δὲ ἑαυτὸν ἐκδιδῷς, καὶ φλυαρίαις ἀνοήτοις, πολλάκις δὲ καὶ ἐπιορκίαις καὶ βλασφημίαις πᾶσαν ἀναλώσῃς τὴν ἡμέραν; Μή, παρακαλῶ, μὴ οὕτω ῥαθύμως περὶ τὴν ἑαυτῶν σωτηρίαν διατεθῶμεν, ἀλλὰ μᾶλλον περὶ τῶν πνευματικῶν ἡμῖν ἔστω διηνεκῶς ἡ διάλεξις, καὶ βιβλίον τις θεῖον λαβὼν μετὰ χεῖρας, καὶ συγκαλέσας τοὺς πλησίον, διὰ τῶν θείων λόγων ἀρδέτω καὶ τὴν ἑαυτοῦ διάνοιαν καὶ τῶν συγγινομένων, ἵν' οὕτω καὶ τὰς μηχανὰς τοῦ πονηροῦ διαφυγεῖν δυνηθῶμεν, καὶ μεγάλα ἀπὸ τῆς νηστείας καρπώσασθαι ἀγαθά, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καλῶ, εἰς τοὺς κύβους καὶ εἰς τὴν προερχομένην ἀπὸ ἐκεῖ κραυγὴν καὶ εἰς τὴν ὑπόλοιπον αἰσχρολογίαν. Διότι, εἰπέ μου, ποῖον τὸ κέρδος τῆς νηστείας, ὅταν περνᾷς μὲν τὴν ἡμέραν νηστικός, ἐπιδίδεσαι ὅμως εἰς τοὺς κύβους καὶ εἰς ἀνωφελεῖς φλυαρίας, πολλάκις δὲ καὶ ὅταν εἰς ἐπιορκίας καὶ βλασφημίας ἐξοδεύσῃς ὅλην τὴν ἡμέραν; Ἂς μή, παρακαλῶ, ἂς μὴ συμπεριφερώμεθα τόσον ἀδιάφορα διὰ τὴν σωτηρίαν μας, ἀλλὰ μᾶλλον ἂς γίνεται ἡ συζήτησις διαρκῶς διὰ τὰ πνευματικά μας ζητήματα· καὶ ἀφοῦ λάβῃ κανεὶς εἰς τὰ χέρια του τὴν Ἁγίαν Γραφὴν καὶ προσκαλέσῃ τοὺς πλησίον του, ἂς ποτίζῃ μὲ τὰ θεῖα λόγια καὶ τὴν ἰδικήν του διάνοιαν καὶ αὐτῶν ποὺ συναναστρέφεται, διὰ νὰ ἠμπορέσωμεν ἔτσι καὶ τὰς πονηρίας τοῦ διαβόλου νὰ ἀποφύγωμεν καὶ νὰ κερδίσωμεν ἀπὸ τὴν νηστείαν τὰ μεγάλα ἀγαθὰ καὶ νὰ ἀπολαύσωμεν τὴν ἀγάπην τοῦ Θεοῦ, μὲ τὴν χάριν καὶ τὴν εὐσπλαγχνίαν τοῦ μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ζ΄
(Γεν. 1, 20 - 24)

«Καὶ εἶπεν ὁ Θεὸς ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν».

Ἱκανῶς χθὲς καθηψάμεθα τῶν εἰς τὰς ἱπποδρομίας αὐτομολησάντων, δείξαντες αὐτοῖς τῆς βλάβης τὸ μέγεθος, ἧς ὑπέστησαν, τὸν συλλεγέντα ἀπὸ τῆς νηστείας αὐτοῖς πλοῦτον πνευματικὸν ἀθρόον ἐκχέαντες, καὶ ἀπὸ τῆς πολλῆς περιουσίας ἐξαίφνης εἰς ἐσχάτην πενίαν ἑαυτοὺς καταστήσαντες. Φέρε δὴ σήμερον προσηνεστέρῳ χρησώμεθα τῷ φαρμάκῳ, καὶ καθάπερ μέλη ἡμέτερα, οὕτως αὐτῶν τὰ τῆς ψυχῆς τραύματα ἐπιδήσωμεν· ἐπεὶ καὶ χθὲς αὐστηρότερα τὰ φάρμακα ἐπεθήκαμεν, οὐχ ἵνα ἁπλῶς λυπήσωμεν, καὶ τὴν ἀλγηδόνα ἐπιτείνωμεν, ἀλλ' ἵνα τῇ σφοδρότητι καθικέσθαι δυνηθῶμεν τοῦ ἕλκους. Καὶ γὰρ καὶ ἰατροὶ καὶ πατέρες οὕτω ποιεῖν εἰώθασιν· οἱ μὲν δραστικώτερα πρότερον ἐπιτιθέασι, καὶ ἐπειδὰν ῥήξῃ τὸ ἕλκος, τότε τὰ καταγλυκαίνειν δυνάμενα φάρμακα προσάγουσι· καὶ πατέρες δὲ ὅταν ἴδωσι τοὺς παῖδας τοὺς ἑαυτῶν ἀτακτοῦντας, πρότερον ἐπιπλήξεσι σφοδροτέραις κέχρηνται, μετὰ δὲ ταῦτα νουθεσίαις καὶ παρακλήσεσι. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, εἰ καὶ χθὲς σφοδρότερον ἐχρησάμεθα τῷ λόγῳ, ἀλλὰ σήμερον προσηνεστέραν ποιησόμεθα τὴν διάλεξιν, καὶ καθάπερ μέλη ἡμέτερα θεραπεύσομεν. Ὥσπερ γὰρ ἡ προκοπὴ ἡ ὑμετέρα ἡμῖν πλείονα τὴν παρρησίαν

ΟΜΙΛΙΑ Ζ'
(Γεν. 1, 20 - 24)

«Καὶ εἶπεν ὁ Θεός· ἄς γεμίσουν τὰ ὕδατα ἑρπετὰ ζῶντα καὶ πτηνὰ ἄς πετοῦν ἐπάνω ἀπὸ τὴν γῆν πρὸς τὸν οὐράνιον θόλον· καὶ ἔγινεν ἔτσι. Καὶ ἐδημιούργησεν ὁ Θεὸς τὰ μεγάλα θαλάσσια κήτη, καὶ ὅλα τὰ ποικίλα εἴδη τῶν ἑρπετῶν ζώων, ἀπὸ τὰ ὁποῖα ἐγέμισαν τὰ ὕδατα».

1. Ἀρκετὰ ἐπεκρίναμεν χθὲς ἐκείνους ποὺ ἔτρεξαν εἰς τὰς ἱπποδρομίας, ἀποδείξαντες εἰς αὐτοὺς τὸ μέγεθος τῆς βλάβης, τὴν ὁποίαν ὑπέστησαν, ἀφοῦ διεσκόρπισαν ὅλον τὸν πνευματικὸν πλοῦτον, τὸν ὁποῖον ἐσυγκέντρωσαν ἀπὸ τὴν νηστείαν, καὶ ἀπὸ τὴν μεγάλην περιουσίαν ξαφνικὰ περιῆλθον εἰς τὴν ἐσχάτην πτωχείαν. Ἐμπρὸς λοιπὸν σήμερα ἄς χρησιμοποιήσωμεν ἠπιώτερον φάρμακον, καὶ ὡσὰν ἰδικά μας μέλη, ἔτσι ἄς ἐπιδέσωμεν τὰ τραύματα τῆς ψυχῆς των· ἐπειδὴ καὶ χθὲς ἐθέσαμεν δραστικώτερα φάρμακα, ὄχι διὰ νὰ λυπήσωμεν ἁπλῶς καὶ νὰ ἐπαυξήσωμεν τὸν πόνον, ἀλλὰ διὰ νὰ ἠμπορέσωμεν μὲ τὴν αὐστηρότητα νὰ θεραπεύσωμεν τὴν πληγήν. Διότι καὶ οἱ ἰατροὶ καὶ οἱ πατέρες ἔτσι κάνουν συνήθως· οἱ μὲν ἐπιθέτουν κατὰ πρῶτον τὰ δραστικώτερα φάρμακα, καὶ ὅταν ἀνοίξῃ ἡ πληγή, τότε φέρουν ἐκεῖνα, ποὺ ἠμποροῦν νὰ ἀνακουφίζουν τὸν πόνον· καὶ οἱ πατέρες δὲ ὅταν ἰδοῦν νὰ ἀτακτοῦν τὰ παιδιά των, χρησιμοποιοῦν πρῶτα τὰς περισσότερον αὐστηρὰς ἐπιπλήξεις, καὶ ἀργότερα συμβουλὰς καὶ προτροπάς. Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ἡμεῖς, ἄν καὶ χθὲς ἐχρησιμοποιήσαμεν αὐστηρότερα τὸν λόγον, ὅμως σήμερα θὰ κάνωμεν ἠπιωτέραν τὴν συζήτησιν καὶ ὡσὰν ἰδικά μας μέλη θὰ θεραπεύσωμεν. Διότι ὅπως ἡ ἰδική σας προκοπὴ

προξενεῖ, καὶ τοῦτο ἡμῶν ἐστιν ὁ πλοῦτος ὁ πνευματικός, τὸ ὁρᾶν ὑμᾶς ἐν τοῖς πνευματικοῖς ἐπιδιδόντας, καὶ ἐν ἀρετῇ διαλάμποντας, καὶ τῶν βλάπτειν δυναμένων ἀπεχομένους, οὕτως ἐπειδὰν ἴδωμεν ὑμᾶς ὑποσκελιζομένους, καὶ ὑπαγομένους ταῖς ἀπάταις ταῖς διαβολικαῖς, κατηφείας πληρούμεθα, καὶ αἰσχύνη τις, ὡς εἰπεῖν, κατασκεδάζεται τῆς ἡμετέρας ψυχῆς. Κατὰ γὰρ τὸν μακάριον Παῦλον, «Τότε ἡμεῖς ζῶμεν, ἐὰν ὑμεῖς στήκετε ἐν Κυρίῳ». Ὡς οὖν τέλειοι καὶ πεπληρωμένοι συνέσεως, οὕτω τῶν μὲν ὄπισθεν ἐπιλανθάνεσθε, τοῖς δὲ ἔμπροσθεν ἐπεκτείνεσθε, καὶ τὰς συνθήκας, ἃς πρὸς τὸν Χριστὸν ἔθεσθε, ἀνακαλεσάμενοι, βεβαίως ταύτας εἰς τὸ ἑξῆς διαφυλάττετε, καὶ λογισμῷ σώφρονι πᾶσαν εἴσοδον ταῖς τοῦ διαβόλου μηχαναῖς ἀποκλείσαντες, τῇ μετὰ ταῦτα σπουδῇ τὴν ἀπὸ τῆς ῥαθυμίας προστριβεῖσαν ὑμῖν κηλῖδα ἀπονίψασθε, περιγενόμενοι τῆς ἀκαίρου συνηθείας καὶ ἐπιβλαβοῦς, καὶ λογισάμενοι, ὡς οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι ἑαυτοῖς πολλὴν τὴν βλάβην προστρίβονται οἱ αὐτόθι παραγενόμενοι, ἀλλ' ὅτι καὶ πολλοῖς ἑτέροις σκανδάλου ὑπόθεσις γίνονται. Ὅταν γὰρ ἴδωσιν Ἕλληνες καὶ Ἰουδαῖοι τὸν ἐφ' ἑκάστης ἡμέρας εἰς τὴν ἐκκλησίαν διημερεύοντα, καὶ συνεχοῦς ἀπολαύοντα διδασκαλίας, ἀθρόον ἐκεῖ φαινόμενον, καὶ μετ' αὐτῶν συμφυρόμενον, πῶς οὐ νομίσουσιν ἀπάτην εἶναι τὰ ἡμέτερα, καὶ περὶ πάντων τῶν παρ' ἡμῖν τὴν αὐτὴν ὑπόληψιν ἕξουσιν; Ἢ οὐκ ἀκούεις τοῦ μακαρίου Παύλου παραινοῦντος, λαμπρᾷ τῇ φωνῇ, καὶ συμβουλεύοντος, «Ἀπρόσκοποι γίνεσθε»; Εἶτα ἵνα μὴ νομίσῃς περὶ τῶν οἰκείων μόνον τὴν παραγγελίαν παρ' αὐτοῦ γίνεσθαι καὶ τῶν μεθ' ἡμῶν τεταγμένων, προσέθηκεν, «Καὶ Ἰουδαίοις καὶ Ἕλλησι», καὶ τότε ἐπήγαγε, «Καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ». Οὐδὲν γὰρ οὕτω λυμαίνεται καὶ

1. Α΄ Θεσ. 2, 8.
2. Α΄ Κορ. 10, 32.

προκαλεῖ εἰς ἡμᾶς μεγαλυτέραν παρρησίαν, καὶ ὅπως πνευματικὸς μας πλοῦτος εἶναι αὐτό, τὸ νὰ σᾶς βλέπωμεν δηλαδὴ νὰ προοδεύετε εἰς τὰ πνευματικὰ καὶ νὰ διαπρέπετε εἰς τὴν ἀρετὴν καὶ νὰ ἀπομακρύνεσθε ἀπὸ ἐκείνους, ποὺ εἶναι ἱκανοὶ νὰ σᾶς βλάπτουν, ἔτσι ὅταν σᾶς ἰδοῦμεν νὰ ἀνατρέπεσθε καὶ νὰ ὑποτάσσεσθε εἰς τὰς πονηρίας τοῦ διαβόλου, γινόμεθα κατηφεῖς καὶ κάποια ἐντροπή, ὅπως θὰ ἠμπορούσαμεν νὰ ἐλέγαμεν, κυριεύει τὴν ψυχήν μας. Διότι κατὰ τὸν μακάριον Παῦλον, «Τότε ἡμεῖς ζῶμεν, ἐὰν σεῖς μένετε σταθεροὶ εἰς τὴν σχέσιν σας μὲ τὸν Κύριον»[1]. Ὡς τέλειοι λοιπὸν καὶ συνετοὶ ἄνθρωποι, ἔτσι τὰ μὲν παρελθόντα λησμονεῖτε, διὰ τὰ μέλλοντα ὅμως νὰ ἐνδιαφέρεσθε, καὶ τὰς συμφωνίας, τὰς ὁποίας ἐκάμετε μὲ τὸν Χριστόν, ἀφοῦ ἐπαναφέρετε εἰς τὴν μνήμην σας, διαφυλάσσετε αὐτὰς εἰς τὸ ἑξῆς ἀμεταβλήτους, καὶ ἀφοῦ μὲ συνετὴν σκέψιν ἀποκλείσετε κάθε εἴσοδον εἰς τὰς πονηρίας τοῦ διαβόλου, ὕστερα ἀπὸ αὐτὰ μὲ τὴν ἐπιμέλειάν σας καθαρίσατε ἐντελῶς τὴν καταισχύνην, ποὺ ἀπὸ τὴν ἀδιαφορίαν προεκλήθη εἰς σᾶς, ἀποβάλλοντες τὰς ἀκαίρους καὶ ἐπιβλαβεῖς συνηθείας, καὶ ἀφοῦ σκεφθῆτε, ὅτι δὲν εἶναι μόνον αὐτὸ τὸ φοβερόν, ὅτι δηλαδὴ οἱ συχνάζοντες ἐκεῖ προκαλοῦν εἰς τοὺς ἑαυτούς των μεγάλην βλάβην, ἀλλὰ ὅτι καὶ εἰς πολλοὺς ἄλλους γίνονται ἀφορμὴ σκανδαλισμοῦ. Διότι ὅταν ἰδοῦν ἐθνικοὶ καὶ Ἰουδαῖοι ἐκεῖνον, ποὺ καθημερινῶς διαμένει εἰς τὴν ἐκκλησίαν καὶ ἀπολαμβάνει τὴν συνεχῆ διδασκαλίαν, νὰ ἐμφανίζεται ἐκεῖ εὐθὺς ἀμέσως καὶ νὰ ἀναμειγνύεται μὲ αὐτούς, πῶς δὲν θὰ θεωρήσουν ὅτι εἶναι ἀπάτη τὰ ἰδικά μας καὶ δὲν θὰ ἔχουν τὴν ἰδίαν ἀντίληψιν δι' ὅλους τοὺς χριστιανούς; Ἢ δὲν ἀκούεις τὸν μακάριον Παῦλον, ποὺ μὲ καθαρὰν φωνὴν παραινεῖ καὶ συμβουλεύει, «Μὴ γίνεσθε ἀφορμὴ προσκόμματος»[2]; Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ νομίσῃς ὅτι προτρέπει μόνον τοὺς ἰδικοὺς μας καὶ ἐκείνους ποὺ ἔχουν ταχθῆ μαζί μας, ἐπρόσθεσε, «Καὶ εἰς τοὺς Ἰουδαίους καὶ εἰς τοὺς ἐθνικούς», καὶ ἔπειτα ἐσυμπλήρωσε, «Καὶ εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ». Διότι τίποτε δὲν καταστρέφει τόσον καὶ δὲν βλάπτει τὴν

βλάπτει τὴν θρησκείαν τὴν ἡμετέραν, ὡς καὶ τοῖς ἀπίστοις λαβήν τινα παρέχειν. Ὅταν οὖν ἴδωσί τινας ἐν ἀρετῇ διαλάμποντας παρ' ἡμῖν, καὶ πολλὴν τῶν βιωτικῶν ὑπεροψίαν ποιουμένους, οἱ μὲν αὐτῶν καὶ ἀποπνίγονται, οἱ δὲ πολλάκις καὶ εἰς θαῦμα ἔρχονται ἐκπληττόμενοι, ὅτι τῆς αὐτῆς αὐτοῖς φύσεως ὄντες οὐ τὰ αὐτὰ αὐτοῖς μετίασιν. Ἀμέλει ἐπειδὰν θεάσωνταί τινα μικρὰν ῥαθυμίαν προσγενομένην, εὐθέως τὴν γλῶτταν ἀκονοῦσι κατὰ πάντων ὁμοῦ, καὶ ἀπὸ τῆς τοῦ ἑνὸς ῥαθυμίας κατὰ παντὸς τοῦ τῶν Χριστιανῶν ἔθνους τὰ αὐτὰ ψηφίζονται. Καὶ οὐδὲ μέχρι τούτου ἵστανται, ἀλλ' εὐθέως κατὰ τῆς ἑαυτῶν κεφαλῆς φθεγγόμενοι, διὰ τὴν τῶν δούλων ῥαθυμίαν, καὶ τὸν κοινὸν Δεσπότην βλασφημεῖν τολμῶσι, καὶ νομίζουσι τῆς οἰκείας πλάνης παραπέτασμα αὐτοῖς γίνεσθαι τὴν ἑτέρων ῥαθυμίαν.

Ὅτι δὲ μέγιστον φέρει τοῦτο κίνδυνον τοῖς ἀφορμὴν αὐτοῖς τῆς βλασφημίας παρέχουσιν, ἀκούσωμεν τοῦ προφήτου βοῶντος, καὶ λέγοντος ἐκ προσώπου τοῦ Θεοῦ· «Οὐαὶ ὑμῖν, ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι». Φοβερὸν τὸ ῥῆμα καὶ φρίκης γέμον. Τὸ γὰρ «Οὐαὶ» τοῦτο ὡσανεὶ θρηνοῦντός ἐστι τοὺς μέλλοντας ὑπὸ τὴν ἀπαραίτητον ἐκείνην κόλασιν γίνεσθαι. Ὥσπερ οὖν τοῖς διὰ τῆς οἰκείας ἀμελείας αἰτίαν ἐκείνοις παρέχουσι τῆς βλασφημίας τοσαύτη κεῖται τιμωρία, οὕτω πάλιν τοῖς τῆς ἀρετῆς ἐπιμελουμένοις μυρίων στεφάνων ὑπόθεσις γίνεται. Τὸ αὐτὸ τοῦτο διδάσκων ὁ Χριστὸς ἔλεγε· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Ὃν γὰρ τρόπον ἐκεῖνοι διὰ τὴν τινων ῥαθυμίαν σκανδαλιζόμενοι τὴν γλῶτταν ἀκονοῦσι κατὰ τοῦ Δεσπότου τοῦ ἡμετέρου, οὕτω, φησίν, ἐπειδὰν τὴν ἀρετὴν μετίητε, ὁρῶντες ὑμᾶς οἱ ἄνθρωποι, οὐ μέχρι τῆς ὑμετέρας εὐφημίας ἵστανται, ἀλλ' ὅταν ἴδωσιν ὑμῶν τὰ ἔργα λάμποντα καὶ καταυγάζοντα ὑ-

3. Ἠσ. 52, 5.
4. Ματθ. 5, 16.

ἰδικήν μας θρησκείαν, ὅσον τὸ νὰ δίδωμεν κάποιαν ἀφορμὴν καὶ εἰς τοὺς ἀπίστους. Ὅταν λοιπὸν ἰδοῦν μερικοὺς ἀπὸ τοὺς ἰδικούς μας νὰ προκόπτουν εἰς τὴν ἀρετὴν καὶ νὰ περιφρονοῦν πολὺ τὰ ὑλικὰ ἀγαθά, ἄλλοι μὲν ἀπὸ αὐτοὺς ὀργίζονται παράφορα, ἄλλοι δὲ πολλὰς φορὰς μένοντες κατάπληκτοι θαυμάζουν, διότι ἐνῷ εἶναι ὅμοιοι πρὸς αὐτοὺς δὲν ἐπιδιώκουν τὰ ἴδια μὲ αὐτούς. Βέβαια, ὅταν ἰδοῦν νὰ παρατηρῆται κάποια μικρὰ ἀδιαφορία, ἀμέσως ἀκονίζουν τὴν γλῶσσαν των ἐναντίον ὅλων μαζί, καὶ ἀπὸ τὴν ἀδιαφορίαν τοῦ ἑνὸς ἐκφράζουν τὴν ἰδίαν γνώμην διʼ ὅλους τοὺς χριστιανούς. Καὶ δὲν ἀρκοῦνται εἰς αὐτό, ἀλλὰ ἀμέσως ὁμιλοῦντες ἐναντίον τῶν ἑαυτῶν των, ἐξ αἰτίας τῆς ἀδιαφορίας τῶν δούλων, τολμοῦν νὰ βλασφημοῦν καὶ τὸν Κύριόν μας, καὶ θεωροῦν ὅτι ἡ ἀδιαφορία τῶν ἄλλων γίνεται εἰς αὐτοὺς προπέτασμα τῆς ἰδικῆς των πλάνης.

2. Ὅτι δὲ προκαλεῖ αὐτὸ μέγιστον κίνδυνον εἰς ἐκείνους, ποὺ παρέχουν ἀφορμὴν βλασφημίας εἰς αὐτούς, ἂς ἀκούσωμεν τὸν προφήτην, ὁ ὁποῖος φωνάζει καὶ λέγει ἐκ μέρους τοῦ Θεοῦ, «Ἀλλοίμονον εἰς σᾶς, διότι ἐξ αἰτίας σας βλασφημεῖται τὸ ὄνομά μου εἰς τὰ ἔθνη»[3]. Εἶναι φοβερὸς ὁ λόγος καὶ γεμᾶτος ἀπὸ φρίκην. Διότι τὸ «Ἀλλοίμονον» αὐτὸ εἶναι ὡσὰν νὰ ἀνήκῃ εἰς τὸν θρηνοῦντα αὐτούς, ποὺ πρόκειται νὰ δεχθοῦν τὴν τιμωρίαν ἐκείνην, ἡ ὁποία δὲν ἐπιδέχεται ἐξιλέωσιν. Ὅπως λοιπὸν διʼ ἐκείνους, ποὺ δίδουν μὲ τὴν ἀμέλειάν των τὴν αἰτίαν βλασφημίας εἰς αὐτούς, ἰσχύει τόσον μεγάλη τιμωρία, ἔτσι πάλιν διʼ ἐκείνους ποὺ φροντίζουν τὴν ἀρετήν, γίνεται ἀφορμὴ ἀπείρων βραβείων. Διδάσκων ἀκριβῶς τὸ ἴδιον πρᾶγμα ὁ Χριστὸς ἔλεγεν· «Ἂς λάμψῃ τὸ φῶς τῆς ἀρετῆς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἰδοῦν τὰ καλά σας ἔργα καὶ δοξάσουν τὸν Πατέρα σας, ποὺ κατοικεῖ εἰς τοὺς οὐρανούς»[4]. Διότι ὅπως ἐκεῖνοι, ἐπειδὴ σκανδαλίζονται ἐξ αἰτίας τῆς ἀδιαφορίας μερικῶν, ἀκονίζουν τὴν γλῶσσαν των ἐναντίον τοῦ Κυρίου μας, ἔτσι, λέγει, ὅταν μετέρχεσθε τὴν ἀρετήν, καθὼς σᾶς βλέπουν οἱ ἄνθρωποι, δὲν στέκονται μέχρι τὸν ἰδικόν σας ἔπαινον, ἀλλὰ ὅταν ἰδοῦν τὰ ἔργα σας νὰ λάμ-

μῶν τὰς ὄψεις, εἰς δοξολογίαν κινοῦνται τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς· τούτου δὲ ὑπ' ἐκείνων γινομένου, πάλιν ἡμῖν τὰ τῆς ἀμοιβῆς πολυπλασιάζεται, καὶ ὑπὲρ τῆς ἐκείνων εὐφημίας τὰ μυρία ἡμῖν ἀγαθὰ χαρίζεται ὁ Δεσπότης· «Τοὺς δοξάζοντάς με γάρ, φησί, δοξάσω». Πάντα τοίνυν ποιῶμεν, ἀγαπητοί, ὥστε δοξάζεσθαι τὸν ἡμέτερον Δεσπότην, καὶ μηδενὶ σκανδάλου αἰτίαν παρέχωμεν. Τοῦτο γὰρ διηνεκῶς ἡμᾶς διδάσκει ὁ τῆς οἰκουμένης διδάσκαλος ὁ μακάριος Παῦλος, ποτὲ μὲν λέγων «Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα»· καὶ πάλιν ἐν ἑτέρῳ φησίν· «Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε». Σφοδρὰ ἡ ἀπειλὴ καὶ μεγάλην ἔχουσα τὴν κατάκρισιν. Μὴ γὰρ νομίσῃς, φησίν, εἰς ἐκεῖνον μόνον περιστήσεσθαι τὴν βλάβην· εἰς αὐτὸν διαβαίνει τὸν Χριστόν τὸν δι' ἐκεῖνον σταυρωθέντα. Εἰ τοίνυν ὁ Δεσπότης σου σταυρωθῆναι δι' αὐτὸν οὐ παρῃτήσατο, σὺ οὐκ ἀνέχῃ πάντα ποιῆσαι, ὥστε μηδεμίαν αὐτῷ σκανδάλου ἀφορμὴν παρέχειν; Καὶ πανταχοῦ εὑρήσεις αὐτὸν ταῦτα συμβουλεύοντα τοῖς μαθητευομένοις· τοῦτο γάρ ἐστιν, ὃ συνέχει τὴν ζωὴν τὴν ἡμετέραν. Διὰ τοῦτο καὶ ἀλλαχοῦ γράφων ἔλεγε· «Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος»· καὶ πάλιν ἑτέρωθι· «Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ». Εἶδες σύνεσιν ἀποστολικήν; Εἰ καὶ ἔξεστί μοι, φησί, τί διαπράξασθαι, καὶ μηδέν μοι τοῦτο λυμαίνεται, ἀλλὰ διὰ τὸ μὴ ἕπεσθαι τὴν τοῦ πλησίον οἰκοδομήν, οὐκ ἂν ἀνασχοίμην αὐτὸ πρᾶξαι. Εἶδες ψυχὴν φιλόστοργον, καὶ πῶς οὐδαμοῦ τὸ ἑαυτοῦ σκοπεῖ, ἀλλὰ διὰ πάντων δείκνυσι μεγίστην ἀρετὴν ταύτην οὖσαν, τὸ τῆς τῶν πλησίον οἰκοδομῆς πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν; Ταῦτα δὴ πάντα γινώσκοντες φυλαττώμεθα, παρακαλῶ, καὶ ἀπεχώμεθα τῶν λυμαίνεσθαι τὸν πλοῦτον τῆς ἡμετέρας ἀρε-

5. Α΄ Βασ. 2, 30.
6. Α΄ Κορ. 8, 13.
7. Α΄ Κορ. 8, 12.
8. Φιλιπ. 2, 4.
9. Α΄ Κορ. 10, 23.

πουν καὶ νὰ φωτίζουν τὰ πρόσωπά σας, παρακινοῦνται νὰ δοξολογήσουν τὸν ἐπουράνιον Πατέρα σας. Καὶ ὅταν αὐτὸ γίνεται ἀπὸ τοὺς ἐθνικούς, πάλιν πολλαπλασιάζεται ἡ ἀμοιβή μας, καὶ διὰ τὸν ἔπαινον ἐκείνων μᾶς χαρίζει ὁ Κύριος τὰ ἄπειρα ἀγαθά· «Διότι ἐκείνους πού μὲ δοξάζουν, λέγει, θὰ τοὺς δοξάσω»[5]. Τὰ πάντα λοιπόν, ἀγαπητοί, ἂς κάμνωμεν, διὰ νὰ δοξάζεται ὁ Κύριός μας, καὶ ἂς μὴ δίδωμεν εἰς κανένα ἀφορμὴν σκανδαλισμοῦ. Διότι αὐτὸ μᾶς διδάσκει διαρκῶς ὁ διδάσκαλος τῆς οἰκουμένης, ὁ μακάριος Παῦλος, ὁ ὁποῖος ἄλλοτε μὲν λέγει· «Ἐὰν φαγητὸν σκανδαλίζῃ τὸν ἀδελφόν μου, δὲν θὰ φάγω ποτὲ κρέας»[6]· καὶ πάλιν εἰς ἄλλο σημεῖον· «Καὶ ἔτσι ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ πληγώνοντες τὴν ἀσθενῆ των συνείδησιν, ἁμαρτάνετε εἰς τὸν Χριστόν»[7]. Ἡ ἀπειλὴ εἶναι αὐστηρὰ καὶ περιέχει μεγάλην κατηγορίαν. Μὴ νομίσῃς λοιπόν, λέγει, ὅτι ἡ βλάβη θὰ περιορισθῇ μόνον εἰς ἐκεῖνον· μεταβαίνει εἰς τὸν ἴδιον τὸν Χριστόν, ὁ ὁποῖος ἐσταυρώθη δι' ἐκεῖνον. Ἐὰν λοιπὸν ὁ Κύριός σου δὲν ἀπέφυγε νὰ σταυρωθῇ δι' αὐτόν, σὺ δὲν συγκατατίθεσαι νὰ κάμῃς τὰ πάντα, ὥστε νὰ μὴ δίδῃς εἰς αὐτὸν καμμίαν ἀφορμὴν σκανδαλισμοῦ; Καὶ παντοῦ θὰ συναντήσῃς αὐτὸν νὰ συμβουλεύῃ τὰ ἴδια εἰς τοὺς μαθητάς του· διότι αὐτὸ εἶναι ἐκεῖνο, πού συγκροτεῖ τὴν ἰδικήν μας ζωήν. Δι' αὐτὸ καὶ ὅταν ἔγραφεν εἰς ἄλλους ἔλεγε· «Μὴ ἐπιδιώκετε ὁ καθένας τὰ συμφέροντά του, ἀλλὰ καὶ τὰ συμφέροντα τῶν ἄλλων»[8]· καὶ πάλιν ἀλλοῦ· «Ὅλα ἔχω ἐξουσίαν νὰ τὰ πράττω, ἀλλὰ δὲν οἰκοδομοῦν ὅλα τὸν πλησίον»[9]. Εἶδες τὴν σύνεσιν τοῦ ἀποστόλου; Ἂν καὶ ἔχω ἐξουσίαν, λέγει, νὰ κάμω κάτι καὶ δὲν μὲ βλάπτει καθόλου, ἀλλὰ ἐπειδὴ δὲν οἰκοδομεῖ τὸν πλησίον, δὲν θὰ ἀνεχόμην νὰ πράξω αὐτό. Εἶδες στοργικὴν ψυχήν, καὶ πῶς δὲν ἐπιδιώκει πουθενὰ τὸ συμφέρον του, ἀλλὰ ἀποδεικνύει μὲ ὅλα του τὰ ἔργα ὅτι μεγίστη ἀρετὴ εἶναι αὐτή, τὸ νὰ φροντίζωμεν δηλαδὴ πολὺ διὰ τὴν προκοπὴν τοῦ πλησίον μας; Γνωρίζοντες λοιπὸν ὅλα αὐτά, ἂς προφυλασσώμεθα, παρακαλῶ, καὶ ἂς ἀπέχωμεν ἀπὸ ἐκεῖνα, πού ἠμποροῦν νὰ βλάπτουν τὸν θησαυρὸν

τῆς δυναμένων, καὶ μηδέποτέ τι πράττωμεν, ὃ τῷ πλησίον παρέχει τινὰ βλάβην. Τοῦτο γὰρ καὶ τὸ ἁμάρτημα ἐπιτείνει, καὶ τὴν κόλασιν ἡμῖν σφοδροτέραν προξενεῖ. Καὶ μηδὲ τοῦ τυχόντος καταφρονῶμεν, μηδὲ λέγωμεν τὰ ψυχρὰ ἐκεῖνα ῥήματα, τί δέ μοι μέλει, ἐὰν ὁ δεῖνα σκανδαλίζεται; Τί λέγεις, εἰπέ μοι; Τί σοι μέλει; Προσέταξεν ὁ Χριστὸς οὕτω σου λάμπειν τὸν βίον, ὡς μὴ μόνον σε θαυμάζεσθαι ὑπὸ τῶν ὁρώντων, ἀλλὰ καὶ τὸν Δεσπότην τὸν σὸν δοξολογεῖσθαι, καὶ σὺ τὸ ἐναντίον ἐργαζόμενος, καὶ παρασκευάζων ἀντὶ δοξολογίας βλασφημίας εἰς αὐτὸν γίνεσθαι, οὐδένα λόγον ποιῇ; Καὶ ποῦ τοῦτο ψυχῆς εὐλαβοῦς, καὶ τοὺς Θεοῦ νόμους ἀκριβῶς ἐπισταμένης;

Ἀλλ' εἰ καὶ πρότερον ταῦτά τις ὑπὸ τῆς συνηθείας ἑλκόμενος ἀδιαφόρως ἐφθέγξατο, νῦν, παρακαλῶ, δεξάμενος ἡμῶν τὴν νουθεσίαν, πανέσθω τῶν ἀκαίρων τούτων λόγων, καὶ οὕτως ἅπαντα πράττειν σπουδαζέτω, ὡς μήτε ὑπὸ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ κατακρίνεσθαι, μήτε ὑπὸ τοῦ συνειδότος καταγινώσκεσθαι, μήτε ὑπὸ τῶν εἰς αὐτὸν ὁρώντων βλασφημίας κινεῖσθαι κατὰ τοῦ Δεσπότου. Ἐὰν γὰρ μετὰ τοσαύτης φυλακῆς τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, πολλῆς ἀπολαυσόμεθα καὶ τῆς παρὰ τοῦ Δεσπότου φιλανθρωπίας, καὶ διαφευξόμεθα τοῦ διαβόλου τὰς μηχανάς. Ὅταν γὰρ ἴδῃ ἡμᾶς οὕτω νήφοντας καὶ ἐγρηγορότας, ἐννοῶν ὡς ἀνονήτοις ἐπιχειρήσειε, καλυψάμενος ἀποστήσεται. Ἀλλὰ τῶν μὲν προοιμίων ἅλις· φέρε δὴ λοιπὸν τὰ ἀναγνωσθέντα προθέντες ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τὴν πνευματικὴν ὑμῖν παραθῶμεν ἑστίασιν, καὶ ἴδωμεν μαθόντες τί καὶ σήμερον ὁ μακάριος Μωϋσῆς, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου γλώττης ἡμᾶς διδάξαι βούλεται. Τί οὖν φησι; «Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. Καὶ ἐγένετο οὕτως». Ὅρα φιλανθρωπίαν Δεσπότου, πῶς τάξει τινὶ καὶ ἀκολουθίᾳ πᾶσαν τὴν δημιουργίαν ἡμᾶς διδά-

τῆς ἀρετῆς μας, καὶ ἂς μὴ πράττωμεν ποτὲ κάτι, τὸ ὁποῖον προξενεῖ κάποιαν βλάβην εἰς τὸν πλησίον μας. Διότι αὐτὸ καὶ τὸ ἁμάρτημα ἐπαυξάνει καὶ τὴν τιμωρίαν κάνει αὐστηροτέραν. Καὶ οὔτε νὰ περιφρονοῦμεν ὁποιονδήποτε, οὔτε νὰ λέγωμεν τὰ ψυχρὰ ἐκεῖνα λόγια, καὶ τί μὲ ἐνδιαφέρει, ἐὰν ὁ τάδε σκανδαλίζεται; Εἰπέ μου, τί λέγεις; Τί σὲ ἐνδιαφέρει; Ἐπρόσταξεν ὁ Χριστὸς νὰ λάμπῃ τόσον ἡ ζωή σου, ὥστε ὄχι μόνον σὺ νὰ θαυμάζεσαι ἀπὸ ἐκείνους, ποὺ σὲ βλέπουν, ἀλλὰ ὁ Κύριός σου νὰ δοξάζεται, καὶ σύ, ποὺ κάνεις τὸ ἀντίθετον καὶ ἀντὶ νὰ δοξολογοῦν αὐτὸν προετοιμάζεις νὰ τὸν βλασφημοῦν, δὲν σὲ ἐνδιαφέρει καθόλου; Καὶ πῶς εἶναι αὐτὸ δεῖγμα ψυχῆς εὐσεβοῦς, ἡ ὁποία γνωρίζει μὲ ἀκρίβειαν καὶ τοὺς νόμους τοῦ Θεοῦ;

3. Ἀλλὰ ἐὰν καὶ προηγουμένως παρασυρόμενος κανεὶς ἀπὸ τὴν συνήθειαν ἔλεγε μὲ ἀδιαφορίαν αὐτά, τώρα, παρακαλῶ, ἀφοῦ ἐδέχθη τὴν νουθεσίαν μας, νὰ μὴ λέγῃ τὰ ἀνόητα αὐτὰ λόγια καὶ νὰ φροντίζῃ νὰ κάμνῃ τὰ πάντα ἔτσι, ὥστε οὔτε ἀπὸ τὸν ἄγρυπνον ἐκεῖνον ὀφθαλμὸν νὰ καταδικάζεται, οὔτε ἀπὸ τὴν συνείδησιν νὰ κατηγορῆται, οὔτε νὰ ὑποκινῆται ἀπὸ τοὺς προσέχοντας αὐτὸν εἰς βλασφημίαν ἐναντίον τοῦ Κυρίου. Διότι ἐὰν μὲ τόσον προσοχὴν ρυθμίζωμεν τὰς ὑποθέσεις μας, θὰ ἀπολαύσωμεν καὶ ἀπὸ τὸν Κύριον τὴν μεγάλην ἀγάπην καὶ θὰ ἀποφύγωμεν τὰς πονηρίας τοῦ διαβόλου. Διότι, ὅταν μᾶς ἰδῇ, νὰ εἴμεθα τόσον νηφάλιοι καὶ ἄγρυπνοι, σκεπτόμενος ὅτι θὰ ἐπιχειρήσῃ ἄσκοπα, ἀφοῦ καλύψῃ τὸ πρόσωπόν του, θὰ ἀπομακρυνθῇ. Ἀλλὰ τὰ μὲν εἰσαγωγικὰ εἶναι ἀρκετά· ἐμπρὸς λοιπὸν ἀφοῦ θέσωμεν ἐνώπιον τῆς ἀγάπης σας ἐκεῖνα ποὺ ἀνεγνώσθησαν, ἂς παραθέσωμεν εἰς σᾶς τὸ πνευματικὸν συμπόσιον, καὶ ἂς γνωρίσωμεν καὶ σήμερα τί θέλει νὰ μᾶς διδάξῃ ὁ μακάριος Μωυσῆς ἢ μᾶλλον τὸ Ἅγιον Πνεῦμα μὲ τὴν γλῶσσαν αὐτοῦ. Τί λοιπὸν λέγει; «Καὶ εἶπεν ὁ Θεός· ἂς γεμίσουν τὰ ὕδατα ἑρπετὰ ζῶντα καὶ πτηνὰ ἂς πετοῦν ἐπάνω ἀπὸ τὴν γῆν πρὸς τὸν οὐράνιον θόλον. Καὶ ἔγινεν ἔτσι». Βλέπε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, πῶς μᾶς διδάσκει ὅλην τὴν δημιουργίαν μὲ κάποιαν τάξιν καὶ συνέπειαν.

σκει. Πρότερον ἐδίδαξεν ἡμᾶς πῶς τὴν γῆν εἰς τὴν τῶν καρπῶν γένεσιν τῷ αὐτοῦ ἐπιτάγματι διήγειρεν· εἶτα την δημιουργίαν τῶν δύο φωστήρων διδάξας, προσέθηκεν καὶ τὴν τῶν ἀστέρων ποικιλίαν, δι' ὧν τοῦ οὐρανοῦ φαιδρότερον τὸ κάλλος εἰργάσατο· σήμερον λοιπὸν μεταβαίνει ἐπὶ τὰ ὕδατα, καὶ δείκνυσιν ἡμῖν, τῷ λόγῳ αὐτοῦ καὶ τῷ ἐπιτάγματι ζῶα ἔμψυχα ἐξ αὐτῶν ἀναδιδόμενα. «Ἐξαγαγέτω γάρ», φησί, τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ». Ποῖος λόγος, εἰπέ μοι, ἐφικέσθαι δυνήσεται τοῦ θαύματος; ποία ἀρκέσει γλῶττα πρὸς εὐφημίαν τοῦ δημιουργοῦ; Εἶπε μόνον, «Βλαστησάτω ἡ γῆ», καὶ εὐθέως πρὸς τὰς ὠδῖνας αὐτὴν διήγειρε· νῦν λέγει, «Ἐξαγαγέτω τὰ ὕδατα». Ὅρα πῶς κατάλληλα αὐτοῦ τὰ προστάγματα· ἐκεῖ, «Βλαστησάτω», ἐνταῦθα, «Ἐξαγαγέτω τὰ ὕδατα», φησί, «ἑρπετὰ ψυχῶν ζωσῶν». Καθάπερ γὰρ ἐπὶ τῆς γῆς εἶπε μόνον, «Βλαστησάτω», καὶ διάφορος καὶ ποικίλη τῶν ἀνθῶν ἡ ποικιλία, καὶ τῶν βοτανῶν, καὶ τῶν σπερμάτων ἐδόθη, καὶ ἑνὶ λόγῳ τὰ πάντα παρήχθη· οὕτω καὶ ἐνταῦθα εἶπεν, «Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ», καὶ ἀθρόον τοσαῦτα γένη ἑρπετῶν, τοσαύτη διαφορὰ πετεινῶν ἐδημιουργεῖτο, ὅσην οὐδὲ τῷ λόγῳ ἀπαριθμήσασθαι δυνατόν. Καὶ τὸ μὲν ῥῆμα βραχύ, καὶ ῥῆμα ἕν, τὰ δὲ γένη τῶν ζώων διάφορα καὶ ποικίλα. Ἀλλὰ μὴ ξενισθῇς, ἀγαπητέ· ῥῆμα γὰρ ἦν Θεοῦ, καὶ ὁ λόγος αὐτοῦ τὴν σύστασιν τοῖς γινομένοις ἐχαρίσατο. Ὁρᾷς πῶς ἅπαντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγει; εἶδες διδασκαλίας ἀκρίβειαν; εἶδες συγκατάβασιν Δεσπότου, ὅσην ἐπιδείκνυται περὶ τὸ γένος τὸ ἡμέτερον; Πόθεν γὰρ ταῦτα ἡμεῖς οὕτω μετὰ ἀκριβείας μαθεῖν ἂν ἠδυνήθημεν, εἰ μὴ αὐτὸς διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν κατηξίωσε διὰ τῆς τοῦ προφήτου γλώττης διδάξαι τὴν τῶν ἀνθρώπων φύσιν, ἵνα εἰδέναι ἔχωμεν καὶ τῶν δημιουργηθέντων τὴν τάξιν καὶ τοῦ δημιουργήσαντος τὴν δύναμιν, καὶ ὅπως ὁ λόγος αὐτοῦ ἐρ-

Κατὰ πρῶτον μᾶς ἐδίδαξε πῶς μὲ τὴν ἐντολήν του ἔκαμε τὴν γῆν νὰ παράγῃ καρπούς· ἔπειτα ἀφοῦ μᾶς ἐδίδαξε τὴν δημιουργίαν τῶν δύο φωστήρων, ἐπρόσθεσε καὶ τὴν ποικιλίαν τῶν ἄστρων, μὲ τὰ ὁποῖα κατέστησε λαμπρότερον τὸ κάλλος τοῦ οὐρανοῦ· σήμερα λοιπὸν μεταβαίνει εἰς τὰ ὕδατα καὶ μᾶς ἐπεξηγεῖ, ὅτι μὲ τὸν λόγον του καὶ μὲ τὴν ἐντολήν του ἐξῆλθαν ἀπὸ αὐτὰ ἔμψυχα ὄντα. «Ἂς γεμίσουν λοιπόν, λέγει, τὰ ὕδατα ἑρπετὰ ζῶντα, καὶ πτηνὰ ἂς πετοῦν ἐπάνω ἀπὸ τὴν γῆν πρὸς τὸν οὐράνιον θόλον». Ποῖος λόγος, εἰπέ μου, θὰ ἠμπορέσῃ νὰ πλησιάσῃ τὸ θαῦμα; ποία γλῶσσα θὰ ἐπαρκέσῃ πρὸς ὕμνον τοῦ δημιουργοῦ; Εἶπε μόνον, «Ἂς βλαστήσῃ ἡ γῆ», καὶ ἀμέσως παρεκίνησεν αὐτὴν πρὸς τὴν βλάστησιν· τώρα λέγει· «Ἂς γεμίσουν τὰ ὕδατα». Πρόσεξε πῶς εἶναι κατάλληλα τὰ προστάγματά του· ἐκεῖ, «Ἂς βλαστήσῃ», ἐδῶ, «Ἂς γεμίσουν τὰ ὕδατα, λέγει, ἑρπετὰ ζῶντα». Διότι ὅπως ἀκριβῶς διὰ τὴν γῆν εἶπε μόνον, «Ἂς βλαστήσῃ» καὶ ἐδόθη ἡ ποικιλία καὶ πολυμορφία τῶν ἀνθέων καὶ τῶν χόρτων καὶ τῶν σπόρων, καὶ μὲ ἕνα λόγον παρήχθησαν τὰ πάντα· ἔτσι καὶ ἐδῶ εἶπεν, [«Ἂς γεμίσουν τὰ ὕδατα ἑρπετὰ ζῶντα, καὶ πτηνὰ ἂς πετοῦν ἐπάνω ἀπὸ τὴν γῆν πρὸς τὸν οὐράνιον θόλον», καὶ διὰ μιᾶς ἐδημιουργοῦντο τόσα γένη ἑρπετῶν καὶ τόσα εἴδη πτηνῶν, ὅσα δὲν εἶναι δυνατὸν οὔτε μὲ τὰ λόγια νὰ ἀριθμήσῃ κανείς. Καὶ ὁ μὲν ὁ λόγος ἦτο σύντομος, καὶ ἡ λέξις ἦτο μία, τὰ εἴδη ὅμως τῶν ζώων διάφορα καὶ ποικίλα. Ἀλλὰ μὴ παραξενεύεσαι, ἀγαπητέ· διότι ὁ λόγος ἦτο τοῦ Θεοῦ καὶ ἡ ἐντολή του ἐχάρισε τὴν ὕπαρξιν εἰς τὰ δημιουργήματα. Βλέπεις πῶς ὅλα ἀπὸ τὸ μηδὲν φέρει εἰς τὴν ὕπαρξιν;] εἶδες τὴν ἀκρίβειαν τῆς διδασκαλίας; εἶδες τὴν συγκατάβασιν τοῦ Κυρίου, πόσην φανερώνει διὰ τὸ ἀνθρώπινον γένος; Ἀπὸ ποῦ λοιπὸν θὰ ἠμπορούσαμεν ἡμεῖς νὰ μάθωμεν αὐτὰ μὲ τόσην ἀκρίβειαν, ἐὰν αὐτὸς ἐξ αἰτίας τῆς μεγάλης καὶ ἀπείρου φιλανθρωπίας του δὲν ἔκρινεν ἄξιον μὲ τὴν γλῶσσαν τοῦ προφήτου νὰ διδάξῃ τὸ ἀνθρώπινον γένος, διὰ νὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν καὶ τὴν τάξιν τῶν δημιουργημάτων καὶ τὴν δύναμιν τοῦ δημιουργοῦ,

γον ἐγένετο, καὶ τὸ ῥῆμα αὐτοῦ τὴν σύστασιν καὶ τὴν εἰς τὸ εἶναι πάροδον αὐτοῖς ἐχαρίσατο;

Ἀλλ' εἰσί τινες τῶν ἀγνωμόνων, οἳ καὶ μετὰ τοσαύτην διδασκαλίαν ἀπιστεῖν ἐπιχειροῦντες, καὶ μὴ συγχωροῦντες μήτε δημιουργὸν ἔχειν τὰ ὁρώμενα, ἄλλοι μὲν αὐτόματα αὐτὰ φάσκοντες εἶναι, ἕτεροι δὲ ἐξ ὑποκειμένης τινὸς ὕλης γεγενῆσθαι. Σκόπει τοῦ διαβόλου πόση ἡ ἀπάτη, πῶς ἀπεχρήσατο τῇ εὐκολίᾳ τῆς γνώμης τῶν τῇ πλάνῃ δουλευόντων. Διὰ τοῦτο ὁ μακάριος Μωϋσῆς μετὰ τοσαύτης ἡμᾶς ἀκριβείας διδάσκει ὑπὸ τοῦ θείου Πνεύματος ἐνηχούμενος, ἵνα μὴ τὰ αὐτὰ τούτοις πάθωμεν, ἀλλ' εἰδέναι ἔχωμεν σαφῶς, καὶ τὴν ἀκολουθίαν τῶν δημιουργηθέντων, καὶ ὅπως ἕκαστον ἐδημιουργήθη. Εἰ γὰρ μὴ τῆς ἡμετέρας κηδόμενος σωτηρίας ὁ Θεὸς οὕτως ὡδήγησε τοῦ προφήτου τὴν γλῶτταν, ἤρκει εἰπεῖν, ὅτι ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὰ ζῶα, καὶ μήτε τάξιν θεῖναι ἡμερῶν, μήτε τί μὲν πρῶτον, τί δὲ ὕστερον γεγένηται. Ἀλλ' ἵνα μηδεμίαν τοῖς ἀγνωμονεῖν βουλομένοις καταλείπηται ἀπολογίας πρόφασιν, οὕτω διαιρεῖ σαφῶς καὶ τὴν τῶν γινομένων τάξιν, καὶ τῶν ἡμερῶν τὸν ἀριθμόν, καὶ πάντα μετὰ πολλῆς τῆς συγκαταβάσεως ἡμᾶς διδάσκει, ἵνα μαθόντες τὴν ἀλήθειαν ἅπασαν, μηκέτι τῇ πλάνῃ τῶν ἐξ οἰκείων λογισμῶν ἅπαντα φθεγγομένων προσέχωμεν, ἀλλ' εἰδέναι ἔχωμεν τοῦ δημιουργοῦ τοῦ ἡμετέρου τὴν ἄφατον δύναμιν. «Καὶ ἐγένετο», φησίν, «οὕτως». Εἶπεν, «Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ», καὶ ὑπήκουσε τὸ στοιχεῖον, καὶ ἐπλήρωσε τὸ ἐπιταχθέν. «Καὶ ἐγένετο», φησίν, «οὕτως», ὡς ἐκέλευσεν ὁ Δεσπότης· «καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπειῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά, καὶ ηὐλόγησεν αὐτὰ ὁ Θεός, λέγων· αὐ-

καὶ πῶς ὁ λόγος αὐτοῦ ἔγινεν ἔργον καὶ ἡ ἐντολή του ἐχάρισε τὴν ὕπαρξιν καὶ τὴν δίοδον διὰ τὴν ζωὴν εἰς αὐτούς;

4. Ἀλλὰ ὑπάρχουν μερικοὶ ἀγνώμονες, οἱ ὁποῖοι καὶ ὕστερα ἀπὸ τόσην διδασκαλίαν ἐπιχειροῦν νὰ εἶναι ἄπιστοι καὶ νὰ μὴ παραδέχωνται ὅτι ἔχουν δημιουργὸν αὐτά, ποὺ βλέπομεν· [ἄλλοι μὲν ἰσχυρίζονται ὅτι αὐτὰ ἐδημιουργήθησαν μόνα των, ἄλλοι δὲ ὅτι ἔχουν δημιουργηθῆ ἀπὸ κάποιαν προϋπάρχουσαν ὕλην.] Παρατήρησε πόση εἶναι ἡ ἀπάτη τοῦ διαβόλου, πῶς μετεχειρίσθη τὴν εὐκολοπιστίαν ἐκείνων, ποὺ ὑπηρετοῦν τὴν πλάνην. Δι' αὐτὸ ὁ μακάριος Μωυσῆς ἐμπνεόμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα μᾶς διδάσκει μὲ τόσον μεγάλην ἀκρίβειαν, διὰ νὰ μὴ πάθωμεν τὰ ἴδια μὲ αὐτούς, ἀλλὰ διὰ νὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν μὲ σαφήνειαν, καὶ τὴν τάξιν τῶν δημιουργημάτων καὶ πῶς ἐδημιουργήθη τὸ καθένα. Διότι ἐὰν ὁ Θεὸς ὡδήγησεν ἔτσι τὴν γλῶσσαν τοῦ προφήτου, χωρὶς νὰ φροντίζη διὰ τὴν σωτηρίαν μας, ἦτο ἀρκετὸν νὰ εἰπῆ, ὅτι ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ τὰ ζῶα, καὶ οὔτε νὰ θέση τάξιν ἡμερῶν, οὔτε τί μὲν ἔχει γίνει πρῶτον, τί δὲ δεύτερον. Ἀλλὰ διὰ νὰ μὴ ἀφήσῃ καμμίαν πρόφασιν δικαιολογίας εἰς ἐκείνους, ποὺ θέλουν νὰ εἶναι ἀγνώμονες, ἔτσι διακρίνει μὲ σαφήνειαν καὶ τὴν τάξιν τῶν δημιουργημάτων καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν, καὶ μᾶς διδάσκει μὲ μεγάλην συγκατάβασιν τὰ πάντα, ὥστε, ἀφοῦ μάθωμεν ὅλην τὴν ἀλήθειαν, νὰ μὴ προσέχωμεν πλέον εἰς τὴν πλάνην ἐκείνων, οἱ ὁποῖοι λέγουν τὰ πάντα ἐξ ἰδίων σκέψεων ἀλλὰ διὰ νὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν τὴν ἄπειρον δύναμιν τοῦ δημιουργοῦ μας. «Καὶ ἔγινε, λέγει, ἔτσι». Εἶπεν, «Ἂς γεμίσουν τὰ ὕδατα ἑρπετὰ ζῶντα καὶ πτηνὰ ἂς πετοῦν ἐπάνω ἀπὸ τὴν γῆν πρὸς τὸν οὐράνιον θόλον», καὶ ὑπήκουσε τὸ στοιχεῖον καὶ ἐπραγματοποίησε τὴν ἐντολήν. «Καὶ ἔγινε, λέγει, ἔτσι», ὅπως ἐπρόσταξεν ὁ Κύριος· «καὶ ἐδημιούργησεν ὁ Θεὸς τὰ μεγάλα θαλάσσια κήτη καὶ ὅλα τὰ ποικίλα γένη τῶν ἑρπετῶν ζώων, ἀπὸ τὰ ὁποῖα ἐγέμισαν τὰ ὕδατα, καὶ ὅλα τὰ διάφορα εἴδη τῶν πτερωτῶν ζώων. Εἶδε δὲ ὁ Θεός, ὅτι ἦσαν καλά· καὶ ηὐλόγησεν αὐτὰ ὁ

ξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα τὰ ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς». Θέα μοι πάλιν ἐνταῦθα, πόση τοῦ Πνεύματος ἡ σοφία. Εἰπὼν γὰρ ὁ μακάριος Μωϋσῆς, ὅτι «Ἐγένετο οὕτως», διδάσκει ἡμᾶς κατὰ μέρος ἐπάγων καὶ λέγων, «Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά». Ἐνταῦθα τῶν ἀπερισκέπτως ἅπαντα φθεγγομένων πάλιν ἀναιρεῖ τὴν τόλμαν. Ἵνα γὰρ μή τις ἔχῃ λέγειν, καὶ τίνος ἕνεκα τὰ κήτη γέγονε; ποίαν ἡμῖν χρείαν συντελεῖ; τί τὸ ὄφελος ἐκ τῆς τούτων δημιουργίας; διὰ τοῦτο εἰπὼν «Ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν», καὶ τὰ πετεινά, εὐθέως ἐπήγαγε, «Καὶ εἶδεν ὁ Θεός, ὅτι «καλά». Μὴ γὰρ ἐπειδὴ σύ, φησί, τὸν λόγον ἀγνοεῖς τῶν γεγενημένων, ἐπισκήπτειν ἐπιχείρει τοῖς δημιουργήμασιν. Ἤκουσας τοῦ Δεσπότου ψηφιζομένου, καὶ λέγοντος, ὅτι καλά, καὶ πῶς σὺ μέμηνας τολμῶν λέγειν, διὰ τί γεγένηται; καὶ ὡς περιττὴν αὐτῶν τὴν δημιουργίαν διαβάλλεις; Ἐὰν γὰρ εὐγνώμων ᾖς, δυνήσῃ καὶ ἐκ τῆς τούτων δημιουργίας καὶ τὴν δύναμιν τοῦ σοῦ Δεσπότου, καὶ τὴν ἄφατον φιλανθρωπίαν καταμαθεῖν· τὴν μὲν δύναμιν ὅτι τῷ λόγῳ καὶ ἐπιτάγματι ἐκ τῶν ὑδάτων τοιαῦτα ζῶα παραχθῆναι πεποίηκε· τὴν δὲ φιλανθρωπίαν, ὅτι καὶ παραγαγὼν ἰδίαν τινὰ χώραν αὐτοῖς ἀπένειμε, καὶ τὸ ἄπλετον μέρος τῆς θαλάσσης αὐτοῖς ἀπεκλήρωσεν, ὥστε μηδένα λυμαίνεσθαι, ἀλλ' ἐνδιαιτᾶσθαι μὲν τοῖς ὕδασι, καὶ διὰ τῆς ὄψεως τοῦ δημιουργοῦ διδάσκειν τὴν ὑπερβάλλουσαν δύναμιν, μηδεμίαν δὲ βλάβην παρέχειν τῷ τῶν ἀνθρώπων γένει. Ἢ μικρὸν οἴει τοῦτο μέρος εἶναι φιλανθρωπίας, τὸ διπλῆν ἐξ αὐτῶν σοι γίνεσθαι τὴν ὠφέλειαν; Καὶ γὰρ εἰς θεογνωσίαν ἐνάγει τοὺς εὐγνωμονεῖν

Θεός, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ γεμίσατε τελείως τὰ ὕδατα τῶν θαλασσῶν, καὶ τὰ πτηνὰ ἂς πληθύνωνται ἐπὶ τῆς γῆς». Πρόσεξε, παρακαλῶ, πάλιν ἐδῶ, πόση εἶναι ἡ σοφία τοῦ Πνεύματος. Διότι ἀφοῦ εἶπεν ὁ μακάριος Μωυσῆς, ὅτι «Ἔγινεν ἔτσι», μᾶς διδάσκει χωριστὰ προσθέτων καὶ λέγων, «Καὶ ἐδημιούργησεν ὁ Θεὸς τὰ μεγάλα θαλάσσια κήτη καὶ ὅλα τὰ ποικίλα γένη τῶν ἑρπετῶν ζώων, ἀπὸ τὰ ὁποῖα ἐγέμισαν τὰ ὕδατα, καὶ ὅλα τὰ διάφορα εἴδη τῶν πτερωτῶν ζώων. Καὶ εἶδεν ὁ Θεός, ὅτι ἦσαν καλά». Ἐδῶ πάλιν ἀναιρεῖ τὴν τόλμην ἐκείνων, ποὺ ἀπερίσκεπτα λέγουν τὰ πάντα. Διὰ νὰ μὴ ἠμπορῇ λοιπὸν κανεὶς νὰ λέγῃ, διὰ ποῖον σκοπὸν ἔγιναν τὰ θαλάσσια κήτη; ποίαν χρησιμότητα μᾶς παρέχουν; ποῖον τὸ κέρδος ἀπὸ τὴν δημιουργίαν αὐτῶν; διὰ τοῦτο ἀφοῦ εἶπεν «Ἐδημιούργησεν ὁ Θεὸς τὰ μεγάλα θαλάσσια κήτη καὶ ὅλα τὰ ποικίλα γένη τῶν ἑρπετῶν ζώων», καὶ τὰ πτηνά, ἀμέσως ἐπρόσθεσε, «Καὶ εἶδεν ὁ Θεός, ὅτι ἦσαν καλά». Μὴ λοιπόν, ἐπειδὴ σύ, λέγει, δὲν γνωρίζεις τὸν σκοπὸν τῶν δημιουργημάτων, ἐπιχειρῇς νὰ κατηγορῇς τὰ δημιουργήματα. Ἤκουσες τὸν Κύριον νὰ ἀποφασίζῃ καὶ νὰ λέγῃ, ὅτι εἶναι καλά, καὶ πῶς σὺ μὲ παραφροσύνην τολμᾷς νὰ λέγῃς, διατί ἔχουν γίνει; καὶ συκοφαντεῖς ὡς ἄχρηστον τὴν δημιουργίαν αὐτῶν; Διότι ἐὰν εἶσαι συνετός, θὰ ἠμπορέσῃς καὶ ἀπὸ τὴν δημιουργίαν αὐτῶν νὰ γνωρίσῃς καλῶς καὶ τὴν δύναμιν τοῦ Κυρίου σου καὶ τὴν ἀνέκφραστον φιλανθρωπίαν του· τὴν μὲν δύναμιν, διότι μὲ τὸν λόγον καὶ τὴν ἐντολήν του ἔκαμε νὰ δημιουργηθοῦν ἀπὸ τὰ ὕδατα τόσα ζῷα· τὴν δὲ φιλανθρωπίαν, διότι ἀφοῦ τὰ ἐδημιούργησεν, ἔδωσεν εἰς αὐτὰ κάποιον ἰδιαίτερον χῶρον καὶ καθώρισε δι᾽ αὐτὰ τὸ ἀπέραντον μέρος τῆς θαλάσσης, ὥστε κανένα νὰ μὴ βλάπτουν, ἀλλὰ νὰ ζοῦν μὲν μέσα εἰς τὰ ὕδατα καὶ μὲ τὴν θέαν των νὰ διδάσκουν τὴν ὑπερβολικὴν δύναμιν τοῦ δημιουργοῦ, καμμίαν δὲ βλάβην νὰ μὴ προκαλοῦν εἰς τὸ γένος τῶν ἀνθρώπων. Ἢ νομίζεις, ὅτι εἶναι αὐτὸ μικρὸν μέρος φιλανθρωπίας, τὸ νὰ γίνεται εἰς σὲ διπλῆ ἡ ὠφέλεια ἀπὸ αὐτά; Διότι καὶ εἰς τὴν θεογνωσίαν ὁδηγεῖ ἐκείνους,

βουλομένους, καὶ ἐκπλήττεσθαι παρασκευάζει τῆς φιλανθρωπίας αὐτοῦ τὸ μέγεθος, ὅτι τῆς ἀπ' αὐτῶν βλάβης ἠλευθέρωσε τὴν τῶν ἀνθρώπων φύσιν. Οὐδὲ γὰρ εἰς χρείαν ἡμῖν μόνον ἅπαντα παρ' αὐτοῦ δεδημιούργηται, ἀλλὰ διὰ τὴν πολλὴν αὐτοῦ φιλοτιμίαν, τὰ μὲν εἰς χρείαν, τὰ δὲ καὶ διὰ τοῦτο παρήχθη, ἵνα κηρύττηται τοῦ ποιήσαντος αὐτὰ ἡ δύναμις. Ἀκούων τοίνυν, ὅτι «Εἶδεν ὁ Θεὸς ὅτι καλά», μηκέτι τόλμα ἀντιφθέγγεσθαι τῇ θείᾳ Γραφῇ, μηδὲ περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, καὶ λέγειν, διὰ τί τὸ καὶ τὸ ἐγένετο; «Καὶ εὐλόγησεν αὐτὰ ὁ Θεός», φησί, καὶ εἶπεν· αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα τὰ ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς».

5. Αὕτη ἐστὶν ἡ εὐλογία, τὸ εἰς πλῆθος αὐτὰ ἐπιδοῦναι. Ἐπειδὴ γὰρ ἔμψυχα ἦν τὰ ζῶα τὰ δημιουργηθέντα, ἐβούλετο δὲ διηνεκῆ τούτων εἶναι τὴν σύστασιν· διὰ τοῦτο ἐπήγαγε· «Καὶ εὐλόγησεν αὐτὰ ὁ Θεός, καὶ εἶπεν· αὐξάνεσθε, καὶ πληθύνεσθε». Τὸ γὰρ ῥῆμα ἐκεῖνο μέχρι τοῦ παρόντος ταῦτα συγκρατεῖ, καὶ τοσοῦτο μῆκος χρόνου παρέδραμε, καὶ οὐδὲ ἓν τούτων γένος ἠλαττώθη. Ἡ γὰρ εὐλογία ἡ παρὰ τοῦ Θεοῦ, καὶ τὸ ῥῆμα τὸ λέγον, «Αὐξάνεσθε καὶ πληθύνεσθε», τὴν σύστασιν αὐτοῖς καὶ τὴν διαμονὴν ταύτην ἅπασαν ἐχαρίσατο. «Καὶ ἐγένετο», φησίν, «ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη». Εἶδες πῶς καὶ τὰ κατὰ τὴν πέμπτην ἡμέραν δημιουργηθέντα ζῶα ἐδίδαξεν ἡμᾶς ἡ θεία Γραφή; Ἀλλὰ μικρὸν ἀνάμεινον, καὶ ὄψει πάλιν τοῦ σοῦ Δεσπότου τὴν φιλανθρωπίαν. Οὐδὲ γὰρ μόνον τὰ ὕδατα πρὸς τὴν τῶν ζώων γένεσιν διήγειρεν, ἀλλὰ καὶ ἐκ τῆς γῆς πάλιν ἀναδοθῆναι προσέταξε ζῶα χερσαῖα. Οὐδὲν γὰρ ἄτοπον μικρὸν ἐφάψασθαι σήμερον καὶ τῶν κατὰ τὴν ἕκτην ἡμέραν γενομένων. «Καὶ εἶπε», φησίν, «ὁ Θεός· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετά, καὶ θηρία ἐπὶ τῆς γῆς, καὶ τὰ κτήνη, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ

πού θέλουν νά είναι συνετοί, καί κάνει νά αίσθανώμεθα κατάπληξιν άπό τό μέγεθος τής φιλανθρωπίας τοῦ Θεοῦ, διότι άπήλλαξε τό άνθρώπινον γένος άπό τήν ζημίαν, πού ήμποροῦν νά προκαλέσουν αὐτά. (Οὔτε βέβαια ἔχουν δημιουργηθῆ τά πάντα ἀπό αὐτόν μόνον διά τήν ὠφέλειάν μας, ἀλλά ἐξ αἰτίας τῆς μεγάλης του γενναιοδωρίας, ἄλλα μέν διά τάς ἀνάγκας μας, ἄλλα δέ καί δι' αὐτό ἐδημιουργήθησαν, διά νά διακηρύσσεται ἡ δύναμις τοῦ δημιουργοῦ των.) Ὅταν ἀκούῃς λοιπόν, ὅτι «Εἶδεν ὁ Θεός, ὅτι ἦσαν καλά», νά μή τολμᾷς πλέον νά ἀντιλέγῃς εἰς τήν Ἁγίαν Γραφήν, οὔτε νά εἶσαι περίεργος καί πολυπράγμων, καί νά λέγῃς, διατί ἔγινεν αὐτό καί διατί ἐκεῖνο; «Καί εὐλόγησεν αὐτά ὁ Θεός, λέγει, καί εἶπεν· αὐξάνεσθε καί πληθύνεσθε καί γεμίσατε ἐντελῶς τά ὕδατα τῶν θαλασσῶν, καί τά πτηνά ἄς πληθύνωνται ἐπί τῆς γῆς».

5. Ἡ εὐλογία εἶναι αὐτή, τό νά αὐξηθοῦν δηλαδή αὐτά εἰς ἀριθμόν. Ἐπειδή λοιπόν ἦσαν ἔμψυχα τά δημιουργηθέντα ζῶα, καί ἤθελε νά ὑπάρχουν αὐτά παντοτινά, δι' αὐτό ἐπρόσθεσε· «Καί εὐλόγησεν αὐτά ὁ Θεός, καί εἶπεν· αὐξάνεσθε καί πληθύνεσθε». Ὁ λόγος λοιπόν αὐτός μέχρι τώρα συγκρατεῖ αὐτά τά ζῶα, καί ἐπέρασε τόσον πολύς χρόνος, καί κανένα γένος ἀπό αὐτά δέν ἠλαττώθη. Διότι ἡ εὐλογία τοῦ Θεοῦ καί ὁ λόγος πού ἔλεγεν, «αὐξάνεσθε καί πληθύνεσθε», ἐχάρισεν εἰς αὐτά τήν ὕπαρξιν καί τήν διαβίωσιν αὐτήν. «Καί ἔγινε, λέγει, βράδυ, καί ἔγινε πρωί, ἡμέρα πέμπτη». Εἶδες πῶς μᾶς ἐδίδαξεν ἡ Ἁγία Γραφή καί τά δημιουργηθέντα ζῶα κατά τήν πέμπτην ἡμέραν; Περίμενε ὅμως ὀλίγον καί θά ἴδῃς πάλιν τήν φιλανθρωπίαν τοῦ Κυρίου σου. Διότι δέν παρεκίνησε μόνον τά ὕδατα διά τήν γένεσιν τῶν ἰχθύων, ἀλλά ἐπρόσταξε πάλιν νά προέλθουν ἀπό τήν γῆν τά χερσαῖα ζῶα. Δέν εἶναι λοιπόν καθόλου ἄτοπον νά καταπιασθοῦμεν ὀλίγον σήμερα καί μέ τά δημιουργηθέντα κατά τήν ἕκτην ἡμέραν. «Καί εἶπεν, λέγει ἡ Γραφή, ὁ Θεός· ἄς γεννήσῃ ἡ γῆ τά διάφορα εἴδη τῶν ζώντων ὀργανισμῶν, τά τετράποδα δηλαδή καί τά ἑρπετά, καί τά ἄγρια θηρία τῆς γῆς καί τά κατοικίδια ζῶα

γένος. Καὶ ἐγένετο **οὕτως**». *Ὅρα* **καὶ** *τὴν γῆν πάλιν διπλῆν καρποφορίαν παρέχουσαν, καὶ τῷ προστάγματι τοῦ Δεσπότου ὑπηρετουμένην. Τότε μὲν γὰρ τῶν σπερμάτων τὴν βλάστην ἐξέδωκε, νῦν δὲ ζῶα ἔμψυχα, τετράποδα, ἑρπετά, θηρία καὶ κτήνη. Ἰδοὺ* **ὅπερ ἔφθην εἰπών,** *τοῦτο καὶ νῦν δείκνυται, ὅτι οὐ διὰ χρείαν ἡμετέραν μόνον ἅπαντα παρήγαγεν, ἀλλὰ καὶ δι' ὠφέλειαν, ἵνα ὁρῶντες τὴν ἄφθονον περιουσίαν τῶν αὐτοῦ δημιουργημάτων,* **ἐκπληττώμεθα** *τοῦ δημιουργοῦ τὴν δύναμιν, καὶ εἰδέναι ἔχωμεν ὡς σοφίᾳ τινὶ καὶ ἀφάτῳ φιλανθρωπίᾳ διὰ τὴν εἰς τὸν μέλλοντα ἄνθρωπον γίνεσθαι τιμήν, ταῦτα* **ἅπαντα παρήχθη. «Καὶ ἐποίησε»,** *φησίν, «ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς* **κατὰ** *γένος αὐτῶν. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλά». Ποῦ νῦν εἰσι οἱ τολμῶντες λέγειν, διὰ τί θηρία; διὰ τί ἑρπετά; Ἀκουέτωσαν τῆς θείας Γραφῆς λεγούσης, «Καὶ εἶδεν* **ὁ Θεὸς ὅτι** *καλά». Εἰπέ μοι, αὐτὸς ὁ δημιουργήσας ἐπαινεῖ τὰ γινόμενα, καὶ σὺ ἐπισκήπτειν τολμᾷς; Καὶ πόσης οὐκ ἂν εἴη τοῦτο μανίας; Ἐπεὶ καὶ ἐν τοῖς σπέρμασι καὶ ἐν τοῖς φυτοῖς οὐ μόνον ἔγκαρπα δένδρα ἀνέδωκεν ἡ γῆ, ἀλλὰ καὶ* **ἄκαρπα,** *καὶ οὐ μόνον ἀχρησίμους βοτάνας, ἀλλὰ καὶ ἡμῖν ἀγνώστους ἐκφέρει, πολλάκις καὶ ἐπιβλαβεῖς· ἀλλ'* **οὐ** *διὰ τοῦτο τολμήσει τις μέμφεσθαι τοῖς γινομένοις· οὐδὲν γὰρ μάτην,* **οὐδὲ** *ἁπλῶς γεγένηται. Οὐδὲ γὰρ ἂν τὸν ἔπαινον* **ἐδέξατο** *παρὰ τοῦ Δεσπότου, εἰ μὴ πρὸς χρείαν τινὰ* **ἐπωφελῆ δεδημιούργηται.** *Καθάπερ οὖν ἐπὶ τῶν δένδρων* **οὐ πάντα ἐστὶν** *ἔγκαρπα, ἀλλὰ καὶ ἄκαρπα πολλά, καὶ οὐκ ἔλαττον τῶν ἐγκάρπων κἀκεῖνα θαυμαστὴν ἡμῖν τὴν χρείαν παρέχεται,* **πρὸς** *τὴν ἀνάπαυσιν τὴν ἡμετέραν συντελοῦντα· καὶ γὰρ* **καὶ** *οἰκοδομὰς ἐξ αὐτῶν, καὶ πολλὰς ἑτέρας χρείας* **πρὸς** *τὴν ἡμετέραν ἀνάπαυσιν συντελούσας κατασκευάζομεν, καὶ ὅλως οὐ-*

10. Δηλαδὴ κατὰ τὴν τρίτην ἡμέραν τῆς δημιουργίας.

καὶ τὰ διάφορα εἴδη τῶν ἑρπετῶν τῆς γῆς. Καὶ ἔγινεν ἔτσι». Πρόσεχε, ὅτι καὶ ἡ γῆ πάλιν παρέχει διπλῆν καρποφορίαν καὶ ὑπακούει εἰς τὴν ἐντολὴν τοῦ Κυρίου. Διότι τότε μὲν[18] παρήγαγε τὴν βλάστησιν τῶν φυτῶν, τώρα δὲ παράγει ζῶα ἔμψυχα, τετράποδα, ἑρπετά, ἄγρια θηρία καὶ κατοικίδια ζῶα. Ἰδοὺ ἐκεῖνο ποὺ εἶπα προηγουμένως, αὐτὸ καὶ τώρα ἀποδεικνύεται, ὅτι δηλαδὴ δὲν ἐδημιούργησεν ὅλα μόνον διὰ τὰς ἀνάγκας μας, ἀλλὰ καὶ διὰ τὴν ὠφέλειάν μας, ὥστε, βλέποντες τὸν ἄφθονον πλοῦτον τῶν δημιουργημάτων του, νὰ θαυμάζωμεν τὴν δύναμιν τοῦ δημιουργοῦ καὶ νὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν, ὅτι ὅλα αὐτὰ ἔγιναν μὲ σοφίαν καὶ ἄπειρον φιλανθρωπίαν πρὸς τιμὴν τοῦ ἀνθρώπου, ποὺ ἐπρόκειτο νὰ δημιουργηθῇ. «Καὶ ἔκαμε, λέγει, ὁ Θεὸς τὰ ποικίλα εἴδη τῶν ἀγρίων θηρίων τῆς γῆς, τὰ διάφορα εἴδη τῶν κατοικιδίων ζώων καὶ ὅλα τὰ ποικίλα εἴδη τῶν ἑρπετῶν τῆς γῆς. Καὶ εἶδεν ὁ Θεός, ὅτι ἦσαν καλά». Ποῦ εἶναι τώρα οἱ τολμῶντες νὰ λέγουν, διατί ἔγιναν τὰ ἄγρια θηρία; διατί τὰ ἑρπετά; Ἂς ἀκούσουν τὴν Ἁγίαν Γραφήν, ποὺ λέγει, «Καὶ εἶδεν ὁ Θεός, ὅτι ἦσαν καλά». Εἰπέ μου, ὁ δημιουργὸς ὁ ἴδιος ἐπαινεῖ τὰ δημιουργήματα, καὶ σὺ τολμᾷς νὰ τὰ ψέγῃς; Πόσης παραφροσύνης δεῖγμα δὲν θὰ εἶναι αὐτό; Ἀφοῦ καὶ ἀνάμεσα εἰς τοὺς σπόρους καὶ εἰς τὰ φυτὰ ἡ γῆ δὲν ἐβλάστησε μόνον καρποφόρα δένδρα, ἀλλὰ καὶ ἄκαρπα, καὶ ὄχι μόνον ἄχρηστα χόρτα, ἀλλὰ παράγει καὶ ἄγνωστα εἰς ἡμᾶς, πολλὰς δὲ φορὰς καὶ ἐπιβλαβῆ. Ἀλλὰ δὲν θὰ τολμήσῃ κανεὶς δι' αὐτὸ νὰ κατηγορῇ τὰ δημιουργήματα, διότι τίποτε δὲν ἔχει δημιουργηθῆ χωρὶς λόγον καὶ σκοπόν. Διότι οὔτε καὶ τὸν ἔπαινον τοῦ Κυρίου θὰ ἐδέχοντο, ἐὰν δὲν εἶχαν δημιουργηθῆ διὰ κάποιαν χρήσιμον ἀνάγκην. Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὰ δένδρα δὲν εἶναι ὅλα καρποφόρα, ἀλλὰ καὶ πολλὰ εἶναι ἄκαρπα, καὶ αὐτὰ δὲν μᾶς προσφέρουν μικροτέραν ἀπὸ τὰ καρποφόρα τὴν θαυμαστήν των χρησιμότητα, ἐπειδὴ συντελοῦν εἰς τὴν ἀνακούφισίν μας· διότι καὶ σπίτια κατασκευάζομεν ἀπὸ αὐτά, καὶ πολλὰς ἄλλας ἀνάγκας ποὺ συντελοῦν εἰς τὴν ἄνεσίν μας, καὶ γενικῶς τίποτε δὲν

δέν ἐστιν, ὃ μὴ λόγῳ τινὶ δεδημιούργηται, εἰ καὶ ἡ ἀνθρωπίνη φύσις οὐκ ἰσχύει πάντων μετὰ ἀκριβείας εἰδέναι τὸν λόγον· ὥσπερ οὖν ἐπὶ τῶν δένδρων, οὕτω καὶ ἐπὶ τῶν ζώων τὰ μὲν πρὸς βρῶσιν ἡμῖν ἐστιν ἐπιτήδεια, τὰ δὲ πρὸς ὑπηρεσίαν. Καὶ τῶν θηρίων δὲ τὰ γένη, καὶ τῶν ἑρπετῶν οὐ μικρὰν ἡμῖν χρείαν συντελεῖ, καὶ εἰ βουληθείη τις εὐγνωμόνως καταμαθεῖν, εὑρίσκει καὶ νῦν, ὅτε τῆς ἀρχῆς αὐτῶν ἀφῃρέθημεν διὰ τὴν τοῦ πρωτοπλάστου παρακοήν, πολλὴν τὴν ἀπ' αὐτῶν ὠφέλειαν ἡμῖν προσγινομένην. Πολλὰ γὰρ καὶ ἐκ τούτων λαμβάνοντες ἰατρῶν παῖδες κατασκευάζουσι πρὸς τὴν τῶν ἡμετέρων σωμάτων ὑγίειαν συντελεῖν δυνάμενα. Ἄλλως δὲ ποία βλάβη ἐκ τῆς τῶν θηρίων δημιουργίας, ὁπότε καθάπερ τὰ ἥμερα, οὕτω καὶ αὐτὰ ὑπὸ τὴν ἐξουσίαν τυγχάνειν ἤμελλε τοῦ μετ' οὐ πολὺ μέλλοντος δημιουργεῖσθαι; Τοῦτο γὰρ τέως φημί.

6. Ἵνα δὲ μάθῃς τοῦ τῶν ἁπάντων Δεσπότου τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, ἣν περὶ τὸ γένος τὸ ἡμέτερον ἐπιδείκνυται, ἐπειδὴ ἐξέτεινε τὸν οὐρανόν, ἥπλωσε τὴν γῆν, ἐδημιούργησε τὸ στερέωμα, καθάπερ τι μέσον τειχίον τὴν διαίρεσιν τῶν ὑδάτων ἐργαζόμενον, εἶτα τὴν συναγωγὴν τῶν ὑδάτων γενέσθαι προστάξας, τὰ μὲν θαλάσσας ὠνόμασε, τὴν δὲ ξηρὰν γῆν, εἶτα ταύτην ἐκαλλώπισε ταῖς τῶν σπερμάτων ἀναδόσεσι, καὶ τῶν λοιπῶν βοτανῶν. Μετῆλθε πάλιν ἐπὶ τὴν τῶν δύο μεγάλων φωστήρων δημιουργίαν, καὶ τῶν ἀστέρων τὴν ποικιλίαν, δι' αὐτῶν τὸ κάλλος τοῦ οὐρανοῦ κατακοσμήσας· εἶτα τὰ ἐκ τῶν ὑδάτων ζῶα ἔμψυχα παραγαγών, καὶ τὰ πετεινὰ τὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ πληρώσας τῶν πέντε ἡμερῶν τὸν ἀριθμόν, ἐπειδὴ ἐχρῆν καὶ τὰ ἀπὸ τῆς γῆς ζῶα δημιουργηθῆναι, προστάξας καὶ ταῦτα ἀναδοθῆναι, τά τε πρὸς τροφὴν ἐπιτήδεια, τά τε πρὸς τὴν ὑπηρεσίαν χρήσιμα, καὶ τα θηρία καὶ τὰ ἑρπετά, τότε λοιπὸν ἐπειδὴ πάντα κατεκόσμησε, καὶ τὴν προσήκουσαν ἐπέθηκεν εὐταξίαν καὶ διακ-

ὑπάρχει, τὸ ὁποῖον νὰ μὴ ἔχῃ δημιουργηθῆ διὰ κάποιον λόγον, ἄν καὶ ἡ ἀνθρωπίνη φύσις δὲν ἠμπορεῖ νὰ γνωρίζῃ μὲ ἀκρίβειαν τὸν σκοπὸν ὅλων· ὅπως λοιπὸν εἰς τὰ δένδρα, ἔτσι συμβαίνει καὶ εἰς τὰ ζῶα, ἄλλα μὲν μᾶς εἶναι χρήσιμα διὰ τὴν διατροφήν, ἄλλα δὲ διὰ τὴν ἐξυπηρέτησίν μας. Καὶ τὰ εἴδη δὲ τῶν ἀγρίων θηρίων καὶ τῶν ἑρπετῶν δὲν μᾶς ὠφελοῦν ὀλίγον, καὶ ἐὰν θὰ θελήσῃ κανεὶς νὰ ἐξετάσῃ μὲ σύνεσιν, εὑρίσκει καὶ τώρα, ὁπότε ἐστερήθημεν τὴν ἐξουσίαν ἐπ' αὐτῶν ἐξ αἰτίας τῆς παρακοῆς τῶν πρωτοπλάστων, νὰ μᾶς παρέχουν αὐτὰ μεγάλην ὠφέλειαν. Διότι λαμβάνοντες πολλὰ ἀπὸ τὰ ζῶα οἱ ἰατροὶ παρασκευάζουν τὰ φάρμακα, ποὺ συντελοῦν εἰς τὴν σωματικήν μας ὑγείαν. Ἄλλωστε δὲ ποία ἡ βλάβη ἀπὸ τὴν δημιουργίαν τῶν ἀγρίων θηρίων, ὅταν ὅπως ἀκριβῶς τὰ ἥμερα, ἔτσι καὶ αὐτὰ ἐπρόκειτο νὰ εὑρίσκοντο κάτω ἀπὸ τὴν ἐξουσίαν τοῦ ἀνθρώπου, ποὺ ἐπρόκειτο νὰ δημιουργηθῇ ὕστερα ἀπὸ ὀλίγον; Αὐτὸ λοιπὸν κατὰ πρῶτον λέγω.

6. Διὰ νὰ ἐννοήσῃς δὲ τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Κυρίου τῶν πάντων, τὴν ὁποίαν φανερώνει διὰ τὸ ἀνθρώπινον γένος, ἀφοῦ ἐξέτεινε τὸν οὐρανόν, ἥπλωσε τὴν γῆν, ἐδημιούργησε τὸν οὐράνιον θόλον, ὡσὰν κάποιο ἐνδιάμεσον τεῖχος ποὺ διαχωρίζει τὰ ὕδατα· ἔπειτα ἀφοῦ ἐπρόσταξε νὰ γίνῃ ἡ συνάθροισις τῶν ὑδάτων, αὐτὰ μὲν ὠνόμασε θαλάσσας, τὴν δὲ ξηρὰν γῆν, ἔπειτα ἐστόλισεν αὐτὴν μὲ τὴν βλάστησιν τῶν φυτῶν καὶ τῶν ὑπολοίπων χόρτων. Ἔπειτα ἦλθε πάλιν εἰς τὴν δημιουργίαν τῶν δύο μεγάλων φωστήρων καὶ τῶν διαφόρων ἄστρων, μὲ τὸ κάλλος τῶν ὁποίων ἐστόλισε τὸν οὐρανόν· ὕστερα ἀφοῦ ἐδημιούργησεν ἀπὸ τὰ ὕδατα ἔμψυχα ζῶα, καὶ τὰ πτηνά, νὰ πετοῦν ἐπάνω ἀπὸ τὴν γῆν πρὸς τὸν οὐράνιον θόλον καὶ ἀφοῦ ἐσυμπλήρωσε τὸν ἀριθμὸν τῶν πέντε ἡμερῶν, ἐπειδὴ ἔπρεπε νὰ δημιουργηθοῦν καὶ τὰ ζῶα ἀπὸ τὴν γῆν, ἀφοῦ ἐπρόσταξε νὰ γεννηθοῦν καὶ αὐτά, ἄλλα κατάλληλα πρὸς τροφήν, ἄλλα χρήσιμα πρὸς ἐξυπηρέτησίν μας, καὶ τὰ ἄγρια θηρία καὶ τὰ ἑρπετά· τότε λοιπὸν ἐπειδὴ ἐστόλισε τὰ πάντα καὶ ἔθεσε τὴν ἁρμόζουσαν εὐπρέπειαν καὶ

σμησιν τοῖς ὁρωμένοις, καὶ τὴν τράπεζαν πολυτελῆ παρεσκεύασε ποικίλων καὶ παντοδαπῶν πεπληρωμένην τῶν ἐδεσμάτων, καὶ πολλὴν τὴν ἀφθονίαν καὶ τὸν πλοῦτον ἔχουσαν, καὶ τὰ βασίλεια, ὡς ἂν εἴποι τις, πανταχόθεν λαμπρὰ εἰργάσατο τὰ ἄνω, τὰ κάτω ποικίλως φαιδρύνας, τότε λοιπὸν τὸν τούτων ἁπάντων ἀπολαύειν μέλλοντα δημιουργεῖ, τὴν ἐξουσίαν τῶν ὁρωμένων ἁπάντων αὐτῷ παραδιδούς, καὶ δεικνὺς ὅσῳ τῶν δημιουργηθέντων ἁπάντων τιμιώτερον τὸ μέλλον διαπλάττεσθαι ζῶον, εἴγε πάντα τὰ γενόμενα ὑπὸ τὴν τούτου ἐξουσίαν καὶ ἐπιτροπὴν γενέσθαι κελεύει. Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνωμεν, ἀρκεσθέντες τοῖς εἰρημένοις, εἰς τὴν ἑξῆς ταμιευσώμεθα τὰ κατὰ τὴν διάπλασιν τοῦ θαυμαστοῦ τούτου ζώου τοῦ λογικοῦ καὶ ἐμψύχου, τοῦ ἀνθρώπου λέγω, τὴν συνήθη παράκλησιν ὑμῖν καὶ νῦν προσάγοντες, ὥστε καὶ τῶν εἰρημένων τὴν μνήμην διαφυλάττειν, καὶ διὰ πάντων τῶν ὁρωμένων εἰς τὴν τοῦ Δεσπότου δοξολογίαν ἑαυτοὺς διεγείρειν. Καὶ τὸ μὴ ἐφικνεῖσθαι, μηδὲ δύνασθαι πάντων τῶν δημιουργηθέντων τὸν λόγον καταλαβεῖν, μὴ γενέσθω ἡμῖν ἀπιστίας ὑπόθεσις, ἀλλὰ δοξολογίας ἀφορμή. Ὅταν γὰρ ἀτονήσῃ ὁ λογισμός, καὶ μὴ χωρήσῃ ἡ διάνοια, ἐννόει τοῦ Δεσπότου σου τὸ μέγεθος, καὶ ἐξ αὐτοῦ τούτου, ὅτι τοσαύτη αὐτοῦ ἡ δύναμις ὡς μηδὲ τὸν λόγον ἡμᾶς μετὰ ἀκριβείας εἰδέναι τῶν ὑπ' αὐτοῦ γεγενημένων. Τοῦτο διανοίας εὐγνώμονος, τοῦτο ψυχῆς νηφούσης. Ἐπεὶ καὶ Ἕλληνες οὕτως ἐπλανήθησαν τοῖς οἰκείοις λογισμοῖς τὰ πάντα ἐπιτρέψαντες καὶ μὴ θελήσαντες πρὸς τὸ ἀσθενὲς τῆς οἰκείας φύσεως ἀπιδεῖν, ἀλλὰ τὰ ὑπὲρ αὐτοὺς φαντασθέντες, καὶ τῶν οἰκείων ὅρων ὑπερβάντες τὸ μέτρον, καὶ τῆς προσούσης αὐτοῖς ἀξίας ἐξέπεσον. Οἱ γὰρ λόγῳ τετιμημένοι καὶ τοσαύτην προεδρίαν λαβόντες παρὰ τοῦ δημιουργοῦ, καὶ τῶν κτισμάτων ἁπάντων τῶν ὁρωμένων τιμιώτεροι, οὗτοι εἰς τοσαύτην ἀλογίαν κατηνέχθησαν, ὡς κύνας, καὶ πιθήκους, καὶ

διάταξιν εἰς τὰ ὁρατὰ δημιουργήματα, καὶ ἔκαμε τὸ τραπέζι πλούσιον καὶ γεμᾶτον ἀπὸ ποικίλα καὶ διαφορετικὰ φαγητὰ καὶ νὰ ἔχῃ ὅλα μὲ ἀφθονίαν· καὶ ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς τὴν βασιλικὴν κατοικίαν τοῦ οὐρανοῦ ἔκαμεν ἀπὸ παντοῦ λαμπρὰν καὶ τῆς γῆς καταστήσας λαμπράν, τότε εἰς τὸ ἑξῆς δημιουργεῖ ἐκεῖνον, ποὺ ἐπρόκειτο νὰ ἀπολαμβάνῃ ὅλα αὐτά, ἀναθέσας εἰς αὐτὸν τὴν ἐξουσίαν ὅλων τῶν ὁρατῶν δημιουργημάτων καὶ ἀποδεικνύων πόσον τιμιώτερον εἶναι ἀπὸ ὅλα αὐτὰ τὸ ὂν ποὺ ἐπρόκειτο νὰ πλασθῇ, ἀφοῦ διατάσσῃ ὅλα τὰ δημιουργηθέντα νὰ τεθοῦν κάτω ἀπὸ τὴν ἐξουσίαν καὶ τὴν κηδεμονίαν του. Ἀλλὰ διὰ νὰ μὴ ἐπεκτείνωμεν πολὺ τὸν λόγον, ἀφοῦ ἀρκεσθοῦμεν εἰς τὰ λεχθέντα, εἰς τὴν ἑπομένην ὁμιλίαν θὰ γνωρίσωμεν τὰ σχετικὰ μὲ τὴν δημιουργίαν τοῦ θαυμαστοῦ τούτου ὄντος, τοῦ λογικοῦ καὶ ἐμψύχου, δηλαδὴ τοῦ ἀνθρώπου, προσθέτοντες καὶ τώρα τὴν συνηθισμένην παράκλησιν πρὸς σᾶς, διὰ νὰ ἐνθυμῆσθε καὶ τὰ λεχθέντα, καὶ νὰ παρακινῆτε τοὺς ἑαυτούς σας διὰ μέσου ὅλων τῶν ὁρατῶν πρὸς δοξολογίαν τοῦ Κυρίου. Καὶ τὸ ὅτι δὲν πλησιάζετε, οὔτε ἠμπορεῖτε νὰ συλλάβετε τὸν σκοπὸν ὅλων τῶν δημιουργημάτων, ἂς μὴ γίνῃ εἰς ἡμᾶς πρόφασις ἀπιστίας, ἀλλὰ ἀφορμὴ δοξολογίας. Διότι ὅταν χάσῃ τὴν δύναμίν της ἡ σκέψις καὶ δὲν προχωρῇ ὁ νοῦς, σκέψου τὸ μέγεθος τοῦ Κυρίου σου, καὶ ἀπὸ αὐτὸ τὸ ἴδιον, ὅτι τόσον μεγάλη εἶναι ἡ δύναμις αὐτοῦ, ὥστε νὰ μὴ γνωρίζωμεν οὔτε τὸν σκοπὸν τῶν δημιουργημάτων του. Τοῦτο εἶναι χαρακτηριστικὸν ὑγιοῦς νοῦ καὶ καθαρᾶς ψυχῆς. Διότι καὶ οἱ Ἕλληνες ἔτσι ἐπλανήθησαν, ἐπειδὴ ἐνεπιστεύθησαν τὰ πάντα εἰς τὰς σκέψεις των καὶ δὲν ἠθέλησαν νὰ ἰδοῦν τὴν ἀδυναμίαν τῆς ἀνθρωπίνης φύσεως, ἀλλὰ ἀφοῦ ἐφαντάσθησαν πράγματα ὑπεράνω αὐτῶν καὶ ὑπερέβησαν τὸ μέτρον τῶν ἰδικῶν των δυνάμεων, καὶ ἐξέπεσαν ἀπὸ τὴν ἀξίαν, ποὺ εἶχαν. Διότι αὐτοί, ποὺ εἶχαν τιμηθῆ μὲ τὸ λογικὸν καὶ ἐνῷ ἔλαβαν ἀπὸ τὸν δημιουργὸν τόσον μεγάλην ἐξουσίαν καὶ εἶχαν περισσοτέραν τιμὴν ἀπὸ ὅλα τὰ ὁρατὰ κτίσματα, αὐτοὶ κατέπεσαν εἰς τόσον μεγάλην ἀπερισκεψίαν, ὥστε

κροκοδείλους, καὶ τὰ ἀτιμότερα τούτων προσκυνεῖν. Καὶ τί λέγω ζῶα ἄλογα; Πολλοὶ τούτων εἰς τοσαύτην ἄνοιαν καὶ ἀναισθησίαν ἐξέπεσον, ὡς καὶ κρόμμυα, καὶ τὰ τούτων εὐτελέστερα σέβειν. Διὰ τοῦτο ὁ προφήτης τούτους αἰνιττόμενος ἔλεγε· «Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς». Ὁ λόγῳ, φησί, τετιμημένος, καὶ τοσαύτης σοφίας ἀξιωθείς, τῶν ἀλόγων γέγονεν ὅμοιος, τάχα δὲ καὶ χείρων. Ἐκεῖνα μὲν γὰρ ἅτε ἄλογα ὄντα οὐδὲ εὐθύνας ὑφέξει· ὁ δὲ λόγῳ τετιμημένος εἰς τὴν ἐκείνων ἀλογίαν μεταπεσών, εἰκότως μεγάλας δώσει τὰς εὐθύνας ἀγνώμων γενόμενος περὶ τὴν τοσαύτην εὐεργεσίαν. Ἐντεῦθεν καὶ λίθους καὶ ξύλα λοιπὸν θεοὺς προσηγόρευσαν, καὶ ταῦτα τὰ ὁρώμενα στοιχεῖα ἐθεοποίησαν· ἅπαξ γὰρ ἐκτραπέντες τῆς εὐθείας ὁδοῦ κατὰ κρημνῶν ἠνέχθησαν, καὶ εἰς αὐτὴν τὴν ἄβυσσον τῆς κακίας ἐξώκειλαν.

7. Ἀλλ' ἡμεῖς μηδὲ οὕτως ἀπογνῶμεν τῆς σωτηρίας αὐτῶν, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ μετὰ πάσης προθυμίας καὶ μακροθυμίας αὐτοῖς διαλεγώμεθα, δεικνύντες καὶ τοῦ πράγματος τὴν ἀτοπίαν, καὶ τῆς βλάβης τὸ μέγεθος, καὶ μηδέποτε ἀπαγορεύωμεν αὐτῶν τὴν σωτηρίαν. Εἰκὸς γὰρ αὐτοὺς πεισθήσεσθαι τοῦ χρόνου προϊόντος, καὶ μάλιστα ἂν ἡμεῖς οὕτω πολιτευώμεθα, ὡς μηδεμίαν αὐτοῖς παρέχειν λαβήν. Πολλοὶ γὰρ τούτων, ἐπειδὰν ἴδωσί τινας τῶν μεθ' ἡμῶν τεταγμένων, τῷ ῥήματι μὲν καὶ τῇ προσηγορίᾳ Χριστιανοὺς ὀνομαζομένους, ὁμοίως δὲ ἐκείνοις ἁρπάζοντας, πλεονεκτοῦντας, βασκαίνοντας, ἐπιβουλεύοντας, δόλους ῥάπτοντας, τὰ ἄλλα ἅπαντα ἐργαζομένους, τρυφῇ καὶ ἀδηφαγίᾳ προσέχοντας, οὐκέτι οὐδὲ τὴν ἀπὸ τῶν λόγων νουθεσίαν προσίενται, νομίζοντες ἀπάτην εἶναι τὰ ἡμέτερα, καὶ τοῖς αὐτοῖς ἅπαντας ὑπευθύνους εἶναι. Ἐννόει μοι τοίνυν πόσων

11. Ψαλμ. 48, 21.

νὰ προσκυνοῦν τοὺς σκύλους καὶ τοὺς πιθήκους καὶ τοὺς κροκοδείλους, ἀκόμη καὶ τὰ περισσότερον ἀνάξια αὐτῶν. Καὶ διατί λέγω ζῶα ἄλογα; Πολλοὶ ἀπὸ αὐτοὺς ἐξέπεσαν εἰς τόσον μεγάλην ἀνοησίαν καὶ ἀναισθησίαν, ὥστε νὰ σέβωνται καὶ τὰ κρεμμύδια, ἀκόμη καὶ τὰ εὐτελέστερα αὐτῶν. Δι' αὐτὸ ὁ προφήτης ὑπονοῶν αὐτούς, ἔλεγεν· «Ὁ ἄνθρωπος ἐξωμοιώθη μὲ τὰ ἀνόητα κτήνη, καὶ ἔγινεν ὅμοιος μὲ αὐτά»[11]. Ἐκεῖνος, λέγει, ποὺ ἐτιμήθη μὲ τὸ λογικὸν καὶ ἠξιώθη τόσην σοφίαν, ἔχει γίνει ὅμοιος μὲ τὰ ζῶα, ἴσως δὲ καὶ χειρότερος. Διότι ἐκεῖνα μέν, ἐπειδὴ εἶναι ἄλογα ὄντα, οὔτε φέρουν εὐθύνας· αὐτὸς ὅμως ποὺ ἔχει τιμηθῆ μὲ τὸ λογικόν, ὅταν περιέλθη εἰς τὴν ἄλογον κατάστασιν ἐκείνων, εὐλόγως θὰ θεωρηθῆ ὑπεύθυνος, ἐπειδὴ ἔγινεν ἀχάριστος εἰς τὴν τόσην εὐεργεσίαν. Ἔτσι εἰς τὴν συνέχειαν ὠνόμασαν θεοὺς καὶ τοὺς λίθους καὶ τὰ ξύλα, καὶ ἐθεοποίησαν αὐτὰ τὰ ὁρατὰ στοιχεῖα· διότι, ἀφοῦ ἐξετράπησαν μίαν φορὰν ἀπὸ τὴν εὐθεῖαν ὁδόν, ὡδηγήθησαν εἰς τοὺς κρημνοὺς καὶ ἔπεσαν εἰς αὐτὴν τὴν ἄβυσσον τῆς κακίας.

Ἀλλὰ ἡμεῖς οὔτε ἔτσι ἂς μὴ ἀπελπισθοῦμεν διὰ τὴν σωτηρίαν των, ἀλλὰ ἂς προσφέρωμεν τὴν βοήθειάν μας, καὶ ἂς συζητοῦμεν μὲ ὅλην μας τὴν προθυμίαν καὶ τὴν ἀγάπην μὲ αὐτούς, ἀποδεικνύοντες καὶ τὴν ἀνοησίαν τοῦ πράγματος καὶ τὸ μέγεθος τῆς βλάβης καὶ ποτὲ ἂς μὴ ἀποκλείωμεν τὴν σωτηρίαν των. Εἶναι λοιπὸν φυσικὸν νὰ πεισθοῦν αὐτοὶ μὲ τὴν πάροδον τοῦ χρόνου, καὶ μάλιστα ἂν ἡμεῖς συμπεριφερώμεθα ἔτσι, ὥστε νὰ μὴ δίδωμεν εἰς αὐτοὺς καμμίαν ἀφορμήν. Διότι πολλοὶ ἀπὸ αὐτούς, ὅταν ἰδοῦν μερικοὺς ἀπὸ τοὺς ἀνήκοντας εἰς ἡμᾶς, καὶ οἱ ὁποῖοι εἶναι μὲ τὰ λόγια μὲν καὶ τὸ ὄνομα Χριστιανοί, νὰ εἶναι δὲ ὅμοια μὲ ἐκείνους ἅρπαγες, πλεονέκται, φθονεροί, συνωμόται, δολοπλόκοι, νὰ κάμουν ὅλα τὰ ἄλλα, νὰ ἀφοσιώνωνται εἰς τὰς ἀπολαύσεις καὶ τὴν λαιμαργίαν, δὲν δέχονται πλέον οὔτε τὴν νουθεσίαν ἀπὸ τὰ λόγια, ἐπειδὴ νομίζουν ὅτι εἶναι ψευδῆ τὰ ἰδικά μας καὶ ὅτι εἴμεθα ὑπεύθυνοι ὅλοι διὰ τὰ ἴδια πράγματα. Σκέψου λοιπόν, παρακαλῶ, μὲ πόσας

ἂν οἱ τοιοῦτοι γένοιντο κολάσεων ἄξιοι, ὅταν μὴ μόνον ἑαυτοῖς ἐπισωρεύωσι τὸ πῦρ τὸ ἄσβεστον, ἀλλὰ καὶ ἑτέροις αἴτιοι γένωνται τοῦ τῇ πλάνῃ προσηλῶσθαι, καὶ πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν ἀποφράττειν τὰ ὦτα, καὶ μετὰ τούτου καὶ τοῖς τὴν ἀρετὴν μετιοῦσι διαβολῆς ἀφορμὴν παρέχουσι, καὶ τὸ δὴ πάντων χαλεπώτερον, ὅταν δι' αὐτῶν ὁ Δεσπότης βλασφημῆται. Ὁρᾷς ὅση τῆς κακίας ἡ λύμη; ὁρᾷς ὡς οὐ τῇ τυχούσῃ κολάσει ὑπευθύνους ἑαυτοὺς καθιστῶσιν οἱ τὴν κακίαν μετιόντες, ἀλλὰ καὶ σφόδρα βαρυτάτῃ, εἴγε μέλλοιεν ὑπὲρ ἁπάντων εὐθύνας ὑπέχειν, οὐ μόνον ὑπὲρ τῆς ἑαυτῶν ἀπωλείας, ἀλλὰ καὶ ὑπὲρ τοῦ τῶν πεπλανημένων σκανδάλου, καὶ ὑπὲρ τῆς κατηγορίας τῶν τὴν ἀρετὴν μετιόντων, καὶ ὑπὲρ τῆς εἰς τὸν Θεὸν βλασφημίας; Ταῦτα δὴ πάντα ἐννοοῦντες μὴ ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, καὶ τῆς κατὰ Θεὸν πολιτείας πολλὴν ποιώμεθα τὴν φροντίδα, εἰδότες ὅτι ἐντεῦθεν μάλιστα ἢ κατακρινόμεθα, ἢ τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιούμεθα. Οὕτω τοίνυν πάντα πράττωμεν, ὥστε καὶ ἡμᾶς ἀγαθῷ συνειδότι συζῆν, καὶ τοὺς ἔτι πλανωμένους διὰ τῆς ἡμετέρας κατὰ Θεὸν ἀναστροφῆς ἐπὶ τὴν ἀλήθειαν χειραγωγεῖν, καὶ δι' ἡμῶν καὶ τοὺς ἄλλους ἅπαντας τοὺς μεθ' ἡμῶν τεταγμένους χρηστῆς εὐφημίας ἀπολαύειν, καὶ πρὸ τούτων ἁπάντων δοξάζεσθαι τὸν ἡμέτερον Δεσπότην, καὶ πλείονα τὴν περὶ ἡμᾶς ἐπιδείκνυσθαι κηδεμονίαν. Ὅταν γὰρ εἰς ἡμᾶς ὁρῶντες οἱ ἄνθρωποι κερδαίνωσι, καὶ τὴν εἰς τὸν Θεὸν εὐφημίαν ἀναφέρωσι, πλείονος καὶ ἡμεῖς ἀπολαυσόμεθα τῆς παρ' αὐτοῦ ῥοπῆς. Τί γὰρ ἂν εἴη μακαριώτερον ἀνθρώπου, ὅταν οὕτω πολιτεύηται, ὥστε τοὺς ὁρῶντας ἐκπλήττεσθαι, καὶ λέγειν, δόξα σοι, ὦ Θεός· ποταποί εἰσιν οἱ Χριστιανοί; πόσην ἐπιδείκνυνται φιλοσοφίαν; πῶς ὑπερορῶσι τῶν παρόντων; πῶς ἅπαντα σκιὰ αὐτοῖς καὶ ὄναρ νενόμισται, καὶ οὐδενὶ τῶν δρωμένων προστετήκασιν, ἀλλὰ καθά-

τιμωρίας δὲν θὰ τιμωρηθοῦν αὐτοί, ὅταν δὲν ἐπισωρεύουν μόνον διὰ τὸν ἑαυτόν τους τὸ πῦρ τὸ αἰώνιον, ἀλλὰ ὅταν γίνωνται αἴτιοι καὶ εἰς ἄλλους νὰ ἀκολουθοῦν τὴν πλάνην καὶ νὰ κλείνουν ἐντελῶς τὰ αὐτιὰ των εἰς τὴν διδασκαλίαν τῆς ἀρετῆς, καὶ μαζὶ μὲ αὐτὸ νὰ δίδουν ἀφορμὴν κακολογίας καὶ εἰς τοὺς μετερχομένους τὴν ἀρετήν, καὶ τὸ φοβερώτερον βεβαίως ἀπὸ ὅλα, ὅταν ἐξ αἰτίας αὐτῶν βλασφημῆται ὁ Κύριος. Βλέπεις πόση εἶναι ἡ βλάβη τῆς κακίας; βλέπεις πῶς οἱ μετερχόμενοι τὴν κακίαν δὲν καθιστοῦν τοὺς ἑαυτούς των ἐνόχους εἰς τυχαίαν τιμωρίαν, ἀλλὰ εἰς τὴν πλέον βαρυτάτην, ἐφ' ὅσον πρόκειται νὰ φέρουν τὰς εὐθύνας διὰ λογαριασμὸν ὅλων, ὄχι μόνον διὰ τὴν ἰδικήν των ἀπώλειαν, ἀλλὰ καὶ διὰ τὸν σκανδαλισμὸν ἐκείνων, ποὺ ἔχουν πλανηθῆ, καὶ διὰ τὴν κατηγορίαν ἐκείνων, ποὺ μετέρχονται τὴν ἀρετήν, καὶ διὰ τὴν βλασφημίαν τοῦ Θεοῦ; Κατανοοῦντες λοιπὸν ὅλα αὐτά, ἂς μὴ ἀδιαφοροῦμεν διὰ τὴν σωτηρίαν μας, καὶ ἂς φροντίζωμεν πολὺ διὰ τὴν σύμφωνον πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ συμπεριφοράν μας, γνωρίζοντες ὅτι ἀπὸ ἐδῶ κυρίως ἢ καταδικαζόμεθα, ἢ ἀξιούμεθα τὴν φιλανθρωπίαν του. Ἔτσι λοιπὸν ἂς κάμνωμεν τὰ πάντα, ὥστε καὶ ἡμεῖς μὲ ἀγαθὴν συνείδησιν νὰ ζῶμεν μαζὶ μὲ αὐτούς, καὶ μὲ τὴν ἰδικήν μας κατὰ Θεὸν συμπεριφορὰν νὰ ὁδηγοῦμεν εἰς τὴν ἀλήθειαν τοὺς εὑρισκομένους ἀκόμη εἰς πλάνην, καὶ διὰ μέσου ἡμῶν καὶ ὅλοι οἱ ἄλλοι ποὺ εἶναι ταγμένοι μαζί μας νὰ ἀπολαμβάνουν τὸν καλὸν ἔπαινον καὶ ἐπάνω ἀπὸ ὅλα αὐτὰ νὰ δοξάζεται ὁ Κύριός μας, καὶ νὰ ἐπιδεικνύῃ μεγαλυτέραν μέριμναν δι' ἡμᾶς. Διότι ὅταν οἱ ἄνθρωποι βλέποντες εἰς ἡμᾶς ὠφελοῦνται καὶ ἀναπέμπουν τὸν ἔπαινον εἰς τὸν Θεόν, θὰ ἀπολαύσωμεν καὶ ἡμεῖς περισσοτέραν χάριν ἀπὸ αὐτόν. Διότι τί θὰ ἠμποροῦσε νὰ εἶναι εὐτυχέστερον ἀπὸ τὸν ἄνθρωπον, ὅταν ἔτσι συμπεριφέρεται, ὥστε ἐκεῖνοι, ποὺ τὸν βλέπουν, νὰ θαυμάζουν καὶ λέγουν: δόξα σοι, ὁ Θεός· ὁποῖοι εἶναι οἱ χριστιανοί; πόσην ἐπιδεικνύουν φιλοσοφίαν; πῶς περιφρονοῦν τὰ παρόντα ἀγαθά; πῶς θεωροῦν τὰ πάντα σκιὰν αὐτῶν καὶ ὄνειρον, καὶ δὲν προσκολλῶνται εἰς κανένα ἀπὸ

περ ἐν ξένῃ πολιτευόμενοι, οὕτως ἅπαντα διαπράττονται, καθ' ἑκάστην ἡμέραν πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἐπειγόμενοι; Πόσην οἴει τὰ ῥήματα ταῦτα κομίζειν τοῖς οὕτω πολιτευομένοις ἐντεῦθεν ἤδη τὴν παρὰ τοῦ Θεοῦ ἀμοιβήν; Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ αὐτοὶ οἱ ταῦτα περὶ ἡμῶν ψηφιζόμενοι ταχέως τῆς πλάνης ἀποστήσονται, καὶ πρὸς τὴν ἀλήθειαν ἐπανήξουσι. Τοῦτο δὲ ὅσην τοῖς τοιούτοις ἐκεῖ τὴν παρρησίαν προξενεῖ, παντί που δῆλόν ἐστιν. Εἰδότες τοίνυν, ὡς ὑπεύθυνοι καὶ τῆς ὠφελείας καὶ τῆς βλάβης τῶν πλησίον ἐσμέν, οὕτω τὸν ἑαυτῶν οἰκονομῶμεν βίον, ὡς μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις διδασκαλίας ὑπόθεσις γίνεσθαι, ἵνα καὶ ἐνταῦθα πολλὴν τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἐπισπασώμεθα, καὶ ἐν τῷ μέλλοντι δαψιλῶς ἀπολαύσωμεν τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὰ ὁρατά, ἀλλὰ ὡσὰν νὰ ζοῦν εἰς ξένην χώραν, ἔτσι κάνουν τὰ πάντα, ἐπιθυμοῦντες διακαῶς κάθε ἡμέραν νὰ ἀπέλθουν ἀπὸ τὴν ζωὴν αὐτήν. Πόσην ἀμοιβὴν ἀπὸ τὸν Θεὸν νομίζεις, ὅτι φέρουν ἀπὸ ἐδῶ ἀκόμη τὰ λόγια αὐτὰ εἰς τοὺς ζῶντας κατ' αὐτὸν τὸν τρόπον; Καὶ τὸ θαυμαστὸν βεβαίως καὶ τὸ παράξενον εἶναι, ὅτι καὶ αὐτοί, οἱ ὁποῖοι ἔχουν αὐτὴν τὴν γνώμην δι' ἡμᾶς, θὰ ἀπομακρυνθοῦν γρήγορα ἀπὸ τὴν πλάνην καὶ θὰ ἐπανέλθουν πρὸς τὴν ἀλήθειαν. Πόσην δὲ παρρησίαν προξενεῖ τοῦτο εἰς αὐτούς τοὺς ἀνθρώπους κατὰ τὴν μέλλουσαν ζωήν, εἶναι σχεδὸν εἰς τόν καθένα φανερόν. Γνωρίζοντες λοιπόν, ὅτι εἴμεθα ὑπεύθυνοι καὶ διὰ τὴν ὠφέλειαν καὶ διὰ τὴν βλάβην τῶν συνανθρώπων μας, ἔτσι ἂς ρυθμίζωμεν τὴν ζωήν μας, ὥστε νὰ μὴ ἀρκούμεθα μόνον εἰς τὸν ἑαυτόν μας, ἀλλὰ νὰ γινώμεθα καὶ εἰς τοὺς ἄλλους ὑπόδειγμα διδασκαλίας, ὥστε καὶ ἐδῶ νὰ ἀποσπάσωμεν πλουσίαν τὴν χάριν τοῦ Θεοῦ καὶ εἰς τό μέλλον νὰ ἀπολαύσωμεν μὲ ἀφθονίαν τὴν ἀγάπην τοῦ Θεοῦ, μὲ τὴν χάριν καὶ τοὺς οἰκτιρμοὺς τοῦ μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τό Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Η΄
(Γεν. 1, 26)

«Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ τῶν θηρίων, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς».

1. Φέρε καὶ σήμερον, ἐπειδὴ μετὰ πολλῆς τῆς προθυμίας ἠκούσατε χθὲς τῶν παρ' ἡμῶν λεγομένων, τὰ πρόσφατον ἀναγνωσθέντα προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, πρότερον ἐκεῖνο παρακαλέσαντες ὑμᾶς, μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ τὰ πρότερα ἐναποτίθεσθαι ὑμῶν τῇ διανοίᾳ, ἵνα μὴ μάτην καὶ εἰκῇ τοσοῦτον πόνον ὑπομένωμεν. Τὸ γὰρ σπουδαζόμενον ἡμῖν, μετὰ ἀκριβείας ὑμᾶς εἰδέναι γεγραμμένων τὴν δύναμιν, ὥστε μὴ μόνον ὑμᾶς ταῦτα ἐπίστασθαι, ἀλλὰ καὶ ἑτέροις διδασκάλους γίνεσθαι, ἵνα δύνησθε, κατὰ τὸν μακάριον Παῦλον, εἷς τὸν ἕνα οἰκοδομεῖν. Ἐὰν γὰρ ὑμεῖς προκόπτητε ἐν Κυρίῳ, καὶ περὶ τὴν τῶν πνευματικῶν διδασκαλίαν ἐπίδοσίν τινα ἐπιδείκνυσθε, πολλὴν καὶ ἡμῖν παρέξετε τὴν εὐφροσύνην. Τοῦτο γὰρ ἡμῶν ἐστιν ἡ πᾶσα εὐημερία, καὶ ἡ μεγίστη ἑορτή. «Τίς γὰρ ἡμῶν ἡ ἐλπίς, ἢ χαρά, ἢ στέφανος», φησί, «καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς, καὶ ἡ ὑμετέρα κατὰ Θεὸν ἐπίδοσις;». Ἐπεὶ καὶ τῶν διδασκάλων ἕκαστος, ἐπειδὰν ἴδῃ τὸν μαθητευόμενον τῶν προτέρων διδαγμάτων τὴν μνήμην ἀκριβῶς ἐμπήξαντα τῇ διανοίᾳ, καὶ τὸν καρπὸν διὰ τῶν ἔργων ἐπιδεικνύμενον, μετὰ πλείονος

1. Α΄ Θεσ. 5, 11.
2. Α΄ Θεσ. 2, 19.

ΟΜΙΛΙΑ Η΄
(Γεν. 1, 26)

«Καὶ εἶπεν ὁ Θεός· ἂς πλάσωμεν ἄνθρωπον κατὰ τὴν εἰκόνα καὶ τὴν ὁμοίωσιν ἡμῶν καὶ ἂς ἐξουσιάζῃ τούς ἰχθῦς τῆς θαλάσσης, τὰ πτηνὰ τοῦ οὐρανοῦ, τὰ κατοικίδια ζῶα, τὰ ἄγρια θηρία, ὅλην τὴν γῆν καὶ ὅλα τὰ ἑρπετά, ποὺ ἕρπουν ἐπάνω εἰς τὴν γῆν».

1. Ἐμπρὸς καί σήμερα, ἐπειδὴ ἠκούσατε χθὲς μὲ πολλὴν προθυμίαν τὴν διδασκαλίαν μας, ἂς παρουσιάσωμεν εἰς τὴν ἀγάπην σας τὰ λόγια, πού ἀνεγνώσθησαν πρὶν ἀπὸ ὀλίγον, ἀφοῦ πρῶτα σᾶς παρακαλέσωμεν αὐτό, νὰ προσέχετε δηλαδὴ μέ ἀκρίβειαν εἰς τὰ λεγόμενα καί νὰ ἀποταμιεύετε μέσα εἰς τὴν διάνοιάν σας τὰ προηγούμενα, διὰ νὰ μὴ ὑπομένωμεν τόσον κόπον μάταια καὶ ἄσκοπα. Διότι ἐκεῖνο πού μᾶς ἐνδιαφέρει εἶναι αὐτό, νὰ γνωρίσετε μὲ ἀκρίβειαν τήν δύναμιν τῶν γραπτῶν κειμένων, ὥστε νὰ μὴ γνωρίζετε μόνον σεῖς καλῶς αὐτά, ἀλλὰ νὰ γίνεσθε διδάσκαλοι καί εἰς ἄλλους, διὰ νὰ ἠμπορέσετε, σύμφωνα μὲ τὸν μακάριον Παῦλον, νὰ οἰκοδομῇ ὁ ἕνας τὸν ἄλλον[1]. Διότι ἐὰν προοδεύετε εἰς τὴν κατὰ Χριστὸν ζωὴν καὶ παρουσιάζετε κάποιαν ἐπίδοσιν εἰς τὴν πνευματικὴν διδασκαλίαν, θὰ προσφέρετε καὶ εἰς ἡμᾶς μεγάλην χαράν. Τοῦτο λοιπὸν εἶναι ὅλη μας ἡ εὐτυχία καί ἡ μεγαλυτέρα ἑορτή. «Διότι ποία εἶναι ἡ ἐλπίδα μας, λέγει, ἢ ἡ χαρά μας ἢ ὁ στέφανος, διὰ τὸν ὁποῖον ἠμποροῦμεν νὰ καυχώμεθα, παρὰ καὶ σεῖς καὶ ἡ ἰδική σας κατὰ Θεὸν πρόοδος;»[2]. Ἐπειδὴ καὶ κάθε διδάσκαλος, ὅταν ἰδῇ τὸν μαθητὴν νὰ ἐγχαράσσῃ μὲ ἀκρίβειαν εἰς τὴν μνήμην του τὰς προηγουμένας διδασκαλίας καὶ νὰ ἐπιδεικνύῃ μὲ τὰ ἔργα τὸν καρπόν, μὲ μεγαλυτέραν προθυ-

τῆς προθυμίας καὶ τῶν ἑξῆς τὴν γνῶσιν αὐτῷ παρακατατίθεται. Καὶ ἡμεῖς τοίνυν ὅσῳ ἂν ἴδωμεν ὑμῶν τὴν διάνοιαν διεγηγερμένην, καὶ τὸν πόθον αὐξανόμενον, καὶ τὸν λογισμὸν ἐπτερωμένον, τοσούτῳ πλέον προθυμότεροι γινόμεθα πρὸς τὸ δαψιλεστέραν ὑμῖν προτιθέναι τὴν διδασκαλίαν. Ὅσῳ γὰρ ἂν πλείονα προχέωμεν ὑμῖν τὰ νάματα ταῦτα τὰ πνευματικά, τοσούτῳ καὶ ἡμῖν αὔξεται τὰ τῆς ἐπιρροῆς διὰ τὴν οἰκοδομὴν τὴν ὑμετέραν, διὰ τὴν ὠφέλειαν τῶν ὑμετέρων ψυχῶν· οὐδὲ γάρ ἐστιν ἐνταῦθα συμβῆναι, ὅπερ ἐπὶ τῶν χρημάτων γίνεσθαι εἰκός. Ἐκεῖ μὲν γὰρ ὁ καταβαλὼν τῷ πλησίον τὸ ἀργύριον, ἠλάττωσε τὴν οἰκείαν περιουσίαν, καὶ ὅσῳ ἂν πλείονα καταβάλῃ, τοσούτῳ καὶ τὰ τῆς οὐσίας αὐτῷ μειοῦται· ἐνταῦθα δὲ ἀπεναντίας. Τότε μᾶλλον ἡμῖν αὔξεται τὰ τῆς περιουσίας, τότε πλέον ἐπιδίδωσι τὰ τοῦ πλούτου τούτου τοῦ πνευματικοῦ, ὅταν μετὰ δαψιλείας προχέωμεν τὰ τῆς διδασκαλίας τοῖς ἀρύεσθαι βουλομένοις. Ἐπεὶ οὖν καὶ τοῦτο ἡμῖν πλείονος πλούτου καὶ περιουσίας ὑπόθεσις γίνεται, καὶ ὑμεῖς ἀκορέστως ἔχετε περὶ τὴν πνευματικὴν ταύτην τροφήν, φέρε ἴδωμεν τί καὶ σήμερον ὁ μακάριος Μωϋσῆς διδάσκει ἡμᾶς διὰ τῶν ἀναγνωσθέντων, μᾶλλον δὲ τί ἡ τοῦ Πνεύματος χάρις διὰ τῆς τούτου γλώττης πᾶσιν ἡμῖν διαλέγεται. «Καὶ εἶπε», φησίν, «ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα, ἀλλὰ καὶ διερευνησώμεθα ἑκάστην λέξιν, καὶ πρὸς τὸ βάθος κατελθόντες ἀνιχνεύσωμεν τὴν ἐγκεκρυμμένην δύναμιν τοῖς βραχέσι τούτοις ῥήμασιν. Εἰ γὰρ καὶ ὀλίγα τὰ ῥήματα, ἀλλὰ πολὺς ὁ ἐγκεκρυμμένος θησαυρός, καὶ προσήκει τοὺς νήφοντας καὶ ἐγρηγορότας μὴ μέχρι τῆς ἐπιφανείας ἵστασθαι. Ἐπεὶ καὶ οἱ τὸν αἰσθητὸν τοῦτον θησαυρὸν ἀνορύττειν ἐπιχειροῦντες, οὐκ ἐξεπιπολῆς μόνον διασκάπτουσιν, οὐδὲ τὴν ἐπιφάνειαν διερευνῶνται, ἀλλ' ἐπειδὰν εἰς πολὺ βάθος κατέλθωσι, τότε τοὺς κόλπους τῆς γῆς ἀνιχνεύουσι, καὶ οὕτω διὰ τῆς οἰκείας ἐπιστήμης χωρίζουσι, τῆς γῆς τὸ χρυσίον,

μίαν παραδίδει εἰς αὐτὸν καὶ τὴν γνῶσιν τῶν ἑπομένων. Καὶ ἡμεῖς λοιπὸν ὅσον θὰ ἰδοῦμεν τὸν νοῦν σας ἄγρυπνον καὶ τὴν ἐπιθυμίαν σας νὰ αὐξάνῃ καὶ τὴν σκέψιν σας νὰ πετᾷ, τόσον περισσότερον γινόμεθα προθυμότεροι διὰ νὰ σᾶς παρουσιάσωμεν πλουσιωτέραν διδασκαλίαν. Διότι ὅσον περισσότερα διασκορπίζομεν εἰς σᾶς τὰ πνευματικὰ αὐτὰ νάματα, τόσον περισσότερον αὐξάνει ἡ ἐπιρροή μας διὰ τὴν πρόοδόν σας, διὰ τὴν ὠφέλειαν τῶν ψυχῶν σας, καθόσον δὲν εἶναι δυνατὸν νὰ συμβῇ ἐδῶ, ἐκεῖνο ποὺ εἶναι φυσικὸν νὰ γίνεται εἰς τὰ χρήματα. Διότι ἐκεῖ μὲν ἐκεῖνος ποὺ ἔδωσε τὰ χρήματα εἰς τὸν πλησίον, ἐμείωσε τὴν ἰδικήν του περιουσίαν, καὶ ὅσον περισσότερα θὰ δώσῃ, τόσον μειώνεται ἡ περιουσία του· ἐδῶ ὅμως συμβαίνει τὸ ἀντίθετον. Τότε περισσότερον αὐξάνεται ἡ περιουσία μας, τότε περισσότερον προκόπτει ὁ πνευματικός μας πλοῦτος, ὅταν μὲ ἀφθονίαν παρέχωμεν τὴν διδασκαλίαν εἰς ἐκείνους, ποὺ ἐπιθυμοῦν νὰ τὴν λάβουν. Ἐπειδὴ λοιπὸν αὐτὸ γίνεται καὶ εἰς ἡμᾶς αἰτία περισσοτέρου πλούτου καὶ περιουσίας, καὶ σεῖς δὲν χορταίνετε τὴν πνευματικὴν αὐτὴν τροφήν, ἐμπρὸς ἂς ἰδοῦμεν τί μᾶς διδάσκει καὶ σήμερα μὲ τὰ ἀναγνωσθέντα ὁ μακάριος Μωυσῆς, μᾶλλον δὲ τί λέγει εἰς ὅλους μας μὲ τὴν γλῶσσαν αὐτοῦ ἡ χάρις τοῦ Πνεύματος. «Καὶ εἶπε, λέγει, ὁ Θεός· ἂς πλάσωμεν ἄνθρωπον κατὰ τὴν εἰκόνα καὶ τὴν ὁμοίωσίν μας». Ἂς μὴ ἀναπτύξωμεν μὲ ἐπιπολαιότητα, ἀγαπητοί, τὰ λεχθέντα ἀλλὰ ἂς ἐξετάσωμεν καλῶς κάθε λέξιν, καί, ἀφοῦ εἰσχωρήσωμεν εἰς τὸ βαθύ των νόημα, ἂς ἀνακαλύψωμεν τὴν δύναμιν, ποὺ κρύπτεται μέσα εἰς τὰ ὀλίγα αὐτὰ λόγια. Διότι ἂν καὶ τὰ λόγια εἶναι ὀλίγα, εἶναι πολὺς ὅμως ὁ κρυμμένος θησαυρὸς καὶ πρέπει οἱ νηφάλιοι καὶ ἄγρυπνοι νὰ μὴ περιορίζωνται μόνον εἰς τὴν ἐπιφάνειαν. Ἀφοῦ καὶ ἐκεῖνοι ποὺ προσπαθοῦν νὰ ἐξορύσσουν τὸν αἰσθητὸν αὐτὸν θησαυρόν, ὄχι μόνον δὲν σκάπτουν εἰς μικρὸν βάθος, οὔτε ἐρευνοῦν τὴν ἐπιφάνειαν τοῦ ἐδάφους, ἀλλὰ ὅταν κατέλθουν εἰς μέγα βάθος, τότε ἀνιχνεύουν τοὺς κόλπους τῆς γῆς, καὶ ἔτσι μὲ τὴν ἰδικήν των τέχνην χωρίζουν τὸν χρυσὸν ἀπὸ τὸ χῶμα καὶ πολλὰς φορὰς ὕστερα

καὶ μετὰ τὸν πολὺν πόνον καὶ ἱδρῶτα πολλάκις ὀλίγα ψήγματα μόγις εὑρεῖν ἠδυνήθησαν. Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ καὶ ὁ πόνος ἐλάττων, καὶ ἡ περιουσία ἄφατος. Τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά.

2. Μὴ τοίνυν γενώμεθα χείρους τῶν περὶ τὰ αἰσθητὰ ἐπτοημένων, ἀλλὰ διερευνήσωμεν καὶ ἡμεῖς τὸν θησαυρὸν τοῦτον τὸν πνευματικὸν τὸν τοῖς ῥήμασι τούτοις ἐναποκείμενον, καὶ πρῶτον ἴδωμεν τί τὸ κοινὸν καὶ παράδοξον τῶν εἰρημένων, καὶ τίνος ἕνεκεν τοσαύτῃ τῇ ἐναλλαγῇ τῶν ῥημάτων ἐχρήσατο ὁ μακάριος οὗτος προφήτης, μᾶλλον δὲ ὁ φιλάνθρωπος Θεὸς διὰ τοῦ προφήτου φθεγγόμενος. Καί φησι· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». Πρώην μὲν γὰρ ἠκούομεν αὐτοῦ λέγοντος μετὰ τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργίαν, «Γενηθήτω φῶς», καὶ «Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος»· καὶ πάλιν, «Συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά», καὶ «Γενηθήτωσαν φωστῆρες», καὶ «Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν». Εἶδες λόγῳ μόνον καὶ προστάγματι πᾶσαν τὴν κτίσιν δημιουργουμένην ἐν ταῖς πέντε ἡμέραις; Σκόπει σήμερον πόση τῶν ῥημάτων ἡ διαφορά. Οὐκέτι γάρ φησι, γενηθήτω ἄνθρωπος, ἀλλὰ τί; «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». Τί τὸ καινόν; τί τὸ ξένον; Τίς ἄρα οὗτός ἐστιν ὁ δημιουργούμενος, ὅτι τοσαύτης βουλῆς καὶ σκέψεως ἐδέησε τῷ δημιουργῷ πρὸς τὴν τούτου κατασκευήν; Μὴ ξενισθῇς, ἀγαπητέ. Τὸ γὰρ τιμιώτερον ἁπάντων τῶν ὁρωμένων ζώων ἐστὶν ὁ ἄνθρωπος, δι' ὃν καὶ ταῦτα ἅπαντα παρήχθη, οὐρανός, γῆ, θάλαττα, ἥλιος, σελήνη, ἀστέρες, τὰ ἑρπετά, τὰ κτήνη, πάντα τὰ ἄλογα ζῶα. Καὶ τίνος ἕνεκεν, φησίν, εἰ τούτων ἁπάντων τιμιώτερον τυγχάνει, ὕστερον παρήχθη; Εἰκότως. Καθάπερ γὰρ βασιλέως μέλλοντος εἰς πόλιν εἰσελαύνειν, τοὺς δορυφόρους ἀνάγκη

3. Γεν. 1, 3. 6. 9. 14. 20.

ἀπὸ πολὺν κόπον καὶ ἱδρῶτα μόλις ἠμπόρεσαν νὰ εὑροῦν ὀλίγα ψήγματα· Ἐδῶ ὅμως τίποτε τέτοιο δὲν συμβαίνει, ἀλλὰ ἀντιθέτως καὶ ὁ κόπος εἶναι ὀλιγώτερος καὶ ἡ περιουσία ἀνυπολόγιστος. Διότι τέτοια εἶναι ὅλα τὰ πνευματικὰ ἀγαθά·

2. Ἂς μὴ εἴμεθα λοιπὸν χειρότεροι ἀπὸ ἐκείνους, ποὺ συγκινοῦνται ἀπὸ τὰ αἰσθητά, ἀλλὰ ἂς ἐρευνήσωμεν μὲ ἀκρίβειαν καὶ ἡμεῖς τὸν πνευματικὸν αὐτὸν θησαυρόν, ὁ ὁποῖος εὑρίσκεται μέσα εἰς τὰ λόγια αὐτά· καὶ κατὰ πρῶτον ἂς ἰδοῦμεν τί εἶναι τὸ νέον καὶ τὸ παράξενον εἰς τὰ λεχθέντα καὶ διὰ ποῖον λόγον ἐχρησιμοποίησε τόσην ποικιλίαν εἰς τὰς λέξεις ὁ μακάριος αὐτὸς προφήτης, μᾶλλον δὲ ὁ φιλάνθρωπος Θεὸς ὁμιλῶν διὰ τοῦ προφήτου. Καὶ λέγει· «Ἂς πλάσωμεν ἄνθρωπον κατὰ τὴν εἰκόνα καὶ τὴν ὁμοίωσίν μας». Διότι προηγουμένως μὲν ἠκούσαμεν αὐτὸν νὰ λέγῃ μετὰ τὴν δημιουργίαν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, «Ἂς γίνῃ φῶς», καὶ «Ἂς γίνῃ ὁ οὐράνιος θόλος ἀνάμεσα εἰς τὰ ὕδατα»· καὶ πάλιν, «Ἂς συναχθοῦν τὰ ὕδατα εἰς ἕνα μέρος καὶ ἂς ἐμφανισθῇ ἡ ξηρά», καὶ «Ἂς γίνουν φωστῆρες», καὶ «Ἂς γεμίσουν τὰ ὕδατα ἀπὸ ζῶντα ἑρπετά»[3]. Εἶδες, ὅτι ὅλη ἡ κτίσις δημιουργεῖται μόνον μὲ τὸν λόγον καὶ τὴν προσταγὴν μέσα εἰς πέντε ἡμέρας; Πρόσεχε πόση εἶναι ἡ διαφορὰ τῶν λόγων σήμερα. Δὲν λέγει λοιπόν, ἂς γίνῃ ἄνθρωπος, ἀλλὰ τί; «Ἂς πλάσωμεν ἄνθρωπον κατὰ τὴν εἰκόνα καὶ τὴν ὁμοίωσίν μας». Ποῖον εἶναι τὸ νέον; ποῖον τὸ παράξενον; Ποῖος ἄραγε εἶναι αὐτὸς ποὺ δημιουργεῖται, διότι διὰ τὴν δημιουργίαν του ἐχρειάσθη ὁ δημιουργὸς τόσον μεγάλην σκέψιν καὶ ἀπόφασιν; Μὴ παραξενεύεσαι, ἀγαπητέ. Διότι τὸ τιμιώτερον ἀπὸ ὅλα τὰ ὁρατὰ ζῶα εἶναι ὁ ἄνθρωπος, διὰ τὸν ὁποῖον καὶ ὅλα αὐτὰ ἐδημιουργήθησαν, δηλαδὴ ὁ οὐρανός, ἡ γῆ, ἡ θάλασσα, ὁ ἥλιος, ἡ σελήνη, τὰ ἄστρα, τὰ ἑρπετά, τὰ κτήνη, ὅλα τὰ ἄλογα ζῶα. Καὶ διὰ ποῖον λόγον, θὰ εἴπῃ κάποιος, ἐὰν εἶναι τὸ τιμιώτερον ἀπὸ ὅλα αὐτά, ἐδημιουργήθη τελευταῖον; Εἶναι εὔλογον. Διότι ὅπως ἀκριβῶς ὅταν πρόκειται ὁ βασιλεὺς νὰ εἰσέλθῃ εἰς τὴν πόλιν, εἶναι ἀνάγκη νὰ προη-

προηγεῖσθαι, καὶ τοὺς ἄλλους ἅπαντας, ἵνα εὐτρεπισμένων τῶν βασιλείων, οὕτως ὁ βασιλεὺς εἰς τὰ βασίλεια παραγίνηται· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, καθάπερ βασιλέα τινὰ καὶ ἄρχοντα μέλλων ἐφιστᾶν πᾶσι τοῖς ἐπὶ τῆς γῆς, πᾶσαν ταύτην τὴν διακόσμησιν πρότερον ἐπεκτήνατο, καὶ τότε τὸν μέλλοντα ἐφίστασθαι παρήγαγε, δεικνὺς ἡμῖν δι' αὐτῶν τῶν πραγμάτων ὅσον τιμᾶται τουτὶ τὸ ζῶον. Ἀλλ' ἐρώμεθα τὸν Ἰουδαῖον, καὶ ἴδωμεν τί φησι, πρὸς τίνα εἴρηται τό, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν»; Μωϋσέως γάρ ἐστι τὰ γράμματα, ᾧ λέγουσι μὲν πιστεύειν, οὐ πιστεύουσι δέ· καθὼς καὶ ὁ Χριστός φησιν, «Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί». Ἀλλὰ τὰ μὲν γράμματα παρ' αὐτοῖς, τὰ δὲ νοήματα παρ' ἡμῖν.

3. Πρὸς τίνα οὖν εἴρηται, «Ποιήσωμεν ἄνθρωπον», καὶ τίνι τὴν βουλὴν ταύτην προτίθησιν ὁ Δεσπότης; Οὐκ ἐπειδὴ βουλῆς δεῖται καὶ σκέψεως· μὴ γένοιτο· ἀλλὰ τῷ προσχήματι τῶν ῥημάτων ἐνδείξασθαι ἡμῖν βούλεται τὴν ὑπερβάλλουσαν τιμήν, ἣν περὶ τὸν ἄνθρωπον τὸν δημιουργούμενον ἐπιδείκνυται. Τί οὖν φασιν οὗτοι οἱ τὸ κάλυμμα ἔχοντες ἔτι ἐπικείμενον ἐν ταῖς καρδίαις αὐτῶν, καὶ μηδὲν τῶν ἐγκειμένων συνιέναι βουλόμενοι; Πρὸς ἄγγελον, φησί, ταῦτα λέγει ἢ ἀρχάγγελον. Ὢ τῆς μανίας· ὢ τῆς πολλῆς ἀναισχυντίας. Καὶ πῶς ἂν ἔχοι λόγον, ὦ ἄνθρωπε, ἄγγελον κοινωνεῖν γνώμης τῷ Δεσπότῃ, καὶ δημιουργήματα τῷ δημιουργῷ; Ἀγγέλων οὐκ ἔστι τὸ γνώμης κοινωνεῖν, ἀλλὰ παρεστάναι, καὶ τὴν λειτουργίαν ἀναπληροῦν. Καὶ ἵνα μάθῃς, ἄκουε τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου λέγοντος περὶ τῶν ἀνωτέρω τῶν ἀγγέλων δυνάμεων, ὅτι «Εἶδον τὰ Χερουβὶμ ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ τὰ Σεραφίμ, καὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν ἐν ταῖς

4. Ἰω. 5, 46.

γοῦνται οἱ σωματοφύλακες καὶ ὅλοι οἱ ἄλλοι, ὥστε, ἀφοῦ ἑτοιμασθοῦν τὰ ἀνάκτορα, ἔτσι νὰ ἔλθῃ εἰς αὐτὰ ὁ βασιλεύς· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ τώρα, ὡσὰν νὰ πρόκειται νὰ ἐγκαταστήσῃ κάποιον βασιλέα καὶ ἄρχοντα ἐπάνω εἰς ὅλα τὰ εὑρισκόμενα ἐπὶ τῆς γῆς, ἐδημιούργησε προηγουμένως ὅλην αὐτὴν τὴν διακόσμησιν καὶ ὕστερα ἐδημιούργησεν ἐκεῖνον, ποὺ ἐπρόκειτο νὰ ἐξουσιάζῃ αὐτά, ἀποδεικνύων εἰς ἡμᾶς μὲ τὰ ἴδια τὰ πράγματα πόσον τιμᾶται αὐτὸ τὸ ὄν. Ἀλλὰ ἂς ἐρωτήσωμεν τὸν Ἰουδαῖον καὶ ἂς ἰδοῦμεν τί λέγει, πρὸς ποῖον ἔχει λεχθῆ τὸ «Ἂς πλάσωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα»; διότι τὰ ἱερὰ γράμματα ἀνήκουν εἰς τὸν Μωυσῆν, εἰς τὸν ὁποῖον λέγουν μὲν ὅτι πιστεύουν, εἰς τὴν πραγματικότητα ὅμως δὲν πιστεύουν, καθὼς καὶ ὁ Χριστὸς λέγει, «Ἐὰν ἐπιστεύατε εἰς τὸν Μωυσῆν, θὰ ἐπιστεύατε καὶ εἰς ἐμέ»[4]. Ἀλλὰ τὰ μὲν γράμματα εἶναι ἰδικά των, τὰ νοήματα ὅμως ἰδικά μας.

3. Πρὸς ποῖον λοιπὸν ἔχει λεχθῆ τό, «Ἂς πλάσωμεν ἄνθρωπον», καὶ εἰς ποῖον παρουσιάζει ὁ Θεὸς τὴν ἀπόφασιν αὐτήν; Ὄχι ἐπειδὴ ἔχει ἀνάγκην ἀπὸ σκέψιν καὶ ἀπόφασιν· μὴ γένοιτο, νὰ εἰποῦμεν κάτι τέτοιο· ἀλλὰ θέλει νὰ μᾶς δείξῃ μὲ τὸ πρόσχημα τῶν λέξεων τὴν ἐξαιρετικὴν τιμήν, τὴν ὁποίαν ἐπιδεικνύει διὰ τὸν δημιουργούμενον ἄνθρωπον. Τί λοιπὸν ἰσχυρίζονται αὐτοί, οἱ ὁποῖοι ἐξακολουθοῦν νὰ ἔχουν ἀκόμη σκεπασμένας τὰς καρδίας των καὶ δὲν ἐπιθυμοῦν νὰ γνωρίσουν τίποτε ἀπὸ τὰ εὑρισκόμενα μέσα εἰς αὐτάς; Λέγει αὐτά, θὰ ἰσχυρισθῇ κάποιος, πρὸς ἄγγελον ἢ ἀρχάγγελον. Τί παραφροσύνη καὶ τί μεγάλη ἀναισχυντία! Καὶ πῶς θὰ ἠμποροῦσε νὰ εἶναι λογικόν, ἄνθρωπε, νὰ ἔχῃ σχέσιν ὁ ἄγγελος μὲ τὴν ἐπιθυμίαν τοῦ Θεοῦ καὶ τὰ δημιουργήματα μὲ τὴν ἐπιθυμίαν τοῦ δημιουργοῦ; Ἔργον τῶν ἀγγέλων δὲν εἶναι νὰ μετέχουν εἰς τὴν ἀπόφασιν τοῦ Θεοῦ, ἀλλὰ τὸ νὰ παρίστανται καὶ νὰ ἐκπληρώνουν τὴν ὑπηρεσίαν των. Καὶ διὰ νὰ μάθῃς, ἄκουσε τὸν μεγαλοφωνότατον Ἡσαΐαν, ὁ ὁποῖος λέγει διὰ τὰς ἀνωτέρω ἀγγελικὰς δυνάμεις, ὅτι «Εἶδα τὰ Χερουβεὶμ καὶ τὰ Σεραφεὶμ νὰ στέκωνται εἰς τὰ δεξιὰ τοῦ Θεοῦ

πτέρυξι, καὶ τοὺς πόδας». Διὰ τὸ μὴ φέρειν δηλονότι τὴν ἐκεῖθεν ἐκπηδῶσαν ἀστραπήν, ἀλλ' εἱστήκεισαν μετὰ πολλοῦ τοῦ φόβου καὶ τρόμου. Καὶ γὰρ τῶν δημιουργημάτων ἴδιον τὸ παρεστάναι τῷ Δεσπότῃ.

4. 'Αλλ' οὗτοι μηδὲν τῶν ἐγκειμένων συνιέντες, ἁπλῶς τὸ ἐπιὸν φθέγγονται. Διόπερ προσήκει τὴν ἐκείνων λοιδορίαν παρωσαμένους, διδάξαι τῆς 'Εκκλησίας τὰ τέκνα τῶν εἰρημένων τὴν ἀλήθειαν. Τίς οὖν ἐστιν οὗτος, πρὸς ὃν φησι, «Ποιήσωμεν ἄνθρωπον»; Τίς δὲ ἄλλος, ἀλλ' ἢ ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὁ μονογενὴς τοῦ Θεοῦ Παῖς, ὁ τῷ Πατρὶ ὅμοιος κατὰ τὴν οὐσίαν, δι' οὗ τὰ πάντα παρήχθη; Τούτῳ φησί, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». 'Ενταῦθα καὶ τοῖς τὰ 'Αρείου φρονοῦσι καιρίαν δίδωσι τὴν πληγήν. Οὐδὲ γὰρ προστακτικῶς εἶπε, ποίησον, ὡς ὑποδεεστέρῳ, ἢ ὡς ἐλάττονι κατὰ τὴν οὐσίαν, ἀλλὰ μετὰ πολλῆς τῆς ἰσοτιμίας, «Ποιήσωμεν»· καὶ τὸ ἑξῆς δὲ πολλὴν δείκνυσιν ἡμῖν τῆς οὐσίας τὴν ὁμοιότητα. «Ποιήσωμεν γάρ», φησίν, «ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». 'Αλλ' ἐνταῦθα πάλιν ἐπιφύονται ἕτεροι αἱρετικοί, λυμαινόμενοι τῆς 'Εκκλησίας τὰ δόγματα, καί φασιν, ἰδοὺ εἶπε, «Κατ' εἰκόνα ἡμετέραν», καὶ ἐντεῦθεν βούλονται ἀνθρωπόμορφον λέγειν τὸ θεῖον, ὅπερ ἐσχάτης ἂν εἴη παραπληξίας, τὸν ἀσχημάτιστον, καὶ ἀνείδεον, καὶ ἀναλλοίωτον εἰς μορφὴν ἀνθρωπίνην κατάγειν, καὶ σχήματα καὶ μέλη περιτιθέναι τῷ ἀσωμάτῳ. Τί τῆς μανίας ταύτης ἴσον γένοιτ' ἄν, ὅταν μὴ μόνον κερδαίνειν μὴ βούλωνται ἀπὸ τῆς τῶν θεοπνεύστων Γραφῶν διδασκα-

5. 'Ησ. 6, 2.

6. "Αρειος· ὁ γνωστὸς αἱρεσιάρχης (265 - 336), ποὺ συνετάραξε τὴν ἐκκλησίαν κατὰ τὸν 4ον αἰ. Κατὰ τὴν διδασκαλίαν του ὁ Υἱὸς εἶναι τὸ πρῶτον κτίσμα τοῦ Θεοῦ καὶ ἔγινεν ἐκ τοῦ μηδενός. Τὸ πρῶτον τοῦτο γέννημα εἶναι καὶ ἀρχιτέκτων τῆς δημιουργίας. Ἡ διδασκαλία αὐτὴ κατεδικάσθη ἀπὸ τὴν Α΄ Οἰκουμενικὴν Σύνοδον, ἡ ὁποία διεκήρυξεν ὅτι ὁ Υἱὸς δὲν εἶναι κτίσμα ἀλλὰ ὁμοούσιος κατὰ πάντα πρὸς τὸν Πατέρα.

καὶ νὰ σκεπάζουν μὲ τὰς πτέρυγας τὸ πρόσωπον καὶ τὰ πόδια των»[5]. Εἶναι φανερόν, ὅτι ἐπειδὴ δὲν ἠμποροῦν νὰ ὑποφέρουν τὴν λάμψιν ποὺ ἐκπηδᾶ ἀπὸ τὸν Θεόν, ἀλλὰ ἐστέκοντο μὲ πολὺν φόβον καὶ τρόμον. Καὶ πράγματι εἶναι χαρακτηριστικὸν τῶν δημιουργημάτων τὸ νὰ προσεγγίζουν τὸν Θεόν.

4. Ἀλλὰ αὐτοὶ χωρὶς νὰ γνωρίζουν τίποτε ἀπὸ τὰ ἐνυπάρχοντα, ἁπλῶς λέγουν αὐτό, ποὺ ἔρχεται εἰς τὴν σκέψιν των. Δι' αὐτὸ βεβαίως πρέπει, ἀφοῦ ἀποκρούσωμεν τὴν μωρολογίαν ἐκείνων, νὰ διδάξωμεν εἰς τὰ τέκνα τῆς Ἐκκλησίας τὴν ἀλήθειαν τῶν λεχθέντων. Ποῖος λοιπὸν εἶναι αὐτός, πρὸς τὸν ὁποῖον λέγει, «Ἂς πλάσωμεν ἄνθρωπον»; Ποῖος δὲ ἄλλος ἠμπορεῖ νὰ εἶναι, παρὰ ὁ ἄγγελος τῆς μεγάλης ἀποφάσεως, ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ ὅμοιος πρὸς τὸν Πατέρα κατὰ τὴν οὐσίαν, διὰ τοῦ ὁποίου ἐδημιουργήθησαν τὰ πάντα; Εἰς αὐτὸν λέγει, «Ἂς πλάσωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν». Ἐδῶ δίδει τὸ τελειωτικὸν κτύπημα καὶ εἰς τοὺς ὀπαδοὺς τοῦ Ἀρείου[6]. Οὔτε βέβαια εἶπε μὲ τόνον προσταγῆς, «κάμε», ὡσὰν εἰς ὑποδεέστερον ἢ κατώτερον κατὰ τὴν οὐσίαν νὰ ἀπηυθύνετο, ἀλλὰ μὲ πολλὴν ἰσοτιμίαν, «Ἂς κάμωμεν»· καὶ ἡ συνέχεια δὲ μᾶς ἀποδεικνύει μεγάλην τὴν ὁμοιότητα τῆς οὐσίας. Διότι λέγει, «Ἂς κάμωμεν τὸν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν». Ἀλλὰ ἐδῶ ἐμφανίζονται πάλιν ἄλλοι αἱρετικοί, οἱ ὁποῖοι πολεμοῦν τὰ δόγματα τῆς Ἐκκλησίας, καὶ ἰσχυρίζονται· ἰδοὺ εἶπε «κατὰ τὴν εἰκόνα μας», καὶ ἀπὸ ἐδῶ θέλουν νὰ ἀποδώσουν ἀνθρωπίνην μορφὴν εἰς τὸν Θεόν, πρᾶγμα ποὺ βέβαια θὰ ἦτο ἀπόδειξις τῆς ἐσχάτης παραφροσύνης, τὸ νὰ κατεβάσωμεν δηλαδὴ εἰς τὴν μορφὴν τοῦ ἀνθρώπου ἐκεῖνον, ποὺ δὲν ἔχει σχῆμα καὶ μορφήν, καὶ εἶναι ἀναλλοίωτος, καὶ νὰ ἀποδώσωμεν εἰς τὸν ἀσώματον σχήματα καὶ μέλη· Τί θὰ ἠμποροῦσε νὰ γίνῃ ἴσον μὲ τὴν παραφροσύνην αὐτήν, ὅταν ὄχι μόνον δὲν θέλουν νὰ κερδίζουν ἀπὸ τὴν διδασκαλίαν

λίας, ἀλλὰ καὶ μέγιστα ἐντεῦθεν βλάπτωνται; Τοιοῦτον γὰρ οἱ νοσοῦντες, καὶ οἱ τὰς ὄψεις ταύτας τὰς σωματικὰς ἀσθενῶς διακείμενοι. Καθάπερ γὰρ οὗτοι καὶ πρὸς τὸ ἡλιακὸν φῶς ἀπεχθάνονται διὰ τὴν τῆς ὄψεως ἀσθένειαν, καὶ οἱ νοσοῦντες καὶ τὰ ὑγιεινότερα τῶν σιτίων ἀποστρέφονται· οὕτω δὴ καὶ οὗτοι νοσοῦντες τὴν ψυχήν, καὶ τὸ τῆς διανοίας ὄμμα πεπηρωμένοι, πρὸς τὸ φῶς τῆς ἀληθείας ἐνατενίσαι οὐκ ἰσχύουσι. Διὸ τὰ παρ' ἡμῶν αὐτῶν πληρώσωμεν, καὶ χεῖρα αὐτοῖς ὀρέξωμεν, μετὰ πολλῆς τῆς ἐπιεικείας πρὸς αὐτοὺς διαλεγόμενοι. Καὶ γὰρ ὁ μακάριος Παῦλος οὕτω παρῄνεσε λέγων, «Ἐν πραότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους, μή ποτε δῷ αὐτοῖς ὁ Θεός, φησί, μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα». Ὁρᾷς πῶς ἐνέφηνε διὰ τῶν ῥημάτων, ὅτι καθάπερ ὑπὸ μέθης τινὸς εἰσι κατακεχωσμένοι; Τὸ γὰρ εἰπεῖν, «Ἀνανήψωσιν», ἔδειξε κάτω που βεβαπτισμένους αὐτούς. Καὶ πάλιν, «Ἐζωγρημένοι», φησίν, «ὑπὸ τοῦ διαβόλου», μονονουχὶ λέγων, καθάπερ ἐν δικτύοις εἰσὶν ἀπειλημμένοι. Καὶ δεῖ πολλῆς ἡμῖν τῆς ἐπιεικείας, καὶ τῆς μακροθυμίας, ὥστε δυνηθῆναι αὐτοὺς ἐξαρπάσαι, καὶ ἐξαγαγεῖν ἐκ τῶν παγίδων τοῦ διαβόλου. Εἴπωμεν τοίνυν πρὸς αὐτούς, ἀνανήψατε μικρόν, διαβλέψατε πρὸς τὸ φῶς τῆς δικαιοσύνης, ἐννοήσατε τῶν ῥημάτων τὴν ἀκρίβειαν. Οὐδὲ γὰρ εἰπών, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν», μέχρι τούτου ἔστη, ἀλλὰ διὰ τῆς ἐπαγωγῆς δῆλον ἡμῖν ἐποίησε, κατὰ ποῖον λογισμὸν τὸ ὄνομα τῆς εἰκόνος ἔλαβε. Τί γάρ φησι, «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς». Κατὰ τὴν τῆς ἀρχῆς οὖν Εἰκόνα φησίν, οὐ καθ' ἕτερόν τι· καὶ γὰρ πάντων τῶν ἐπὶ

7. Β΄ Τιμ. 2, 25 - 26.

τῶν θεοπνεύστων Γραφῶν, ἀλλὰ καί ὅταν βλάπτωνται πολύ ἀπ' αὐτήν; Διότι ἀκριβῶς ἔτσι συμπεριφέρονται οἱ ἀσθενεῖς καὶ οἱ ἔχοντες ἀδύνατα τὰ μάτια αὐτὰ τοῦ σώματος. Διότι ὅπως ἀκριβῶς αὐτοὶ ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς ὁράσεώς των ἀπεχθάνονται τὸ φῶς τοῦ ἡλίου καὶ οἱ ἀσθενεῖς ἀποστρέφονται καὶ τὰ ὑγιεινότερα τρόφιμα· ἔτσι λοιπὸν καί αὐτοί, ἀσθενεῖς κατὰ τὴν ψυχὴν καὶ ἀνάπηροι κατὰ τὸ βλέμμα τῆς διανοίας των, δὲν ἠμποροῦν νὰ ἀτενίσουν πρός τὸ φῶς τῆς ἀληθείας. Δι' αὐτό ἂς ἐκπληρώσωμεν τὰς ὑποχρεώσεις μας καὶ ἂς ἁπλώσωμεν τὸ χέρι εἰς αὐτούς, συζητοῦντες μέ πολλήν ἐπιείκειαν πρὸς αὐτούς. Καθόσον καὶ ὁ μακάριος Παῦλος ἔτσι ἐσυμβούλευσε λέγων, «Νὰ σωφρονίζῃ μέ πραότητα ἐκείνους, πού ἔχουν ἀντίθετα φρονήματα, μήπως τοὺς δώσῃ κάποτε ὁ Θεὸς μετάνοιαν διὰ νὰ γνωρίσουν καλὰ τὴν ἀλήθειαν καὶ συνέλθουν ἀπὸ τήν παγίδα τοῦ διαβόλου, αἰχμαλωτισμένοι ἀπὸ αὐτὸν διὰ νὰ κάμουν τὸ θέλημα ἐκείνου»[7]. Βλέπεις πῶς ἔδειξε μέ τὰ λόγια, ὅτι ὡσὰν νὰ ἔχουν καταληφθῆ ἀπὸ κάποιαν μέθην; Διότι μὲ τό νὰ εἰπῇ, «μήπως συνέλθουν», ἔδειξεν, ὅτι αὐτοὶ εἶναι κάπως μεθυσμένοι. Καὶ πάλιν, «Αἰχμαλωτισμένοι, λέγει, ἀπὸ τὸν διάβολον», σχεδὸν ὡς νὰ ἔλεγεν, ὡσὰν νὰ ἔχουν συλληφθῆ εἰς τὰ δίκτυα. Καὶ πρέπει νὰ ἔχωμεν μεγάλην ἐπιείκειαν καί μακροθυμίαν, διὰ νὰ ἠμπορέσωμεν νὰ ἀποσπάσωμεν αὐτούς καὶ νὰ τοὺς ὁδηγήσωμεν ἔξω ἀπὸ τὰς παγίδας τοῦ διαβόλου. Ἂς εἰποῦμεν λοιπὸν πρός αὐτούς· συνέλθετε ὀλίγον, κοιτάξατε προσεκτικὰ πρὸς τὸ φῶς τῆς δικαιοσύνης, κατανοήσατε τήν ἀκρίβειαν τῶν λόγων. Οὔτε βεβαίως ἀφοῦ εἶπεν, «Ἂς πλάσωμεν ἄνθρωπον σύμφωνα μέ τήν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν», ἐσταμάτησε μέχρις αὐτὸ τὸ σημεῖον, ἀλλὰ μέ τήν συνέχειαν μᾶς ἔκαμε φανερόν, κατὰ ποίαν σκέψιν ἔλαβε τὸ ὄνομα τῆς εἰκόνος. Τί λοιπὸν λέγει; «Καὶ ἂς ἐξουσιάζουν τοὺς ἰχθῦς τῆς θαλάσσης καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ ὅλα τὰ ἑρπετά, ποὺ ἕρπουν ἐπάνω εἰς τήν γῆν». Λέγει λοιπὸν σύμφωνα μὲ τὴν εἰκόνα τῆς ἐξουσίας, ὄχι σύμρφωνα μὲ κάτι ἄλλο· καὶ πάγματι ὁ Θεὸς ἐδημιούρ-

τῆς γῆς ἄρχοντα τὸν ἄνθρωπον ἐδημιούργησεν ὁ Θεός, καὶ οὐδὲν τῶν ἐπὶ τῆς γῆς ἐστι τούτου μεῖζον, ἀλλὰ πάντα ὑπὸ τὴν ἐξουσίαν τὴν τούτου τυγχάνει.

5. Εἰ δὲ ἔτι καὶ μετὰ τὴν τοσαύτην τῶν εἰρημένων ἀκρίβειαν φιλονεικοῦντες λέγοιεν, κατὰ τὴν τῆς μορφῆς εἰκόνα εἰρῆσθαι, ἐροῦμεν πρὸς αὐτούς· οὐκοῦν οὐ μόνον ὁ ἄνθρωπος, ἀλλὰ καὶ ἡ γυνὴ δηλονότι· τὴν αὐτὴν γὰρ μορφὴν ἑκάτεροι ἔχουσιν. Ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον. Ἄκουε γὰρ τοῦ Παύλου λέγοντος· «Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστιν». Ὁ μὲν γὰρ ἄρχει, ἡ δὲ ὑποτέτακται, καθὼς καὶ ὁ Θεὸς ἐξ ἀρχῆς πρὸς αὐτήν φησι, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Ἐπειδὴ γὰρ κατὰ τὸν τῆς ἀρχῆς λόγον τὸ τῆς εἰκόνος παρείληφε, καὶ οὐ κατὰ τὴν μορφήν, ὁ δὲ ἄνθρωπος ἄρχει πάντων, ἡ δὲ γυνὴ ὑποτέτακται, διὰ τοῦτό φησι περὶ τοῦ ἀνδρὸς ὁ Παῦλος, ὅτι εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχει, ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστιν. Εἰ δὲ περὶ μορφῆς ἔλεγεν, οὐκ ἂν διεῖλεν· ὁ γὰρ αὐτὸς τύπος καὶ ἀνδρὸς καὶ γυναικός. Εἶδες τῆς ἀληθείας τὴν περιουσίαν, πῶς οὐδεμίαν καταλιμπάνει ἀπολογίας πρόφασιν τοῖς μάτην ἀναισχυντεῖν βουλομένοις; Ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, μὴ παυσώμεθα πολλῇ τῇ μακροθυμίᾳ πρὸς αὐτοὺς κεχρημένοι, «Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας». Μὴ τοίνυν ναρκήσωμεν πολλὴν τὴν ἐπιείκειαν ἐπιδεικνύμενοι, εἴπως δυνηθείημεν αὐτοὺς ἐξαρπάσαι τῆς τοῦ διαβόλου ἀπάτης· καί, εἰ δοκεῖ, πάλιν ἐπιστήσωμεν αὐτοῖς τὸν μακάριον Παῦλον οὕτω λέγοντα πρὸς τοὺς τὰς Ἀθήνας οἰκοῦντας· «Οὐκ ὀφείλομεν νο-

8. Α΄ Κορ. 11, 7.
9. Γεν. 3, 16.
10. Β΄ Τιμ. 2, 25.

γησε τόν ἄνθρωπον ἄρχοντα ὅλων τῶν εὑρισκομένων ἐπάνω εἰς τήν γῆν, καί τίποτε ἀπό αὐτά δέν εἶναι μεγαλύτερόν του, ἀλλά τά πάντα εὑρίσκονται κάτω ἀπό τήν ἐξουσίαν αὐτοῦ.

5. Ἐάν δέ ἀκόμη καί ὕστερα ἀπό τήν τόσην ἀκρίβειαν τῶν λεχθέντων ἀρεσκόμενοι εἰς τάς λογομαχίας θά ἰσχυρίζωνται, ὅτι ἔχουν λεχθῆ σύμφωνα μέ τήν εἰκόνα τῆς μορφῆς, θά ἀπαντήσωμεν εἰς αὐτούς· λοιπόν δέν ὑπάρχει μόνον ὁ ἄνδρας, ἀλλά σαφέστατα καί ἡ γυναῖκα· διότι καί οἱ δύο ἔχουν τήν ἰδίαν μορφήν. Ἀλλά αὐτό δέν θά εἶχε δικαιολογίαν. Ἄκουε λοιπόν τόν Παῦλον, πού λέγει· «Διότι ὁ μέν ἄνδρας δέν πρέπει νά σκεπάζη τό κεφάλι του, ἐπειδή εἶναι εἰκών καί δόξα τοῦ Θεοῦ· ἡ δέ γυναῖκα εἶναι δόξα τοῦ ἀνδρός»[8]. Διότι ὁ μέν ἄνδρας ἐξουσιάζει, ἡ δέ γυναῖκα ὑπακούει, καθώς καί ὁ Θεός ἀπό τήν ἀρχήν πρός αὐτήν λέγει· «Σύ θά ἀφοσιώνεσαι εἰς τόν ἄνδρα σου καί αὐτός θά εἶναι ὁ ἐξουσιαστής σου»[9]. Ἐπειδή λοιπόν ἐχρησιμοποίησε τό ὄνομα τῆς εἰκόνος σύμφωνα μέ τήν μορφήν, ὁ δέ ἄνδρας ἐξουσιάζει τά πάντα, ἡ δέ γυναῖκα ὑποτάσσεται, δι' αὐτό λέγει διά τόν ἄνδρα ὁ Παῦλος, ὅτι εἶναι εἰκών καί δόξα τοῦ Θεοῦ, ἡ δέ γυναῖκα δόξα τοῦ ἀνδρός. Ἐάν ὅμως ἔλεγε διά τήν μορφήν, δέν θά διεχώριζεν αὐτούς· διότι ἡ ἰδία μορφή ἀνήκει καί εἰς τόν ἄνδρα καί εἰς τήν γυναῖκα. Εἶδες τήν περιουσίαν τῆς ἀληθείας, πῶς δέν ἀφήνει καμμίαν πρόφασιν δικαιολογίας εἰς τούς ἐπιθυμοῦντας νά εἶναι μάταια ἀναίσχυντοι; Ἀλλ' ὅμως, καί ἄν ἔτσι ἔχουν τά πράγματα, νά μή παύσωμεν νά μεταχειριζώμεθα πρός αὐτούς μεγάλην μακροθυμίαν, «Μήπως δώση κάποτε ὁ Θεός μετάνοιαν εἰς αὐτούς, διά νά γνωρίσουν καλά τήν ἀλήθειαν»[10]. Ἄς μή ἀδιαφορήσωμεν λοιπόν νά ἐπιδεικνύωμεν μεγάλην ἐπιείκειαν, μήπως ἠμπορέσωμεν νά ἀποσπάσωμεν αὐτούς ἀπό τήν ἀπάτην τοῦ διαβόλου· καί, ἐάν θέλετε, πάλιν θά συστήσωμεν εἰς αὐτούς τόν μακάριον Παῦλον, ὁ ὁποῖος πρός τούς Ἀθηναίους ἔλεγεν ἔτσι· «Δέν πρέπει νά νομίζωμεν, ὅτι ἡ θεότης εἶναι ὁμοία πρός τόν χρυσόν ἤ τόν ἄργυρον ἤ τό μάρμαρον, πρός ἀγάλματα

μίξειν χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, ἢ χαράγματι τέχνης ἢ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον». Εἶδες τὸν σοφὸν διδάσκαλον, μεθ' ὅσης ἀκριβείας πᾶσαν αὐτῶν ἐξέκοψε τὴν ἀπάτην; Οὐ μόνον γὰρ τύπου σωματικοῦ ἔφησεν ἀπηλλάχθαι τὸ Θεῖον, ἀλλὰ μηδὲ ἐνθύμησιν ἀνθρώπου δυνατὴν εἶναι ἀναπλάσαι τι τοιοῦτον. Ταῦτα πρὸς αὐτοὺς συνεχῶς διαλεγόμενοι, μὴ παύσησθε τὰ παρ' ἑαυτῶν εἰσφέροντες, ἂν ἄρα ἐνδῶσιν, ἂν ἄρα βουληθῶσι διαβλέψαι πρὸς τὴν ἀλήθειαν. Καὶ ἐκείνοις μὲν μετὰ πολλῆς ἐπιεικείας καὶ τῆς ἀσφαλείας διαλεγόμενοι μὴ παύσησθε, αὐτοὶ δέ, παρακαλῶ, μετὰ ἀκριβείας τὰ δόγματα τῆς Ἐκκλησίας κατέχετε, μὴ συγχέοντες τῶν εἰρημένων τὴν ἀκολουθίαν, ἀλλὰ πρὸς μὲν Ἰουδαίοις καταλλήλως διαλεγόμενοι, καὶ δεικνύντες, ὅτι οὐ πρός τινα τῶν λειτουργικῶν δυνάμεων ταῦτα τὰ εἰρημένα, ἀλλὰ πρὸς αὐτὸν τὸν μονογενῆ τοῦ Θεοῦ Υἱόν· πρὸς δὲ τοὺς τὰ Ἀρείου φρονοῦντας πάλιν ἐντεῦθεν τὴν ὁμοτιμίαν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἀποδεικνύντες· καὶ πρὸς τοὺς ἀνθρωπόμορφον τὸ Θεῖον εἶναι φανταζομένους τὰ παρὰ τοῦ μακαρίου Παύλου εἰρημένα εἰς μέσον παραγαγόντες, ἀναιρέπετε μὲν τὰ ζιζανίων δίκην ἐπιφυόμενα ὀλέθρια νοήματα τοῖς τῆς Ἐκκλησίας δόγμασι, σπουδάζετε δὲ κρατύνειν ἐν ἑαυτοῖς τὰ εὐσεβῆ διδάγματα. Βούλομαι γὰρ καὶ εὔχομαι πάντας ὑμᾶς διδασκάλων τάξιν ἐπέχειν, καὶ μὴ μόνον ἀκροαταὶς εἶναι τῶν παρ' ἡμῶν λεγομένων, ἀλλὰ καὶ ἑτέροις διαπορθμεύειν, καὶ σαγηνεύειν τοὺς ἔτι πλανωμένους πρὸς τὴν τῆς ἀληθείας ὁδόν· καθάπερ καὶ Παῦλός φησιν, «Εἷς τὸν ἕνα οἰκοδομεῖτε», καί, «Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε». Οὕτως ἡμῖν καὶ ἡ Ἐκκλησία εἰς πλῆθος ἐπιδώσει, καὶ ὑμεῖς πλείονος ἀπολαύεσθε τῆς ἄνωθεν ῥοπῆς, πολλὴν τῶν ὑμετέρων μελῶν τὴν πρόνοιαν ποιούμενοι.

6. Οὐδὲ γὰρ ἑαυτῷ μόνον ἀρκεῖν ὁ Θεὸς βούλεται τὸν Χριστιανόν, ἀλλὰ καὶ ἑτέρους οἰκοδομεῖν οὐ διὰ τῆς διδασκαλίας μόνον, ἀλλὰ καὶ διὰ τοῦ βίου, καὶ τῆς ἀναστροφῆς· οὐδὲν γὰρ οὕτως ἐνάγει πρὸς τὴν τῆς ἀληθείας ὁδόν, ὡς πολιτείας ἀ-

---

11. Πράξ. 17, 29.
12. Α' Θεσ. 5, 11 καὶ Φιλιπ. 2, 12.

δηλαδὴ πού εἶναι ἔργα τῆς τέχνης καὶ τῆς ἐπινοήσεως τοῦ ἀνθρώπου»[11]. Εἶδες μὲ πόσην ἀκρίβειαν ὁ σοφὸς διδάσκαλος ἀπέκοψεν ὅλην τὴν ἀπάτην αὐτῶν; Διότι εἶπεν, ὅτι ὁ Θεὸς ὄχι μόνον ἔχει ἀπαλλαχθῆ ἀπὸ τὴν σωματικὴν μορφήν, ἀλλὰ ὅτι οὔτε ἡ σκέψις τοῦ ἀνθρώπου εἶναι ἱκανὴ νὰ ἀναπλάσση κάτι τέτοιο. Λέγοντες αὐτὰ συνεχῶς πρὸς αὐτούς, νὰ μὴ σταματήσετε νὰ προσφέρετε ὅ,τι ἐξαρτᾶται ἀπὸ σᾶς, μὴ τυχὸν ὑποχωρήσουν, μὴ τυχὸν θελήσουν νὰ ἐπιστρέψουν πρὸς τὴν ἀλήθειαν. Καὶ πρὸς ἐκείνους μὲν μὴ σταματήσετε νὰ συζητῆτε μὲ πολλὴν ἐπιείκειαν καὶ ἀκρίβειαν, σεῖς δέ, παρακαλῶ, νὰ κατέχετε μὲ σαφήνειαν τὰ δόγματα τῆς Ἐκκλησίας, χωρὶς νὰ συγχέετε τὴν ἀκολουθίαν τῶν λεχθέντων, ἀλλὰ πρὸς μὲν τοὺς Ἰουδαίους νὰ συζητῆτε καταλλήλως καὶ νὰ ἀποδεικνύετε, ὅτι αὐτὰ πού ἐλέχθησαν δὲν ἀναφέρονται εἰς κάποιαν λειτουργικὴν δύναμιν, ἀλλὰ εἰς αὐτὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ· πρὸς δὲ τοὺς ὁμόφρονας τοῦ Ἀρείου νὰ ἀποδεικνύετε πάλιν ἀπὸ ἐδῶ τὴν ἰσοτιμίαν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα· καὶ πρὸς ἐκείνους πού φαντάζονται, ὅτι τὸ θεῖον ἔχει ἀνθρωπίνην μορφήν, ἀφοῦ ἐπικαλεσθῆτε τὰ λόγια τοῦ μακαρίου Παύλου, ἀνατρέπετε μὲν τὰς ὀλεθρίας πλάνας, πού ὡσὰν ζιζάνια προσβάλλουν τὰ δόγματα τῆς Ἐκκλησίας, προσπαθεῖτε δὲ νὰ ἐνισχύετε μέσα σας τὰς εὐσεβεῖς διδασκαλίας. Διότι θέλω καὶ εὔχομαι ὅλοι σας νὰ κατέχετε τὴν θέσιν διδασκάλων καὶ νὰ μὴ εἶσθε μόνον ἀκροαταὶ τῶν λόγων μου, ἀλλὰ καὶ εἰς ἄλλους νὰ ἀνακοινώνετε καὶ νὰ ἀλιεύετε τοὺς εὑρισκομένους ἀκόμη εἰς τὴν πλάνην πρὸς τὸν δρόμον τῆς ἀληθείας· ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει, «Οἰκοδομεῖτε ὁ ἕνας τὸν ἄλλον», καὶ «Μὲ φόβον καὶ τρόμον νὰ ἐργάζεσθε τὴν σωτηρίαν σας»[12]. Ἔτσι καὶ ἡ Ἐκκλησία μας θὰ αὐξηθῆ κατὰ τὸ πλῆθος καὶ σεῖς θὰ ἀπολαύσετε πλουσιωτέραν τὴν θείαν χάριν, ἐπειδὴ φροντίζετε πολὺ διὰ τὰ ἰδικά σας μέλη.

6. Οὔτε βεβαίως θέλει ὁ Θεὸς νὰ βοηθῆ ὁ χριστιανὸς μόνον τὸν ἑαυτόν του, ἀλλὰ νὰ οἰκοδομῆ καὶ ἄλλους ὄχι μόνον μὲ τὴν διδασκαλίαν, ἀλλὰ καὶ μὲ τὴν ζωὴν καὶ τὴν συμπεριφοράν του· διότι τίποτε δὲν φέρει τόσον πρὸς τὸν

κρίθεια· οὐδὲ γὰρ τοῖς παρ' ἡμῶν λεγομένοις οὕτω προσέχουσιν, ὡς τοῖς ὑφ' ἡμῶν πραττομένοις. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο οὕτως ἔχει (κἂν γὰρ μυριάκις φιλοσοφῶμεν τοῖς λόγοις, καὶ περὶ ἀνεξικακίας διαλεγώμεθα, καιροῦ δὲ παραπεσόντος μὴ διὰ τῶν ἔργων ταύτην ἐπιδειξώμεθα, οὐ τοσοῦτον ὁ λόγος ὠφέλησεν, ὅσον ἡ πρᾶξις ἔβλαψεν· ἂν δὲ καὶ πρὸ τῶν λόγων καὶ μετὰ τοὺς λόγους τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ποιώμεθα, ἀξιόπιστοι ἐσόμεθα ἐκεῖνα παραινοῦντες, ἃ καὶ διὰ τῶν ἔργων πληροῦμεν, ἐπεὶ καὶ ὁ Χριστὸς τούτους ἐμακάρισε λέγων, «Μακάριος ὁ ποιήσας, καὶ διδάξας»)· σκόπει πῶς πρότερον τὴν ποίησιν ἔθηκεν, καὶ τότε τὴν διδασκαλίαν. Τῆς πράξεως γὰρ προηγουμένης, κἂν μὴ ἕπηται ἡ διδασκαλία, ἀρκεῖ τὰ ἔργα φωνῆς λαμπρότερον διδάξαι τοὺς εἰς ἡμᾶς ὁρῶντας. Τοῦτο οὖν πανταχοῦ σκοπῶμεν πρότερον τοῖς ἔργοις διδάσκειν, καὶ τότε τοῖς λόγοις, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν παρὰ τοῦ Παύλου, «Ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Καὶ ὅταν βουλώμεθά τινι παραινέσαι, ὥστε κατορθῶσαί τι τῶν ἀναγκαίων, πρότερον αὐτοὶ σπουδάζωμεν τοῦτο κατορθοῦν, ἵνα μετὰ πλείονος τῆς παρρησίας τὴν διδασκαλίαν ποιώμεθα, καὶ πᾶσα ἡμῶν ἡ φροντὶς ἔστω περὶ τῆς κατὰ ψυχὴν σωτηρίας, καὶ ὅπως δυνηθείημεν τὰ σκιρτήματα τῆς σαρκὸς χαλινώσαντες τὴν ἀληθινὴν νηστείαν ἐπιδείξασθαι, λέγω δὴ τὴν τῶν κακῶν ἀποχήν· τοῦτο γὰρ νηστεία. Καὶ γὰρ ἡ τῶν βρωμάτων ἀποχὴ διὰ τοῦτο παρείληπται, ἵνα τὸν τόνον τῆς σαρκὸς χαλινώσῃ, καὶ εὐήνιον ἡμῖν τὸν ἵππον ἐργάσηται. Τὸν νηστεύοντα μάλιστα πάντων προσήκει τὸν θυμὸν χαλινοῦν, πραότητα πεπαιδεῦσθαι καὶ ἐπιείκειαν, συντετριμμένην ἔχειν τὴν καρδίαν, τῶν ἐπιθυμιῶν τῶν ἀτόπων ἐξορίζειν τὰς ἐνθυμήσεις, πρὸ ὀφθαλμῶν λαμβάνοντα τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμόν, καὶ τὸ κριτήριον τὸ ἀδέκαστον· χρημάτων κρείττονα γίνεσθαι, περὶ τὴν ἐλεημοσύνην πολλὴν τὴν δαψίλειαν ἐπιδείκνυσθαι, πᾶσαν

13. Ματθ. 5, 19.
14. Ρωμ. 2, 21.

δρόμον τῆς ἀληθείας, ὅσον ἡ συνέπεια τῆς συμπεριφορᾶς· οὔτε βεβαίως προσέχουν τόσον εἰς τὰ λόγια μας, ὅσον εἰς τὰ ἔργα μας. Καὶ διὰ νὰ μάθης, ὅτι αὐτὸ ἔτσι συμβαίνει, (καὶ ἂν μυρίας φορὰς φιλοσοφοῦμεν μὲ τὰ λόγια καὶ συζητοῦμεν διὰ τὴν ἀνεξικακίαν, ὅταν δὲ ἔλθη ἡ κατάλληλος εὐκαιρία δὲν θὰ ἐπιδείξωμεν αὐτὴν μὲ τὰ ἔργα, δὲν ὠφελοῦν τόσον τὰ λόγια, ὅσον βλάπτουν τὰ ἔργα· ἂν ὅμως καὶ πρὶν καὶ μετὰ ἀπὸ τὰ λόγια ἐπιδεικνύωμεν αὐτὰ μὲ τὰ ἔργα, θὰ εἴμεθα ἀξιόπιστοι, ὅταν συμβουλεύωμεν ἐκεῖνα, τὰ ὁποῖα πραγματοποιοῦμεν καὶ μὲ τὰ ἔργα, ἀφοῦ καὶ ὁ Χριστὸς ἐμακάρισεν αὐτοὺς λέγων, «Εἶναι μακάριος ἐκεῖνος ποὺ θὰ ἐκτελέση τὰς ἐντολὰς καὶ θὰ διδάξη»[13]), προέαξε ὅτι πρῶτα ἔθεσε τὴν πρᾶξιν καὶ μετὰ τὴν διδασκαλίαν. Διότι ὅταν προηγῆται ἡ πρᾶξις, καὶ ἂν ἀκόμη δὲν ἀκολουθῆ ἡ διδασκαλία, εἶναι ἀρκετὸν νὰ διδάξουν τὰ ἔργα λαμπρότερα ἀπὸ τὴν φωνὴν ἐκείνους, ποὺ μᾶς παρακολουθοῦν. Αὐτὸ λοιπὸν ἂς ἐπιζητοῦμεν παντοῦ νὰ διδάσκωμεν πρῶτα μὲ τὰ ἔργα καὶ ὕστερα μὲ τὰ λόγια, διὰ νὰ μὴ ἀκούσωμεν καὶ ἡμεῖς ἀπὸ τὸν Παῦλον, «Σὺ ποὺ διδάσκεις ἄλλον, τὸν ἑαυτόν σου δὲν διδάσκεις;»[14]. Καὶ ὅταν θέλωμεν νὰ συμβουλεύσωμεν κάποιον, διὰ νὰ ἐπιτύχη κάτι ἀναγκαῖον, προηγουμένως ἂς προσπαθοῦμεν νὰ ἐπιτύχωμεν ἡμεῖς αὐτό, ὥστε νὰ διδάσκωμεν μὲ μεγαλυτέραν παρρησίαν καὶ κάθε μας μέριμνα ἂς ἀποβλέπη εἰς τὴν σωτηρίαν τῆς ψυχῆς καὶ ἀφοῦ ἠμπορέσωμεν νὰ χαλιναγωγήσωμεν τὰς σαρκικὰς ὁρμὰς νὰ ἐπιδείξωμεν τὴν ἀληθινὴν νηστείαν, ἐννοῶ βεβαίως τὴν ἀποχὴν ἀπὸ τὰ κακά· διότι αὐτὸ εἶναι νηστεία. Διότι καὶ ἡ ἀποχὴ ἀπὸ τὰ φαγητὰ διὰ τοῦτο ἔχει ὁρισθῆ, διὰ νὰ χαλιναγωγήση τὴν δύναμιν τῆς σάρκας καὶ νὰ καταστήση εὐπειθῆ τὸν ἵππον τῶν ἐπιθυμιῶν μας. Ἐκεῖνος ποὺ νηστεύει πρέπει περισσότερον ἀπὸ ὅλους νὰ χαλιναγωγῆ τὸν θυμόν, νὰ διδάσκη τὴν ἐπιείκειαν καὶ τὴν πραότητα, νὰ ἔχη συντετριμμένην τὴν καρδίαν, νὰ ἀπομακρύνη τὰς σκέψεις τῶν νοήτων ἐπιθυμιῶν, ἔχων ὑπ' ὄψιν του τὸν ἄγρυπνον ἐκεῖνον ὀφθαλμὸν καὶ τὸ ἀδέκαστον δικαστήριον· πρέπει νὰ γίνεται ἀνώτερος ἀπὸ τὰ χρήματα, νὰ ἐπιδεικνύη μὲ

κακίαν τὴν περὶ τῶν πλησίον ἐκ τῆς ψυχῆς ἀπελαύνειν. Αὕτη ἀληθὴς ἡ νηστεία, καθάπερ καὶ Ἡσαΐας φησὶν ἐκ προσώπου τοῦ Θεοῦ φθεγγόμενος· «Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος, οὐδ' ἂν κάμψῃς ὡς κλοιὸν τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν, λέγει Κύριος». Ἀλλὰ ποίαν, εἰπέ; «Λύε», φησί, «στραγγαλιὰς βιαίων συναλλαγμάτων, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, πτωχὸν ἄστεγον εἰσάγαγε εἰς τὸν οἶκόν σου». Καὶ ἐὰν ταῦτα πράξῃς, φησί, «Τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ».

7. Εἶδες, ἀγαπητέ, ποία ἐστὶν ἀληθὴς νηστεία; Ταύτην ἀσκήσωμεν, καὶ μὴ ἁπλῶς κατὰ τοὺς πολλοὺς νομίζωμεν ἐν τούτῳ τὰ τῆς νηστείας ἡμῖν περιορίζεσθαι, ἐὰν μέχρι τῆς ἑσπέρας ἄσιτοι διαμείνωμεν. Οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλ' ἵνα μετὰ τῆς τῶν βρωμάτων ἀποχῆς καὶ τὴν ἀποχὴν τῶν βλαπτόντων ἐπιδειξώμεθα, καὶ περὶ τὴν τῶν πνευματικῶν ἐργασίαν πολλὴν σπουδὴν ποιησώμεθα. Τὸν νηστεύοντα κατεσταλμένον εἶναι χρή, ἡσύχιον, ἥμερον, ταπεινόν, ὑπερορῶντα τῆς δόξης τοῦ παρόντος βίου. Ὥσπερ γὰρ τῆς ψυχῆς ὑπερεῖδεν, οὕτω προσήκει καὶ τῆς κενῆς δόξης ὑπεριδεῖν, καὶ πρὸς ἐκεῖνον μόνον ὁρᾶν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας τὰς εὐχὰς καὶ τὰς ἐξομολογήσεις ποιεῖσθαι πρὸς τὸν Θεόν, καὶ κατὰ δύναμιν τὴν διὰ τῆς ἐλεημοσύνης βοήθειαν ἑαυτῷ παρέχειν. Αὕτη γάρ, αὕτη μάλιστα ἡ ἐντολὴ ἀφανίσαι δύναται ἡμῖν πάντα τὰ ἡμαρτημένα, καὶ τοῦ πυρὸς τῆς γεέννης ἐξαρπάσαι, μόνον ἐὰν μετὰ δαψιλείας αὐτὴν ἐπιδειξώμεθα, καὶ μὴ πρὸς ἐπίδειξιν τῶν ἀνθρώπων τοῦτο ποιῶμεν. Καὶ τί λέγω, μὴ πρὸς ἐπίδειξιν; Εἰ γὰρ ἦμεν εὐγνώμονες, καὶ δι' αὐτὸ μόνον τὸ καλόν, καὶ τὸ περὶ τοὺς ὁμογενεῖς συμπαθές, ταύτην ἐπιδείκνυσθαι ἐχρῆν, οὐ

15. Ἡσ. 58, 5.
16. Ἡσ. 58, 6, 7. 8.

μεγάλην γενναιοδωρίαν τὴν ἐλεημοσύνην καὶ νὰ ἐκδιώκῃ ἀπὸ τὴν ψυχήν του κάθε κακίαν πρὸς τὸν πλησίον· Αὐτὴ εἶναι ἡ ἀληθινὴ νηστεία, καθὼς καὶ ὁ Ἡσαΐας λέγει ὁμιλῶν ὡς ἀντιπρόσωπος τοῦ Θεοῦ· «Δὲν εἶναι τέτοια ἡ νηστεία, τὴν ὁποίαν ἐγὼ προτιμῶ, λέγει ὁ Κύριος, οὔτε ἂν κλίνῃς τὸ κεφάλι σου ὡς βοῦρλον καὶ κυλισθῇς ἐπάνω εἰς τραχὺ ὕφασμα καὶ στάκτην, οὔτε ἔτσι θὰ καλέσετε αὐτὴν νηστείαν εὐπρόσδεκτον, λέγει ὁ Κύριος»[15]. Εἰπέ μου ὅμως, ποία εἶναι εὐπρόσδεκτος; «Νὰ λύῃς, λέγει, τοὺς δεσμοὺς τοῦ ζυγοῦ, νὰ διαμοιράζῃς τὸν ἄρτον σου μὲ τὸν πεινῶντα καὶ νὰ φέρῃς εἰς τὸ σπίτι σου τὸν ἄστεγον πτωχόν». Καὶ ἐὰν κάμῃς αὐτά, λέγει, «Τότε τὸ φῶς σου θὰ ἐκχυθῇ ὡς ἡ αὐγὴ καὶ ἡ θεραπεία σου θὰ προέλθῃ γρήγορα»[16].

7. Εἶδες, ἀγαπητέ, ποία εἶναι ἡ ἀληθινὴ νηστεία; Ἂς ἀσκήσωμεν αὐτὴν καὶ ἂς μὴ νομίζωμεν ἁπλῶς, ὅπως οἱ πολλοί, ὅτι ἡ νηστεία μας περιορίζεται εἰς αὐτό, νὰ παραμείνωμεν δηλαδὴ νηστικοὶ μέχρι τὸ βράδυ· Δὲν εἶναι αὐτὸ ποὺ ἐπιζητεῖται, ἀλλὰ διὰ νὰ ἐπιδείξωμεν μαζὶ μὲ τὴν ἀποχὴν ἀπὸ τὰ φαγητὰ καὶ τὴν ἀποχὴν ἀπὸ ἐκεῖνα ποὺ μᾶς βλάπτουν, καὶ νὰ φροντίσωμεν πολὺ διὰ τὴν πνευματικὴν ἄσκησιν. Ἐκεῖνος ποὺ νηστεύει πρέπει νὰ εἶναι μετριόφρων, ἥσυχος, ἥμερος, ταπεινὸς καὶ νὰ περιφρονῇ τὴν δόξαν τῆς παρούσης ζωῆς. Διότι ὅπως ἐπεριφρόνησε τὴν ζωήν, ἔτσι πρέπει νὰ περιφρονήσῃ καὶ τὴν κενοδοξίαν, καὶ νὰ προσέχῃ μόνον πρὸς ἐκεῖνον, ὁ ὁποῖος ἐρευνᾷ καρδίας καὶ νεφρούς, καὶ μὲ πολλὴν ἀκρίβειαν νὰ προσεύχεται καὶ νὰ ἐξομολογῆται πρὸς τὸν Θεόν, καὶ ὅσον ἠμπορεῖ νὰ βοηθῇ τὸν ἑαυτόν του μὲ τὴν ἐλεημοσύνην. Διότι αὐτή, αὐτὴ πρὸ πάντων ἡ ἐντολὴ ἠμπορεῖ νὰ μᾶς ἐξαλείψῃ ὅλα τὰ ἁμαρτήματα καὶ νὰ μᾶς ἀποσπάσῃ ἀπὸ τὴν γέενναν τοῦ πυρός, μόνον ἐὰν ἐπιδείξωμεν αὐτὴν μὲ ἀφθονίαν καὶ νὰ μὴ κάμνωμεν αὐτὸ πρὸς ἐπίδειξιν ἐνώπιον τῶν ἀνθρώπων. Καὶ διατί λέγω, νὰ μὴ κάμνωμεν αὐτὸ πρὸς ἐπίδειξιν; Διότι ἐὰν ἤμεθα εὐγνώμονες, ἔπρεπε νὰ ἐπιδεικνύωμεν αὐτήν, μόνον δι' αὐτὸ τὸ ἴδιον τὸ καλὸν καὶ διὰ τὴν συμπάθειαν πρὸς τοὺς συνανθρώ-

διὰ τοὺς ἐπηγγελμένους μισθοὺς παρὰ τοῦ Δεσπότου. Ἀλλ' ἐπειδὴ οὐδὲν ὑψηλὸν φαντασθῆναι δυνάμεθα, κἂν διὰ τοῦτο αὐτὴν μετερχώμεθα, μηδαμοῦ τὴν παρὰ τῶν ἀνθρώπων θηρώμενοι δόξαν, ἵνα μὴ καὶ τὴν δαπάνην ὑπομένωμεν, καὶ τοῦ μισθοῦ ἀποστερηθῶμεν. Καὶ τοῦτο μὴ μόνον ἐπὶ τῆς ἐλεημοσύνης, ἀλλὰ καὶ ἐφ' ἑκάστῳ κατορθώματι πνευματικῷ σκοπῶμεν, καὶ μηδὲν πρὸς τὴν τῶν ἀνθρώπων εὐφημίαν ἀφορῶντες ποιῶμεν· ἐπεὶ οὐδὲν ἡμῖν ὄφελος ἔσται, οὔτε ἐὰν νηστεύωμεν, οὔτε ἐὰν εὐχώμεθα, οὔτε ἐὰν ἐλεῶμεν, οὔτε ὅπερ ἂν ἕτερον ἐργαζώμεθα, ἂν μὴ δι' ἐκεῖνον μόνον γίνεται, τὸν εἰδότα καὶ τὰ λανθάνοντα, καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας ἡμῶν ἀποκείμενα. Εἰ γὰρ παρ' ἐκείνου τὰς ἀμοιβὰς ἀναμένεις, ἄνθρωπε, τίνος ἕνεκεν παρὰ τοῦ ὁμογενοῦς βούλει ἐπαινεῖσθαι; Καὶ τί λέγω ἐπαινεῖσθαι; Πολλάκις οὗτος οὐκ ἐπαινεῖ, ἀλλὰ καὶ βασκαίνει. Εἰσὶ γὰρ πολλοὶ οὕτω μοχθηρῶς διακείμενοι, ὅτι καὶ τὰ καλῶς ὑφ' ἡμῶν γινόμενα εἰς τὸ ἐναντίον περιτρέπουσι. Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὴν διεφθαρμένην τούτων κρίσιν περὶ πολλοῦ ποιῇ; Τὸν γὰρ ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν οὐδέν ἐστιν ὃ λανθάνει τῶν παρ' ἡμῶν γινομένων, καὶ δεῖ τοῦτο ἐννοοῦντας μετὰ τοσαύτης ἀκριβείας τὸν ἑαυτῶν βίον οἰκονομεῖν, ὡς μετ' οὐ πολὺ μέλλοντας καὶ ῥημάτων καὶ πράξεων καὶ αὐτῶν τῶν ἐνθυμήσεων εὐθύνας ὑπέχειν. Μὴ τοίνυν καταφρονῶμεν τῆς ἑαυτῶν σωτηρίας. Οὐδὲν γὰρ ἀρετῆς ἴσον, ἀγαπητέ· αὕτη γὰρ ἡμᾶς καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς γεέννης ἐξαρπάζει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἡμῖν τὴν ἀπόλαυσιν χαρίζεται, καὶ ἐν τῷ παρόντι βίῳ πάντων ἀνωτέρους καθίστησι τῶν μάτην καὶ εἰκῇ ἐπιβουλεύειν ἐπιχειρούντων, καὶ οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων, καὶ τοῦ ἐχθροῦ τῆς σωτηρίας τῆς ἡμετέρας, τοῦ διαβόλου λέγω, ἰσχυροτέρους ἀπεργάζεται. Τί οὖν ἂν εἴη ταύτης ἴσον, ὅταν μὴ μόνον τῶν

πους μας, όχι διά τόν μισθόν, πού έχει ύποσχεθῆ ὁ Κύριος. Ἀλλά ἐπειδή δέν ἠμποροῦμεν νά σκεφθοῦμεν τίποτε ύψηλόν, καί ἄν ἀκόμη δι' αὐτό μετερχώμεθα αὐτήν, πουθενά νά μή ἐπιδιώκωμεν τήν δόξαν ἀπό τούς ἀνθρώπους, διά νά μή ύποβαλλώμεθα καί εἰς τήν δαπάνην καί χάσωμεν καί τόν μισθόν. Καί ἄς μή ἐπιδιώκωμεν αὐτό μόνον εἰς τήν ἐλεημοσύνην, ἀλλά καί εἰς κάθε πνευματικήν ἀρετήν, καί νά μή κάμνωμεν τίποτε ἀποβλέποντες εἰς τόν ἔπαινον τῶν ἀνθρώπων. Διότι δέν θά ἔχωμεν κανένα κέρδος, οὔτε ἐάν νηστεύωμεν, οὔτε ἐάν προσευχώμεθα, οὔτε ἐάν ἐλεοῦμεν, οὔτε ὅ,τιδήποτε ἄλλο ἄν κάμνωμεν, ἄν δέν γίνεται μόνον δι' ἐκεῖνον, ὁ ὁποῖος γνωρίζει καί τά ἀπόκρυφα καί τά εὑρισκόμενα εἰς τό βάθος τῆς διανοίας μας. Διότι ἐάν περιμένης ἀπό ἐκεῖνον τόν μισθόν, ἄνθρωπε, διά ποῖον λόγον θέλεις νά ἐπαινῆσαι ἀπό τόν συνάνθρωπόν σου; Καί διατί λέγω νά ἐπαινῆσαι; Συχνά αὐτός δέν ἐπαινεῖ, ἀλλά καί φθονεῖ. Διότι ὑπάρχουν πολλοί, οἱ ὁποῖοι συμπεριφέρονται μέ τόσην μοχθηρίαν, ὥστε καί ἐκεῖνα πού κάμνομεν καλῶς, τά μεταστρέφουν εἰς τό ἀντίθετον. Διά ποῖον λοιπόν λόγον, εἰπέ μου, θεωρεῖς σπουδαῖον πρᾶγμα τήν ἀσήμαντον κρίσιν αὐτῶν; Διότι ὁ ἄγρυπνος ἐκεῖνος ὀφθαλμός γνωρίζει τά πάντα, πού κάμνομεν, καί πρέπει ἐφ' ὅσον κατανοοῦμεν αὐτό, νά ρυθμίζωμεν μέ τόσην ἀκρίβειαν τήν ἰδικήν μας ζωήν, διότι πρόκειται ἔπειτα ἀπό ὀλίγον νά εἴμεθα ὑπεύθυνοι διά τά λόγια καί διά τάς πράξεις καί ἀκόμη διά τάς σκέψεις μας. Ἄς μή περιφρονοῦμεν λοιπόν τήν σωτηρίαν μας. Διότι τίποτε δέν εἶναι ἴσον μέ τήν ἀρετήν, ἀγαπητέ· αὐτή βεβαίως καί εἰς τήν μέλλουσαν ζωήν μᾶς ἐξαρπάζει ἀπό τήν γέενναν καί μᾶς χαρίζει τήν ἀπόλαυσιν τῆς Βασιλείας τῶν Οὐρανῶν, καί εἰς τήν παροῦσαν ζωήν μᾶς καθιστᾷ ἀνωτέρους ἀπό ὅλους ἐκείνους, οἱ ὁποῖοι προσπαθοῦν ἄσκοπα καί μάταια νά μᾶς ἐπιβουλεύωνται, καί ὄχι μόνον ἀπό τούς ἀνθρώπους μᾶς κάνει ἰσχυροτέρους, ἀλλά καί ἀπό αὐτούς τούς δαίμονας, καί ἀπό τόν ἐχθρόν τῆς ἰδικῆς μας σωτηρίας, δηλαδή τόν διάβολον. Τί λοιπόν θά ἠμποροῦσε νά γίνῃ ἴσον μέ αὐτήν,

ἀνθρώπων τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ τῶν δαιμόνων ἀνωτέρους ποιῇ τοὺς αὐτὴν μετιόντας; Ἀρετὴ δέ ἐστι τὸ πάντων τῶν ἀνθρωπίνων ὑπερορᾶν, τὸ τὰ μέλλοντα ἐφ' ἑκάστης ὥρας φαντάζεσθαι, τὸ πρὸς μηδὲν τῶν παρόντων ἐπτοῆσθαι, ἀλλ' εἰδέναι, ὅτι πάντα τὰ ἀνθρώπινα σκιά ἐστι καὶ ὄναρ, καὶ εἴ τι τούτων εὐτελέστερον. Ἀρετή ἐστι τὸ καθάπερ νεκρὸν οὕτω διακεῖσθαι πρὸς τὰ τοῦ βίου τούτου πράγματα, καὶ πρὸς μὲν τὰ λυμαινόμενα τὴν τῆς ψυχῆς σωτηρίαν, ὡσανεὶ νεκρὸν ὄντα, οὕτως εἶναι ἀνενέργητον, πρὸς δὲ τὰ πνευματικὰ μόνον ζῆν καὶ ἐνεργεῖν, καθάπερ καὶ Παῦλος ἔλεγε· «Ζῶ δέ, οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός». Καὶ ἡμεῖς τοίνυν, ἀγαπητοί, ὡς τὸν Χριστὸν ἐνδεδυμένοι, οὕτως ἅπαντα πράττωμεν, καὶ μὴ λυπῶμεν τὸ Πνεῦμα τὸ ἅγιον. Ὅταν οὖν ἐνοχληθῶμεν ὑπὸ πάθους, ἢ ἐπιθυμίας ἀτόπου, ἢ ὀργῆς, ἢ θυμοῦ, ἢ βασκανίας, ἐννοῶμεν τὸν ἐν ἡμῖν ἐνοικοῦντα, καὶ φυγαδεύωμεν πόρρω πᾶσαν τὴν τοιαύτην ἐνθύμησιν. Αἰδεσθῶμεν τῆς παρὰ τοῦ Θεοῦ παρασχεθείσης ἡμῖν χάριτος τὴν ὑπερβολήν, καὶ χαλινώσωμεν πάντα τῆς σαρκὸς τὰ πάθη, ἵνα, νομίμως ἀθλήσαντες ἐν τῷ βραχεῖ τούτῳ καὶ ἐπικήρῳ βίῳ, τῶν μεγάλων ἐκείνων στεφάνων ἀξιωθῶμεν ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ, τῇ φοβερᾷ μὲν ἡμῖν τοῖς ἁμαρτωλοῖς, ποθεινῇ δὲ τοῖς τὴν ἀρετὴν ἐνδεδυμένοις, καὶ καταξιωθῶμεν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

17. Γαλ. 2, 20.

ὅταν ἐκείνους, ποὺ τὴν ἀσκοῦν, κάνῃ ἀνωτέρους ὄχι μόνον ἀπὸ τούς ἀνθρώπους, οἱ ὁποῖοι ἐπιβουλεύονται τούς ἄλλους, ἀλλὰ καὶ ἀπὸ τοὺς δαίμονας; Ἀρετὴ δὲ εἶναι τὸ νὰ περιφρονῇ κανεὶς ὅλα τὰ ἀνθρώπινα, τὸ νὰ σκέπτεται κάθε στιγμὴν τὰ μέλλοντα, τὸ νὰ μὴ προσκολλᾶται εἰς τίποτε ἀπὸ τὰ παρόντα, ἀλλὰ νὰ γνωρίζῃ, (ὅτι ὅλα τὰ ἀνθρώπινα εἶναι σκιὰ καὶ ὄνειρον,) καὶ ὅ,τιδήποτε ἄλλο εὐτελέστερον ἀπὸ αὐτά. Ἀρετὴ εἶναι τὸ νὰ διάκειται κανεὶς πρὸς τὰ πράγματα τῆς παρούσης ζωῆς, ὅπως ἀκριβῶς ὁ νεκρός, καὶ πρὸς ἐκεῖνα μὲν ποὺ βλάπτουν τὴν σωτηρίαν τῆς ψυχῆς, ὡσὰν νὰ εἶναι νεκρός, ἔτσι νὰ εἶναι ἀδρανής, διὰ δὲ τὰ πνευματικὰ μόνον νὰ ζῇ καὶ νὰ ἐνεργῇ, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος ἔλεγε· «Δὲν ζῶ δὲ πλέον ἐγώ, ἀλλὰ ζῇ μέσα μου ὁ Χριστός»[17]. Καὶ ἡμεῖς λοιπόν, ἀγαπητοί, ὡς ἐνδεδυμένοι τὸν Χριστόν, ἂς κάμνωμεν τὰ πάντα κατ' αὐτὸν τὸν τρόπον καὶ ἂς μὴ πικραίνωμεν τὸ Ἅγιον Πνεῦμα. Ὅταν λοιπὸν μᾶς ἐνοχλήσῃ κάποιο πάθος ἢ ἀνόητος ἐπιθυμία ἢ ἡ ὀργὴ ἢ ὁ θυμὸς ἢ ὁ φθόνος, ἂς σκεπτώμεθα τὸν κατοικοῦντα μέσα μας Χριστὸν καὶ ἂς ἐκδιώξωμεν μακρὰν κάθε τέτοιαν σκέψιν. Ἂς σεβασθοῦμεν τὴν ὑπερβολικὴν χάριν, τὴν ὁποίαν μᾶς ἔδωσεν ὁ Θεός, καὶ ἂς χαλιναγωγήσωμεν ὅλα τὰ πάθη τῆς σαρκός, διὰ νὰ λάβωμεν, ἀφοῦ ἀγωνισθοῦμεν σύμφωνα μὲ τὸν νόμον τοῦ Θεοῦ κατὰ τὴν σύντομον καὶ πρόσκαιρον αὐτὴν ζωήν, τὰ μεγάλα ἐκεῖνα βραβεῖα κατὰ τὴν μέλλουσαν ἐκείνην ἡμέραν, ἡ ὁποία θὰ εἶναι φοβερὰ μὲν δι' ἡμᾶς τοὺς ἁμαρτωλούς, ἐπιθυμητὴ δὲ διὰ τοὺς ἐναρέτους, καὶ διὰ νὰ ἀξιωθοῦμεν τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

ΟΜΙΛΙΑ Θ΄

Εἰς τὰ ἀκόλουθα τοῦ, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν», καὶ πρὸς τοὺς λέγοντας, διὰ τί τὰ θηρία ἐδημιουργήθη; καὶ τί τὸ χρήσιμον ἀπὸ τοῦ παραχθῆναι; Καὶ ὅτι καὶ τοῦτο μάλιστα δείκνυσι καὶ τὴν τιμὴν τὴν εἰς τὸν ἄνθρωπον, καὶ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν.

1. Οἱ φιλόπονοι τῶν γηπόνων, ἐπειδὰν ἴδωσι λιπαρὰν καὶ βαθύγειον ἄρουραν, δαψιλῆ τὰ σπέρματα καταβάλλοντες, πολλὴν καὶ συνεχῆ τὴν ἐπιμέλειαν ποιοῦνται, καθ' ἑκάστην ἡμέραν περισκοποῦντες, μήπου τι τῶν λυμαίνεσθαι δυναμένων τοῖς σπέρμασιν ἀνόνητον αὐτοῖς τὸν προλαβόντα καταστήσῃ πόνον. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὸν πόθον τὸν πνευματικόν, καὶ τὴν πολλὴν φιληκοΐαν, καθ' ἑκάστην ἡμέρα τὰ ἀπὸ τῶν θείων Γραφῶν νοήματα ἐνιέναι ὑμῶν τῇ διανοίᾳ σπουδάζομεν, ὑποδεικνύντες ὑμῖν καὶ τὰ βλάπτειν δυνάμενα τὸν σπόρον τοῦτον τὸν πνευματικόν, ὥστε μὴ ἁλῶναι μηδὲ τῇ ὑγιῇ τῶν δογμάτων διδασκαλίαν ἐπιθολῶσαι τῇ λύμῃ τῶν ἐπιχειρούντων τὰ ἐκ τῶν οἰκείων λογισμῶν ἐπεισάγειν τοῖς τῆς Ἐκκλησίας δόγμασιν. Ὑμέτερον δ' ἂν εἴη λοιπὸν μετὰ ἀκριβείας φυλάττειν τὰ παρακατατιθέμενα, καὶ τὴν μνήμην ἀδιάπτωτον διασώζειν, ἵνα καὶ τοῖς ἑξῆς μετ' εὐκολίας δύνησθε παρακολουθεῖν. Εἰ γὰρ μὴ νῦν καὶ ἡμεῖς καταβαίημεν πρὸς τὰ βαθύτερα τῶν νοημάτων, καὶ ὑμεῖς συντείνητε ὑμῶν τὴν διάνοιαν, ὅτε νηστείας καιρός, ὅτε κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ

ΟΜΙΛΙΑ Θ΄

Εἰς τὴν συνέχειαν τοῦ, «Ἂς πλάσωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα», καὶ πρὸς ἐκείνους ποὺ λέγουν, διατί ἐδημιουργήθησαν τὰ θηρία; καὶ ποία ἡ ὠφέλεια ἀπὸ τὴν δημιουργίαν των; Καὶ ὅτι καὶ αὐτὸ μάλιστα ἀποδεικνύει καὶ τὴν τιμὴν εἰς τὸν ἄνθρωπον καὶ τὴν ἄπειρον φιλανθρωπίαν τοῦ Θεοῦ.

1. Οἱ ἐργατικοὶ γεωργοί, ὅταν ἰδοῦν εὔφορον καὶ βαθιὰ ὀργωμένον χωράφι, ἀφοῦ σπείρουν μὲ ἀφθονίαν τὸν σπόρον, φροντίζουν πολὺ καὶ συνεχῶς, παρατηροῦντες καθημερινά, μήπως κάτι. ποὺ ἠμπορεῖ νὰ βλάψῃ τὸν σπόρον, καταστήσῃ ἄχρηστον τὸν προηγούμενον κόπον αὐτῶν· Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ἡμεῖς, ὅταν βλέπωμεν τὸν πνευματικόν σας πόθον καὶ τὴν μεγάλην ἀγάπην σας νὰ ἀκούετε, προσπαθοῦμεν καθημερινῶς νὰ βάλωμεν μέσα εἰς τὴν διάνοιάν σας τὰ νοήματα τῆς Ἁγίας Γραφῆς, ὑποδεικνύοντες εἰς σᾶς καὶ ἐκεῖνα ποὺ ἠμποροῦν νὰ βλάπτουν τὸν πνευματικὸν αὐτὸν σπόρον, διὰ νὰ μὴ τὸν καταστρέψουν, οὔτε νὰ ἐπισκοτίσουν τὴν ὀρθὴν διδασκαλίαν τῶν δογμάτων μὲ τὰ ἐπιβλαβῆ των λόγια ἐκεῖνοι, οἱ ὁποῖοι ἐπιχειροῦν νὰ εἰσαγάγουν τὰς ἰδικάς των σκέψεις εἰς τὰ δόγματα τῆς Ἐκκλησίας· Θὰ εἶναι ἰδικόν σας ἔργον νὰ φυλάσσετε μὲ ἀκρίβειαν εἰς τὸ ἑξῆς τὰ παραδεδομένα καὶ νὰ ἐνθυμῆσθε αὐτὰ συνεχῶς, διὰ νὰ ἠμπορῆτε νὰ παρακολουθῆτε μὲ εὐκολίαν καὶ τὰ ἑπόμενα. Διότι ἐὰν καὶ ἡμεῖς τώρα δὲν θὰ ἐμβαθύνωμεν εἰς τὰ βαθύτερα νοήματα καὶ σεῖς δὲν ἐντείνετε τὴν προσοχήν, ὁπότε εἶναι ὁ καιρὸς τῆς νηστείας, ὁπότε τὰ μέλη τοῦ σώματός μας εἶναι εὐκίνητα

τὸ ὄμμα τῆς διανοίας, τῷ πονηρῷ τῆς τρυφῆς μὴ ἐνοχλούμενον ρεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα πρὸς τὸ μὴ ἀποπνίγεσθαι· πότε δυνησόμεθα τοῦτο ποιῆσαι; ὅτε τρυφὴ καὶ μέθη, καὶ ἀδηφαγία, καὶ τὰ ἀπὸ τούτων τικτόμενα κακά; Ἢ οὐχ ὁρᾶτε, ὅτι καὶ οἱ τοὺς λίθους τούτους τοὺς ἀπὸ τῆς θαλάσσης εὑρίσκειν βουλόμενοι, οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι, καὶ τὰ κύματα ἀριθμοῦντες, οὕτω τὴν εὕρεσιν ποιοῦνται, ἀλλ' εἰς αὐτὸ τὸ βάθος καθιέντες ἑαυτούς, καὶ εἰς αὐτοὺς ὡς εἰπεῖν τοὺς κόλπους τῆς ἀβύσσου κατιόντες, οὕτω τῶν σπουδαζομένων ἐπιτυγχάνουσι; Καίτοι τί μέγα ὄφελος εἰσενέγκοι ἂν εἰς τὸν βίον τὸν ἡμέτερον ἡ τῶν λίθων ἐκείνων εὕρεσις; Εἴθε μὲν οὖν μὴ μεγάλην τὴν βλάβην καὶ πολλὴν τὴν ζημίαν εἰσέφερεν. Ἐντεῦθεν γὰρ τὰ μυρία τίκτεται κακά, ἀπὸ τῆς τῶν χρημάτων μανίας, καὶ τῆς περὶ ταῦτα λύσσης. Ἀλλ' ὅμως καὶ τοσαύτης ἐξ ἐκείνων τικτομένης βλάβης, πρὸς οὐδὲν ὀκνοῦσιν οἱ περὶ ταῦτα ἐσχολακότες, ἀλλὰ καὶ κινδύνοις ἑαυτοὺς ἐκδιδόασι, καὶ πολὺν πόνον ὑπομένουσιν, ὥστε δυνηθῆναι εὑρεῖν τὸ ζητούμενον. Ἐπὶ δὲ τῶν θείων Γραφῶν, καὶ τῶν πνευματικῶν τούτων καὶ τιμίων λίθων, οὔτε κίνδυνόν ἐστιν ὑπιδέσθαι, καὶ ὁ πόνος οὐ πολύς, καὶ τὸ κέρδος ἄφατον, μόνον ἐὰν ἡμεῖς μετὰ προθυμίας τὰ παρὰ ἑαυτῶν εἰσφέρωμεν. Ἡ γὰρ χάρις ἕτοιμός ἐστιν, ἐπιζητοῦσα τοὺς μετὰ δαψιλείας αὐτὴν ὑποδεχομένους. Τοιοῦτος γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἴδῃ ψυχὴν διεγηγερμένην καὶ πόθον ζέοντα, τὸν οἰκεῖον πλοῦτον μετὰ δαψιλείας χορηγεῖ ὑπερβαίνοντα τὴν αἴτησιν τῇ οἰκείᾳ φιλοτιμίᾳ.

2. Ταῦτα τοίνυν εἰδότες, ἀγαπητοί, ἐκκαθάραντες ὑμῶν τὸν λογισμὸν ἀπὸ τῶν βιωτικῶν πραγμάτων, καὶ εὐρύναντες ὑμῶν τὸ πλάτος τῆς διανοίας, μετὰ πολλῆς τῆς προθυμίας δέχεσθε τὰ παρὰ τοῦ Πνεύματος χορηγούμενα, ἵνα καθάπερ

διά τὴν κολύμβησιν, ὀξύτερον τὸ βλέμμα τῆς διανοίας, χωρὶς νά ἐνοχλῆται ἀπὸ τὸ πονηρὸν ρεῦμα τῶν ἀπολαύσεων, καὶ σταθερώτερον τὸ πνεῦμα διὰ νὰ μὴ ὀργίζεται πολύ, πότε θὰ ἠμπορέσωμεν νὰ κατωρθώσωμεν αὐτό; ὅταν ὑπάρχουν αἱ ἀπολαύσεις καὶ ἡ μέθη καὶ ἡ λαιμαργία καὶ τὰ κακά, ποὺ προέρχονται ἀπὸ αὐτά; Ἢ δέν βλέπετε, ὅτι καὶ ἐκεῖνοι ποὺ ἐπιθυμοῦν νὰ εὑρίσκουν τοὺς πολυτίμους αὐτοὺς λίθους ἀπὸ τὴν θάλασσαν, δὲν εὑρίσκουν αὐτοὺς ὅταν κάθωνται πλησίον τῆς παραλίας καὶ μετροῦν τὰ κύματα, ἀλλὰ ἀφοῦ κατέλθουν εἰς μέγα βάθος καὶ βυθισθοῦν, οὕτως εἰπεῖν, εἰς τοὺς κόλπους τῆς ἀβύσσου, ἔτσι κατορθώνουν ἐκεῖνα ποὺ ἐπιδιώκουν; Καὶ ὅμως ποίαν μεγάλην ὠφέλειαν θὰ ἠμποροῦσε νὰ φέρῃ εἰς τὴν ζωήν μας ἡ ἀνεύρεσις τῶν λίθων ἐκείνων; Εἴθε λοιπὸν νὰ μὴ ἐπροκαλοῦσαν μεγάλην βλάβην καὶ πολλὴν ζημίαν. Διότι ἀπὸ ἐδῶ προέρχονται ἄπειρα κακά, ἀπὸ τὴν μανίαν δηλαδὴ τῶν χρημάτων καὶ τὴν παράφορον ἐπιθυμίαν δι᾽ αὐτά. Ἀλλ᾽ ὅμως, ἂν καὶ προέρχεται ἀπὸ ἐκείνους τόσον μεγάλη βλάβη, δὲν φοβοῦνται καθόλου οἱ καταγινόμενοι μὲ αὐτά, ἀλλὰ καὶ εἰς κινδύνους ἐκθέτουν τοὺς ἑαυτούς των, καὶ πολὺν κόπον ὑποφέρουν, διὰ νὰ ἠμπορέσουν νὰ εὕρουν ἐκεῖνο, ποὺ ζητοῦν. Εἰς τὴν περίπτωσιν ὅμως τῆς Ἁγίας Γραφῆς καὶ τῶν πνευματικῶν αὐτῶν καὶ πολυτίμων λίθων, οὔτε εἶναι δυνατὸν νὰ ὑποψιασθοῦμεν κάποιον κίνδυνον, καὶ ὁ κόπος δὲν εἶναι πολύς, καὶ τὸ κέρδος ἀπερίγραπτον, μόνον ἐὰν ἡμεῖς προσφέρωμεν μὲ προθυμίαν ὅ,τι ἐξαρτᾶται ἀπὸ τὸν ἑαυτόν μας. Διότι ἡ χάρις εἶναι ἕτοιμος, ἐπιζητοῦσα ἐκείνους ποὺ μὲ ἀφθονίαν δέχονται αὐτήν. Τέτοιος λοιπὸν εἶναι ὁ Κύριός μας· ὅταν ἰδῇ ψυχὴν ἄγρυπνον καὶ νὰ φλέγεται ἀπὸ σφοδρὰν ἐπιθυμίαν, παρέχει μὲ ἀφθονίαν τὸν ἰδικόν του πλοῦτον, ποὺ ὑπερβαίνει τὴν αἴτησιν ἐξ αἰτίας τῆς γενναιοδωρίας του.

2. Γνωρίζοντες λοιπὸν αὐτά, ἀγαπητοί, ἀφοῦ καθαρίσετε τὴν σκέψιν σας ἀπὸ τὰ βιωτικὰ πράγματα καὶ διευρύνετε τὸ πλάτος τῆς διανοίας σας, νὰ δέχεσθε μὲ μεγάλην προθυμίαν τὰς χορηγίας τοῦ Πνεύματος, ὥστε ὡσὰν εὔφορον

γῆ λιπαρὰ καὶ γόνιμος πολυπλασιάσητε τὰ καταβαλλόμενα, καὶ ποιήσητε ὁ μὲν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. Ἠκούσατε ἐν ταῖς προλαβούσαις ἡμέραις τὴν ἄφατον σοφίαν τοῦ τὰ ὁρώμενα πάντα τεκτηναμένου, καὶ ὅπως ῥήματι μόνον καὶ θελήματι τὰ πάντα παρήγαγεν. Εἶπε γάρ, «Γενηθήτω», καὶ ἐγένετο, καὶ εὐθέως παρήχθη ἅπαντα τὰ στοιχεῖα, καὶ ἤρκεσε τὸ ῥῆμα πρὸς τὴν τῶν γενομένων σύστασιν, οὐκ ἐπειδὴ ῥῆμα ἦν ἁπλῶς, ἀλλ' ἐπειδὴ ῥῆμα Θεοῦ. Μέμνησθε τῶν τότε κινηθέντων ἡμῖν πρὸς τοὺς ἐξ ὑποκειμένης ὕλης ἐπεισφέροντας τοῖς τῆς Ἐκκλησίας δόγμασιν. Ἐμάθετε τίνος ἕνεκεν τὸν μὲν οὐρανὸν ἀπηρτισμένον παρήγαγε, τὴν δὲ γῆν ἀμόρφωτον καὶ ἀδιατύπωτον. Καὶ γὰρ δύο αἰτίας τότε εἰρήκαμεν, μίαν μέν, ἵνα ἐν τῷ βελτίονι στοιχείῳ καταμαθόντες τὴν δύναμιν τοῦ Δεσπότου, μηκέτι ἀμφιβάλλωμεν νομίζοντες δι' ἀσθένειαν δυνάμεως τοῦτο γενέσθαι· ἑτέραν δέ, ἐπειδὴ αὕτη καὶ μήτηρ καὶ τροφὸς ἡμῖν γεγένηται, καὶ ἐξ αὐτῆς καὶ τρεφόμεθα, καὶ πάντων τῶν ἄλλων ἀπολαύομεν, καὶ πρὸς αὐτὴν πάλιν ἐπάνιμεν· αὕτη γὰρ ἡμῖν καὶ πατρὶς καὶ τάφος ἐστίν· ἵνα γοῦν μὴ τὸ τῆς χρείας ἀναγκαῖον παρασκευάσῃ μέγα τι καὶ περὶ αὐτῆς φαντάζεσθαι, δείκνυσιν αὐτὴν ἐξ ἀρχῆς ἀμόρφωτον· ἵνα παιδευώμεθα καὶ δι' αὐτῶν τῶν πραγμάτων, μηκέτι τῇ φύσει τῆς γῆς λογίζεσθαι τὰ προειρημένα ἅπαντα, ἀλλὰ τῇ δυνάμει τοῦ παραγαγόντος. Ἐμάθετε πάλιν πῶς τὸν χωρισμὸν τῶν ὑδάτων εἰργάσατο, τὸ στερέωμα τοῦτο τὸ ὁρώμενον παραχθῆναι προστάξας· εἴδετε τὰ ζῶα τὰ ἔμψυχα, καὶ ἐκ τῶν ὑδάτων, καὶ ἐκ τῆς γῆς ἀναδιδόμενα. Ταῦτα οὐχ ἁπλῶς οὐδὲ μάτην νῦν ἀναγκάζομαι ἐπαναλαμβάνειν καὶ δευτεροῦν ἐπὶ τῆς ὑμετέρας ἀγάπης· ἀλλ' ἵνα τοῖς μὲν ἀκηκόσιν ὑπόθεσις γένηται, καὶ ἀσφαλέστερον αὐτὰ ἐναποθῶνται

καὶ γόνιμον χωράφι νὰ πολλαπλασιάσετε τὸν σπόρον καὶ νὰ ἀποδώσετε ἄλλος μὲν ἑκατὸν φορὰς περισσότερον, ἄλλος δὲ ἑξήντα καὶ ἄλλος τριάντα. Ἠκούσατε κατὰ τὰς προηγουμένας ἡμέρας τὴν ἀνέκφραστον σοφίαν ἐκείνου, ὁ ὁποῖος ἐδημιούργησεν ὅλα τὰ ὁρατὰ καὶ πῶς ἔκαμε τὰ πάντα μόνον μὲ τὸν λόγον καὶ τὸ θέλημά του. Διότι εἶπεν, «Ἂς γίνῃ», καὶ ἔγινε, καὶ ἀμέσως ἐδημιουργήθησαν ὅλα τὰ στοιχεῖα τῆς φύσεως, καὶ ἦτο ἀρκετὸς ὁ λόγος διὰ τὴν σύστασιν τῶν δημιουργημάτων, ὄχι διότι ἦτο ἁπλῶς λόγος, ἀλλὰ διότι ἦτο λόγος Θεοῦ. Ἐνθυμηθῆτε ἐκεῖνα ποὺ εἴπαμεν τότε πρὸς αὐτούς, οἱ ὁποῖοι ἰσχυρίζονται ὅτι τὰ ὄντα ἔχουν γίνει ἀπὸ προϋπάρχουσαν ὕλην καὶ προσάγουν εἰς τὰ δόγματα τῆς Ἐκκλησίας τὰ ἰδικά των ἀνόητα ἐπιχειρήματα. Ἐμάθατε διὰ ποῖον λόγον ἐδημιούργησε τὸν μὲν οὐρανὸν τέλειον, τὴν δὲ γῆν χωρὶς μορφὴν καὶ σχῆμα. Καὶ πράγματι τότε εἴχαμεν ἀναφέρει δύο λόγους· πρῶτον μέν, ἀφοῦ γνωρίσωμεν τὴν δύναμιν τοῦ Κυρίου εἰς τὸ καλύτερον στοιχεῖον, διὰ νὰ μὴ ἀμφιβάλλωμεν πλέον νομίζοντες ὅτι αὐτὸ ἔγινεν ἐξ αἰτίας τῆς ἀδυναμίας τοῦ δημιουργοῦ· καὶ δεύτερον, ἐπειδὴ αὐτὴ εἶναι δι' ἡμᾶς καὶ μητέρα καὶ τροφός, καὶ ἀπὸ αὐτὴν καὶ τρεφόμεθα καὶ ἀπολαμβάνομεν ὅλα τὰ ἄλλα, καὶ εἰς αὐτὴν πάλιν ἐπανερχόμεθα, διότι αὐτὴ εἶναι καὶ πατρίδα καὶ τάφος μας· διὰ νὰ μὴ μᾶς κάμῃ λοιπὸν ἡ ἀναγκαιότης τῆς ὠφελείας της νὰ σχηματίζωμεν δι' αὐτὴν κάποιαν μεγάλην ἰδέαν, μᾶς τὴν παρουσιάζει ἀπὸ τὴν ἀρχὴν χωρὶς μορφήν· διὰ νὰ διδασκώμεθα καὶ μὲ αὐτὰ τὰ πράγματα, νὰ μὴ ἀποδίδωμεν πλέον εἰς τὴν φύσιν τῆς γῆς ὅλα, ποὺ ἐλέχθησαν προηγουμένως, ἀλλὰ εἰς τὴν δύναμιν τοῦ δημιουργοῦ. Ἐμάθατε πάλιν πῶς ἔκαμε τὸν διαχωρισμὸν τῶν ὑδάτων, ἀφοῦ ἐπρόσταξε νὰ δημιουργηθῇ ὁ ὁρατὸς αὐτὸς οὐράνιος θόλος. Εἴδατε τὰ ἔμψυχα ζῶα, νὰ προέρχωνται ἄλλα ἀπὸ τὰ ὕδατα καὶ ἄλλα ἀπὸ τὴν γῆν. Δὲν ἀναγκάζομαι τώρα νὰ σᾶς ἐπαναλαμβάνω αὐτὰ διὰ δευτέραν φορὰν ἁπλῶς καὶ ἀσκόπως· ἀλλὰ εἰς αὐτοὺς μὲν ποὺ τὰ ἔχουν ἀκούσει νὰ γίνουν σταθερὰ καὶ νὰ ἐναποθέσουν αὐτὰ μὲ μεγαλυτέραν ἀσφάλειαν εἰς τὴν διάνοιάν

τῇ διανοίᾳ· τοῖς δὲ τότε μὴ παραγενομένοις ἀρκοῦσα γένηται ἡ διδασκαλία, καὶ μηδεμίαν ἐκ τοῦ μὴ παρεῖναι ζημίαν ὑπομένωσιν. Ἐπεὶ καὶ πατὴρ φιλόστοργος τοῖς ἀπολειφθεῖσι παισὶ τῆς τραπέζης τὰ λείψανα διαφυλάττει, ἵνα παραγενόμενοι παραμυθίαν τῆς ἀπουσίας εὕρωσι τὴν τούτων φυλακήν. Διὰ δὴ τοῦτο καὶ ἡμεῖς πάντων ἐνταῦθα συνιόντων ὡς οἰκείων μελῶν κηδόμενοι, καὶ τὴν ὑμετέραν προκοπὴν οἰκείαν εὐδοκίμησιν τιθέμενοι, ἐπιθυμοῦμεν ἅπαντας τελείους καὶ ἀπηρτισμένους ἀποδειχθῆναι εἰς δόξαν Θεοῦ, καὶ εἰς εὐδοκίμησιν τῆς Ἐκκλησίας, καὶ εἰς καύχημα ἡμέτερον. Καὶ εἰ μὴ δοκῶ παρενοχλεῖν, φέρε δι' ὀλίγων καὶ τῶν χθὲς ἡμῖν εἰρημένων ὑπομνήσωμεν ὑμῶν τὴν ἀγάπην. Εἴδετε τὴν διαφορὰν τῆς δημιουργίας τῶν κτισμάτων, καὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως· ἠκούσατε ὅσης τιμῆς ἠξίωσε τὸν ἀρχηγὸν τοῦ γένους τοῦ ἡμετέρου, καὶ ἐν αὐτῇ τῇ διαπλάσει πῶς δι' αὐτῶν τῶν ῥημάτων καὶ τῆς τῶν λέξεων παχύτητος ἐνέφηνε τὴν τιμὴν τὴν εἰς τὸν μέλλοντα δημιουργεῖσθαι, λέγων, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν». Ἐμάθετε τί ἐστι τὸ «Κατ' εἰκόνα», ὅτι οὐκ οὐσίας ἐστὶν ἀξία, ἀλλ' ἀρχῆς ὁμοιότης, καὶ ὅτι οὐ κατὰ τὴν τῆς μορφῆς εἰκόνα εἶπεν, ἀλλὰ κατὰ τὸν τῆς ἀρχῆς λόγον, διὸ καὶ ἐπήγαγε· «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων καὶ τῶν ἑρπετῶν τῆς γῆς».

3. Ἀλλ' ἐνταῦθα ἐπιφύονται ἡμῖν Ἕλληνες λέγοντες, ὅτι οὐκ ἀληθὴς ὁ λόγος εὑρίσκεται· οὐ γὰρ ἄρχομεν τῶν θηρίων, καθάπερ ὑπέσχετο, ἀλλ' αὐτὰ ἡμῶν ἄρχει. Μάλιστα μὲν οὖν οὐδὲ τοῦτο ἀληθές. Ἔνθα γὰρ ἂν φανῇ ἄνθρωπος, εὐθέως φυγαδεύεται τὰ θηρία. Εἰ δέ ποτε ἢ λιμοῦ καταναγκάζοντος, ἢ ἡμῶν αὐτοῖς ἐπιόντων τὴν ἀπ' αὐτῶν βλάβην δεξώμεθα, τοῦτο λοιπὸν οὐ παρὰ τὸ ἐκεῖνα ἡμῶν ἄρχειν γίνεται, ἀλλὰ παρὰ τὴν ἡμετέραν αἰτίαν. Ἐπεὶ καὶ λῃστῶν ἡμῖν ἐπιόντων,

1. Γεν. 1, 26.

των· εἰς ἐκείνους δὲ ποὺ δὲν ἦσαν παρόντες τότε νὰ γίνῃ ἡ διδασκαλία ἐπαρκὴς καὶ νὰ μὴ ὑφίστανται καμμίαν ζημίαν ἀπὸ τὴν ἀπουσίαν των. Ἀφοῦ καὶ ἕνας φιλόστοργος πατέρας διαφυλάσσει τὰ ὑπολείμματα τοῦ φαγητοῦ διὰ τὰ εὑρισκόμενα μακρὰν ἀπὸ τὸ τραπέζι παιδιά του, ὥστε, ὅταν ἔλθουν, νὰ εὑροῦν παρηγορίαν τῆς ἀπουσίας των εἰς τὴν διαφύλαξιν αὐτῶν. Διὰ τοῦτο λοιπὸν καὶ ἡμεῖς φροντίζοντες, ὡσὰν ἰδικά μας μέλη, ὅλους σας ποὺ συγκεντρώνεσθε ἐδῶ καὶ θεωροῦντες τὴν ἰδικήν σας πρόοδον ὡς ἰδικήν μας ἐπιτυχίαν, ἐπιθυμοῦμεν νὰ ἀναδειχθῆτε ὅλοι τέλειοι καὶ ἄρτιοι διὰ τὴν δόξαν τοῦ Θεοῦ, τὴν πρόοδον τῆς Ἐκκλησίας καὶ τὴν ἰδικήν μας καύχησιν. Καὶ ἐὰν δὲν ἐνοχλῶ, ἐμπρὸς ἂς ὑπενθυμίσωμεν εἰς τὴν ἀγάπην σας μὲ ὀλίγα λόγια ἐκεῖνα, ποὺ εἴχαμεν εἰπῇ χθές. Εἴδατε τὴν διαφορὰν τῆς δημιουργίας τῶν κτισμάτων καὶ τῆς πλάσεως τοῦ ἀνθρώπου. Ἠκούσατε μὲ πόσην τιμὴν ἐτίμησε τὸν ἀρχηγὸν τοῦ ἀνθρωπίνου γένους, καὶ κατ' αὐτὴν τὴν δημιουργίαν πῶς μὲ αὐτὰ τὰ λόγια καὶ τὴν διαφορὰν τῶν λέξεων ἐπαρουσίασε τὴν τιμὴν εἰς ἐκεῖνον, ὁ ὁποῖος ἐπρόκειτο νὰ δημιουργηθῇ, λέγων, «Ἂς πλάσωμεν ἄνθρωπον σύμφων μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν». Ἐμάθατε τί σημαίνει τὸ «Κατ' εἰκόνα», ὅτι δηλαδὴ εἰκὼν δὲν σημαίνει ἰσότιμος τῆς οὐσίας, ἀλλὰ ὁμοιότης ἐξουσίας, καὶ ὅτι δὲν εἶπε σύμφωνα μὲ τὴν εἰκόνα τῆς μορφῆς, ἀλλὰ σύμφωνα μὲ τὴν ἐντολὴν τῆς ἐξουσίας, δι' αὐτὸ καὶ ἐπρόσθεσε· «Καὶ ἂς ἐξουσιάζῃ τοὺς ἰχθῦς τῆς θαλάσσης, καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ, καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ τῆς γῆς»[1].

3. Ἀλλὰ ἐδῶ παρουσιάζονται οἱ Ἕλληνες καὶ μᾶς λέγουν, ὅτι ὁ λόγος δὲν εἶναι ἀληθινός, διότι δὲν ἐξουσιάζομεν τὰ θηρία, ὅπως ἀκριβῶς ὑπεσχέθη, ἀλλὰ αὐτὰ μᾶς ἐξουσιάζουν. Μάλιστα δὲ οὔτε αὐτὸ εἶναι ἀληθινόν. Διότι ὅπου παρουσιασθῇ ὁ ἄνθρωπος, ἀμέσως ἀπομακρύνονται τὰ θηρία. Καὶ ἐὰν καμμίαν φορὰν δεχθοῦμεν τὴν βλάβην των, εἴτε ἐπειδὴ τὰ ἀναγκάζει ἡ πεῖνα, εἴτε ἐπειδὴ ἐπιτιθέμεθα ἡμεῖς ἐναντίον αὐτῶν, αὐτὸ δὲν συμβαίνει λοιπὸν ἀπὸ τὸ ὅτι μᾶς ἐξουσιάζουν, ἀλλὰ ἀπὸ ἰδικήν μας ἀφορμήν. Διότι

εἰ μὴ ῥαθυμήσαιμεν, ἀλλ' ὁπλιζοίμεθα, οὐ τῆς ἐκείνων ἀρχῆς τὸ πρᾶγμά ἐστιν, ἀλλὰ τῆς οἰκείας σωτηρίας ἡ πρόνοια. Ἀκούσωμεν δὲ τέως τῶν εἰρημένων. «Ποιήσωμεν», φησίν, «ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». Ὥσπερ «Εἰκόνα» εἶπε τὴν τῆς ἀρχῆς δηλῶν εἰκόνα, οὕτω καὶ «Ὁμοίωσιν», ὥστε κατὰ δύναμιν ἀνθρωπίνην ὁμοίους ἡμᾶς γίνεσθαι Θεῷ, κατὰ τὸ ἥμερον λέγω καὶ πρᾶον ἐξομοιοῦσθαι αὐτῷ, καὶ κατὰ τὸν τῆς ἀρετῆς λόγον, ὥσπερ καὶ ὁ Χριστός φησι, «Γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. Ὥσπερ γὰρ ἐν τῇ πλατείᾳ ταύτῃ γῇ καὶ εὐρυχώρῳ τῶν ζώων τὰ μέν ἐστιν ἡμερώτερα, τὰ δὲ θηριωδέστερα, οὕτω καὶ ἐν τῷ πλάτει τῆς ψυχῆς τῆς ἡμετέρας τῶν λογισμῶν οἱ μέν εἰσιν ἀλογώτεροι καὶ κτηνώδεις, οἱ δὲ θηριωδέστεροι καὶ ἀγριώτεροι. Δεῖ τοίνυν κρατεῖν καὶ περιγίνεσθαι, καὶ τῷ λογισμῷ τὴν ἀρχὴν τούτων παραδιδόναι. Καὶ πῶς ἄν τις περιγένοιτο, φησί, λογισμοῦ θηριώδους; Τί λέγεις, ἄνθρωπε; Λεόντων περιγινόμεθα, καὶ τὰς ψυχὰς αὐτῶν ἡμεροῦμεν, καὶ ἀμφιβάλλεις εἰ λογισμοῦ θηριωδίαν πρὸς ἡμερότητα μεταβαλεῖν δυνήσῃ; Καίτοι τῷ θηρίῳ μὲν κατὰ φύσιν πρόσεστι τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον· σοὶ δὲ τὸ ἐναντίον, κατὰ φύσιν μὲν τὸ ἥμερον, παρὰ φύσιν δὲ τὸ ἄγριον καὶ θηριῶδες. Ὁ τοίνυν τὸ κατὰ φύσιν ἐκβαλών, καὶ τὸ παρὰ φύσιν ἐνθεὶς τῇ τοῦ θηρίου ψυχῇ, τὸ κατὰ φύσιν αὐτὸς οὐ δύνασαι διατηρῆσαι; Καὶ πόσης οὐκ ἂν εἴη τοῦτο καταγνώσεως; Καὶ τὸ δὴ τούτου θαυμαστότερον καὶ παραδοξότερον, ἐπὶ μὲν τῆς τῶν λεόντων φύσεως καὶ ἑτέρα δυσκολία μετὰ ταύτης ἐστί· λογισμῶν γάρ ἐστιν ἔρημον τὸ θηρίον, ἀλλ' ὅμως ὁρῶμεν πολλάκις λέοντας ἡμέρους διὰ τῆς ἀγορᾶς ἀγομένους· πολλοὶ δὲ καὶ τῶν ἐπὶ τῶν ἐργαστηρίων καὶ ἀργύριον πολλάκις

2. Ματθ. 5, 45.

καὶ ὅταν μᾶς ἐπιτίθενται οἱ λησταί, ἐὰν δὲν ἀδρανήσωμεν, ἀλλὰ ὁπλισθῶμεν, τοῦτο δὲν εἶναι ἀποτέλεσμα τῆς ἐξουσίας αὐτῶν, ἀλλὰ μέριμνα διὰ τὴν ἰδικήν μας σωτηρίαν. Ἂς ἀκούσωμεν δὲ πάλιν τὰ λεχθέντα. «Ἂς πλάσωμεν, λέγει, ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν». Ὅπως εἶπεν «Εἰκόνα» δηλώνων τὴν εἰκόνα τῆς ἐξουσίας, ἔται εἶπε καὶ «Ὁμοίωσιν» διὰ νὰ γινώμεθα κατὰ τὴν ἀνθρωπίνην δύναμιν ὅμοιοι μὲ τὸν Θεόν, νὰ ἐξομοιούμεθα δηλαδὴ πρὸς αὐτὸν κατὰ τὴν ἡμερότητα καὶ πραότητα, καὶ κατὰ τὴν ἀναλογίαν τῆς ἀρετῆς, καθὼς καὶ ὁ Χριστὸς λέγει, «Νὰ γίνεσθε ὅμοιοι πρὸς τὸν Πατέρα σας, ποὺ εἶναι εἰς τοὺς οὐρανούς»[2]. Διότι ὅπως εἰς τὴν ἐκτεταμένην καὶ εὐρύχωρον αὐτὴν γῆν ἄλλα μὲν ζῶα εἶναι ἡμερώτερα, ἄλλα δὲ ἀγριώτερα, ἔτσι καὶ εἰς τὴν ἔκτασιν τῆς ἰδικῆς μας ψυχῆς ἄλλαι μὲν σκέψεις εἶναι περισσότερον ἀνόητοι καὶ κτηνώδεις, ἄλλαι δὲ περισσότερον θηριώδεις καὶ ἄγριαι. Πρέπει λοιπὸν νὰ ἐξουσιάζωμεν καὶ νὰ ὑπερισχύωμεν αὐτῶν καὶ νὰ παραδίδωμεν τὴν ἐξουσίαν αὐτῶν εἰς τὴν σκέψιν· Καὶ πῶς θὰ ἠμπορέσῃ κανεὶς νὰ ὑπερισχύσῃ, λέγει κάποιος, τὴν θηριώδη σκέψιν; Τί λέγεις, ἄνθρωπε; Ἐξουσιάζομεν τὰ λεοντάρια καὶ ἐξημερώνομεν τὰς διαθέσεις των, καὶ ἀμφιβάλλεις ἐὰν θὰ ἠμπορέσῃς νὰ μεταβάλῃς εἰς ἡμερότητα τὴν θηριωδίαν τῆς σκέψεως; Ἂν καὶ εἰς τὸ θηρίον ἐνυπάρχει ἐκ φύσεως μὲν ἡ θηριωδία, παρὰ φύσιν δὲ ἡ ἡμερότης· εἰς σὲ ὅμως συμβαίνει τὸ ἀντίθετον, ἐκ φύσεως μὲν ἡ ἡμερότης, παρὰ φύσιν δὲ ἡ ἀγριότης καὶ ἡ θηριωδία. Σὺ λοιπόν, ποὺ ἀπεμάκρυνες τὸ ἐκ φύσεως καὶ ἐτοποθέτησες τὸ παρὰ φύσιν μέσα εἰς τὴν ψυχὴν τοῦ θηρίου, δὲν ἠμπορεῖς νὰ διατηρήσῃς ὁ ἴδιος τὸ ἐκ φύσεως; Καὶ πόσην κατάκρισιν δὲν θὰ εἶχεν αὐτό; Καὶ τὸ περισσότερον βεβαίως θαυμαστὸν καὶ παράδοξον εἶναι, ὅτι εἰς μὲν τὴν περίπτωσιν τῆς φύσεως τῶν λεονταριῶν ὑπάρχει μαζὶ μὲ αὐτὴν καὶ ἄλλη δυσκολία, διότι τὸ ἄγριον ζῶον στερεῖται σκέψεων, ἀλλ᾽ ὅμως βλέπομεν συχνὰ νὰ φέρωνται ἐξημερωμένα λεοντάρια διὰ μέσου τῆς ἀγορᾶς· καὶ πολλοὶ δὲ ποὺ ἔχουν καταστήματα ἔδωσαν καὶ χρήματα πολλὰς φορὰς εἰς ἐκεῖνον ποὺ τὸ χαλιναγωγῇ ὡς κάποιαν

κατέβαλον τῷ κατέχοντι μισθόν τινα τῆς τέχνης καὶ τῆς σοφίας, δι᾽ ἧς τὸ θηρίον ἡμέρωσεν· ἐπὶ δὲ τῆς σῆς ψυχῆς καὶ λογισμός ἐστι, καὶ Θεοῦ φόβος, καὶ πολλὴ πολλαχόθεν ἡ βοήθεια· μὴ τοίνυν σκήψεις λέγε καὶ προφάσεις. Δυνατὸν γάρ, ἐὰν θέλῃς ἥμερος εἶναι καὶ πρᾶος καὶ ἐπιεικής. «Ποιήσωμεν», φησίν, «ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν».

4. Ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ζήτημα πάλιν ἐπανίωμεν. Δείκνυται γὰρ ἐκ τῶν εἰρημένων, ὅτι ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπηρτισμένην εἶχε τὴν ἀρχὴν ὁ ἄνθρωπος τὴν κατὰ τῶν θηρίων. «Ἀρχέτωσαν γάρ», φησί, «τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων καὶ τῶν ἑρπετῶν τῆς γῆς». Ὅτι δὲ νῦν φοβούμεθα τὰ θηρία, καὶ δεδοίκαμεν, καὶ τῆς ἀρχῆς ἐκπεπτώκαμεν, οὐδὲ αὐτὸς ἀντιλέγω· ἀλλ᾽ οὐ τοῦτο ψευδῆ τοῦ Θεοῦ τὴν ὑπόσχεσιν δείκνυσι. Παρὰ γὰρ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ἀλλ᾽ ἐδεδοίκει καὶ ἔτρεμε τὰ θηρία, καὶ ὑπέκυπτε τῷ δεσπότῃ. Ἐπειδὴ δὲ τῆς παρρησίας ἐξέπεσε διὰ τὴν παρακοήν, καὶ τὰ τῆς ἀρχῆς ἠκρωτηριάσθη. Ὅτι γὰρ ὑποτεταγμένα ἦν ἅπαντα τῷ ἀνθρώπῳ, ἄκουσον τῆς Γραφῆς λεγούσης· «Ἤγαγε», φησί, «τὰ θηρία καὶ πάντα τὰ ἄλογα πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά». Καὶ ὁρῶν πλησίον αὐτοῦ γινόμενα τὰ θηρία, οὐκ ἀπεπήδησεν, ἀλλὰ καθάπερ τις δεσπότης δούλοις ὑποκειμένοις ὀνόματα ἐπιτιθείς, οὕτως ἅπασι τὰς προσηγορίας ἐπέθηκεν· «Καὶ πᾶν ὃ ἐκάλεσεν αὐτό», φησίν, «Ἀδάμ, τοῦτο ὄνομα αὐτῷ»· καὶ τοῦτο γὰρ δεσποτείας σύμβολον. Διὰ τοῦτο καὶ ὁ Θεὸς βουλόμενος καὶ διὰ τούτου διδάξαι αὐτὸν τὸ τῆς ἐξουσίας ἀξίωμα, αὐτῷ τῶν ὀνομάτων τὴν θέσιν ἐπέτρεψεν. Ἱκανὸν μὲν οὖν τοῦτο δεῖξαι τὸ μὴ φοβερὰ εἶναι ἐξ ἀρχῆς τῷ ἀνθρώπῳ τὰ θηρία. Ἔστι δὲ καὶ ἕτερον οὐκ ἔλαττον τούτου, ἀλλὰ καὶ πολλῷ σαφέστερον. Τί δὴ τοῦτό ἐστιν; Ἡ πρὸς τὴν γυναῖκα τοῦ ὄφεως διάλεξις. Εἰ γὰρ ἦν φοβερὰ τὰ θηρία τῷ ἀνθρώπῳ, οὐκ ἂν ἰδοῦσα ἡ γυνὴ

3. Γεν. 2, 19.

ἀμοιβὴν τῆς τέχνης καὶ τῆς σοφίας του, μὲ τὴν ὁποίαν ἐξημέρωσε τὸ θηρίον. Εἰς τὴν περίπτωσιν ὅμως τῆς ἰδικῆς σου ψυχῆς καὶ σκέψις ὑπάρχει, καὶ φόβος Θεοῦ, καὶ ἀπὸ πολλὰ σημεῖα μεγάλη βοήθεια· Νὰ μὴ μεταχειρίζεσαι λοιπὸν προφάσεις καὶ δικαιολογίας. Διότι εἶναι δυνατόν, ἐὰν θέλῃς, νὰ εἶσαι ἥμερος, πρᾶος καὶ ἐπιεικής· «Ἂς πλάσωμεν, λέγει, ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν».

4. Ἀλλὰ ἂς ἐπανέλθωμεν πάλιν εἰς τὸ θέμα μας. Ἀποδεικνύεται λοιπὸν ἀπὸ ὅσα ἔχουν λεχθῆ, ὅτι ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴν εἶχε πλήρη τὴν ἐξουσίαν ὁ ἄνθρωπος ἐπάνω εἰς τὰ θηρία. Διότι λέγει, «Ἂς ἐξουσιάζουν τοὺς ἰχθῦς τῆς θαλάσσης, καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ, καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ τῆς γῆς». Ὅτι ὅμως τώρα φοβούμεθα τὰ θηρία καὶ τρέμομεν αὐτά, καὶ ὅτι ἔχομεν χάσει τὴν ἐξουσίαν, οὔτε καὶ ἐγὼ ὑποστηρίζω τὰ ἀντίθετα· ἀλλὰ αὐτὸ δὲν ἀποδεικνύει ψευδῆ τὴν ὑπόσχεσιν τοῦ Θεοῦ. Διότι κατὰ τὴν ἀρχὴν δὲν ἦσαν ἔτσι τὰ πράγματα, ἀλλὰ ἐφοβοῦντο καὶ ἔτρεμαν τὰ ζῶα, καὶ ὑπετάσσοντο εἰς τὸν κυρίαρχον ἄνθρωπον. Ἀφοῦ ὅμως ἐξ αἰτίας τῆς παρακοῆς του ἔχασε τὴν παρρησίαν, ἠκρωτηριάσθη καὶ ἡ ἐξουσία του. Ὅτι βεβαίως τὰ πάντα ἦσαν ὑποταγμένα εἰς τὸν ἄνθρωπον, ἄκουσε τὴν Γραφήν, ποὺ λέγει· «Ἔφερε τὰ ἄγρια θηρία καὶ ὅλα τὰ ζῶα εἰς τὸν Ἀδάμ, διὰ νὰ ἰδῇ πῶς θὰ τὰ ὀνομάσῃ»[3]. Καὶ ὅταν ἔβλεπε νὰ ἔρχωνται πλησίον του τὰ ζῶα, δὲν ἐταράχθη, ἀλλὰ ὡσὰν κάποιος κύριος ποὺ δίδει ὀνόματα εἰς τοὺς ὑποταγμένους δούλους, ἔτσι ἔδωσεν εἰς ὅλα τὰ ὀνόματα. «Καὶ ὁποιοδήποτε ὄνομα ἔδωσε, λέγει, ὁ Ἀδάμ, τοῦτο ἦτο τὸ ὄνομά του·» καὶ αὐτὸ λοιπὸν ἦτο σύμβολον ἐξουσίας. Δι' αὐτὸ καὶ ὁ Θεός, ἐπειδὴ ἤθελε καὶ μὲ τοῦτο νὰ καταστήσῃ γνωστὸν εἰς αὐτὸν τὸ ἀξίωμα τῆς ἐξουσίας του, ἀνέθεσεν εἰς αὐτὸν τὴν ἐπίθεσιν τῶν ὀνομάτων. Αὐτὸ μὲν εἶναι ἀρκετὸν λοιπὸν διὰ νὰ ἀποδείξῃ, ὅτι ἀπὸ τὴν ἀρχὴν τὰ θηρία δὲν ἐπροκαλοῦσαν φόβον εἰς τὸν ἄνθρωπον. Ὑπάρχει ὅμως καὶ ἄλλο, ὄχι μικρότερον ἀπὸ αὐτό, ἀλλὰ καὶ περισσότερον σαφέστερον. Τί λοιπὸν εἶναι αὐτό; Ἡ συζήτησις τοῦ ὄφεως μὲ τὴν γυναῖκα. Διότι ἐὰν τὰ θηρία ἐπροκαλοῦσαν φόβον εἰς τὸν ἄν-

τὸν ὄφιν ἔμεινεν, οὐκ ἂν ἐδέξατο τὴν συμβουλήν, οὐκ ἂν μετὰ τοσαύτης αὐτῷ διελέχθη τῆς ἀδείας, ἀλλ' εὐθέως ἂν τὴν πρόσοψιν ἐξεπλάγη, καὶ ἀπεπήδησε. Νῦν δὲ καὶ διαλέγεται, καὶ οὐ φοβεῖται· οὔπω γὰρ ἦν ὁ φόβος οὗτος. Ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία εἰσῆλθεν, ἀφῃρέθη λοιπὸν καὶ τὰ τῆς τιμῆς, καὶ τὰ τῆς ἐξουσίας. Καὶ ὥσπερ ἐπὶ τῶν οἰκετῶν οἱ μὲν εὐδοκιμοῦντες φοβεροὶ καὶ τοῖς συνδούλοις εἰσίν, οἱ δὲ προσκεκρουκότες καὶ τοὺς συνδούλους δεδοίκασιν· οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου γέγονεν. Ἕως μὲν γὰρ εἶχε τὴν πρὸς τὸν Θεὸν παρρησίαν, φοβερὸς καὶ τοῖς θηρίοις ἦν· ἐπειδὴ δὲ προσέκρουσε, καὶ τοὺς ἐσχάτους τῶν συνδούλων ἐδεδοίκει λοιπόν. Εἰ δὲ μὴ ἀνέχῃ τῶν παρ' ἡμῶν λεγομένων, σύ μοι δεῖξον πρὸ τῆς ἁμαρτίας, ὅτι φοβερὰ τῷ ἀνθρώπῳ τὰ θηρία ἦν. Ἀλλ' οὐκ ἂν ἔχοις. Εἰ δὲ μετὰ ταῦτα εἰσῆλθεν ὁ φόβος, καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας μέγιστον τεκμήριον. Εἰ γάρ, καὶ τῆς ἐντολῆς παραβαθείσης ὑπὸ τοῦ ἀνθρώπου, ἡ τιμὴ ἡ δοθεῖσα αὐτῷ ἀκίνητος ἔμεινεν, οὐκ ἂν ἀνέστη ῥᾳδίως ἀπὸ τοῦ πτώματος. Ὅταν γὰρ καὶ παρακούοντες οἱ ἄνθρωποι, καὶ μὴ παρακούοντες τῆς αὐτῆς ἀπολαύωσι τιμῆς, παιδοτριβοῦνται πρὸς πονηρίαν μᾶλλον, καὶ οὐ ταχέως ἀφίστανται τῆς κακίας. Εἰ γὰρ καὶ νῦν φόβων, καὶ τιμωριῶν, καὶ κολάσεων ἐπικειμένων οὐκ ἀνέχονται σωφρονεῖν, τίνες ἂν ἦσαν, εἰ μηδὲν ἔπασχον ὑπὲρ ὧν ἐπλημμέλουν δεινῶν; Ὥστε κηδόμενος ἡμῶν καὶ φροντίζων ἐξέβαλεν ἡμᾶς τῆς ἀρχῆς.

5. Σὺ δέ μοι, ἀγαπητέ, καὶ ἐντεῦθεν σκόπει τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, πῶς ὁ μὲν Ἀδὰμ πᾶσαν ἀνέτρεψε τὴν ἐντολήν, καὶ πάντα παρέβη τὸν νόμον· ὁ δὲ Θεὸς φιλάνθρωπος ὤν, καὶ ἀγαθότητι νικῶν τὰ ἡμέτερα πλημμελήματα, οὐ πᾶσαν ἔλυσε τιμήν, οὐδὲ πάσης ἐξέβαλεν αὐτὸν τῆς δεσπο-

θρωπον, δὲν θὰ παρέμεινεν ἡ γυναῖκα, ὅταν εἶδε τὸν ὄφιν, δὲν θὰ ἐδέχετο τὴν συμβουλήν, δὲν θὰ ἐσυζητοῦσε μὲ τόσον μεγάλην ἀσφάλειαν μαζί του, ἀλλὰ ἀμέσως θὰ ἐταράσσετο εἰς τὸ πρόσωπον καὶ θὰ ἀπεμακρύνετο· Τώρα ὅμως καὶ συζητεῖ, καὶ δὲν φοβεῖται, διότι δὲν ὑπῆρχεν ἀκόμη ὁ φόβος αὐτός. 'Αφοῦ ὅμως εἰσῆλθεν ἡ ἁμαρτία, ἐστερήθη εἰς τὴν συνέχειαν καὶ τὴν τιμὴν καὶ τὴν ἐξουσίαν. Καὶ ὅπως εἰς τοὺς ὑπηρέτας, ἐκεῖνοι μὲν ποὺ προκόπτουν, προκαλοῦν φόβον καὶ εἰς τοὺς συνυπηρέτας των, ἐκεῖνοι δὲ ποὺ ἀντιμάχονται τὸν κύριόν των, φοβοῦνται ἀκόμη καὶ τοὺς συνυπηρέτας των· ἔτσι συνέβη καὶ εἰς τὸν ἄνθρωπον· Διότι μέχρις ὅτου εἶχε τὴν παρρησίαν πρὸς τὸν Θεόν, ἐπροκαλοῦσε φόβον καὶ εἰς τὰ θηρία· ἀφοῦ ὅμως ἡμάρτησεν, εἰς τὴν συνέχειαν ἐφοβεῖτο καὶ τοὺς τελευταίους συνανθρώπους του. 'Εὰν ὅμως δὲν δέχεσαι τὰ λεγόμενα ἀπὸ ἡμᾶς, ἀπέδειξέ μου σύ, ὅτι πρὶν ἀπὸ τὴν ἁμαρτίαν τὰ θηρία ἐπροκαλοῦσαν φόβον εἰς τὸν ἄνθρωπον· 'Αλλὰ δὲν θὰ ἠμπορέσῃς. 'Εὰν δὲ ὕστερα ἀπὸ αὐτὰ εἰσῆλθεν ὁ φόβος, καὶ αὐτὸ εἶναι μεγίστη ἀπόδειξις τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Διότι ἐάν, καὶ ὅταν ὁ ἄνθρωπος παρέβη τὴν ἐντολήν, ἡ δοθεῖσα εἰς αὐτὸν τιμὴ παρέμεινε σταθερά, δὲν θὰ ἐσηκώνετο εὔκολα ἀπὸ τὴν πτῶσιν. 'Αφοῦ λοιπόν, καὶ ὅταν παραβαίνουν τὴν ἐντολὴν οἱ ἄνθρωποι καὶ ὅταν δὲν παραβαίνουν, ἀπολαμβάνουν τὴν ἰδίαν τιμήν, ἐκπαιδεύονται περισσότερον πρὸς τὴν πονηρίαν καὶ δὲν ἀπομακρύνονται γρήγορα ἀπὸ τὴν κακίαν. 'Εὰν λοιπὸν καὶ τώρα, ποὺ ἐπαπειλοῦνται φόβοι καὶ τιμωρίαι καὶ βασανιστήρια, δὲν δέχονται νὰ εἶναι σώφρονες, ποῖοι θὰ ἦσαν, ἐὰν δὲν ἔπασχον τίποτε διὰ τὰ κακά, ποὺ ἔπραττον; Κατὰ συνέπειαν, ἐπειδὴ ἐνδιαφέρεται καὶ φροντίζει δι' ἡμᾶς, μᾶς ἐστέρησε τὴν ἐξουσίαν.

5. Σὺ ὅμως, ἀγαπητέ, καὶ ἀπὸ ἐδῶ πρόσεξε τὴν ἄπειρον φιλανθρωπίαν τοῦ Θεοῦ, πῶς ὁ μὲν 'Αδὰμ ἀνέτρεψεν ὅλην τὴν ἐντολὴν καὶ παρέβη ὅλον τὸν νόμον· ὁ δὲ Θεός, ὁ ὁποῖος εἶναι φιλάνθρωπος καὶ νικᾷ μὲ τὴν ἀγαθότητα τὰ ἰδικά μας ἁμαρτήματα, δὲν ἔσβησεν ὅλην τὴν τιμήν, οὔτε ἐστέρησεν αὐτὸν ἀπὸ κάθε ἐξουσίαν, ἀλλὰ ἄφησε νὰ εἶναι

τείας, ἀλλ' ἐκεῖνα μόνον ἔξω τῆς ἀρχῆς ἀφῆκεν εἶναι τὰ ζῶα, ἃ μὴ σφόδρα αὐτῷ συνετέλει πρὸς τὴν τῆς ζωῆς χρείαν· τὰ δὲ ἀναγκαῖα καὶ χρήσιμα, καὶ πολλὴν εἰσφέροντα τὴν λειτουργίαν εἰς τὴν ζωὴν τὴν ἡμετέραν, ταῦτα εἴασε μένειν ἐν τῇ ὑποταγῇ καὶ τῇ δουλείᾳ. Ἀφῆκε γοῦν βοῶν ἀγέλας, ἵνα ἄροτρον ἕλκωμεν, ἵνα τὴν γῆν ἀνατέμνωμεν, ἵνα τὰ σπέρματα καταβάλλωμεν· ἀφῆκε καὶ τῶν ὑποζυγίων τὰ γένη, ἵνα πρὸς τὴν ἀγωγίμων μετακομιδὴν συναντιλαμβάνηται τῶν πόνων ἡμῖν· ἀφῆκε τῶν προβάτων τὰς ποίμνας, ἵνα ἔχωμεν ἐν τῇ περιβολῇ τῶν ἐνδυμάτων χορηγίαν ἀρκοῦσαν· καὶ ἕτερα δὲ γένη τῶν ζώων εἴασε πολλὴν ἡμῖν τὴν χορηγίαν παρέχοντα. Ἐπειδὴ γὰρ κολάζων τὸν ἄνθρωπον διὰ τὴν παρακοὴν ἔλεγεν, «Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου» ἵνα μὴ ὁ ἱδρὼς οὗτος καὶ ὁ πόνος ἀφόρητος ᾖ, ἐπεκούφισε τὸ βαρὺ καὶ φορτικὸν τοῦ ἱδρῶτος τῷ πλήθει τῶν ἀλόγων τῶν συνεφαπτομένων ἡμῖν τοῦ πόνου καὶ τῆς ταλαιπωρίας, καὶ ταὐτὸν πεποίηκεν, οἷον ἂν εἰ καὶ δεσπότης φιλάνθρωπος καὶ κηδεμονικὸς τὸν οἰκέτην τὸν αὐτοῦ μαστίξας, θεραπείαν τινὰ προσαγάγῃ ταῖς μάστιξιν· οὕτω δὴ καὶ ὁ Θεὸς καταδίκην ἐπιθεὶς τῷ ἡμαρτηκότι, παντὶ τρόπῳ τὴν καταδίκην ταύτην κουφοτέραν βούλεται ποιῆσαι, ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν. Ὥστε καὶ τὸ δοῦναι τὴν τιμήν, καὶ τὸ πάλιν ἀφελέσθαι, καὶ τὸ τὸν φόβον ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἀκριβῶς ἐξετάζοι καὶ εὐγνωμόνως, πολλῆς γέμει σοφίας, πολλῆς κηδεμονίας, πολλῆς τῆς φιλανθρωπίας. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστῶμεν αὐτῷ, καὶ εὐγνώμονες γενώμεθα περὶ τὸν τοσαῦτα ἡμᾶς εὐηργετηκότα. Οὐδὲ γὰρ βαρύ τι καὶ ἐπαχθὲς ἐπιζητεῖ παρ' ἡμῶν, ἀλλ' ἢ τὸ ὁμολογεῖν μόνον τὰς τοσαύτας εὐεργεσίας, καὶ τὰς ὑπὲρ τούτων αὐτῷ εὐχαριστίας ἀναφέ-

---

4. Ὑποζύγια εἶναι κυρίως ὁ ἵππος, ὁ ὄνος καὶ ὁ ἡμίονος.
5. Γεν. 3, 19.

ἔξω ἀπὸ τὴν ἐξουσίαν του ἐκεῖνα μόνον τὰ ζῶα, τὰ ὁποῖα δὲν ἐβοηθοῦσαν πολὺ εἰς τὰς ἀνάγκας τῆς ζωῆς· τὰ ἀναγκαῖα ὅμως καὶ τὰ χρήσιμα, καὶ ἐκεῖνα ποὺ προσφέρουν μεγάλην ὑπηρεσίαν εἰς τὴν ζωήν μας, αὐτὰ ἄφησε νὰ παραμένουν κάτω ἀπὸ τὴν ἐξουσίαν καὶ τὴν ὑπηρεσίαν μας.) Ἄφησε λοιπὸν πολλὰ βόδια, διὰ νὰ σύρωμεν τὸ ἀλέτρι, διὰ νὰ ὀργώνωμεν τὴν γῆν, διὰ νὰ σπείρωμεν τὸν σπόρον· ἄφησε τὰ εἴδη τῶν ὑποζυγίων ζώων[4], διὰ νὰ μᾶς ἀνακουφίζουν ἀπὸ τοὺς κόπους κατὰ τὴν μεταφορὰν τῶν πραγμάτων· ἄφησε τὰ ποίμνια τῶν προβάτων, διὰ νὰ ἔχωμεν εἰς τὴν ἐνδυμασίαν μας ἀρκετὴν ἀφθονίαν ἐνδυμάτων· καὶ ἄλλα δὲ εἴδη ζώων ἄφησε νὰ μᾶς παρέχουν ἄφθονα ἀγαθά. Ἐπειδὴ λοιπόν, ὅταν ἐτιμωροῦσε τὸν ἄνθρωπον διὰ τὴν παρακοήν του ἔλεγε, «Μὲ τὸν ἱδρῶτα τοῦ προσώπου σου θὰ κερδίζης τὸν ἄρτον σου»[5], διὰ νὰ μὴ εἶναι ὁ ἱδρώτας αὐτὸς καὶ ὁ κόπος ἀνυπόφορος, ἀνεκούφισε τὴν δυσκολίαν καὶ ἐνόχλησιν τοῦ ἱδρῶτος μὲ τὰ πολλὰ ζῶα, τὰ ὁποῖα μᾶς βοηθοῦν εἰς τὸν κόπον καὶ τὴν ταλαιπωρίαν, καὶ ἔχει κάμει τὸ ἴδιον, τὸ ὁποῖον θὰ ἔκαμε καὶ κάποιος φιλάνθρωπος καὶ στοργικὸς κύριος, ὁ ὁποῖος ἀφοῦ μαστιγώση τὸν ὑπηρέτην του, προσπαθεῖ νὰ θεραπεύση τὰς πληγάς. Ἔτσι λοιπὸν καὶ ὁ Θεός, ἀφοῦ κατεδίκασε τὸν ἄνθρωπον, ποὺ ἡμάρτησε, θέλει μὲ κάθε τρόπον νὰ καταστήση τὴν καταδίκην αὐτὴν ἐλαφροτέραν, ἐνῷ δηλαδὴ μᾶς κατεδίκασεν εἰς ἱδρῶτα καὶ κόπον συνεχῆ, ἔκαμε συγχρόνως πολλὰ εἴδη ζώων νὰ μᾶς βοηθοῦν εἰς τὸν κόπον μας. Συνεπῶς καὶ τὸ ὅτι μᾶς ἔδωσε τὴν τιμήν, καὶ τὸ ὅτι πάλιν τὴν ἀφήρεσε, καὶ τὸ ὅτι ὥρισε τὸν φόβον τῶν θηρίων, καὶ ὅλα, ἂν ἤθελε κανεὶς νὰ τὰ ἐξετάζη μὲ ἀκρίβειαν καὶ καλὴν διάθεσιν, εἶναι γεμᾶτα ἀπὸ πολλὴν σοφίαν, μεγάλην φροντίδα καὶ μεγάλην φιλανθρωπίαν. Δι᾽ ὅλα λοιπὸν αὐτὰ ἂς εὐχαριστοῦμεν αὐτὸν καὶ ἂς γίνωμεν εὐγνώμονες πρὸς ἐκεῖνον, ὁ ὁποῖος μᾶς εὐηργέτησε τόσον πολύ. Διότι τίποτε τὸ δύσκολον καὶ ἐνοχλητικὸν δὲν ζητεῖ ἀπὸ ἡμᾶς, παρὰ μόνον νὰ παραδεχώμεθα τὰς τόσον μεγάλας εὐεργεσίας καὶ νὰ ἀναπέμπωμεν εἰς αὐτὸν τὰς εὐχαριστίας

ρειν· οὐκ ἐπειδὴ αὐτὸς δεῖται τούτου· ἀνενδεὴς γὰρ ὑπάρχει· ἀλλ' ἵνα ἡμεῖς παιδευώμεθα τὸν χορηγὸν ἐπισπάσασθαι τῶν ἀγαθῶν, καὶ μὴ ἀγνώμονες γενώμεθα, ἀλλ' ἀξίαν τῶν εὐεργεσιῶν καὶ τῆς τοσαύτης κηδεμονίας τὴν ἀρετὴν εἰσφέρωμεν. Οὕτω γὰρ καὶ αὐτὸν εἰς πλείονα τὴν περὶ ἡμᾶς ἐκκαλεσόμεθα κηδεμονίαν. Μὴ τοίνυν ῥαθυμῶμεν, παρακαλῶ, ἀλλ' ἕκαστος ὑμῶν καθ' ἑκάστην ὥραν, εἰ οἷόν τε, ἀναλογιζέσθω καθ' ἑαυτόν, μὴ μόνον τὰς κοινὰς εὐεργεσίας, ἀλλὰ καὶ τὰς ἰδίας εἰς αὐτὸν γινομένας, μὴ τὰς ὡμολογημένας, καὶ πᾶσι δήλους, ἀλλὰ καὶ τὰς ἰδιαζούσας καὶ λανθανούσας τοὺς πολλούς· οὕτω γὰρ δυνήσεται διηνεκῆ τὴν εὐχαριστίαν ἀναφέρειν τῷ Δεσπότῃ. Τοῦτο μεγίστη θυσία, τοῦτο προσφορὰ τελεία, τοῦτο παρρησίας ἡμῖν ὑπόθεσις γενήσεται· καὶ πῶς, ἐγὼ λέγω. Ὁ γὰρ ταῦτα διηνεκῶς στρέφων ἐν τῇ διανοίᾳ τῇ ἑαυτοῦ, καὶ τὴν μὲν οἰκείαν εὐτέλειαν καταμανθάνων μετὰ ἀκριβείας, ἐννοῶν δὲ τὴν ἄφατον καὶ ὑπερβάλλουσαν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ ὅπως οὐ πρὸς ἀξίαν τῶν ἡμαρτημένων ὑφ' ἡμῶν, ἀλλὰ πρὸς τὴν οἰκείαν ἀγαθότητα ἀφορῶν, οὕτω τὰ καθ' ἡμᾶς οἰκονομεῖ, συστέλλεται τὴν διάνοιαν, συντρίβεται τὸν λογισμόν, πάντα τῦφον καὶ ἀπόνοιαν καταστέλλει, μετριάζειν μανθάνει, ὑπερορᾶν τῆς δόξης τοῦ παρόντος βίου, καταγελᾶν πάντων τῶν ὁρωμένων, φαντάζεσθαι τὰ μέλλοντα ἀγαθά, καὶ τὴν ζωὴν τὴν ἀτελεύτητον, καὶ πέρας οὐκ ἔχουσαν. Ὁ δὲ οὕτω τὴν ψυχὴν διακείμενος, τὴν ἀληθῆ καὶ ἐπέραστον θυσίαν τῷ Θεῷ ἀναφέρει, καθὼς ὁ προφήτης φησί· «Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Τοὺς γὰρ εὐγνώμονας τῶν οἰκετῶν οὐχ οὕτως αἱ κολάσεις καὶ αἱ τιμωρίαι ἐπιστρέφουσιν, ὡς αἱ εὐεργεσίαι, καὶ τὸ εἰδέναι, ὅτι οὐ πρὸς ἀξίαν τῶν πεπλημμελημένων τὴν δίκην δεδώκασι.

---

6. Ψαλμ. 50, 19.

μας δι' αὐτάς· ὄχι διότι ἔχει ὁ Θεὸς ἀνάγκην ἀπὸ αὐτό, ἀφοῦ εἶναι ἀνενδεής· ἀλλὰ διὰ νὰ διδασκώμεθα νὰ προσκαλοῦμεν τὸν χορηγὸν τῶν ἀγαθῶν καὶ νὰ μὴ γινώμεθα ἀχάριστοι, ἀλλὰ νὰ προσφέρωμεν ἰσαξίαν ἀρετὴν πρὸς τὰς εὐεργεσίας καὶ τὴν τόσον μεγάλην φροντίδα. Διότι ἔται θὰ προκαλέσωμεν καὶ αὐτὸν νὰ ἐπιδείξῃ μεγαλυτέραν φροντίδα δι' ἡμᾶς. Ἂς μὴ εἴμεθα λοιπὸν ἀδιάφοροι, παρακαλῶ, ἀλλὰ ὁ καθένας σας εἰς κάθε στιγμήν, ἐὰν εἶναι δυνατόν, ἂς συλλογίζεται μέσα του, ὄχι μόνον τὰς κοινὰς εὐεργεσίας, ἀλλὰ καὶ ἐκείνας ποὺ ἔγιναν εἰς αὐτὸν ἰδιαιτέρως, ὄχι μόνον ἐκείνας ποὺ παραδέχονται καὶ εἶναι γνωσταὶ εἰς ὅλους, ἀλλὰ καὶ ἐκείνας ποὺ ἔγιναν χωριστὰ εἰς τὸν καθένα καὶ δὲν ἀντιλαμβάνονται οἱ πολλοί, διότι ἔτσι θὰ ἠμπορέσῃ νὰ ἐκφράζῃ διαρκῶς τὰς εὐχαριστίας του πρὸς τὸν Κύριον. Αὐτὸ θὰ γίνῃ ἡ μεγίστη θυσία, αὐτὸ θὰ εἶναι ἡ τελεία προσφορά, αὐτὸ θὰ γίνῃ προϋπόθεσις τῆς παρρησίας μας· καὶ μὲ ποῖον τρόπον, ἐγὼ τὸ ἐξηγῶ. Διότι ἐκεῖνος ποὺ διαρκῶς περιστρέφει αὐτὰ μέσα εἰς τὸν νοῦν του, καὶ ἐπειδὴ γνωρίζει μὲ ἀκρίβειαν, ἀφ' ἑνὸς μὲν τὴν ἰδικήν του ἀσήμαντον ἀξίαν, ἀφ' ἑτέρου δὲ ἐπειδὴ κατανοεῖ τὴν ἄπειρον καὶ ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ πῶς ὄχι σύμφωνα μὲ τὰ ἰδικά μας ἁμαρτήματα, ἀλλὰ σύμφωνα μὲ τὴν ἰδικήν του ἀγαθότητα ἔτσι ρυθμίζει τὴν ζωήν μας, συγκρατεῖ τὸν νοῦν του, συντρίβει τὴν σκέψιν, καταστέλλει κάθε ἀλαζονείαν καὶ ἀνοησίαν, μαθαίνει νὰ εἶναι μετριόφρων, νὰ περιφρονῇ τὴν δόξαν τῆς παρούσης ζωῆς, νὰ καταφρονῇ ὅλα τὰ ὑλικὰ ἀγαθά, νὰ σκέπτεται τὰ μέλλοντα ἀγαθὰ καὶ τὴν ζωὴν τὴν αἰώνιον, ἡ ὁποία δὲν ἔχει τέλος. Ἐκεῖνος δὲ ποὺ διάκειται ἔτσι κατὰ τὴν ψυχήν, προσφέρει εἰς τὸν Θεὸν τὴν ἀληθινὴν καὶ ἐπιθυμητὴν θυσίαν, καθὼς ὁ προφήτης λέγει· «Θυσία δεκτὴ ἀπὸ τὸν Θεὸν εἶναι τὸ συντετριμμένον πνεῦμα· συντετριμμένην καὶ ταπεινωμένην καρδίαν ὁ Θεὸς δὲν θὰ περιφρονήσῃ»[6]. Διότι τοὺς συνετοὺς ὑπηρέτας δὲν ἐπαναφέρουν εἰς τὸν ὀρθὸν δρόμον τόσον τὰ βασανιστήρια καὶ αἱ τιμωρίαι, ὅσον αἱ εὐεργεσίαι καὶ τὸ νὰ γνωρίζουν, ὅτι δὲν ἔχουν τιμωρηθῇ ὅπως ἀξίζει εἰς τὰ ἁμαρτήματά των.

6. Συντρίψωμεν τοίνυν ἡμῶν τὸν λογισμόν, παρακαλῶ, ταπεινώσωμεν τὴν διάνοιαν, καὶ μάλιστα νῦν ὅτε τῆς νηστείας ὁ καιρὸς πολλὴν ἡμῖν εἰς τοῦτο τὴν συμμαχίαν εἰσφέρει. Ἐὰν γὰρ οὕτως ὦμεν διακείμενοι, δυνησόμεθα καὶ τὰς εὐχὰς μετὰ πολλῆς τῆς νήψεως ποιεῖσθαι, καὶ ἐξομολογούμενοι τὰ πεπλημμελημένα πολλὴν ἐπισπάσασθαι τὴν ἄνωθεν χάριν. Καὶ ἵνα μάθητε ὅτι ταῖς τοιαύταις ἀρέσκεται ψυχαῖς ὁ Δεσπότης, ἄκουε αὐτοῦ λέγοντος· «Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;». Διὰ τοῦτο καὶ ὁ Χριστὸς διαλεγόμενος ἔλεγε· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». Ὁ γὰρ ὄντως ταπεινῶν ἑαυτὸν οὐκ ἂν δυνηθείη ποτὲ εἰς θυμὸν ἐξενεχθῆναι, οὐδὲ τῷ πλησίον ὀργισθῆναι, τῆς ψυχῆς κατεσταλμένης, καὶ τὰ καθ' ἑαυτὴν σκοπουμένης. Τῆς δὲ οὕτω διακειμένης ψυχῆς τί ἂν γένοιτο μακαριώτερον; Ὁ τοιοῦτος ἐν λιμένι διηνεκῶς κάθηται παντὸς χειμῶνος ἀπηλλαγμένος, καὶ ἐντρυφῶν τῇ ἀπὸ τῶν λογισμῶν γαλήνῃ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· «Καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». Ὥσπερ οὖν ὁ τὰ πάθη ταῦτα κατευνάσας πολλῆς ἀπολαύει τῆς ἀναπαύσεως, οὕτως ὁ ῥάθυμος, καὶ ἀναπεπτωκώς, καὶ μὴ δυνάμενος δεόντως ἡνιοχεῖν τὰ ἐν αὐτῷ τικτόμενα πάθη, ἐν διηνεκεῖ σάλῳ καθέστηκεν, οἴκοθεν τὸν πόλεμον ἔχων, καὶ οὐδενὸς παρόντος ταραττόμενος, καὶ πολὺν τὸν χειμῶνα ὑπομένων· διὸ καὶ τῶν κυμάτων κορυφουμένων, καὶ τῆς τῶν πονηρῶν πνευμάτων καταιγίδος ἐπιούσης, πολλάκις ὑποβρύχιος γίνεται, καταβαπτισθέντος τοῦ σκάφους διὰ τὴν ἀπειρίαν τοῦ κυβερνήτου. Διὸ χρὴ νήφειν, καὶ ἐγρηγορέναι, καὶ διηνεκῆ τὴν μέριμναν ἔχειν καὶ ἀδιάλειπτον τῆς κατὰ ψυχὴν σωτηρίας. Τὸν γὰρ Χριστιανὸν ἀεὶ παρατετάχθαι χρὴ πρὸς τὰ πάθη

7. Ἡσ. 66, 2.
8. Ματθ. 11, 29.

6. Ἂς συντρίψωμεν λοιπὸν τὸν λογισμόν μας, παρακαλῶ, ἂς ταπεινώσωμεν τὸν νοῦν, καὶ πρὸ πάντων τώρα ποὺ ὁ καιρὸς τῆς νηστείας μᾶς προσφέρει μεγάλην βοήθειαν διὰ τὸν σκοπὸν αὐτόν. Διότι ἐὰν συμπεριφερώμεθα κατ' αὐτὸν τὸν τρόπον, θὰ ἠμπορέσωμεν καὶ νὰ προσευχώμεθα μὲ πολλὴν σύνεσιν καὶ μὲ τὴν ἐξομολόγησιν τῶν ἁμαρτημάτων νὰ προκαλέσωμεν πλουσίαν τὴν χάριν τοῦ Θεοῦ. Καὶ διὰ νὰ μάθετε, ὅτι μὲ αὐτὰς τὰς ψυχὰς εὐαρεστεῖται ὁ Κύριος, ἄκουε αὐτὸν νὰ λέγῃ· «Πρὸς ποῖον νὰ ἀτενίσω, παρὰ εἰς τὸν ταπεινὸν καὶ συντετριμμένον κατὰ τὸ πνεῦμα καὶ φοβούμενον τὸν λόγον μου;»[7]. Διὰ τοῦτο καὶ ὁ Χριστὸς κηρύττων ἔλεγε· «Μάθετε ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς κατὰ τὴν καρδίαν, καὶ θὰ εὑρῆτε ἀνάπαυσιν εἰς τὰς ψυχάς σας»[8]. Διότι ἐκεῖνος ποὺ ταπεινώνει ἀληθῶς τὸν ἑαυτόν του, δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ ἐκτραπῇ εἰς τὴν ὀργήν, οὔτε νὰ ὀργισθῇ κατὰ τοῦ πλησίον του, ἀφοῦ ἡ ψυχή του εἶναι συγκρατημένη καὶ ἐξετάζει τὰ ἰδικά της. Τί θὰ ἠμποροῦσε νὰ γίνῃ εὐτυχέστερον ἀπὸ τὴν ψυχήν, ποὺ συμπεριφέρεται κατ' αὐτὸν τὸν τρόπον; Ἕνας τέτοιος ἄνθρωπος κάθεται διαρκῶς μέσα εἰς τὸ λιμάνι εὑρισκόμενος μακρὰν ἀπὸ κάθε κακοκαιρίαν καὶ ἀπολαμβάνων τὴν γαλήνην τῶν σκέψεών του. Δι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε· «Καὶ θὰ εὑρῆτε ἀνάπαυσιν εἰς τὰς ψυχάς σας». Ὅπως λοιπὸν ἐκεῖνος, ποὺ κατεπράϋνε τὰ πάθη αὐτά, ἀπολαμβάνει μεγάλην ἀπόλαυσιν, ἔτσι ὁ ἀδιάφορος καὶ δειλὸς καὶ ἀδύναμος νὰ χαλιναγωγῇ ὅπως πρέπει τὰ πάθη, ποὺ γεννῶνται μέσα του, εὑρίσκεται εἰς διαρκῆ ἀναταραχήν, ἐπειδὴ ἔχει ἐκ φύσεως τὸν πόλεμον καὶ ταράσσεται χωρὶς νὰ ὑπάρχῃ κανεὶς ἐμπρός του καὶ δέχεται μεγάλην τρικυμίαν· δι' αὐτὸ καὶ ὅταν ὑψώνωνται τὰ κύματα καὶ ἐπέρχεται ἡ θύελλα τῶν πονηρῶν ἀνέμων, πολλὰς φορὰς καταποντίζεται, ἀφοῦ, ἐξ αἰτίας τῆς ἀπειρίας τοῦ κυβερνήτου, τὸ σκάφος βυθίζεται. Διὰ τοῦτο πρέπει νὰ εἴμεθα νηφάλιοι καὶ ἄγρυπνοι, καὶ νὰ φροντίζωμεν συνεχῶς καὶ ἀδιακόπως διὰ τὴν σωτηρίαν τῆς ψυχῆς μας. Διότι ὁ Χριστιανὸς πρέπει πάντοτε νὰ ἀντιμάχεται τὰ πάθη τῆς σάρκας, καὶ νὰ ἐν-

τῆς σαρκός, καὶ τοὺς νόμους τοὺς τεθέντας ἡμῖν παρὰ τοῦ κοινοῦ πάντων Δεσπότου, ἐναύλους ἔχειν, καὶ τούτοις τειχίζεσθαι, καὶ τῇ πολλῇ αὐτοῦ περὶ ἡμᾶς μακροθυμίᾳ εἰς δέον κεχρῆσθαι, καὶ μὴ ἀναμένειν τὴν διὰ τῶν ἔργων πεῖραν, καὶ τότε συστέλλεσθαι, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, «Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν». Ἔχοντες οὖν, ἀγαπητοί, σύμμαχον τῆς νηστείας τὴν παρουσίαν, πάντες ἐπὶ τὴν ἐξομολόγησιν τῶν πεπλημμελημένων ἐπειγώμεθα, καὶ ἀπεχώμεθα μὲν πάσης κακίας, μετίωμεν δὲ πᾶσαν ἀρετήν. Οὕτω γὰρ καὶ ὁ μακάριος προφήτης Δαυὶδ διδάσκει λέγων· «Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν». Ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων καὶ τὴν ἀποχὴν τῆς κακίας ἐπιδειξώμεθα, δυνησόμεθα καὶ αὐτοὶ πλείονος ἀπολαῦσαι τῆς παρρησίας, καὶ δαψιλεστέρας ἀξιωθῆναι τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας, καὶ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

9. Ψαλμ. 77, 34.
10. Ψαλμ. 36, 27.

θυμῆται τοὺς νόμους, ποὺ μᾶς ὥρισεν ὁ κοινὸς Κύριος ὅλων, καὶ μὲ αὐτοὺς νὰ ὀχυρώνεται, καὶ νὰ μεταχειρίζεται ὅπως πρέπει τὴν μεγάλην του μακροθυμίαν πρὸς ἡμᾶς, καὶ νὰ μὴ περιμένῃ τὴν δοκιμασίαν μὲ τὰ ἔργα, καὶ τότε νὰ συστέλλεται, διὰ νὰ μὴ λέγεται καὶ δι' ἡμᾶς τό, «Ὅταν ἐπάτασσεν αὐτούς, τότε ἀνεζητοῦσαν αὐτόν»[9]. Ἔχοντες λοιπόν, ἀγαπητοί, σύμμαχον τὴν εὐκαιρίαν τῆς νηστείας, ἂς σπεύδωμεν ὅλοι εἰς τὴν ἐξομολόγησιν τῶν ἁμαρτημάτων μας καὶ ἂς ἀπομακρυνώμεθα μὲν ἀπὸ κάθε κακίαν, ἂς μετερχώμεθα δὲ κάθε εἶδος ἀρετῆς. Διότι ἔται καὶ ὁ μακάριος προφήτης Δαβὶδ διδάσκει λέγων· «Ἀπόφευγε τὸ κακὸν καὶ πράττε τὸ ἀγαθόν»[10]. Ἂν ρυθμίζωμεν κατ' αὐτὸν τὸν τρόπον τὴν ζωήν μας καὶ ἂν μαζὶ μὲ τὴν ἀποχὴν ἀπὸ τὰ φαγητὰ ἐπιδείξωμεν καὶ τὴν ἀποχὴν ἀπὸ τὴν κακίαν, θὰ ἠμπορέσωμεν καὶ ἡμεῖς οἱ ἴδιοι νὰ ἀπολαύσωμεν μεγαλυτέραν παρρησίαν καὶ νὰ ἀξιωθοῦμεν πλουσιωτέραν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, καὶ κατὰ τὴν παροῦσαν ζωὴν καὶ κτὰ τὴν μέλλουσαν φοβερὰν ἐκείνην ἡμέραν, μὲ τὰς εὐχὰς καὶ πρεσβείας ἐκείνων, οἱ ὁποῖοι ἔγιναν εὐάρεστοι εἰς αὐτόν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ι΄
(Γεν. 1, 26 - 2, 3)

Προτροπὴ πρὸς τοὺς ἐρυθριῶντας μετὰ τὴν ἑστίασιν παραλαβεῖν τῇ συνάξει κατὰ τὴν ἑσπέραν, καὶ εἰς τὰ ἑξῆς τοῦ, «Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν»· καὶ εἰς τό, «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς».

1. Ἐλάττων ἡμῖν ὁ σύλλογος σήμερον, καὶ βραχὺ τὸ θέατρον τῶν συνδεδραμηκότων. Τίνος ἕνεκεν, καὶ διὰ τί; Τάχα τινὲς ἠρυθρίασαν μετὰ τὴν αἰσθητὴν τράπεζαν εἰς τὴν πνευματικὴν ταύτην ἑστίασιν παραγενέσθαι, καὶ τοῦτο αὐτοῖς αἴτιον γεγένηται τῆς ἀπολείψεως· ἀλλ᾽ ἀκουέτωσαν σοφοῦ τινος λέγοντος· «Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις». Οὐκ ἔστιν αἰσχύνης ἄξιον, τραπέζης μετασχόντα σωματικῆς ἐλθεῖν ἐπὶ τὴν πνευματικὴν ἑστίασιν. Οὐδὲ γὰρ καθάπερ τὰ ἀνθρώπινα πράγματα, οὕτω καὶ τὰ πνευματικὰ καιροῖς ἀφωρισμένοις διατετύπωται. Ἡ γὰρ περὶ τῶν πνευματικῶν διάλεξις πάντα τῆς ἡμέρας τὸν καιρὸν ἐπιτήδειον ἔχει. Καὶ τί λέγω τῆς ἡμέρας τὸν καιρόν; Κἂν νὺξ καταλάβῃ, οὐδὲ οὕτω κώλυμα γίνεται τῇ πνευματικῇ διδασκαλίᾳ. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε Τιμοθέῳ γράφων· «Ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον». Καὶ πάλιν ἄκουε τοῦ μακαρίου Λουκᾶ λέγοντος, ὅτι «Μέλλων ἐξιέναι», φησί, «τῇ ἐπαύριον ὁ Παῦλος ἀπὸ

1. Σοφ. Σειρ. 4, 21.
2. Β΄ Τιμ. 4, 2.

ΟΜΙΛΙΑ Ι΄
(Γεν. 1, 26 - 2, 3)

Προτροπὴ πρὸς ἐκείνους, οἱ ὁποῖοι κοκκινίζουν ἀπὸ ἐντροπήν μετὰ τὸ φαγητὸν νὰ προσέλθουν εἰς τὴν σύναξιν κατὰ τὸ βράδυ, καὶ εἰς τὴν συνέχειαν τοῦ, «῞Ας πλάσωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν», καὶ εἰς τό, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατὰ τὴν εἰκόνα τοῦ Θεοῦ ἔπλασεν αὐτόν· ἔπλασε δὲ ἕνα ἄρρεν καὶ ἕνα θῆλυ».

1. Ἡ σύναξίς μας εἶναι σήμερα μικροτέρα, καὶ οἱ θεαταὶ ποὺ προσῆλθαν ὀλίγοι. Διὰ ποῖον λόγον καὶ διὰ ποίαν αἰτίαν; Ἴσως μερικοὶ ἐντράπησαν μετὰ τὸ φαγητὸν νὰ προσέλθουν εἰς τὸ πνευματικὸν αὐτὸ συμπόσιον, καὶ αὐτὸ ἔχει γίνει ἡ αἰτία τῆς ἀπουσίας των. Ἀλλὰ ἂς ἀκούσουν κάποιον σοφόν, ποὺ λέγει· «Ὑπάρχει ἐντροπή, ἡ ὁποία ὁδηγεῖ εἰς τὴν ἁμαρτίαν καὶ ἄλλη ἐντροπή, ἡ ὁποία ἔχει δόξαν καὶ χάριν»[1]. Δὲν εἶναι ἄξιον ἐντροπῆς, ἐκεῖνος ποὺ ἐκάθισεν εἰς ὑλικὸν τραπέζι νὰ ἔλθῃ εἰς τὸ πνευματικὸν συμπόσιον. Οὔτε βέβαια ὅπως τὰ ἀνθρώπινα πράγματα, ἔτσι ἀκριβῶς καὶ τὰ πνευματικὰ ἔχουν ρυθμισθῆ διὰ καθωρισμένην ὥραν. Διότι ὁ κατάλληλος καιρὸς διὰ τὴν ὁμιλίαν περὶ τῶν πνευματικῶν εἶναι ὅλη ἡ ἡμέρα. Καὶ διατί λέγω ὁ καιρὸς τῆς ἡμέρας; Καὶ ἂν ἀκόμη ἔλθῃ ἡ νύκτα, οὔτε αὐτὴ γίνεται ἐμπόδιον εἰς τὴν πνευματικὴν διδασκαλίαν. Δι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγεν, ὅταν ἔγραφεν εἰς τὸν Τιμόθεον· «Συμπαράστεκε εἰς καταλλήλους καὶ ἀκαταλλήλους περιστάσεις, ἔλεγξε, ἐπίπληξε, παρηγόρησε»[2]. Ἐπίσης ἄκουε τὸν μακάριον Λουκᾶν, ποὺ λέγει, ὅτι «Ἐνῶ ἐπρόκειτο νὰ ἀναχωρήσῃ τὴν ἐπομένην ὁ Παῦλος ἀπὸ τὴν

τῆς Τρωάδος, διελέγετο αὐτοῖς, καὶ παρέτεινε τὸν λόγον μέχρι μεσονυκτίου». Μήτι ὁ καιρὸς ἐλυμήνατο, εἰπέ μοι, ἢ διέκοψε τὸν τῆς διδασκαλίας λόγον; Ὁ νήφων ἀκροατής, κἂν ἠριστηκὼς ᾖ, ἄξιος ἂν εἴη τοῦ συλλόγου τούτου τοῦ πνευματικοῦ, ὥσπερ οὖν ὁ ῥᾴθυμος καὶ ἀναπεπτωκώς, κἂν ἄσιτος διαμείνῃ, οὐδεμίαν ἐντεῦθεν δέξεται τὴν ὠφέλειαν. Καὶ ταῦτα λέγω οὐ τὸν τόνον τῆς νηστείας ἐκλύων, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα ἐπαινῶν καὶ ἀποδεχόμενος τοὺς νηστεύοντας· ἀλλὰ καὶ βουλόμενος διδάξαι ὑμᾶς, λογισμῷ τινι νήφοντι μετιέναι τὰ πνευματικά, καὶ μὴ συνηθείᾳ κατακολουθεῖν. Οὐ γὰρ τὸν μεταλαβόντα τροφῆς αἰσχρὸν παραλαβεῖν τῇ πνευματικῇ ταύτῃ διδασκαλίᾳ, ἀλλὰ τὸ ῥᾳθυμούσῃ διανοίᾳ, καὶ τὸ ὑπὸ τῶν παθῶν πολιορκεῖσθαι, καὶ μὴ καταστέλλειν τὰ τῆς σαρκὸς σκιρτήματα. Οὐ τὸ φαγεῖν κακόν, μὴ γένοιτο, ἀλλ' ἡ ἀδηφαγία βλαβερόν, καὶ τὸ ὑπὲρ τὴν χρείαν ἐμπίπλασθαι, καὶ διαρρήγνυσθαι τὴν γαστέρα· τοῦτο γὰρ καὶ τὴν ἡδονὴν τὴν ἀπὸ τῆς τροφῆς λυμαίνεται· ὥσπερ οὖν οὐδὲ τὸ οἴνου συμμέτρου μετασχεῖν πονηρόν, ἀλλὰ τὸ μέθῃ ἑαυτὸν ἐκδοῦναι, καὶ τῶν λογισμῶν τὸ κριτήριον παρατρέψαι διὰ τῆς ἀμετρίας. Εἰ δὲ δι' ἀσθένειαν σωματικήν, ἀγαπητέ, μὴ δύναιο ἄσιτος παρατείνειν τὴν ἡμέραν, οὐδεὶς εὖ φρονῶν ὑπὲρ τούτου σοι ἐγκαλέσαι δυνήσεται. Δεσπότην γὰρ ἔχομεν ἥμερον καὶ φιλάνθρωπον, καὶ οὐδὲν τῶν ὑπὲρ δύναμιν παρ' ἡμῶν ἐκζητοῦντα. Οὐδὲ γὰρ τὴν ἀποχὴν τῶν βρωμάτων, καὶ τὴν νηστείαν ἁπλῶς ἀπαιτεῖ παρ' ἡμῶν γίνεσθαι, οὐδὲ δι' αὐτὸ τοῦτο, ἵνα ἄσιτοι διαμένωμεν μόνον, ἀλλ' ἵνα ἀφιστῶντες ἑαυτοὺς ἀπὸ τῶν βιωτικῶν πραγμάτων, πᾶσαν τὴν σχολὴν ἐν τοῖς πνευματικοῖς ἀναλίσκωμεν. Ὡς εἰ μετὰ νηφούσης διανοίας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, καὶ περὶ τὰ πνευματικὰ πᾶσαν τὴν σχολὴν ἐπιδεικνύμεθα, καὶ τῇ τροφῇ οὕτω

3. Πράξ. 20, 7.

Τριάδα, ἐδίδασκεν αὐτοὺς καὶ παρέτεινε τὸν λόγον του μέχρι τὰ μεσάνυκτα»[3]. Μήπως ἔβλαψεν ὁ χρόνος, εἰπέ μου, ἢ διέκοψε τὴν διδασκαλίαν του; Ὁ νηφάλιος ἀκροατής, καὶ ἂν ἀκόμη ἔχῃ γευματίσει, θὰ ἠμποροῦσε νὰ εἶναι ἄξιος τῆς πνευματικῆς αὐτῆς συνάξεως, ὅπως ἀκριβῶς ὁ ἀδιάφορος καὶ νωθρός, καὶ ἂν παραμείνῃ νηστικός, δὲν θὰ ὠφεληθῇ καθόλου ἀπὸ ἐδῶ. Καὶ λέγω αὐτά, ὄχι διὰ νὰ ἀχρηστεύσω τὴν δύναμιν τῆς νηστείας, μὴ γένοιτο, ἀφοῦ ἐπαινῶ πάρα πολὺ καὶ ἐπιδοκιμάζω τοὺς νηστεύοντας· ἀλλὰ ἐπειδὴ θέλω νὰ σᾶς διδάξω, ὅτι πρέπει νὰ καταγίνεσθε εἰς τὰ πνευματικὰ μὲ διαυγῆ σκέψιν καὶ νὰ μὴ ὑπακούετε ἀπὸ συνήθειαν. Διότι δὲν εἶναι ἐντροπὴ ἐκεῖνος, ποὺ ἔφαγε, νὰ παραλάβῃ τὴν πνευματικὴν αὐτὴν διδασκαλίαν, ἀλλὰ τὸ νὰ τὴν παραλάβῃ μὲ ἀδιάφορον νοῦν καὶ τὸ νὰ πολιορκῆται ἀπὸ τὰ πάθη καὶ νὰ μὴ ὑποτάσσῃ τὰς σαρκικάς του ὁρμάς· Δὲν εἶναι κακὸν τὸ νὰ φάγῃ κάποιος, μὴ γένοιτο, ἀλλὰ βλαβερὸν εἶναι ἡ πολυφαγία, καὶ τὸ νὰ χορταίνωμεν ὑπερβολικὰ καὶ νὰ πρήζωμεν τὴν κοιλίαν μας, διότι αὐτὸ καταστρέφει καὶ τὴν εὐχαρίστησιν ἀπὸ τὴν τροφήν· Ὅπως λοιπὸν δὲν εἶναι κακὸν τὸ νὰ πίνῃ κανεὶς μὲ μέτρον οἶνον, ἀλλὰ τὸ νὰ παραδίδῃ τὸν ἑαυτόν του εἰς τὴν μέθην καὶ μὲ τὴν ὑπερβολὴν νὰ διαστρέφῃ τὸ κριτήριον τῶν σκέψεών του. Καὶ ἐὰν διὰ ἀσθένειαν τοῦ σώματος, ἀγαπητέ, δὲν θὰ ἠμπορέσῃς νὰ παραμένῃς νηστικὸς ὅλην τὴν ἡμέραν, κανεὶς ποὺ σκέπτεται ὀρθῶς δὲν θὰ ἠμπορέσῃ νὰ σὲ κατηγορήσῃ δι᾽ αὐτό. Ἐξ ἄλλου ἔχομεν Κύριον πρᾶον καὶ φιλάνθρωπον καὶ ὁ ὁποῖος δὲν μᾶς ζητεῖ τίποτε ὑπεράνω τῶν δυνάμεών μας· Διότι οὔτε ἡ ἀποχὴ ἀπὸ τὰ φαγητά, οὔτε ἡ νηστεία ἀπαιτεῖ νὰ γίνεται ἁπλῶς ἀπὸ ἡμᾶς, οὔτε δι᾽ αὐτὸ ἀκριβῶς, νὰ παραμένωμεν δηλαδὴ νηστικοὶ μόνον, ἀλλὰ διὰ νὰ διαθέτωμεν ὅλην μας τὴν ἀφοσίωσιν εἰς τὰ πνευματικά, ἀφοῦ ἀπομακρύνωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὰ κοσμικὰ πράγματα. Ὅπως ἐὰν ρυθμίζωμεν μὲ νηφάλιον νοῦν τὴν ζωήν μας καὶ ἐπιδεικνύωμεν ὅλον τὸ ἐνδιαφέρον μας διὰ τὰ πνευματικά, καὶ ἐὰν προσλαμβάνωμεν τόσην τροφήν, ὥστε νὰ

προσίωμεν, ὡς τὴν χρείαν μόνον πληροῦν, καὶ ἐν ταῖς ἀγαθαῖς πράξεσιν ἅπαντα τὸν βίον καταναλίσκειν, οὐδὲ χρεία ἡμῖν ἦν τῆς βοηθείας τῆς ἀπὸ τῆς νηστείας. Ἀλλ' ἐπειδὴ ῥᾴθυμός ἡ φύσις ἡ ἀνθρωπίνη, καὶ τῇ ἀνέσει καὶ τῇ τρυφῇ μᾶλλον ἑαυτὴν ἐπιδίδωσι, διὰ τοῦτο καθάπερ πατὴρ φιλόστοργος τὴν ἀπὸ τῆς νηστείας ἡμῖν ἰατρείαν ἐπενόησεν ὁ φιλάνθρωπος Δεσπότης, ἵνα καὶ τὰ τῆς τρυφῆς ἡμῖν ἐκκόπτηται, καὶ τὴν περὶ τὰ βιωτικὰ φροντίδα μεταγάγωμεν ἐπὶ τὴν τῶν πνευματικῶν ἐργασίαν. Ἂν τοίνυν ὦσί τινες τῶν ἐνταῦθα συνιόντων ὑπὸ ἀσθενείας σωματικῆς κωλυόμενοι, καὶ μὴ δυνάμενοι ἄσιτοι διαμένειν, τούτοις παραινῶ καὶ τὴν ἀσθένειαν τὴν σωματικὴν παραμυθεῖσθαι, καὶ τῆς διδασκαλίας ταύτης τῆς πνευματικῆς μὴ ἀποστερεῖν ἑαυτούς, ἀλλὰ ταύτῃ μᾶλλον πλείονα τὴν σπουδὴν ἐπιδείκνυσθαι.

2. Εἰσὶ γάρ, εἰσὶν ὁδοὶ πολλῷ μείζους τῆς ἀποχῆς τῶν βρωμάτων, αἱ δυνάμεναι τὰς θύρας ἡμῖν ἀνοίγειν τῆς παρρησίας τῆς πρὸς τὸν Θεόν. Ὁ τροφῆς τοίνυν μεταλαμβάνων, καὶ νηστεύειν μὴ δυνάμενος, δαψιλεστέραν τὴν ἐλεημοσύνην ἐπιδεικνύσθω, εὐχὰς ἐκτενεῖς, τὴν προθυμίαν ἐπιτεταμένην ἐχέτω περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων· ἐνταῦθα οὐδὲν ἡ τοῦ σώματος ἀσθένεια ἐμπόδιον ἡμῖν γίνεται· τοῖς ἐχθροῖς καταλλαττέσθω, πᾶσαν μνησικακίαν ἐξοριζέτω τῆς ἑαυτοῦ ψυχῆς. Ἂν ταῦτα κατορθοῦν βούληται, τὴν ἀληθῆ νηστείαν ἐπεδείξατο, καὶ ἣν μάλιστα πάντων ἀπαιτεῖ παρ' ἡμῶν ὁ Δεσπότης. Ἐπεὶ καὶ ταύτην τὴν ἀποχὴν τῶν βρωμάτων διὰ τοῦτο κελεύει γίνεσθαι, ἵνα χαλινοῦντες τὰ σκιρτήματα τῆς σαρκός, εὐήνιον αὐτὴν ἐργαζώμεθα πρὸς τὴν τῶν ἐντολῶν ἐκπλήρωσιν. Εἰ δὲ μέλλοιμεν μηδὲ τὴν ἀπὸ τῆς νηστείας βοήθειαν ἑαυτοῖς προσάγειν διὰ τὴν τοῦ σώματος ἀσθένειαν, καὶ πλείονα τὴν ῥᾳθυμίαν ἐπιδείκνυσθαι, λανθάνομεν ἑαυτοὺς τὰ μέγιστα ζημιούμενοι. Εἰ γὰρ καὶ μετὰ νηστείας ἡ

ἱκανοποιοῦμεν μόνον τὴν ἀνάγκην μας καὶ νὰ διαθέτωμεν ὅλην μας τὴν ζωὴν εἰς τὰς ἀγαθάς πράξεις, οὔτε θὰ μᾶς ἐχρειάζετο ἡ βοήθεια ἀπὸ τὴν νηστείαν. Ἐπειδὴ ὅμως ἡ ἀνθρωπίνη φύσις εἶναι ἀδιάφορος καὶ παραδίδεται περισσότερον εἰς τὰς ἀνέσεις καὶ τὰς ἀπολαύσεις, δι' αὐτὸ ὁ φιλάνθρωπος Κύριος, ὡσὰν φιλόστοργος πατέρας, ἐπενόησε δι' ἡμᾶς τὴν θεραπείαν τῆς νηστείας, ὥστε καὶ αἱ ἀπολαύσεις μας νὰ ἀποκόπτωνται ἐντελῶς καὶ νὰ μεταφέρωμεν τὴν φροντίδα διὰ τὰ βιωτικὰ εἰς τὴν ἐργασίαν τῶν πνευματικῶν. Ἂν λοιπὸν ὑπάρχουν μερικοί, ἀπὸ τοὺς προσερχομένους ἐδῶ, οἱ ὁποῖοι ἐμποδίζονται ἀπὸ σωματικὴν ἀσθένειαν καὶ δὲν ἠμποροῦν νὰ παραμένουν νηστικοί, τοὺς συμβουλεύω καὶ τὴν σωματικὴν ἀσθένειαν νὰ καταπραΰνουν καὶ νὰ μὴ στεροῦνται τὴν πνευματικὴν αὐτὴν διδασκαλίαν, ἀλλὰ νὰ φροντίζουν δι' αὐτὴν πολὺ περισσότερον.

2. Διότι ὑπάρχουν, ὑπάρχουν πράγματι, τρόποι κατά πολὺ σπουδαιότεροι ἀπὸ τὴν ἀποχὴν ἀπὸ τά τρόφιμα, οἱ ὁποῖοι ἠμποροῦν νὰ μᾶς ἀνοίγουν τὰς θύρας τῆς παρρησίας πρὸς τὸν Θεόν. Ἐκεῖνος λοιπὸν ποὺ τρώγει καὶ δὲν ἠμπορεῖ νὰ νηστεύῃ, ἂς ἐπιδεικνύῃ πλουσιωτέραν ἐλεημοσύνην, ἐκτενεῖς προσευχάς· ἂς ἔχῃ ἔντονον προθυμίαν διὰ τὴν ἀκρόασιν τῶν θείων λόγων· ἐδῶ δὲν μᾶς ἐμποδίζει καθόλου ἡ ἀσθένεια τοῦ σώματος. Ἂς συμφιλιώνεται μὲ τοὺς ἐχθρούς του, ἂς ἀπομακρύνῃ ἀπὸ τὴν ψυχήν του κάθε μνησικακίαν. Ἂν θέλῃ νὰ ἐπιτυγχάνῃ αὐτά, ἔκαμε τὴν ἀληθινὴν νηστείαν, τὴν ὁποίαν περισσότερον ἀπὸ ὅλα ἐπιζητεῖ ἀπὸ ἡμᾶς ὁ Κύριος· Ἀφοῦ καὶ αὐτὴν τὴν ἀποχὴν ἀπὸ τὰ τρόφιμα δι' αὐτὸ διατάσσει νὰ γίνεται, ὥστε χαλιναγωγοῦντες τὰς ὁρμὰς τῆς σάρκας, νὰ καθιστῶμεν αὐτὴν ὑπάκουον εἰς τὴν ἐκπλήρωσιν τῶν ἐντολῶν του. Ἐὰν ὅμως πρόκειται νά μὴ προσφέρωμεν εἰς τὸν ἑαυτόν μας οὔτε τὴν βοήθειαν ἀπὸ τὴν νηστείαν, ἐξ αἰτίας τῆς ἀσθενείας τοῦ σώματος, καὶ νὰ ἐπιδεικνύωμεν μεγαλυτέραν ἀδιαφορίαν, ἀσυναίσθητα βλάπτομεν ὑπερβολικὰ τὸν ἑαυτόν μας. Διότι ἐὰν καὶ μὲ τὴν νηστείαν ἡ ἔλλειψις τῶν

τῶν προειρημένων κατορθωμάτων ἔλλειψις οὐδὲν ἡμᾶς ὀνίνησι, πολλῷ μᾶλλον εἰ μηδὲ τῷ φαρμάκῳ τῆς νηστείας χρήσασθαι δυνάμενοι, πλείονα τὴν ῥαθυμίαν ἐπιδειξόμεθα. Ταῦτα δὴ μαθόντες παρ' ἡμῶν, παρακαλῶ, οἱ νηστεύειν δυνάμενοι, αὐτοί τε καθ' ὅσον οἷόν τε ἐπιτείνετε ὑμῶν τὴν καλὴν ταύτην καὶ ἐπαινετὴν προθυμίαν. Ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται. Ἡ γὰρ νηστεία τὸ μὲν σῶμα κατατείνει, καὶ χαλινοῖ τὰ ἄτακτα σκιρτήματα, τὴν δὲ ψυχὴν διαυγεσέραν ἐργάζεται, καὶ πτεροῖ, καὶ μετάρσιον καὶ κούφην ποιεῖ. Καὶ τοὺς ἀδελφοὺς δὲ τοὺς ὑμετέρους, ὅσοι διὰ σωματικὴν ἀσθένειαν νηστεύειν οὐ δύναται, προτρέπεσθε μὴ ἀπολιμπάνεσθαι τῆς πνευματικῆς ταύτης τροφῆς, διδάσκοντες αὐτούς, καὶ τὰ παρ' ἡμῶν αὐτοῖς διαπορθμεύοντες, καὶ δεικνύντες, ὅτι ὁ φαγὼν καὶ πιὼν μετρίως οὐκ ἀνάξιός ἐστι ταύτης τῆς ἀκροάσεως, ἀλλ' ὁ ῥάθυμος καὶ διακεχυμένος. Καὶ λέγετε πρὸς αὐτοὺς καὶ τὸ ἀποστολικὸν λόγιον, ὅτι «Καὶ ὁ ἐσθίων Κυρίῳ ἐσθίει, καὶ ὁ μὴ ἐσθίων Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ». Καὶ ὁ νηστεύων τοίνυν εὐχαριστεῖ τῷ Θεῷ, ὅτι δύναμιν ἔσχε δυναμένην ἀντισχεῖν πρὸς τὸν πόνον τῆς νηστείας· καὶ ὁ ἐσθίων πάλιν εὐχαριστεῖ τῷ Θεῷ, ὅτι οὐδὲν αὐτὸν τοῦτο λυμήνασθαι δύναται πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν, ἐὰν θέλῃ. Τοσαύτας γὰρ ἡμῖν ὁδοὺς ἔτεμεν ὁ φιλάνθρωπος Θεός, ὅσας οὐδὲ εἰπεῖν ἐστι, δι' ὧν δυνατόν ἐστιν ἡμᾶς, ἐὰν βουλώμεθα, τῆς ἀνωτάτω παρρησίας μετασχεῖν. Ταῦτα οὖν ἀρκούντως τῶν ἀπολειφθέντων ἕνεκεν διελέχθημεν, περιελόντες αὐτῶν τῆς αἰσχύνης τὴν πρόφασιν, καὶ δείξαντες, ὅτι οὐ δεῖ ἐπὶ τούτῳ αἰσχύνεσθαι· οὐ γὰρ τὸ φαγεῖν αἰσχύνην ἡμῖν προξενεῖ, ἀλλὰ τὸ κακόν τι διαπράξασθαι. Μεγάλη αἰσχύνη ἡ ἁμαρτία· ἐὰν ταύτην ἐργασώμεθα, οὐ μόνον αἰσχύ-

4. Β' Κορ. 4, 16.
5. Ρωμ. 14, 6.

προαναφερθέντων κατορθωμάτων δὲν μᾶς ὠφελεῖ καθόλου, πολὺ περισσότερον ἐὰν θὰ ἐπιδείξωμεν μεγαλυτέραν ἀδιαφορίαν, ἐπειδὴ δὲν ἠμποροῦμεν νὰ χρησιμοποιήσωμεν οὔτε τὸ φάρμακον τῆς νηστείας. Ἀφοῦ λοιπὸν ἐμάθατε αὐτὰ ἀπὸ ἡμᾶς, παρακαλῶ, ἐκεῖνοι ποὺ ἠμπορεῖτε νὰ νηστεύετε, καὶ μόνοι σας ὅσον εἶναι δυνατὸν νὰ ἐκτείνετε τὴν καλὴν σας αὐτὴν καὶ ἀξιέπαινον προθυμίαν. Διότι ὅσον ὁ ἐξωτερικός μας ἄνθρωπος φθείρεται, τόσον ὁ ἐσωτερικός μας ἀνανεώνεται[4]. Διότι ἡ νηστεία τὸ μὲν σῶμα βασανίζει καὶ χαλιναγωγεῖ τὰς ἀπρεπεῖς ἐπιθυμίας, τὴν δὲ ψυχὴν καθιστᾷ περισσότερον καθαράν, τὴν ἀναπτερώνει καὶ τὴν κάνει εὐκίνητον καὶ ἐλαφράν. Καὶ τοὺς ἀδελφούς σας ὅμως, ὅσοι δὲν ἠμποροῦν ἐξ αἰτίας σωματικῆς ἀσθενείας νὰ νηστεύουν, νὰ προτρέπετε νὰ μὴ ἀφήνουν τὴν πνευματικὴν αὐτὴν τροφήν, διδάσκοντες αὐτοὺς καὶ μεταφέροντες εἰς αὐτοὺς τὰ λεγόμενα ἀπὸ ἡμᾶς καὶ ὑποδεικνύοντες, ὅτι ἐκεῖνος ποὺ τρώγει καὶ πίνει μὲ μέτρον δὲν εἶναι ἀνάξιος δι᾿ αὐτὴν τὴν ἀκρόασιν, ἀλλὰ ὁ ἀδιάφορος καὶ ὁ ἔκλυτος. Καὶ νὰ λέγετε πρὸς αὐτοὺς καὶ τὸν ἀποστολικὸν λόγον, ὅτι «Καὶ ἐκεῖνος ποὺ τρώγει, πρὸς δόξαν Κυρίου τρώγει· καὶ ἐκεῖνος ποὺ δὲν τρώγει, πρὸς δόξαν Κυρίου δὲν τρώγει καὶ εὐχαριστεῖ τὸν Θεόν»[5]. Καὶ ἐκεῖνος λοιπὸν ποὺ νηστεύει εὐχαριστεῖ τὸν Θεόν, διότι ἔχει δύναμιν νὰ ἀντέξῃ εἰς τὴν κούρασιν τῆς νηστείας· καὶ ἐκεῖνος ποὺ τρώγει πάλιν εὐχαριστεῖ τὸν Θεόν, διότι καθόλου δὲν ἠμπορεῖ νὰ τὸν βλάψῃ αὐτὸ διὰ τὴν σωτηρίαν τῆς ψυχῆς του, ἐὰν θέλῃ. Διότι μᾶς ἔδειξε τόσον πολλοὺς τρόπους ὁ φιλάνθρωπος Θεός, ποὺ δὲν εἶναι δυνατὸν νὰ εἰποῦμεν, μὲ τοὺς ὁποίους ἠμποροῦμεν, ἐὰν θέλωμεν, νὰ συμμετάσχωμεν εἰς τὴν παρρησίαν τοῦ Θεοῦ. Ἀρκετὰ λοιπὸν αὐτά, τὰ ὁποῖα εἴπαμεν ἐξ αἰτίας τῶν ἀπόντων, ἀποστεροῦντες αὐτοὺς ἀπὸ τὴν πρόφασιν τῆς ἐντροπῆς καὶ ἀποδείξαντες, ὅτι δὲν πρέπει δι᾿ αὐτὸ νὰ ἐντρέπωνται, διότι δὲν μᾶς προκαλεῖ ἐντροπὴν τὸ φαγητόν, ἀλλὰ ἡ διάπραξις κάποιου κακοῦ. Μεγάλη ἐντροπὴ εἶναι ἡ ἁμαρτία· ἐὰν διαπράξωμεν αὐτήν, ὄχι μόνον πρέπει νὰ ἐντρεπώμεθα,

νεσθαι ὀφείλομεν, ἀλλὰ καὶ ἐγκαλύπτεσθαι, καὶ καθάπερ οἱ προσκεκρουκότες, οὕτως ἑαυτοὺς ταλανίζειν· μᾶλλον δὲ μηδὲ τότε ἀπαγορεύειν ἑαυτούς, ἀλλὰ πρὸς ἐξομολόγησιν ἐπείγεσθαι καὶ πρὸς εὐγνωμοσύνην. Τοιοῦτον γὰρ ἔχομεν Δεσπότην, οὐδὲν ἕτερον παρ' ἡμῶν ἐπιζητοῦντα μετὰ τὴν τῆς ἁμαρτίας πρᾶξιν, εἴ ποτε διὰ ῥαθυμίαν ἁλῶμεν, ἢ τὸ ὁμολογῆσαι τὰ ἐπταισμένα, καὶ μέχρι τούτου στῆναι, καὶ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. Ἐὰν δὲ τροφῆς συμμέτρου μεταλάβωμεν, μηδέποτε αἰσχυνώμεθα· σώματι γὰρ ἡμᾶς τοιούτῳ συνέπλεξεν ὁ Δεσπότης, ᾧ μὴ δυνατὸν ἑτέρως συνεστάναι, εἰ μὴ ταύτης μεταλάβοι, μόνον τὰ τῆς ἀμετρίας ἐκκοπτέσθω· τοῦτο γὰρ ἡμῖν καὶ πρὸς τὴν ὑγίειαν τούτου καὶ εὐεξίαν τὰ μέγιστα συμβάλλεται. Ἢ οὐχ ὁρᾶτε καθ' ἑκάστην ἡμέραν ἀπὸ τῶν πολυτελῶν τραπεζῶν καὶ τῆς ἀμέτρου ἀδηφαγίας τὰ μυρία ἐπαγόμενα νοσήματα; Πόθεν ποδαλγίαι; πόθεν καρηβαρίαι; πόθεν ὁ τῶν χυμῶν τῶν διεφθαρμένων πλεονασμός; πόθεν τὰ ἄλλα μυρία νοσήματα; Οὐκ ἀπὸ τῆς ἀμετρίας καὶ τοῦ πλέον τοῦ δέοντος ἐγχέειν ἑαυτοῖς τὸ ἄκρατον; Καθάπερ γὰρ πλοῖον ὑπέραντλον γεγονὸς ταχέως καταβαπτίζεται, καὶ ὑποβρύχιον γίνεται· οὕτω καὶ ὁ ἄνθρωπος ὅταν τῇ ἀδηφαγίᾳ καὶ τῇ μέθῃ ἑαυτὸν ἐκδῷ, κατὰ κρημνῶν ἄπεισι, καὶ ὑποβρύχιον ἀπεργάζεται τὸν λογισμόν, καὶ κεῖται λοιπὸν καθάπερ νεκρὸς ἔμψυχος, πρὸς μὲν τὰ κακὰ πολλάκις ἐνεργεῖν δυνάμενος, πρὸς δὲ τὰ ἀγαθὰ ἅπαντα οὐδὲν ἄμεινον τῶν νεκρῶν διακείμενος.

3. Διὸ παρακαλῶ, κατὰ τὸν μακάριον Παῦλον, «Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας», ἀλλὰ πρὸς τὸ συνεστάναι, καὶ δύνασθαι μετὰ πλείονος προθυμίας ἐν τῇ τῶν πνευματικῶν ἐργασίᾳ πολλὴν τὴν σπουδὴν ἐπιδείκνυσθαι. Ταῦτα δὴ πάντα διαλεγόμενοι πρὸς τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους, πείθετε αὐτοὺς τῆς πνευματικῆς ταύτης τροφῆς

---

6. Ρωμ. 13, 14.

ἀλλὰ καὶ νὰ σκεπαζώμεθα καλά, καὶ ὅπως ἀκριβῶς οἱ κτυπημένοι, ἔτσι νὰ ἐλεεινολογοῦμεν τὸν ἑαυτόν μας· μᾶλλον δὲ οὔτε τότε νὰ ἐγκαταλείπωμεν τὸν ἑαυτόν μας, ἀλλὰ νὰ σπεύδωμεν πρὸς ἐξομολόγησιν καὶ εὐχαριστίαν· Διότι ἔχομεν τέτοιον Κύριον, ὁ ὁποῖος τίποτε ἄλλο δὲν μᾶς ζητεῖ μετὰ τὴν διάπραξιν τῆς ἁμαρτίας, ἐὰν κάποτε ἐξ αἰτίας τῆς ἀδιαφορίας μας πέσωμεν, παρὰ νὰ ἐξομολογηθοῦμεν τὰ ἁμαρτήματα καὶ νὰ σταματήσωμεν μέχρι τὸ σημεῖον αὐτὸ καὶ νὰ μὴ πέσωμεν πάλιν εἰς τὰ ἴδια. Ἐὰν δὲ τρώγωμεν μὲ μέτρον, ποτὲ νὰ μὴ ἐντρεπώμεθα, διότι ὁ Δημιουργὸς μᾶς συνέδεσε μὲ τέτοιο σῶμα, τὸ ὁποῖον δὲν εἶναι δυνατὸν νὰ συντηρηθῆ διαφορετικά, παρὰ μόνον ἐὰν λαμβάνη τροφήν· ἂς σταματήσωμεν μόνον τὴν ὑπερβολικὴν τροφήν, διότι αὐτὸ συμβάλλει πάρα πολὺ καὶ εἰς τὴν ὑγείαν καὶ εὐεξίαν τοῦ σώματος. Ἢ δὲν βλέπετε καθημερινὰ τὰς πολλὰς ἀσθενείας, αἱ ὁποῖαι προέρχονται ἀπὸ τὰ πλούσια τραπέζια καὶ τὴν ὑπερβολικὴν πολυφαγίαν; Ἀπὸ ποῦ προέρχονται οἱ πόνοι τῶν ποδιῶν; ἀπὸ ποῦ οἱ πονοκέφαλοι; ἀπὸ ποῦ τὸ πολὺ μολυσμένον αἷμα; ἀπὸ ποῦ αἱ ἄπειροι ἄλλαι ἀσθένειαι; Δὲν προέρχονται ἀπὸ τὴν ἄμετρον καὶ ὑπερβολικὴν οἰνοποσίαν; Διότι ὅπως ἀκριβῶς τὸ πλοῖον, ὅταν γεμίση ἀπὸ τὰ ὕδατα τῆς θαλάσσης, γρήγορα βυθίζεται καὶ καταποντίζεται· ἔτσι καὶ ὁ ἄνθρωπος, ὅταν παραδώση τὸν ἑαυτόν του εἰς τὴν πολυφαγίαν καὶ τὴν μέθην, ἀπέρχεται κατὰ κρημνῶν, καὶ καταποντίζει τὴν σκέψιν, καὶ εἶναι εἰς τὸ ἑξῆς ὡσὰν νεκρὸς ζωντανός, ὁ ὁποῖος ἠμπορεῖ μὲν νὰ πράττη πολλὰς φορὰς τὰ κακά, διὰ ὅλα ὅμως τὰ ἀγαθὰ δὲν διάκειται καθόλου καλύτερα ἀπὸ τοὺς νεκρούς.

3. Διὰ τοῦτο παρακαλῶ, σύμφωνα μὲ τὸν μακάριον Παῦλον, «Μὴ φροντίζετε διὰ τὴν σάρκα, πῶς νὰ ἱκανοποιήσετε τὰς ἐπιθυμίας της»[6], ἀλλὰ διὰ νὰ συντηρῆτε αὐτὴν καὶ νὰ ἐπιδεικνύετε πολὺν ζῆλον εἰς τὴν ἐργασίαν τῶν πνευματικῶν ἔργων. Λέγοντες λοιπὸν ὅλα αὐτὰς πρὸς τοὺς ἀδελφούς σας, νὰ τοὺς πείθετε νὰ μὴ στεροῦνται ποτὲ τὴν πνευματικὴν αὐτὴν τροφήν, ἀλλὰ καὶ ἂν ἀκόμη ἔχουν φά-

μηδέποτε ἑαυτοὺς ἀποστερεῖν, ἀλλὰ κἂν ἠριστηκότες ὦσιν ἐρχέσθωσαν μετὰ πάσης προθυμίας, ἵνα δεξάμενοι τὴν ἐντεῦθεν διδασκαλίαν, δύνωνται γενναίως ἵστασθαι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Ἡμεῖς δὲ λοιπὸν φέρε τὴν συνήθη τράπεζαν ὑμῖν παραθῶμεν, καὶ τῆς σπουδῆς τῆς περὶ τὴν ἀκρόασιν ἀμειψώμεθα τὴν ὑμετέραν ἀγάπην, καὶ τὸ χρέος ἐκτίσωμεν, ὅπερ ὀφείλομεν ὑμῖν. Ἴστε γὰρ πάντως καὶ μέμνησθε, ὅτι περὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως ἀρξάμενοι διαλέγεσθαι, ὑπὸ τοῦ καιροῦ στενοχωρηθέντες οὐκ ἰσχύσαμεν παντὶ ἐπεξελθεῖν τῷ ἀναγνώσματι, ἀλλ' εἰς τὸν περὶ τῶν θηρίων λόγον τὴν διδασκαλίαν ἐτελέσαμεν δεικνύντες, ὅτι τὴν κατ' αὐτῶν ἀρχὴν πρότερον ἔχων ὁ ἄνθρωπος, διὰ τὴν τῆς παρακοῆς ἁμαρτίαν ταύτην ἀφῃρέθη. Διὸ βουλόμεθα σήμερον τὰ λειπόμενα ὑμῖν ἀποδόντες, οὕτως ὑμᾶς ἐντεῦθεν ἀποπέμψαι. Ἀλλ' ἵνα ὑμῖν σαφὴς ἡμῶν ὁ λόγος γένηται, ἀναγκαῖον ὑμᾶς ὑπομνῆσαι, ποῦ τότε τὴν διδασκαλίαν κατελύσαμεν, ἵνα ἐκεῖθεν ἀρξάμενοι, οὕτω τὰ λείποντα ἀναπληρώσωμεν. Ποῦ οὖν τὸν λόγον τότε κατελύσαμεν; Εἰπόντες εἰς τό, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ», ἐπειδὴ εἰς πολὺ μῆκος ὁ λόγος ἐξετάθη, καὶ πολὺ πέλαγος ἡμῖν ἐπεχύθη νοημάτων, οὐ συνεχωρήθη ἡμῖν περαιτέρω προελθεῖν, ἀλλὰ μέχρι τούτου στάντες τῶν ἑξῆς οὐκ ἐφηψάμεθα. Διόπερ ἀναγκαῖον νῦν αὐτὴν τὴν ἀκολουθίαν ἀναγνῶναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἵνα εἰδέναι ἔχοιτε, τίνα ἐστίν, ἃ μέλλομεν ἐρεῖν πρὸς ὑμᾶς. Εὐθέως οὖν ἐπήγαγεν ἡ θεία Γραφή, «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός, λέγων· αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτη-

γει, ἄς ἔρχωνται μὲ κάθε προθυμίαν, ὥστε, ἀφοῦ λάβουν ἀπὸ ἐδῶ τὴν διδασκαλίαν, νὰ ἠμποροῦν νὰ ἀντιμετωπίζουν μὲ γενναιότητα τὰ τεχνάσματα τοῦ διαβόλου. Ἡμεῖς ὅμως εἰς τὴν συνέχειαν, ἐμπρὸς ἄς παραθέσωμεν εἰς σᾶς τὴν συνηθισμένην πνευματικὴν τράπεζαν καὶ ἄς ἀνταμείψωμεν τὴν ἰδικήν σας ἀγάπην διὰ τὸν ζῆλον τῆς ἀκροάσεως, καὶ ἄς ἐξοφλήσωμεν τὸ χρέος, τὸ ὁποῖον σᾶς ὀφείλομεν. Διότι γνωρίζετε βεβαίως καὶ ἐνθυμεῖσθε, ὅτι ἀφοῦ ἠρχίσαμεν νὰ ὁμιλοῦμεν διὰ τὴν δημιουργίαν τοῦ ἀνθρώπου, ἀπὸ ἔλλειψιν χρόνου δὲν ἠμπορέσαμεν νὰ ἐξηγήσωμεν ὅλον τὸ ἀνάγνωσμα, ἀλλὰ ἐτελειώσαμεν τὴν διδασκαλίαν εἰς τὸν λόγον διὰ τὰ θηρία δεικνύοντες, ὅτι ἐνῷ ὁ ἄνθρωπος εἶχε προηγουμένως τὴν ἐξουσίαν ἐπάνω εἰς αὐτά, ἐξ αἰτίας τῆς ἁμαρτίας τῆς παρακοῆς ἔχασεν αὐτήν. Δι᾽ αὐτὸ θέλομεν σήμερα νὰ σᾶς προπέμψωμεν ἀπὸ ἐδῶ, ἀφοῦ ἀποδώσωμεν τὰ ὑπόλοιπα εἰς σᾶς. Προκειμένου ὅμως νὰ γίνῃ σαφὴς εἰς σᾶς ὁ λόγος, εἶναι ἀνάγκη νὰ σᾶς ὑπενθυμίσωμεν, εἰς ποῖον σημεῖον ἐσταματήσαμεν τότε τὴν διδασκαλίαν, ὥστε ἀφοῦ ἀρχίσωμεν ἀπὸ ἐκεῖ, ἔτσι νὰ συμπληρώσωμεν τὰ ὑπόλοιπα. Εἰς ποῖον σημεῖον λοιπὸν ἐσταματήσαμεν τότε τὸν λόγον; Ἀφοῦ ὡμιλήσαμεν εἰς τό, «Ἄς πλάσσωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν· καὶ ἄς ἐξουσιάζῃ τοὺς ἰχθῦς τῆς θαλάσσης καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ», ἐπειδὴ ἐπεξετάθη πολὺ ἡ ὁμιλία καὶ ἐγεννήθη εἰς ἡμᾶς μέγας πλοῦτος νοημάτων, δὲν μᾶς ἐπετράπη νὰ συνεχίσωμεν περαιτέρω, ἀλλὰ ἀφοῦ ἐσταματήσαμεν μέχρις αὐτὸ τὸ σημεῖον δὲν ἠσχολήθημεν μὲ τὰ ἑπόμενα. Δι᾽ αὐτὸ ἀκριβῶς εἶναι τώρα ἀνάγκη νὰ ἀναγνώσωμεν αὐτὴν τὴν συνέχειαν εἰς τὴν ἀγάπην σας, διὰ νὰ ἠμπορῆτε νὰ γνωρίζετε, ποῖα εἶναι ἐκεῖνα, τὰ ὁποῖα πρόκειται νὰ εἴπουμεν εἰς σᾶς. Ἀμέσως λοιπὸν ἐπρόσθεσεν ἡ Ἁγία Γραφή· «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον· ἔκαμεν αὐτὸν σύμφωνα μὲ τὴν εἰκόνα του· ἔπλασεν ἕνα ἄρρεν καὶ ἕνα θῆλυ. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός, λέγων αὐξάνεσθε καὶ πληθύνεσθε καὶ γεμίσατε τὴν γῆν καὶ κυριεύσατε αὐτήν· καὶ ἐξουσιάζετε τοὺς ἰχθῦς τῆς θαλάσσης καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ ὅλα τὰ

νῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς». Βραχέα τὰ ῥήματα, ἀλλὰ πολὺς ὁ ἐγκείμενος θησαυρὸς τοῖς βραχέσι τούτοις ῥήμασι. Πνεύματι γὰρ φθεγγόμενος ὁ μακάριος οὗτος προφήτης, ἀπόρρητά τινα ἡμᾶς νῦν διδάσκειν βούλεται. Ἐπειδὴ γὰρ εἶπε, «Ποιήσωμεν ἄνθρωπον», καὶ βουλήν, ὡς εἰπεῖν, καὶ σκέψιν προσέθηκεν ὁ τῶν ἁπάντων δημιουργός, διὰ τοῦ σχήματος τούτου τὴν τιμὴν ἐπιδεικνύμενος τὴν περὶ τοῦ μέλλοντος διαπλάττεσθαι, καὶ πρὸ τῆς διαπλάσεως ἐδίδαξεν ἡμᾶς· καὶ τὸ μέγεθος τῆς ἀρχῆς, ἧς μέλλει ἐγχειρίζειν τῷ δημιουργεῖσθαι μέλλοντι. Εἰπὼν οὖν, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν», ἐπήγαγε· «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης». Ὅρα πῶς ἐκ προοιμίων τὸν θησαυρὸν ἡμῖν τὸν ἐγκεκρυμμένον ὑποδείκνυσι. Πνεύματι γὰρ θείῳ φθεγγόμενος ὁ προφήτης, καὶ τὰ μηδέπω ὑφεστῶτα ὡς ὑφεστῶτα καὶ γεγενημένα ὁρᾷ. Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, εἰπών· «Ποιήσωμεν ἄνθρωπον», νῦν λέγει, «Καὶ ἀρχέτωσαν»; Λανθάνον τι μυστήριον ἡμῖν ἐντεῦθεν ἤδη λοιπὸν παραδηλοῖ. Τίνες ἀρχέτωσαν; Ἢ δῆλον ὅτι τὴν τῆς γυναικὸς αἰνιττόμενος διάπλασιν τοῦτο εἴρηκεν. Ὁρᾷς ὅπως οὐδέν ἐστι τῶν ἐν τῇ θείᾳ Γραφῇ ἁπλῶς καὶ εἰκῇ κείμενον, ἀλλὰ καὶ τὸ τυχὸν ῥῆμα πολὺν ἔχει ἐναποκείμενον τὸν θησαυρόν.

4. Καὶ μὴ ξενίσῃ σε, ἀγαπητέ, τὸ εἰρημένον. Τοιοῦτον γὰρ ἔθος ἅπασι τοῖς προφήταις, περὶ τῶν μηδέπω γεγενημένων ὡς γεγενημένων διαλέγεσθαι. Ἐπειδὴ γὰρ τοῖς πνευματικοῖς ἑώρων ὀφθαλμοῖς τὰ μετὰ πολὺν ἐτῶν ἀριθμὸν μέλλοντα γίνεσθαι, διὰ τοῦτο ὡς ἤδη πρὸ τῶν ὀφθαλμῶν κείμενα κατοπτεύοντες τὰ πράγματα, οὕτως ἅπαντα διελέγοντο. Καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ἄκουε τοῦ μακαρίου Δαυὶδ λέγοντος, καὶ πρὸ τοσούτων γενεῶν τὰ κατὰ τὸν σταυρὸν τοῦ Χριστοῦ προφητεύοντος καὶ βοῶντος· «Ὤρυξαν χεῖράς μου,

ζῶα, καὶ ὅλην τὴν γῆν καὶ ὅλα τὰ ἑρπετά, τὰ ὁποῖα ἕρπουν ἐπάνω εἰς τὴν γῆν». Σύντομα τὰ λόγια, ἀλλὰ εἶναι μεγάλος ὁ θησαυρός, ποὺ ἐνυπάρχει εἰς αὐτὰ τὰ σύντομα λόγια. Διότι φωτιζόμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα ὁ μακάριος αὐτὸς προφήτης, θέλει νὰ μᾶς διδάξη τώρα κάποια ἀπόρρητα. Διότι ἀφοῦ εἶπεν, «Ἂς πλάσωμεν ἄνθρωπον», καὶ θέλησιν, ὅπως θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, καὶ σκέψιν ἐπρόσθεσεν ὁ δημιουργὸς τῶν ὅλων, ἐπιδεικνύων μὲ τὸν τρόπον αὐτὸν τὴν τιμὴν διὰ τὸν ἄνθρωπον ποὺ πρόκειται νὰ δημιουργηθῇ, μᾶς ἐδίδαξε πρὶν ἀπὸ τὴν δημιουργίαν· καὶ τὸ μέγεθος τῆς ἐξουσίας, τὴν ὁποίαν πρόκειται νὰ παραχωρήση εἰς τὸν μέλλοντα νὰ δημιουργηθῇ ἄνθρωπον. Ἀφοῦ λοιπὸν εἶπεν, «Ἂς πλάσωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν, ἐπρόσθεσε· «Καὶ ἂς ἐξουσιάζουν τοὺς ἰχθῦς τῆς θαλάσσης». Πρόσεξε πῶς ἀπὸ τὴν ἀρχὴν μᾶς φανερώνει τὸν κρυμμένον θησαυρόν· Διότι φωτιζόμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα ὁ προφήτης βλέπει ὡς ὑπαρκτὰ καὶ δημιουργημένα καὶ ἐκεῖνα, ποὺ δὲν ὑπῆρξαν ποτέ· Διὰ ποῖον λοιπὸν λόγον, εἰπέ μου, ἀφοῦ εἶπεν· «Ἂς πλάσωμεν ἄνθρωπον», τώρα λέγει, «Ἂς ἐξουσιάζουν»; Κάποιο λοιπὸν κρυμμένον μυστήριον μᾶς ὑπαινίσσεται ἤδη ἀπὸ ἐδῶ. Ποῖοι ἂς ἐξουσιάζουν; Εἶναι φανερόν, ὅτι ἔχει εἰπῆ αὐτὸ ὑπονοῶν τὴν δημιουργίαν τῆς γυναικός. Βλέπεις πῶς δὲν ὑπάρχει τίποτε εἰς τὴν Ἁγίαν Γραφὴν νὰ εἶναι γραμμένον ἁπλᾶ καὶ τυχαῖα, ἀλλὰ καὶ ἡ τυχαία λέξις περιέχει μέσα της μεγάλον θησαυρόν.

4. Καὶ μὴ σὲ παραξενεύῃ, ἀγαπητέ, αὐτὸ ποὺ ἐλέχθη. Διότι τέτοια ἦτο ἡ συνήθεια εἰς ὅλους τοὺς προφήτας, νὰ ὁμιλοῦν δηλαδὴ δι' ἐκεῖνα, ποὺ δὲν ὑπῆρξαν ποτέ, ὡς ὑπαρκτά. Ἐπειδὴ λοιπὸν μὲ τὰ πνευματικά των μάτια ἔβλεπαν ἐκεῖνα, ποὺ ἐπρόκειτο νὰ συμβοῦν ὕστερα ἀπὸ πολλὰ χρόνια, δι' αὐτὸ παρατηροῦντες μὲ προσοχὴν τὰ πράγματα ὡσὰν νὰ εὑρίσκοντο ἤδη ἐνώπιόν των, ἔτσι ἔλεγαν τὰ πάντα. Καὶ διὰ νὰ μάθης αὐτὸ καλά, ἄκουε τὸν μακάριον Δαυίδ, ὁ ὁποῖος προφητεύει πρὶν ἀπὸ πολλὰς γενεὰς τὴν σταύρωσιν τοῦ Χριστοῦ καὶ φωνάζει· «Ἐτρύπησαν τὰ χέρια

καὶ πόδας μου»· καὶ πάλιν, «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς». Ὁρᾷς πῶς τὰ μέλλοντα μετὰ χρόνον πολὺν ἔσεσθαι ὡς ἤδη γεγενημένα προανεφώνει; Οὕτω καὶ ὁ μακάριος οὗτος προφήτης ἤδη αἰνιττόμενος ἡμῖν τὴν τῆς γυναικὸς διάπλασιν αἰνιγματωδῶς φησι, «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης». Εἶτα προϊὼν πάλιν σαφέστερόν φησι, «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς». Σκόπει πόσῃ κέχρηται τῇ ἀκριβείᾳ, καὶ ἅπαξ δεύτερον τὸ αὐτὸ λέγων, ἵνα δυνηθῇ ἐναποτεθῆναι τῇ τῶν ἀκροατῶν διανοίᾳ τὰ λεγόμενα. Εἰ γὰρ μὴ τοῦτο ἦν αὐτῷ τὸ σπουδαζόμενον, ἤρκει «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον»· ἀλλὰ πάλιν προστίθησι· «Κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν». Ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς διὰ τῶν προλαβόντων, κατὰ τί εἴρηται τὸ «Κατ' εἰκόνα», διὰ τοῦτο πάλιν ἐνταῦθα τὸν αὐτὸν ἐπαναλαμβάνων λόγον, φησί, «Κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν». Καὶ ἵνα μηδὲ ἀναίσχυντον καταλίπῃ ἀπολογίας πρόφασιν τοῖς μάχεσθαι βουλομένοις τοῖς τῆς Ἐκκλησίας δόγμασι, κατὰ μικρὸν προϊὼν διδάσκει τὰ αὐτὰ πάλιν, ὅτι κατὰ τὸ ἄρχειν καὶ ὑποτεταγμένα ἔχειν ἅπαντα τὰ δημιουργήματα, κατὰ τοῦτο τῷ τῆς εἰκόνος ὀνόματι ἐχρήσατο. Τέως δὲ ἴδωμεν τί φησι· «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς». Ὅπερ ἀνωτέρω ᾐνίξατο, εἰπών, «Καὶ ἀρχέτωσαν», καὶ ἐνταῦθα σαφέστερον εἶπε· καὶ αὐτὸ δὲ ὅμως κεκρυμμένως ἡμᾶς ἐδίδαξεν· οὐδέπω γὰρ περὶ τῆς διαπλάσεως ἡμᾶς διδάξας, οὐδὲ εἰπών, πόθεν ἡ γυνὴ παρήχθη, φησίν, «Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς». Εἶδες πῶς τὸ μηδέπω γεγονὸς ὡς γεγονὸς διηγήσατο; Τοιοῦτον γὰρ οἱ πνευματικοὶ ὀφθαλμοί· οὐδὲ γὰρ οὕτως οἱ σωματικοὶ οὗτοι ὀφθαλμοὶ τὰ ὁρώμενα βλέπειν δύνανται, ὡς οἱ τοῦ πνεύματος ὀφθαλμοὶ τὰ μὴ ὁρώμενα, μηδὲ τὰ ὑφε-

7. Ψαλμ. 21, 17. 19.

μου καὶ τὰ πόδια μου»· καὶ πάλιν, «Διεμοίρασαν τὰ ἱμάτιά μου μεταξύ των»[7]. Βλέπεις πῶς τὰ μέλλοντα νὰ συμβοῦν ὕστερα ἀπὸ πολὺν χρόνον προφητεύει ὡσὰν νὰ ἔχουν ἤδη συμβῆ; Ἔτσι καὶ ὁ μακάριος αὐτὸς προφήτης ὑπαινισσόμενος ἤδη εἰς ἡμᾶς τὴν δημιουργίαν τῆς γυναικὸς λέγει μὲ τρόπον ἀσαφῆ, «Καὶ ἂς ἐξουσιάζουν τοὺς ἰχθῦς τῆς θαλάσσης». Ἔπειτα συνεχίζων πάλιν λέγει σαφέστερα, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον· ἔκαμεν αὐτὸν σύμφωνα μὲ τὴν εἰκόνα του· ἔπλασεν ἕνα ἄρρεν καὶ ἕνα θῆλυ». Πρόσεξε πόσην ἀκρίβειαν χρησιμοποιεῖ, ἐπαναλαμβάνων τὸ ἴδιον καὶ μίαν καὶ δύο φοράς, διὰ νὰ ἠμπορέσῃ νὰ ἐντυπώσῃ τὰ λεγόμενα εἰς τὴν διάνοιαν τῶν ἀκροατῶν. Διότι ἐὰν δὲν ἐνδιεφέρετο δι᾽ αὐτό, ἦτο ἀρκετὸν νὰ εἰπῇ, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον»· ἀλλὰ προσθέτει πάλιν· «Ἔκαμεν αὐτὸν σύμφωνα μὲ τὴν εἰκόνα του». Ἀφοῦ λοιπὸν μᾶς ἐδίδαξε μὲ τὰ προηγούμενα, εἰς τί ἀναφέρεται τὸ «Κατ᾽ εἰκόνα», δι᾽ αὐτὸ πάλιν ἐπαναλαμβάνων ἐδῶ τὰ ἴδια λόγια, λέγει, «Ἔπλασεν αὐτὸν σύμφωνα μὲ τὴν εἰκόνα του». Καὶ διὰ νὰ μὴ ἀφήσῃ οὔτε μίαν ἀναίσχυντον πρόφασιν δικαιολογίας εἰς ἐκείνους, ποὺ θέλουν νὰ πολεμοῦν τὰ δόγματα τῆς Ἐκκλησίας, σιγὰ σιγὰ προχωρῶν διδάσκει πάλιν τὰ ἴδια, ὅτι ἐχρησιμοποίησεν εἰς τοῦτο τὸ ὄνομα τῆς εἰκόνος, διὰ νὰ ἐξουσιάζῃ δηλαδὴ καὶ νὰ ἔχῃ ὑποταγμένα ὅλα τὰ δημιουργήματα. Κατὰ πρῶτον δὲ ἂς ἰδοῦμεν τί λέγει· «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον· ἔκαμεν αὐτὸν σύμφωνα μὲ τὴν εἰκόνα του»· ἔπλασεν ἕνα ἄρρεν καὶ ἕνα θῆλυ». Ἐκεῖνο ποὺ ἐδήλωσεν ἀσαφῶς προηγουμένως, εἰπών, «Καὶ ἂς ἐξουσιάζουν», καὶ ἐδῶ εἶπε σαφέστερα· καὶ αὐτὸ ὅμως μᾶς τὸ ἐδίδαξεν ἀσαφῶς, διότι χωρὶς νὰ μᾶς ἀναφέρῃ μέχρι τώρα διὰ τὴν δημιουργίαν τῆς γυναικός, οὔτε νὰ εἰπῇ, ἀπὸ ποῦ ἐδημιουργήθη ἡ γυναῖκα, λέγει, «Ἔκαμεν ἕνα ἄρρεν καὶ ἕνα θῆλυ». Εἶδες πῶς διηγήθη ὡς ὑπαρκτὸν ἐκεῖνο, ποὺ δὲν ὑπῆρχε μέχρι τότε; Διότι ἔχουν τέτοιο χάρισμα τὰ πνευματικὰ μάτια· οὔτε βεβαίως τὰ σωματικά μας αὐτὰ μάτια ἠμποροῦν νὰ βλέπουν ἔτσι τὰ ορατὰ πράγματα, ὅπως τὰ πνευματικὰ μάτια ἐκεῖνα ποὺ δὲν

σιῶτα. Εἰπὼν τοίνυν, «Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς», ὡς πρὸς ἀμφοτέρους τὴν εὐλογίαν ποιεῖται, καί φησι· «Καὶ ηὐλόγησεν αὐτοὺς ὁ Θεός, λέγων· αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης». Ἰδοὺ τὸ ἐξαίρετον τῆς εὐλογίας. Τὸ γάρ, «Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν», καὶ ἐπὶ τῶν ἀλόγων ζώων, καὶ ἐπὶ τῶν ἑρπετῶν ἴδοι τις ἂν εἰρημένον· τὸ δέ, «Κατακυριεύσατε, καὶ ἄρχετε», ἐπὶ τοῦ ἀνθρώπου καὶ τῆς γυναικός. Ὅρα φιλανθρωπίαν Δεσπότου· καὶ πρὶν ἢ παραγαγεῖν αὐτήν, κοινωνὸν αὐτὴν τῆς ἀρχῆς ἀπεργάζεται, καὶ τῆς εὐλογίας αὐτὴν ἀξιοῖ. «Καὶ ἄρχετε», φησί, «τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς».

5. Εἶδες ἐξουσίαν ἄφατον; εἶδες ἀρχῆς μέγεθος; εἶδες πάντα τὰ δημιουργηθέντα ὑπὸ τὴν τούτου ὑποταγὴν γενόμενα; Μηδὲν λοιπὸν μικρὸν φαντασθῇς περὶ τοῦ ζώου τούτου τοῦ λογικοῦ, ἀλλ' ἐννοῶν τῆς τιμῆς τὸ μέγεθος, καὶ τὴν περὶ αὐτὸ εὔνοιαν τοῦ Δεσπότου, ἐκπλήττου τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν. «Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον, σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. Καὶ ἐγένετο οὕτως». Θέα μοι τῶν ῥημάτων τὴν ἀκρίβειαν, ἀγαπητέ, καὶ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ μηδὲν ἁπλῶς παραδράμῃς τῶν εἰρημένων. «Καὶ εἶπε», φησίν, «ὁ Θεός, ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον»· ὡς πρὸς τοὺς δύο ἡ διάλεξις γίνεται, καὶ ταῦτα, μηδέπω τῆς γυναικὸς παραχθείσης. Εἶτα ἵνα μάθῃς αὐτοῦ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, ὅρα πῶς οὐ

βλέπονται, οὔτε ὑπάρχουν. Ἀφοῦ λοιπὸν εἶπεν, «Ἔκαμεν ἕνα ἄρρεν καὶ ἕνα θῆλυ», εὐλογεῖ καὶ τοὺς δύο, καὶ λέγει· «Καὶ εὐλόγησεν ὁ Θεὸς αὐτούς, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ γεμίσατε τὴν γῆν καὶ κυριεύσατε αὐτὴν καὶ ἐξουσιάζετε τοὺς ἰχθῦς τῆς θαλάσσης». Ἰδοὺ τὸ ἐξαιρετικὸν τῆς εὐλογίας· Διότι τό, «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ γεμίσατε τὴν γῆν», θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ὅτι ἔχει λεχθῆ καὶ διὰ τὰ ἄλογα ζῶα καὶ διὰ τὰ ἑρπετά· τὸ δέ, «Κυριεύσατε καὶ ἐξουσιάζετε», διὰ τὸν ἄνδρα καὶ τὴν γυναῖκα· Πρόσεξε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ· καὶ προτοῦ ἀκόμη δημιουργήσῃ τὴν γυναῖκα, τὴν καθιστᾷ συμμέτοχον τῆς ἐξουσίας καὶ τὴν ἀξιώνει τῆς εὐλογίας του. «Καὶ ἐξουσιάζετε, λέγει, τοὺς ἰχθῦς τῆς θαλάσσης καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ ὅλα τὰ ζῶα καὶ ὅλην τὴν γῆν καὶ ὅλα τὰ ἑρπετά, ποὺ ἕρπουν ἐπάνω εἰς τὴν γῆν».

5. Εἶδες ἐξουσίαν ἀνυπολόγιστον; εἶδες τὸ μέγεθος τῆς ἀρχηγίας; εἶδες ὅτι ὅλα τὰ δημιουργήματα ὑπετάγησαν εἰς αὐτόν; Νὰ μὴ φαντασθῇς λοιπὸν τίποτε τὸ ἀσήμαντον διὰ τὸ λογικὸν αὐτὸ ζῶον, ἀλλὰ κατανοῶν τὴν ὑπερβολικὴν τιμὴν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ δι᾽ αὐτό, νὰ ἐκπλήσσεσαι ἀπὸ τὴν ἄπειρον φιλανθρωπίαν του. «Καὶ εἶπεν ὁ Θεός· ἰδού, σᾶς ἔδωσα ὅλα τὰ σπερματοφόρα φυτά, τὰ ὁποῖα εὑρίσκονται ἐπάνω εἰς ὅλην τὴν γῆν, καὶ ὅλα τὰ δένδρα, τὰ ὁποῖα παράγουν καρποὺς περιέχοντας μέσα των τὰ σπέρματα· αὐτὰ θὰ εἶναι πρὸς διατροφήν σας. Εἰς ὅλα τὰ ἄγρια θηρία τῆς γῆς, εἰς ὅλα τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ εἰς ὅλα τὰ ἑρπετὰ τῆς γῆς, εἰς τὰ ὁποῖα ὑπάρχει ψυχὴ ζῶσα, δίδω ὅλα τὰ χλωρὰ φυτὰ πρὸς διατροφήν. Ἔτσι καὶ ἔγινε». Πρόσεξε τὴν ἀκρίβειαν τῶν λόγων, ἀγαπητέ, καὶ τὴν ἄπειρον φιλανθρωπίαν τοῦ Θεοῦ καὶ νὰ μὴ προσπερνᾷς μὲ ἐπιπολαιότητα τίποτε ἀπὸ τὰ λεχθέντα. «Καὶ εἶπε, λέγει, ὁ Θεός· ἰδού, σᾶς ἔδωσα ὅλα τὰ σπερματοφόρα φυτά». Ὁμιλεῖ ὡς νὰ ἀπευθύνεται καὶ πρὸς τοὺς δύο, καὶ αὐτά, ἐνῷ ἡ γυναῖκα δὲν εἶχε ἀκόμη δημιουργηθῆ. Ἔπειτα διὰ νὰ μάθῃς τὴν ὑπερβολικὴν ἀγαθότητά του, πρόσεχε πῶς δὲν ἐπιδεικνύει τὴν φιλανθρωπίαν του καὶ τὴν ὑπερ-

μέχρι τοῦ ἀνθρώπου καὶ τῆς γυναικὸς τῆς μηδέπω παραχθείσης τὴν φιλανθρωπίαν ἐπιδείκνυται, καὶ τὴν ὑπερβάλλουσαν φιλοτιμίαν, ἀλλὰ καὶ μέχρις αὐτῶν τῶν ἀλόγων. Εἰπὼν γάρ, «Ὑμῖν ἔσται εἰς βρῶσιν», ἐπήγαγε, «Καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς». Ὅρα πάλιν ἑτέραν ἄβυσσον φιλανθρωπίας. Οὐ μόνον γὰρ τῶν ἀλόγων τῶν ἡμέρων, καὶ πρὸς τροφὴν ἡμῖν ἐπιτηδείων, καὶ πρὸς ὑπηρεσίαν, πρόνοιαν πεποίηται, ἀλλὰ καὶ τῶν θηρίων. Καὶ τίς ἂν κατ' ἀξίαν ἐφίκοιτο τῆς ἀπείρου ταύτης ἀγαθότητος; « Ὑμῖν ἔσται εἰς βρῶσιν», φησί, «καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν». Πολλὴ τοῦ Δεσπότου δείκνυται ἡ περὶ τὸν ἄνθρωπον τὸν ὑπ' αὐτοῦ δημιουργηθέντα πρόνοια. Ἐπειδὴ γὰρ αὐτὸν παρήγαγε, καὶ πᾶσαν αὐτῷ τὴν ἀρχὴν τῆς δημιουργίας ἐνεχείρισεν, ἵνα μὴ εὐθέως καὶ ἐκ προοιμίων ὁρῶν τῶν ἀλόγων τὸ πλῆθος, δυσχεραίνειν ἔχῃ, ὡς οὐ μὴ δυνάμενος ἀρκέσαι πρὸς τὴν τῶν τοσούτων ζώων τροφήν, πρὶν ἢ κἂν ἔννοιαν αὐτόν τινα δέξασθαι περὶ τούτου, προλαβὼν ὁ ἀγαθὸς Δεσπότης παραμυθούμενος αὐτόν, ὡς εἰπεῖν, καὶ δεικνὺς ὡς καὶ αὐτὸς καὶ τὰ ἄλογα πάντα πολλὴν ἕξει τὴν ἀφθονίαν, τῆς γῆς τῷ προστάγματι τοῦ Δεσπότου πρὸς τὴν διατροφὴν τούτων ὑπηρετουμένης, εἰπών, «Ὑμῖν ἔσται εἰς βρῶσιν», εὐθέως ἐπήγαγε, «Καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. Καὶ ἐγένετο οὕτω». Πάντα ὅσα προσέταξεν ὁ δημιουργός, φησίν, εἰς ἔργον ἐξῆλθε, καὶ πάντα εἰς τὴν προσήκουσαν εὐταξίαν ἀποκατέστη· διά τοι τοῦτο εὐθέως ἐπήγαγε, «Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν».

6. Τίς ἂν κατ' ἀξίαν ἀνυμνήσειε τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν; Ἰδοὺ γὰρ καὶ ἐνταῦθα διὰ μιᾶς λέξεως εἰποῦσα,

βολικὴν γενναιοδωρίαν μόνον εἰς τὸν ἄνδρα καὶ τὴν γυναῖκα, ἡ ὁποία δὲν ἐδημιουργήθη ἀκόμη, ἀλλὰ καὶ εἰς αὐτὰ τὰ ἄλογα ζῶα. Διότι ἀφοῦ εἶπε, «Θὰ εἶναι πρὸς διατροφήν σας», ἐπρόσθεσε, «Καὶ εἰς ὅλα τὰ θηρία τῆς γῆς». Πρόσεξε πάλιν ἄλλην ἀμέτρητον φιλανθρωπίαν. Διότι ὄχι μόνον φροντίζει διὰ τὰ ἥμερα ζῶα, τὰ ὁποῖα εἶναι χρήσιμα διὰ τὴν διατροφὴν καὶ τὴν ἐξυπηρέτησίν μας, ἀλλὰ καὶ διὰ τὰ ἄγρια θηρία. Καὶ ποῖος θὰ ἠμποροῦσε νὰ πλησιάσῃ ἐπάξια τὴν ἄπειρον αὐτὴν ἀγαθότητα; «Θὰ εἶναι πρὸς διατροφήν σας, λέγει, καὶ εἰς ὅλα τὰ ἄγρια θηρία τῆς γῆς, εἰς ὅλα τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ εἰς ὅλα τὰ ἑρπετὰ τῆς γῆς, εἰς τὰ ὁποῖα ὑπάρχει ψυχὴ ζῶσα, δίδω ὅλα τὰ χλωρὰ φυτὰ πρὸς διατροφήν». Ἐπιδεικνύεται μεγάλη πρόνοια ἀπὸ τὸν Θεὸν εἰς τὸν ἄνθρωπον, ποὺ ἐδημιουργήθη ἀπ᾿ αὐτόν. Ἀφοῦ λοιπὸν τὸν ἐδημιούργησε καὶ παρεχώρησεν εἰς αὐτὸν ὅλην τὴν ἐξουσίαν τῆς δημιουργίας, διὰ νὰ μὴ ἠμπορῇ νὰ δυσανασχετῇ ἀμέσως ἀπὸ τὴν ἀρχήν, ἐπειδὴ ἔβλεπε τὸ πλῆθος τῶν ζώων, καθόσον δὲν θὰ ἠμποροῦσε νὰ ἱκανοποιήσῃ τὴν διατροφὴν τόσον πολλῶν ζώων, προτοῦ ἀκόμη νὰ ἀντιληφθῇ κάτι δι᾿ αὐτό, παρηγορῶν αὐτὸν προκαταβολικῶς, οὕτως εἰπεῖν, ὁ ἀγαθὸς Θεὸς καὶ ἀποδεικνύων ὅτι καὶ αὐτὸς καὶ ὅλα τὰ ζῶα θὰ ἔχουν μεγάλην ἀφθονίαν ἀγαθῶν, ἀφοῦ ἡ γῆ μὲ τὴν προσταγὴν τοῦ Δημιουργοῦ ἐξυπηρετεῖ τὴν διατροφὴν αὐτῶν, ὅταν εἶπε, «Θὰ εἶναι πρὸς διατροφήν σας», ἀμέσως ἐπρόσθεσε, «Καὶ εἰς ὅλα τὰ ἄγρια θηρία τῆς γῆς, καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ εἰς ὅλα τὰ ἑρπετὰ τῆς γῆς, εἰς τὰ ὁποῖα ὑπάρχει ψυχὴ ζῶσα, δίδω ὅλα τὰ χλωρὰ φυτὰ πρὸς διατροφήν. Ἔτσι καὶ ἔγινε». Ὅλα ὅσα ἐπρόσταξεν ὁ δημιουργός, λέγει, ἐπραγματοποιήθησαν καὶ ὅλοι ἔγιναν εἰς τὴν ἁρμόζουσαν τάξιν· δι᾿ αὐτὸ βεβαίως ἐπρόσθεσεν ἀμέσως, «Καὶ εἶδεν ὁ Θεὸς ὅλα ὅσα ἔκαμε, καὶ ἦσαν πράγματι πολὺ καλά».

6. Ποῖος θὰ ἠμποροῦσε νὰ ἐξυμνήσῃ ἐπάξια τὴν ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς; Διότι ἰδοὺ καὶ τώρα ἀφοῦ εἶπε μὲ μίαν λέξιν, «Καὶ εἶδεν ὁ Θεὸς ὅλα ὅσα ἔκαμεν», ἀπε-

«Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε», πάντων τῶν μετὰ ταῦτα ἀντιλέγειν ἐπιχειρούντων τὴν γλῶτταν ἐπεστόμισε. «Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε», φησί, «καὶ ἰδοὺ καλὰ λίαν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη». Ἐπειδὴ γὰρ ἐφ' ἑκάστου τῶν δημιουργηθέντων ἔλεγε, «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν», νῦν ὅτε τὰ πάντα συνετελέσθη, καὶ τὰ τῆς ἕκτης ἡμέρας ἔργα τέλος ἔλαβε, καὶ ὁ μέλλων πάντων τῶν δημιουργηθέντων ἀπολαύειν εἰς τὸ μέσον παρήχθη, φησί· «Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν». Σκόπει πῶς συλλαβὼν τὰ δημιουργηθέντα ἅπαντα διὰ τῆς λέξεως ταύτης τῆς, «Πάντα», πᾶσι τοῖς δημιουργηθεῖσι τὸν ἔπαινον ἀπεκλήρωσεν. Οὐδὲ γὰρ εἰποῦσα, «Ἅπαντα», ἠρκέσθη, ἀλλ' ἐπήγαγεν. «Ὅσα ἐποίησε»· καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλά, «Καὶ ἰδοὺ καλά», καὶ «Λίαν καλά», φησί, τοῦτ' ἔστι, πάνυ καλά. Ὅταν οὖν ὁ Δεσπότης, ὁ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, καλὰ καὶ πάνυ καλὰ τὰ δημιουργήματα προσείποι, τίς ἂν τολμήσειε, κἂν αὐτομανίας ᾖ πεπληρωμένος, διᾶραι τὸ στόμα καὶ ἀντιφθέγξασθαι τοῖς ὑπὸ τοῦ Θεοῦ ῥηθεῖσιν; Ἐπειδὴ γὰρ ἐν τοῖς ὁρωμένοις οὐ μόνον φῶς ἐδημιουργήθη, ἀλλὰ καὶ σκότος ἀπ' ἐναντίας τῷ φωτί, καὶ οὐ μόνον ἡμέρα, ἀλλὰ καὶ νὺξ ἀπ' ἐναντίας τῇ ἡμέρα· καὶ ἐπὶ τῶν ἐκ τῆς γῆς ἀναδιδομένων σπερμάτων, οὐ μόνον βοτάναι χρήσιμοι, ἀλλὰ καὶ ὀλέθριαι, καὶ δένδρα οὐ μόνον ἔγκαρπα, ἀλλὰ καὶ ἄκαρπα, καὶ ζῶα οὐ μόνον ἥμερα, ἀλλὰ καὶ ἄγρια καὶ ἀτίθασα· καὶ ἐπὶ τῶν ἐκ τῶν ὑδάτων ἀναδοθέντων, οὐ μόνον ἰχθύες, ἀλλὰ καὶ κήτη καὶ ἕτερα θηρία θαλάττια· καὶ γῆ οὐ μόνον οἰκουμένη, ἀλλὰ καὶ ἀοίκητος· καὶ οὐ μόνον ὕπτια πεδία, ἀλλὰ καὶ ὄρη καὶ νάπαι· καὶ ἐπὶ τῶν πετεινῶν, οὐ μόνον ἥμερα, καὶ πρὸς τροφὴν ἡμῖν ἐπιτήδεια, ἀλλὰ καὶ ἄγρια καὶ ἀκάθαρτα ζῶα, καὶ ἰκτῖνες, καὶ γῦπες, καὶ ἕτερα πολλὰ τοιαῦτα· καὶ ἐπὶ τῶν ἐκ τῆς γῆς ἀναδοθέντων, οὐ μόνον ἥμερα ζῶα, ἀλλὰ καὶ ὄφεις, καὶ ἔχεις, καὶ δράκοντες, καὶ λέοντες, καὶ παρ-

στόμωσεν ὅλους ἐκείνους, ποὺ ὕστερα ἀπὸ αὐτὰ ἐπιχειροῦν νὰ ἀντιλέγουν». Καὶ εἶδεν ὁ Θεὸς ὅλα ὅσα ἔκαμε, λέγει, καὶ ἦσαν πράγματι πολὺ καλά. Καὶ ἔγινε βράδυ, καὶ ἔγινε πρωΐ, ἡμέρα ἕκτη». Ἐπειδὴ λοιπὸν διὰ κάθε δημιούργημα ἔλεγε, «Καὶ εἶδεν ὁ Θεὸς ὅτι ἦτο καλόν», τώρα ποὺ ἐσυμπληρώθησαν τὰ πάντα καὶ ἐτελείωσαν τὰ ἔργα τῆς ἕκτης ἡμέρας, καὶ ἐκεῖνος, ποὺ πρόκειται νὰ ἀπολαύη ὅλα τὰ δημιουργηθέντα, ἐδημιουργήθη, λέγει· «Καὶ εἶδεν ὁ Θεὸς ὅλα ὅσα ἔκαμε, καὶ πράγματι ἦσαν πολὺ καλά». Πρόσεξε πῶς ἀφοῦ συμπεριέλαβεν ὅλα τὰ δημιουργήματα μὲ τὴν λέξιν αὐτήν, δηλαδὴ τὴν λέξιν «Πάντα», ἀπένειμε τὸν ἔπαινον εἰς ὅλα τὰ δημιουργήματα. Διότι οὔτε ἀφοῦ εἶπεν «Ὅλα», ἔμεινεν ἱκανοποιημένος, ἀλλὰ ἐπρόσθεσεν, «Ὅσα ἔκαμε» καὶ οὔτε περιωρίσθη εἰς αὐτὸ μόνον, ἀλλὰ λέγει, «Καὶ πράγματι ἦσαν καλά», καὶ «Λίαν καλά», δηλαδή, πολὺ καλά. Ὅταν λοιπὸν ὁ Θεός, ὁ ὁποῖος ἀπὸ τὸ μηδὲν ἔφερεν αὐτὰ εἰς τὴν ὕπαρξιν, θὰ ὀνομάση καλὰ καὶ πολὺ καλὰ τὰ δημιουργήματα, ποῖος θὰ τολμήση, καὶ ἂν ἀκόμη εἶναι ἐντελῶς παράφρων, νὰ ἀνοίξη τὸ στόμα του καὶ νὰ ἀντιμιλήση εἰς τὰ λεχθέντα ἀπὸ τὸν Θεόν; Διότι δὲν ἐδημιουργήθη μόνον φῶς εἰς τὰ ὁρώμενα κτίσματα, ἀλλὰ καὶ τὸ σκοτάδι, ἀντίθετον πρὸς τὸ φῶς· καὶ ὄχι μόνον ἡμέρα, ἀλλὰ καὶ νύκτα, ἀντίθετος εἰς τὴν ἡμέραν. Καὶ εἰς τὰ φυτά, ποὺ φυτρώνουν ἀπὸ τὴν γῆν, ὄχι μόνον ἐβλάστησαν χόρτα χρήσιμα, ἀλλὰ καὶ βλαβερά, καὶ δένδρα ὄχι μόνον καρποφόρα, ἀλλὰ καὶ ἄκαρπα· καὶ ζῶα ὄχι μόνον ἥμερα, ἀλλὰ καὶ ἄγρια καὶ ἀνυπότακτα. Καὶ εἰς ἐκεῖνα ποὺ προῆλθαν ἀπὸ τὰ ὕδατα, ὄχι μόνον ἰχθῦς, ἀλλὰ καὶ κήτη καὶ ἄλλα θαλάσσια θηρία. Καὶ γῆ ὄχι μόνον ποὺ κατοικεῖται, ἀλλὰ καὶ ἀκατοίκητος· καὶ ὄχι μόνον ὁμαλαὶ πεδιάδες, ἀλλὰ καὶ βουνὰ καὶ φαράγγια. Καὶ εἰς τὰ πτηνά, δὲν ὑπάρχουν μόνον ἥμερα καὶ κατάλληλα εἰς τὴν διατροφήν μας, ἀλλὰ καὶ ἄγρια καὶ ἀκάθαρτα ζῶα, καὶ γεράκια καὶ γῦπες καὶ πολλὰ ἄλλα παρόμοια. Καὶ εἰς τὰ προελθόντα ἀπὸ τὴν γῆν, ὄχι μόνον ἥμερα ζῶα, ἀλλὰ καὶ φίδια καὶ ἔχιδναι καὶ ὑπερμεγέθη φίδια καὶ λεοντάρια καὶ

δάλεις· καὶ ἐπὶ τοῦ ἀέρος πάλιν οὐ μόνον ὑετοὶ καὶ ἄνεμοι ἐπιτήδειοι, ἀλλὰ καὶ χάλαζαι, καὶ χιόνες· καὶ εἴ τις καθ' ἕκαστον ἐπεξιέναι βούλοιτο, πολλὰ εὑρήσει ἐφ' ἑκάστῳ τῶν δημιουργηθέντων, οὐ μόνον ἡμῖν (οὐ) χρήσιμα, ἀλλὰ καὶ βλαβερὰ νομιζόμενα· ἵν' οὖν μηδενὶ ἐξῇ τῶν μετὰ ταῦτα πρὸς τὰ δημιουργηθέντα ἀποβλεπόντων ἐπισκήπτειν τοῖς γεγενημένοις, καὶ λέγειν· διὰ τί τοῦτο; εἰς τί τοῦτο; καί, τὸ μὲν καλῶς γεγένηται, τὸ δὲ οὐ καλῶς· διὰ τοῦτο ἡ ἁγία Γραφὴ πάντας, ὡς εἰπεῖν, τοὺς ἀγνωμονεῖν ἐπιχειροῦντας ἐπιστομίζουσα, κατὰ τὴν ἕκτην ἡμέραν μετὰ τὴν ἁπάντων δημιουργίαν, φησί· «Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν». Τί ταύτης τῆς ἀξιοπιστίας ἴσον γένοιτ' ἄν, ὅταν αὐτὸς ὁ δημιουργὸς τῶν ἁπάντων ψηφίζεται, καὶ λέγει, ὅτι πάντα τὰ γεγενημένα καλά, καὶ καλὰ λίαν; Ὅταν τοίνυν ἴδῃς τινὰ ἐξ οἰκείων λογισμῶν κινούμενον, καὶ βουλόμενον ἀντιφθέγξασθαι τῇ θείᾳ Γραφῇ, ὡς μαινόμενον ἀποστράφηθι· μᾶλλον δὲ μηδὲ ἀποστραφῇς, ἀλλ' ἐλεῶν αὐτὸν τῆς ἀγνοίας, πάραγε τὸ παρὰ τῆς θείας Γραφῆς εἰρημένον, καὶ λέγε, ὅτι «Εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ εἶπεν, ‹Ἰδοὺ καλὰ λίαν›» καὶ ἴσως ἐπισχεῖν αὐτοῦ δυνήσῃ τὴν ἀκόλαστον γλῶτταν. Εἰ γὰρ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, ἐπειδὰν ἴδωμέν τινας τῶν ἐν ἀξιώμασι ψηφιζομένους τοῖς γεγενημένοις, οὐκ ἀντιτείνομεν, ἀλλὰ συγκατατιθέμεθα, καὶ τῆς οἰκείας κρίσεως πολλάκις προτιμῶμεν τὴν παρ' ἐκείνων ψῆφον· πολλῷ μᾶλλον ἐπὶ τοῦ τῶν ὅλων Θεοῦ, τοῦ δημιουργοῦ τῶν ὁρωμένων ἁπάντων, τοῦτο ποιεῖν χρή, καὶ μαθόντας τὴν παρ' αὐτοῦ ψῆφον, κατακοιμίζειν τοὺς ἡμετέρους λογισμούς, καὶ μηδὲν περαιτέρω τολμᾶν, ἀλλ' εἰδέναι καὶ πεπληροφορῆσθαι, ὅτι πάντα λόγῳ τινὶ καὶ φιλανθρωπίᾳ παρ' αὐ-

λεοπαρδάλεις. Καὶ εἰς τὴν ἀτμόσφαιραν πάλιν δὲν ὑπάρχουν μόνον βροχαὶ καὶ εὐνοϊκοὶ ἄνεμοι, ἀλλὰ καὶ χαλάζι καὶ χιόνια. Καὶ ἐὰν κανεὶς θὰ ἤθελε νὰ ἐξετάσῃ καλὰ κάθε ἕνα δημιούργημα, θὰ εὑρῇ εἰς αὐτό, ὄχι μόνον χρήσιμα εἰς ἡμᾶς, ἀλλὰ καὶ θεωρούμενα βλαβερά. Διὰ νὰ μὴ ἐπιτρέψῃ λοιπὸν εἰς κανένα ἀπὸ ἐκείνους, ποὺ ὕστερα ἀπὸ αὐτὰ ἐξετάζουν μὲ ἀκρίβειαν τὰ δημιουργήματα, νὰ κατηγοροῦν αὐτά, τὰ ὁποῖα ἔχουν γίνει καὶ νὰ λέγουν· διατί αὐτό; εἰς τί ὠφελεῖ αὐτό; καὶ αὐτὸ μὲν ἔχει γίνει καλῶς, αὐτὸ δὲ κακῶς, δι' αὐτὸ ἡ Ἁγία Γραφὴ ἀποστομώνουσα, ὅπως θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ὅλους ποὺ ἐπιχειροῦν νὰ γίνουν ἀγνώμονες, κατὰ τὴν ἕκτην ἡμέραν ὕστερα ἀπὸ τὴν δημιουργίαν ὅλων, λέγει· «Καὶ εἶδεν ὁ Θεὸς ὅλα ὅσα ἔκαμε, καὶ πράγματι ἦσαν πολὺ καλά». Τί θὰ ἠμποροῦσε νὰ γίνῃ ἴσον πρὸς αὐτὴν τὴν ἀξιοπιστίαν, ὅταν ὁ ἴδιος ὁ δημιουργὸς τῶν πάντων ἐκφράζει τὴν γνώμην του καὶ λέγει, ὅτι ὅλα τὰ δημιουργηθέντα εἶναι καλὰ καὶ πολὺ καλά; Ὅταν λοιπὸν ἴδῃς κάποιον, ὁ ὁποῖος κινεῖται ἀπὸ τὰς ἰδικάς του σκέψεις καὶ θέλει νὰ ἀντιλέγῃ εἰς τὴν Ἁγίαν Γραφήν, νὰ τὸν ἀποστραφῇς ὡς παράφρονα· καλύτερα δέ, οὔτε νὰ τὸν ἀποστραφῇς, ἀλλὰ συγχωρῶν τὴν ἄγνοιάν του, παρουσίαζε τὸ λεχθὲν ἀπὸ τὴν Ἁγίαν Γραφὴν καὶ λέγε, ὅτι «Εἶδεν ὁ Θεὸς ὅλα ὅσα ἔκαμε, καὶ εἶπε· Πράγματι εἶναι πολὺ καλά», καὶ ἴσως θὰ ἠμπορέσῃς νὰ συγκρατήσῃς τὴν ἀκόλαστον γλῶσσαν του. Διότι ἐὰν εἰς τὰ ἀνθρώπινα πράγματα, ὅταν ἰδοῦμεν μερικούς, ποὺ ἔχουν τὰ ἀξιώματα, νὰ ἐκφέρουν γνώμην δι' αὐτὰ ποὺ ἔχουν γίνει, δὲν ἐναντιωνώμεθα, ἀλλὰ συμφωνοῦμεν καὶ πολλὰς φορὰς ἀπὸ τὴν ἰδικήν μας γνώμην προτιμῶμεν τὴν ἀπόφασιν ἐκείνων· κατὰ πολὺ περισσότερον αὐτὸ πρέπει νὰ κάμνωμεν εἰς τὴν περίπτωσιν τοῦ Θεοῦ τῶν ὅλων, ὁ ὁποῖος εἶναι ὁ δημιουργὸς ὅλων τῶν ὁρατῶν, καὶ ἀφοῦ μάθωμεν τὴν γνώμην του, νὰ καταπαύωμεν τὰς ἰδικάς μας σκέψεις καὶ νὰ μὴ τολμῶμεν τίποτε περισσότερον, ἀλλὰ νὰ γνωρίζωμεν καὶ νὰ πληροφορηθοῦμεν, ὅτι τὰ πάντα ἐδημιουργήθησαν ἀπ' αὐτὸν μὲ τὸν λόγον καὶ ἐξ αἰτίας τῆς

τοῦ παρήχθη, καὶ οὐδέν ἐστιν ἁπλῶς καὶ εἰκῇ γεγενημένον· ἀλλὰ κἂν ἡμεῖς διὰ τὴν ἀσθένειαν τῶν ἡμετέρων λογισμῶν ἀγνοῶμεν τὴν χρείαν τῶν γεγενημένων, αὐτὸς κατὰ τὴν αὐτοῦ σοφίαν καὶ εὐμήχανον φιλανθρωπίαν ἅπαντα παρήγαγε.

7. «Καὶ ἐγένετο», φησίν, «ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη». Τῷ τέλει τῆς ἕκτης ἡμέρας καὶ τὸ τέλος τῶν δημιουργημάτων ἁπάντων ἐπέθηκε· διὰ τοῦτο καὶ ἐπήγαγε· «Καὶ συνετελέσθησαν ὁ οὐρανός, καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν». Σκόπει τὸ ἀνεπαχθὲς καὶ ἀπέριττον τῆς θείας Γραφῆς. Τῶν συνεκτικωτάτων στοιχείων μνημονεύσασα, οὐκέτι κατὰ μέρος τῶν λοιπῶν ἐμνήσθη, ἀλλ' εἰποῦσα, «Συνετελέσθη ὁ οὐρανὸς καὶ ἡ γῆ», φησί, «Καὶ πᾶς ὁ κόσμος αὐτῶν»· ἐμφαίνουσα διὰ τούτου τὰ κατὰ τὴν γῆν ἅπαντα καὶ τὸν οὐρανόν. Κόσμος γὰρ τῆς γῆς τὰ ἐξ αὐτῆς ἀναδιδόμενα, ἡ βλάστη τῶν βοτανῶν, τῶν καρπῶν ἡ φορά, τῶν δένδρων οἱ καρποί, τὰ ἄλλα ἅπαντα, οἷς αὐτὴν ὁ δημιουργὸς κατεκόσμησε· καὶ τοῦ οὐρανοῦ πάλιν κόσμος, ἥλιος, σελήνη, τῶν ἄστρων ἡ ποικιλία, καὶ τὰ ἐν μέσῳ ἅπαντα δημιουργήματα. Διὰ τοῦτο τοῦ οὐρανοῦ καὶ τῆς γῆς μνημονεύσασα ἡ θεία Γραφή, πᾶσαν τὴν δημιουργίαν διὰ τούτων τῶν στοιχείων συμπεριέλαβε. «Καὶ συνετέλεσε», φησίν, «ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ ἃ ἐποίησε». Σκόπει πῶς καὶ ἅπαξ καὶ δεύτερον τὸ αὐτὸ λέγει, ἵνα μάθωμεν ὅτι μέχρι τῆς ἕκτης ἡμέρας τὰ τῆς δημιουργίας ἅπαντα γεγένηται. «Συνετέλεσε γάρ», φησί, «τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε». Τί ἐστι, «Καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε»; Θέα πῶς ἀνθρωπίνως, καὶ διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν ἅπαντα διαλέγεται ἡ θεία Γραφή· οὐδὲ γὰρ ἦν ἄλλως ἡμᾶς συνιέναι τι τῶν λεγομένων μὴ τοσαύτης ἀξιω-

φιλανθρωπίας του, καὶ δὲν ὑπάρχει τίποτε, τὸ ὁποῖον ἔχει δημιουργηθῆ τυχαῖα καὶ ἄσκοπα. Ἀλλὰ καὶ ἂν ἀκόμη ἡμεῖς, ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν ἰδικῶν μας σκέψεων, δὲν γνωρίζωμεν τὴν χρησιμότητα τῶν δημιουργηθέντων, αὐτὸς ἐδημιούργησε τὰ πάντα σύμφωνα μὲ τὴν ἰδικήν του σοφίαν καὶ ἐπινοητικὴν φιλανθρωπίαν·

7. «Καὶ ἔγινε, λέγει, βράδυ, καὶ ἔγινε πρωί, ἡμέρα ἕκτη». Εἰς τὸ τέλος τῆς ἕκτης ἡμέρας, ἐτοποθέτησε καὶ τὸ τέλος τῆς δημιουργίας τῶν ὅλων· δι' αὐτὸ καὶ ἐπρόσθεσε· «Καὶ ἐπερατώθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ὅλος ὁ κόσμος αὐτῶν». Πρόσεξε τὴν ἄνεσιν καὶ τὴν ἁπλότητα τῆς Ἁγίας Γραφῆς. Ἀφοῦ ἀνέφερε τὰ σπουδαιότερα στοιχεῖα, δὲν ἐμνημόνευσε χωριστὰ τὰ ὑπόλοιπα, ἀλλὰ ἀφοῦ εἶπε, «Ἐπερατώθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ», λέγει, «Καὶ ὅλος ὁ κόσμος αὐτῶν», περιλαμβάνουσα μὲ αὐτὸ ὅλα τὰ ὑπάρχοντα εἰς τὴν γῆν καὶ τὸν οὐρανόν. Διότι κόσμος τῆς γῆς εἶναι ἐκεῖνα, ποὺ φυτρώνουν ἀπὸ αὐτήν, δηλαδὴ ἡ βλάστησις τῶν φυτῶν, ἡ ἐσοδεία τῶν καρπῶν, οἱ καρποὶ τῶν δένδρων, ὅλα τὰ ἄλλα, μὲ τὰ ὁποῖα ἐστόλισεν αὐτὴν ὁ δημιουργός· καὶ τοῦ οὐρανοῦ πάλιν κόσμος εἶναι, ὁ ἥλιος, ἡ σελήνη, ἡ ποικιλία τῶν ἄστρων, καὶ ὅλα τὰ δημιουργήματα τὰ εὑρισκόμενα ἀνάμεσα εἰς αὐτά. Δι' αὐτὸ ἀφοῦ ἀνέφερεν ἡ Ἁγία Γραφὴ τὸν οὐρανὸν καὶ τὴν γῆν, συμπεριέλαβε μὲ τὰ στοιχεῖα αὐτὰ ὁλόκληρον τὴν δημιουργίαν. «Καὶ ἐτερμάτισε, λέγει, ὁ Θεὸς κατὰ τὴν ἕκτην ἡμέραν τὰ ἔργα του, τὰ ὁποῖα ἔκαμε». Παρατήρησε ὅτι τὸ ἴδιον λέγει καὶ μίαν καὶ δύο φοράς, διὰ νὰ μάθωμεν ὅτι ἔχουν γίνει ὅλα τὰ ἔργα τῆς δημιουργίας μέχρι τὴν ἕκτην ἡμέραν. Διότι λέγει, «Ἐτερμάτισε κατὰ τὴν ἕκτην ἡμέραν τὰ ἔργα του, τὰ ὁποῖα ἔκαμε, καὶ ἀνεπαύθη κατὰ τὴν ἑβδόμην ἡμέραν ἀπὸ ὅλα του τὰ ἔργα, τὰ ὁποῖα ἔκαμε». Τί σημαίνει, «Καὶ ἀνεπαύθη κατὰ τὴν ἑβδόμην ἡμέραν ἀπὸ ὅλα του τὰ ἔργα, τὰ ὁποῖα ἔκαμε»; Πρόσεξε πῶς τὰ πάντα λέγει ἡ Ἁγία Γραφὴ κατὰ τὸν ἀνθρώπινον τρόπον καὶ μὲ συγκατάβασιν δι' ἡμᾶς. Ἄλλωστε δὲν ἦτο δυνατὸν διαφορετικὰ νὰ κατανοήσωμεν κάτι ἀπὸ τὰ λε-

θέντας συγκαταβάσεως. «Καὶ κατέπαυσε», φησίν, «ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν». Ἔστη, φησί, τοῦ δημιουργεῖν, καὶ παράγειν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. Πάντα γὰρ ὅσα ἐχρῆν παρήγαγε, καὶ τὸν μέλλοντα τούτων ἀπολαύειν ἐδημιούργησε. «Καὶ εὐλόγησε», φησίν, «ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ Θεὸς ποιεῖν». Ἐπειδὴ γὰρ ἔστη δημιουργῶν, καὶ πάντα ὅσα ἐβουλήθη κατὰ τὴν οἰκείαν φιλανθρωπίαν παρήγαγεν εἰς τὸ μέσον τῷ οἰκείῳ προστάγματι, καὶ τέλος ἐπέθηκε τοῖς δημιουργουμένοις κατὰ τὴν ἕκτην ἡμέραν· οὐδὲν δὲ ἕτερον ἐβούλετο παραγαγεῖν ἐν τῇ ἑβδόμῃ διὰ τὸ πάντα ὅσα ἐβούλετο πεπληρῶσθαι· ἵν' ἔχῃ τι προτέρημα καὶ ἡ ἡμέρα αὕτη, καὶ μὴ δοκῇ ἔλαττόν τι ἔχειν διὰ τὸ μηδὲν ἐν αὐτῇ δεδημιουργῆσθαι, εὐλογίας αὐτὴν ἀξιοῖ. «Καὶ εὐλόγησε», φησίν, «ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν». Τί οὖν; αἱ λοιπαὶ οὐκ ἦσαν εὐλογημέναι; Ναί, φησίν, ἀλλ' ἤρκει ἐκείναις ἀντὶ πάσης εὐλογίας τὸ καθ' ἑκάστην αὐτῶν τὰ δημιουργήματα παραχθῆναι· διὸ ἐπ' ἐκείνων μὲν οὐκ εἶπεν, εὐλόγησεν, ἐπὶ δὲ τῆς ἑβδόμης μόνης τοῦτο εἰπὼν προσέθηκε, «Καὶ ἡγίασεν αὐτήν», Τί ἐστι, «Καὶ ἡγίασεν αὐτήν»; Ἀφώρισεν αὐτήν. Εἶτα διδάσκουσα ἡμᾶς ἡ θεία Γραφὴ καὶ τὴν αἰτίαν δι' ἣν εἴρηκεν, «Καὶ ἡγίασεν αὐτήν», προσέθηκεν, «Ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι». Ἤδη ἐντεῦθεν ἐκ προοιμίων αἰνιγματωδῶς διδασκαλίαν ἡμῖν ὁ Θεὸς παρέχεται, παιδεύων τὴν μίαν ἡμέραν ἐν τῷ κύκλῳ τῆς ἑβδομάδος ἅπασαν ἀνατιθέναι καὶ ἀφορίζειν τῇ τῶν πνευματικῶν ἐργασίᾳ. Διὰ γὰρ τοῦτο καὶ ὁ Δεσπότης ἐν ἕξ ἡμέραις τὰ τῆς δημιουργίας ἅπαντα πληρώσας, τὴν ἑβδόμην εὐλογίας ἀξιώσας ἡγίασε, διὰ τὸ ἐν αὐτῇ καταπαῦσαι ἀπὸ τῶν ἔργων αὐ-

γόμενα, ἐὰν δὲν εἴχαμεν καταστῆ ἄξιοι διὰ τόσον μεγάλην συγκατάβασιν. «Καὶ ἀνεπαύθη, λέγει, ὁ Θεὸς κατὰ τὴν ἑβδόμην ἡμέραν ἀπὸ ὅλα του τὰ ἔργα, τὰ ὁποῖα ἔκαμε». Ἐσταμάτησε, λέγει, ἀπὸ τὸ νὰ δημιουργῇ καὶ νὰ φέρῃ ἀπὸ τὸ μηδὲν εἰς τὴν ὕπαρξιν. Διότι ὅλα ὅσα ἔπρεπε, ἐδημιούργησε, καὶ ἐκεῖνον, ποὺ ἐπρόκειτο νὰ τὸ ἀπολαμβάνῃ, ἔκαμε. «Καὶ εὐλόγησεν ὁ Θεός, λέγει, τὴν ἑβδόμην ἡμέραν καὶ ἡγίασεν αὐτήν, διότι κατ' αὐτὴν ἀνεπαύθη ἀπὸ ὅλα του τὰ ἔργα, τὰ ὁποῖα ἤρχισε νὰ δημιουργῇ ὁ Θεός». Ἀφοῦ λοιπὸν ἐσταμάτησε νὰ δημιουργῇ, καὶ ὅλα ὅσα ἠθέλησε, σύμφωνα μὲ τὴν ἰδικήν του φιλανθρωπίαν ἐδημιούργησε μὲ τὴν προσταγήν του, καὶ ἐτερμάτισε κατὰ τὴν ἕκτην ἡμέραν τὴν δημιουργίαν· δὲν ἤθελε νὰ δημιουργήσῃ δὲ τίποτε ἄλλο κατὰ τὴν ἑβδόμην ἡμέραν, ἐπειδὴ ὅλα ὅσα ἤθελε εἶχαν περατωθῇ· διὰ νὰ ἔχῃ κάποιο προτέρημα καὶ ἡ ἡμέρα αὐτή, καὶ διὰ νὰ μὴ φαίνεται ὅτι εἶναι κάπως κατωτέρα, ἐπειδὴ κατ' αὐτὴν δὲν εἶχε δημιουργηθῆ τίποτε, τὴν τιμᾷ μὲ τὴν εὐλογίαν του. «Καὶ εὐλόγησε, λέγει, ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν». Τί λοιπὸν συμβαίνει; αἱ ὑπόλοιποι ἡμέραι δὲν ἦσαν εὐλογημέναι; Ναί, λέγει, ἀλλὰ ἦτο ἀρκετὸν εἰς ἐκείνας, ἀντὶ ὁποιασδήποτε εὐλογίας, τὸ ὅτι ἔκαμε εἰς κάθε ἡμέραν ἀπὸ αὐτὰς τὰ δημιουργήματά του. Δι' αὐτὸ δι' ἐκείνας μὲν δὲν εἶπεν, εὐλόγησε, διὰ τὴν ἑβδόμην δὲ ἡμέραν ἀφοῦ εἶπεν αὐτὸ μόνον, ἐπρόσθεσε, «Καὶ ἡγίασεν αὐτήν». Τί σημαίνει, «Καὶ ἡγίασεν αὐτήν»; Ἐξεχώρισεν αὐτήν. Ἔπειτα ἀποκαλύπτουσα εἰς ἡμᾶς ἡ Ἁγία Γραφὴ καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἔχει εἰπῆ, «Καὶ ἡγίασεν αὐτήν», ἐπρόσθεσε, «Διότι κατ' αὐτὴν ἀνεπαύθη ἀπὸ ὅλα του τὰ ἔργα, τὰ ὁποῖα ἤρχισεν ὁ Θεὸς νὰ κάμῃ». Ἤδη ἀπὸ ἐδῶ μᾶς παρέχει ὁ Θεὸς κατὰ τρόπον ἀσαφῆ τὴν διδασκαλίαν, διδάσκων ἡμᾶς νὰ διαθέτωμεν καὶ νὰ ἀφιερώνωμεν διὰ τὴν πνευματικὴν ἐργασίαν μίαν ὁλόκληρον ἡμέραν τῆς ἑβδομάδος. Δι' αὐτὸ ἀκριβῶς καὶ ὁ Θεός, ἀφοῦ ἐτελείωσε μέσα εἰς ἓξ ἡμέρας ὅλα τὰ ἔργα τῆς δημιουργίας, ἡγίασε τὴν ἑβδόμην, ἀφοῦ τὴν εὐλόγησεν, ἐπειδὴ κατ' αὐτὴν ἀνεπαύθη

τοῦ ὧν ἤρξατο ποιῆσαι. Ἀλλ' ἐντεῦθεν πάλιν ὁρῶ πέλαγος ἀχανὲς νοημάτων ἡμῖν τικτόμενον, καὶ βούλομαι μὴ ἁπλῶς αὐτὸ παραδραμεῖν, ἀλλὰ καὶ ὑμᾶς κοινωνοὺς λαβεῖν τῆς ἐμπορίας ταύτης τῆς πνευματικῆς. Τί οὖν ἐστι τὸ ἐντεῦθεν ἀνακύπτον ἡμῖν ζήτημα; Τῆς θείας Γραφῆς ἐνταῦθα λεγούσης, ὅτι κατέπαυσεν ὁ Θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, ἐν τοῖς εὐαγγελίοις ὁ Χριστός φησιν, «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Οὐ δοκεῖ ἐκ τῆς προφορᾶς τῶν ῥημάτων ἐναντίωσίς τις εἶναι ἐν τοῖς λεγομένοις; Ἀλλὰ μὴ γένοιτο· οὐδὲν γὰρ ἐναντίον τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων. Ἐνταῦθα γὰρ εἰποῦσα ἡ Γραφή, ὅτι κατέπαυσεν ὁ Θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, διδάσκει ἡμᾶς ὅτι τοῦ δημιουργεῖν καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν ἐπαύσατο κατὰ τὴν ἑβδόμην ἡμέραν· ὁ δὲ Χριστὸς λέγων, ὅτι «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι», τὴν διηνεκῆ αὐτοῦ πρόνοιαν ἡμῖν παραδηλοῖ, καὶ ἐργασίαν λέγει τὸ διακρατεῖν τὰ γεγενημένα, καὶ τὴν διαμονὴν αὐτοῖς χαρίζεσθαι, καὶ ἡνιοχεῖν τὸν σύμπαντα χρόνον. Εἰ γὰρ μὴ τοῦτο ἦν, πῶς ἂν συνέστη τόδε τὸ πᾶν, μὴ τῆς ἄνωθεν χειρὸς κυβερνώσης καὶ διοικούσης καὶ τὰ ὁρώμενα ἅπαντα καὶ τὸ τῶν ἀνθρώπων γένος; Καὶ ἐάν τις βουληθῇ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης ἅπαντα κατ' εἶδος ἐποπτεῦσαι τὰ καθ' ἑκάστην ἡμέραν ἐπ' εὐεργεσίᾳ ἡμετέρᾳ ὑπὸ τοῦ τῶν ἁπάντων δημιουργοῦ ἐπιτελούμενα, ἄβυσσον εὑρήσει φιλανθρωπίας. Ποῖος γὰρ λογισμός, ἢ ποία διάνοια ἐφικέσθαι δυνήσεται τῆς ἀφάτου ἀγαθότητος, ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐνδείκνυται, ἀνατέλλων τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ πᾶσαν τὴν ἄλλην ἀφθονίαν χορηγῶν; Τάχα περαιτέρω τοῦ λέοντος τὸν λόγον ἐξετείναμεν, οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο ποιήσαντες, ἀλλ' ἵνα δι' ὑμῶν μάθωσιν οἱ ἀπολειφθέντες, ὅσον ἑαυτοὺς ἐζημίωσαν, διὰ τὴν σωματικὴν τροφὴν ἀποστερήσαντες

6. Ἰω. 5, 17.

ἀπὸ τὰ ἔργα του, τὰ ὁποῖα ἤρχισε νὰ κάμη. Ἀλλὰ ἀπὸ ἐδῶ πάλιν βλέπω νὰ προέρχεται εἰς ἡμᾶς ἄπειρον πλῆθος νοημάτων, καὶ θέλω νὰ μὴ τὸ διέλθω ἁπλῶς, ἀλλὰ καὶ σεῖς νὰ συμμετάσχετε εἰς τὸν πνευματικὸν αὐτὸν πλοῦτον. Ποῖον λοιπὸν εἶναι τὸ πρόβλημα, ποὺ προκύπτει ἀπὸ ἐδῶ; Ἐνῷ ἐδῶ ἡ Ἁγία Γραφὴ λέγει, ὅτι ὁ Θεὸς ἀνεπαύθη ἀπὸ τὰ ἔργα του, ὁ Χριστὸς εἰς τὰ εὐαγγέλια λέγει, «Ὁ Πατήρ μου ἐργάζεται ἕως τώρα, καὶ ἐγὼ ἐργάζομαι»[8]. Δὲν φαίνεται ἀπὸ τὴν προφορὰν τῶν λόγων αὐτῶν, ὅτι ὑπάρχει κάποια ἀντίθεσις εἰς τὰ λεγόμενα; Ἀλλὰ μὴ γένοιτο νὰ εἰποῦμεν κάτι τέτοιο, διότι δὲν ὑπάρχει καμμία ἀντίθεσις εἰς τὴν Ἁγίαν Γραφήν. Διότι μὲ τὸ νὰ εἰπῇ ἐδῶ ἡ Γραφή, ὅτι ὁ Θεὸς ἀνεπαύθη ἀπὸ τὰ ἔργα του, μᾶς διδάσκει ὅτι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐσταμάτησε νὰ δημιουργῇ καὶ νὰ φέρῃ ἀπὸ τὸ μηδὲν εἰς τὴν ὕπαρξιν τὰ ὄντα· καὶ ὁ Χριστὸς λέγων, ὅτι «Ὁ Πατήρ μου ἐργάζεται ἕως τώρα, καὶ ἐγὼ ἐργάζομαι», μᾶς φανερώνει κατὰ τρόπον ἔμμεσον τὴν συνεχῆ του πρόνοιαν, καὶ ἐργασίαν ἐννοεῖ τὸ νὰ διατηρῇ εἰς τὴν ζωὴν τὰ δημιουργηθέντα, τὸ νὰ χαρίζῃ εἰς αὐτὰ τὴν διατήρησίν των καὶ νὰ κυβερνᾷ ὁλόκληρον τὸν χρόνον. Διότι ἐὰν δὲν συνέβαινεν αὐτό, πῶς θὰ ἐξακολουθοῦσε νὰ ὑπάρχῃ αὐτὸ ἐδῶ τὸ σύμπαν, ὅταν τὸ χέρι τοῦ Θεοῦ δὲν ἐκυβερνοῦσε καὶ ἐδιοικοῦσε καὶ ὅλα ποὺ βλέπομεν καὶ τὸ ἀνθρώπινον γένος; Καὶ ἂν κάποιος θελήσῃ μὲ πολλὴν σύνεσιν νὰ ἐξετάσῃ ἰδιαιτέρως ὅλα ἐκεῖνα, τὰ ὁποῖα ὁ δημιουργὸς τῶν ὅλων κάνει καθημερινῶς διὰ νὰ μᾶς εὐεργετήσῃ, θὰ συναντήσῃ ἄπειρον φιλανθρωπίαν. Διότι ποία σκέψις ἢ ποῖος νοῦς θὰ ἠμπορέσῃ νὰ πλησιάσῃ τὴν ἀπέραντον ἀγαθότητα, τὴν ὁποίαν ἐπιδεικνύει διὰ τὸ ἀνθρώπινον γένος, καθόσον ἀνατέλλει τὸν ἥλιον εἰς πονηροὺς καὶ εἰς ἀγαθοὺς καὶ βρέχει εἰς δικαίους καὶ ἀδίκους καὶ χορηγεῖ πλουσίως ὅλα τὰ ἄλλα ἀγαθά; Ἴσως παρετείναμεν τὴν ὁμιλίαν περισσότερον ἀπὸ ὅ,τι ἔπρεπε, χωρὶς ὅμως νὰ κάμωμεν αὐτὸ ἁπλῶς καὶ τυχαίως, ἀλλὰ διὰ νὰ πληροφορήσετε τοὺς ἀπόντας, πόσον ἐζημιώθησαν, ἐπειδὴ ἐστερήθησαν τὴν πνευματικὴν

ἑαυτοὺς τῆς πνευματικῆς διδασκαλίας. Ἀλλ' ἵνα μὴ ἐπιτείνηται αὐτοῖς τὰ τῆς ἀθυμίας, τὴν ἀδελφικὴν περὶ αὐτοὺς ἐπιδείξασθε εὔνοιαν, διαβιβάσαντες αὐτοῖς τὰ παρ' ἡμῶν εἰρημένα· τοῦτο γὰρ γνησίας ἀγάπης τεκμήριον. Εἰ γὰρ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων οἱ τοῦτο ποιοῦντες, καὶ τὰ ἀπὸ τῆς τραπέζης τοῖς αὐτῶν γνωρίμοις διαφυλάττοντες, μέγιστον ἀγάπης τεκμήριον ἐκφέρουσι, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο γινόμενον πολὺν ἡμῖν παρέξει τὸν ἔπαινον· πάλιν γὰρ εἰς ἡμᾶς τὰ τῆς ὠφελείας περιστήσεται. Ὁ γὰρ τὸν πλησίον διδάσκειν σπουδάζων, οὐ τοσοῦτον ἐκεῖνον εὐεργετεῖ, ὅσον ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν, καὶ διπλοῦν καρποῦται τὸ κέρδος, τῆς τε παρὰ τοῦ Θεοῦ ἀμοιβῆς πλείονος ἀπολαύων, καὶ αὐτὸς δι' ὧν τὸν ἀδελφὸν διδάσκειν ἐπιχειρεῖ, εἰς ὑπόμνησιν ἐρχόμενος, καὶ ἀνανεῶν παρ' ἑαυτῷ τὴν μνήμην τῶν εἰρημένων.

8. Τὸ κέρδος τοίνυν ἐννοοῦντες τὸ ὑμέτερον, μὴ φθονήσητε τοῖς ἀδελφοῖς τοῖς ὑμετέροις, ἀλλὰ νῦν μὲν τὰ παρ' ἡμῶν λεγόμενα παρ' ὑμῶν μανθανέτωσαν. Ἵνα δὲ μὴ ἐν χάριτος μέρει παρ' ὑμῶν μέλλωσι ταῦτα διδάσκεσθαι, ἕλκετε αὐτοὺς πρὸς ἡμᾶς, πείθοντες ὡς οὐδέποτε κώλυμα γίνεται πρὸς τὴν διδασκαλίαν τὴν πνευματικὴν ἡ τῆς τροφῆς τῆς σωματικῆς μετάληψις· ἀλλὰ δεῖ πάντα καιρὸν ἐπιτήδειον ἡγεῖσθαι πρὸς τὴν τῶν πνευματικῶν λόγων διάλεξιν. Ἂν ταῦτα μετὰ ἀκριβείας ἴδωμεν, δυνησόμεθα καὶ ἐπὶ οἰκίας διατρίβοντες, καὶ μετὰ τὴν ἑστίασιν, καὶ πρὸ τῆς ἑστιάσεως μετὰ χεῖρας λαβόντες τὰ θεῖα βιβλία τὴν ἐξ αὐτῶν καρποῦσθαι ὠφέλειαν, καὶ τὴν πνευματικὴν τροφὴν τῇ ψυχῇ παρέχειν. Ὥσπερ γὰρ τὸ σῶμα δεῖται τῆς αἰσθητῆς τροφῆς, οὕτω καὶ ἡ ψυχὴ χρῄζει καθημερινῆς ὑπομνήσεως, καὶ τροφῆς πνευματικῆς, ἵνα νευρουμένη ἀντέχειν δύνηται πρὸς τὰς ἐπαναστάσεις τῆς σαρκός, καὶ πρὸς τὸν διηνεκῆ πόλεμον τὸν ἐπικείμενον ἡμῖν, καὶ αἰχμάλωτον ἡμῶν ἀπεργαζόμενον τὴν ψυχήν, ἐὰν κἂν πρὸς βραχὺ ῥαθυμῆσαι βουληθῶμεν.

9. Τόπος χάριτος εἶναι φυσικὰ ὁ ναός.

διδασκαλίαν ἐξ αἰτίας τῆς ὑλικῆς τροφῆς. Διὰ νὰ μὴ αὐξάνεται ὅμως ἡ λύπη των, νὰ ἐπιδείξετε πρὸς αὐτοὺς τὴν ἀδελφικὴν ἀγάπην, μεταφέροντες εἰς αὐτοὺς τὰ λεγόμενα ἀπὸ ἡμᾶς, διότι αὐτὸ εἶναι ἀπόδειξις γνησίας ἀγάπης. Διότι ἐὰν εἰς τὰ ὑλικὰ φαγητὰ ἐκεῖνοι, ποὺ κάνουν αὐτὸ καὶ φυλάσσουν τὰ παρατιθέμενα εἰς τὸ τραπέζι διὰ τοὺς γνωστούς των, ἐπιδεικνύουν μεγίστη ἀπόδειξιν ἀγάπης, κατὰ πολὺ περισσότερον, ὅταν αὐτὸ γίνεται εἰς τὰ πνευματικὰ ἀγαθά, θὰ μᾶς παρέχῃ μεγάλον ἔπαινον, διότι πάλιν ἡ ὠφέλεια θὰ περιέλθῃ εἰς ἡμᾶς. Διότι ἐκεῖνος, ὁ ὁποῖος πασχίζει νὰ διδάσκῃ τὸν πλησίον, δὲν εὐεργετεῖ τόσον πολὺ ἐκεῖνον, ὅσον προκαλεῖ μεγαλυτέραν ἀμοιβὴν διὰ τὸν ἑαυτόν του, καὶ ἀποκομίζει διπλὸν κέρδος, ἀφοῦ ἀπολαμβάνῃ καὶ μεγαλυτέραν ἀμοιβὴν ἀπὸ τὸν Θεόν, καὶ ἀφοῦ ὁ ἴδιος, μὲ ἐκεῖνα ποὺ προσπαθεῖ νὰ διδάσκῃ τὸν ἀδελφόν του, ἐνθυμῆται καὶ ἀνανεώνει εἰς τὴν μνήμην μόνος του ἐκεῖνα τὰ ὁποῖα ἔχουν λεχθῆ.

8. Κατανοοῦντες λοιπὸν τὸ ἰδικόν σας κέρδος, μὴ φθονήσετε τοὺς ἀδελφούς σας, ἀλλὰ τώρα μὲν ἂς γνωρίσουν ἀπὸ σᾶς τὰ λεγόμενά μας· Διὰ νὰ μὴ ὀφείλετε ὅμως νὰ τοὺς διδάσκετε αὐτὰ μακρὰν τοῦ τόπου τῆς χάριτος•, νὰ τοὺς προσελκύετε πρὸς ἡμᾶς, πείθοντες αὐτούς, ὅτι ἡ ὑλικὴ τροφὴ ποτὲ δὲν γίνεται ἐμπόδιον διὰ τὴν πνευματικὴν διδασκαλίαν, ἀλλὰ πρέπει νὰ θεωροῦν κάθε περίστασιν κατάλληλον διὰ τὴν πνευματικὴν ὁμιλίαν· Ἂν προσέξωμεν μὲ ἀκρίβειαν αὐτά, θὰ ἠμπορέσωμεν καὶ ὅταν ἀκόμη παραμένωμεν εἰς τὸ σπίτι, καὶ μετὰ τὸ φαγητὸν καὶ πρὶν ἀπὸ αὐτό, ἀφοῦ λάβωμεν εἰς τὰ χέρια τὴν Ἁγίαν Γραφήν, νὰ ὠφεληθοῦμεν ἀπὸ αὐτὴν καὶ νὰ παρέχωμεν τὴν πνευματικὴν τροφὴν εἰς τὴν ψυχήν μας. Διότι ὅπως ἀκριβῶς τὸ σῶμα χρειάζεται τὴν ὑλικὴν τροφήν, ἔτσι καὶ ἡ ψυχὴ ἔχει ἀνάγκην τὴν καθημερινὴν ὑπενθύμισιν καὶ τὴν πνευματικὴν τροφήν, διὰ νὰ ἠμπορῇ ἐνισχυομένη νὰ ἀντέχῃ εἰς τὰς ἐπιθυμίας τῆς σάρκας καὶ εἰς τὸν ἐχθρόν, ὁ ὁποῖος συνεχῶς μᾶς ἐπιτίθεται καὶ προσπαθεῖ νὰ αἰχμαλωτίσῃ τὴν ψυχήν μας, ἐὰν θελήσωμεν ἔστω καὶ πρὸς

*Διὸ καὶ ὁ προφήτης Δαυῒδ **μακάριον ἐκεῖνον ἐκάλεσε** τὸν ἐν τῷ νόμῳ Κυρίου μελετῶντα **ἡμέρας καὶ νυκτός**· καὶ ὁ μακάριος δὲ Μωϋσῆς, παιδεύων τὸ τῶν Ἰουδαίων ἔθνος, ἐδίδασκεν αὐτοὺς λέγων, «Φαγὼν καὶ πιών, καὶ ἐμπλησθείς, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου». Ὁρᾷς πῶς καὶ τότε μάλιστα προσήκει, μετὰ τὴν τῆς τροφῆς ἀπόλαυσιν, τὴν πνευματικὴν ἑστίασιν ἑαυτοῖς παρατιθέναι, ἵνα μηδὲ μετὰ τὴν πλησμονὴν τῆς σωματικῆς τροφῆς ῥαθυμήσαντα ἡ ψυχὴ εἰς ὄλεθρόν τινα ἐκπέσῃ, καὶ χώραν δῷ ταῖς τοῦ διαβόλου μηχαναῖς, πάντα καιρὸν ἐπιτηροῦντος καὶ βουλομένου καιρίαν ἡμῖν δοῦναι τὴν πληγήν; Καὶ πάλιν δὲ ἑτέρωθι ἔλεγεν ὁ αὐτὸς οὗτος προφήτης, «Κοιταζόμενοι καὶ διανιστάμενοι μνημονεύετε Κυρίου τοῦ Θεοῦ ὑμῶν». Εἶδες πῶς οὐδέποτε ἡμᾶς προσήκει τὴν μνήμην ταύτην ἐκβαλεῖν τῆς ψυχῆς ἀλλ' ἐγκεκολαμμένην ἔχειν τῷ συνειδότι, καὶ διηνεκῶς ἐναγωνίους εἶναι, καὶ μηδέποτε ἀνακωχὴν ἑαυτοῖς παρέχειν, ἀλλὰ τὴν μανίαν εἰδότας τοῦ τὴν πρὸς ἡμᾶς ἔχθραν ἀραμένου, νήφειν καὶ ἐγρηγορέναι, καὶ ἀποτειχίζειν αὐτῷ τὰς ἐφόδους, καὶ μηδέποτε ἀμελεῖν τροφῆς πνευματικῆς; τοῦτο γὰρ ἡμῶν ἡ σωτηρία, τοῦτο ὁ πλοῦτος ὁ πνευματικός, τοῦτο ἡ ἀσφάλεια. Ἐὰν οὕτως ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν τειχίζωμεν, καὶ δι' ἀναγνώσεως, καὶ δι' ἀκροάσεως, καὶ διαλέξεως πνευματικῆς, δυνησόμεθα καὶ αὐτοὶ ἀχείρωτοι γενέσθαι, καὶ τοῦ πονηροῦ δαίμονος ἄκυρα ποιῆσαι τὰ μηχανήματα, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

10. Ψαλμ. 1, 2.
11. Δευτ. 8, 10.
12. Δευτ. 6, 7.

στιγμὴν νὰ ἀδιαφορήσωμεν. Δι' αὐτὸ καὶ ὁ προφήτης Δαυῒδ ὠνόμασε μακάριον ἐκεῖνον, ὁ ὁποῖος μελετᾷ τὸν νόμον τοῦ Κυρίου ἡμέραν καὶ νύκτα[10]. Ἐπίσης δὲ ὁ μακάριος Μωυσῆς, διδάσκων τὸ ἔθνος τῶν Ἰουδαίων, ἔλεγε· «Καὶ ὅταν τρώγῃς καὶ πίνῃς μέχρι χορτασμοῦ, νὰ ἐνθυμῆσαι Κύριον τὸν Θεόν σου»[11]. Βλέπεις πῶς πρέπει μάλιστα καὶ τότε, μετὰ τὴν ἀπόλαυσιν τῆς τροφῆς, νὰ προσφέρωμεν εἰς τὸν ἑαυτόν μας τὴν πνευματικὴν τροφήν, ὥστε, ἀφοῦ περιέλθῃ εἰς κατάστασιν νωθρότητος ὕστερα ἀπὸ τὸν χορτασμὸν τῆς ὑλικῆς τροφῆς, νὰ μὴ πέσῃ ἡ ψυχὴ εἰς κάποιον ὄλεθρον καὶ δώσῃ τόπον εἰς τὰ τεχνάσματα τοῦ διαβόλου, ὁ ὁποῖος παραμονεύει εἰς κάθε εὐκαιρίαν καὶ ἐπιθυμεῖ νὰ μᾶς δώσῃ τὸ ἀποφασιστικὸν κτύπημα; Καὶ πάλιν δὲ εἰς ἄλλο σημεῖον ὁ ἴδιος προφήτης ἔλεγεν, «Ὅταν πλαγιάζετε διὰ ὕπνον καὶ ὅταν ἐγείρεσθε νὰ ἀναφέρετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σας»[12]. Εἶδες πῶς δὲν πρέπει ποτὲ νὰ ἀπομακρύνωμεν ἀπὸ τὴν ψυχήν μας αὐτὴν τὴν ὑπενθύμισιν, ἀλλὰ νὰ τὴν ἔχωμεν βαθιὰ χαραγμένην εἰς τὴν συνείδησίν μας, καὶ νὰ εἴμεθα διαρκῶς ἕτοιμοι δι' ἀγῶνα, καὶ ποτὲ νὰ μὴ συνάπτωμεν ἀνακωχὴν μὲ τὸν ἑαυτόν μας, ἀλλά, ἀφοῦ γνωρίζωμεν τὴν μανίαν ἐκείνου, ποὺ ἤρχισε τὴν ἔχθραν ἐναντίον μας, νὰ εἴμεθα νηφάλιοι καὶ ἄγρυπνοι, καὶ νὰ ἐμποδίζωμεν τὰς ἐπιθέσεις του καὶ ποτὲ νὰ μὴ ἀδιαφοροῦμεν διὰ τὴν πνευματικὴν τροφήν; Διότι αὐτὸ εἶναι ἡ σωτηρία μας, αὐτὸ ἡ πνευματικὴ μας περιουσία, αὐτὸ εἶναι ἡ ἀσφάλειά μας· Ἐὰν ἔτσι περιφρονοῦμεν καθημερινὰ τὸν ἑαυτόν μας, δηλαδὴ μὲ τὴν ἀνάγνωσιν, τὴν ἀκρόασιν καὶ τὴν πνευματικὴν ὁμιλίαν, θὰ ἠμπορέσωμεν καὶ ἡμεῖς οἱ ἴδιοι νὰ γίνωμεν ἀκατάβλητοι, καὶ νὰ καταστήσωμεν ἀνίσχυρα τὰ τεχνάσματα τοῦ πονηροῦ διαβόλου, καὶ νὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΑ΄

Ὅτι δεῖ πολὺν τῆς ἀρετῆς ποιεῖσθαι λόγον, καὶ μιμεῖσθαι τοὺς ἁγίους, οἳ τῆς αὐτῆς φύσεως ἡμῖν ὄντες ταύτην μετὰ ἀκριβείας κατώρθωσαν, καὶ ὅτι ῥαθυμοῦσιν ἡμῖν οὐδεμία ἔσται ἀπολογία.

1. Οἶδα ὅτι κατέτεινα ὑμῶν τὸν λογισμὸν ἐν ταῖς παρελθούσαις ἡμέραις τοῖς βαθυτέροις νοήμασι· διὰ τοῦτο βούλομαι σήμερον ἀφελεστέραν ὑμῖν παραθεῖναι διδασκαλίαν. Καθάπερ γὰρ τὸ σῶμα ὑπὸ τῆς νηστείας κατεσκληκὸς δεῖται μικρᾶς ἀνέσεως, ἵν' οὕτω πάλιν ἀκμαζούσῃ τῇ προθυμίᾳ πρὸς τοὺς τῆς νηστείας ἀγῶνας ἐπαποδύσηται· οὕτω καὶ ἡ ψυχὴ χρῄζει διαναπαύεσθαι καὶ ἀνίεσθαι. Οὔτε γὰρ ἀεὶ κατατείνειν χρή, οὔτε δὲ ἀνιέναι, ἀλλὰ ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο ποιεῖν, καὶ οὕτως ἡνιοχεῖν καὶ τῆς ψυχῆς τὴν κατάστασιν, καὶ τῆς σαρκὸς τὰ σκιρτήματα. Ὥσπερ γὰρ τὸ ἀεὶ κατατείνειν τοῖς πόνοις ἀποκναίειν ποιεῖ καὶ ἀναπίπτειν· οὕτω τὸ διηνεκῶς ἀνιέναι εἰς ῥαθυμίαν ἄγει. Τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς, καὶ ἐπὶ τοῦ σώματος συμβαῖνον ἴδοι τις ἄν. Διὰ τοῦτο πανταχοῦ ἡ συμμετρία καλόν. Καὶ τοῦτο αὐτὸ διδάσκει ἡμᾶς ὁ τῶν ὅλων Θεός, καὶ δι' αὐτῶν τῶν δημιουργημάτων, ἃ πρὸς τὴν ἡμετέραν σύστασιν παρήγαγε. Καὶ ἵνα μάθητε, ἐπὶ τῆς ἡμέρας καὶ τῆς νυκτός, τοῦ φωτὸς λέγω καὶ τοῦ σκότους, τὸν λόγον γυμνάσωμεν. Ἐπειδὴ γὰρ τὴν μὲν ἡμέραν ἀφώρισεν ἐπ' ἐργασίᾳ τῇ τῶν ἀνθρώπων φύσει, τὸ δὲ τῆς

ΟΜΙΛΙΑ ΙΑ΄

Ὅτι πρέπει νὰ ὁμιλοῦμεν συχνὰ διὰ τὴν ἀρετὴν καὶ ὅτι πρέπει νὰ μιμούμεθα τοὺς ἁγίους, οἱ ὁποῖοι ἂν καὶ εἶχαν τὴν ἰδίαν μὲ ἡμᾶς φύσιν, κατώρθωσαν μὲ ἀκρίβειαν αὐτήν, καὶ ὅτι, ἐὰν εἴμεθα ἀδιάφοροι, δὲν θὰ ὑπάρξῃ καμμία δικαιολογία εἰς ἡμᾶς.

1. Γνωρίζω ὅτι, κατὰ τὰς προηγουμένας ἡμέρας, ἐβασάνισα τὴν σκέψιν σας μὲ τὰ βαθύτερα νοήματα. Διὰ τοῦτο ἐπιθυμῶ σήμερα νὰ σᾶς παρουσιάσω ἁπλουστέραν διδασκαλίαν. Διότι ὅπως ἀκριβῶς τὸ σῶμα, ὅταν ἀπὸ τὴν νηστείαν ἔχῃ ἀδυνατίσει, χρειάζεται μικρὰν ἀνάπαυσιν, διὰ νὰ ἀποδυθῇ ἔτσι μὲ ἔντονον προθυμίαν πάλιν εἰς τοὺς ἀγῶνας τῆς νηστείας, ἔτσι καὶ ἡ ψυχὴ ἔχει ἀνάγκην νὰ ἀναπαύεται καὶ νὰ χαλαρώνῃ. Οὔτε βέβαια πρέπει πάντοτε νὰ εὑρίσκεται εἰς ἔντασιν, οὔτε ὅμως εἰς χαλάρωσιν, ἀλλὰ ἄλλοτε μὲν τὰ κάμῃ τὸ πρῶτον, ἄλλοτε δὲ τὸ δεύτερον, καὶ ἔτσι νὰ διευθύνῃ καὶ τὴν ψυχικὴν κατάστασιν καὶ τὰς σαρκικὰς ὁρμάς. Διότι ὅπως ἡ συνεχὴς ἔντασις εἰς τοὺς κόπους φέρει τὴν ἐξάντλησιν καὶ τὴν κατάπτωσιν, ἔται καὶ ἡ διαρκὴς χαλάρωσις ὁδηγεῖ εἰς τὴ ἀδιαφορίαν. Αὐτὸ θὰ ἠμπορέσῃ νὰ τὸ ἰδῇ κανεὶς νὰ συμβαίνῃ καὶ εἰς τὴν ψυχὴν καὶ εἰς τὸ σῶμα. Δι᾽ αὐτὸ παντοῦ τὸ μέτρον εἶναι καλόν. Καὶ αὐτὸ ἀκριβῶς μᾶς διδάσκει ὁ Θεὸς τῶν ὅλων καὶ μὲ αὐτὰ τὰ δημιουργήματά του, τὰ ὁποῖα ἐδημιούργησε σύμφωνα πρὸς τὴν ἰδικήν μας ὑπόστασιν. Καὶ διὰ νὰ μάθετε, ἂς ἐφαρμόσωμεν τὸν λόγον εἰς τὴν ἡμέραν καὶ τὴν νύκτα, εἰς τὸ φῶς ἐννοῶ καὶ τὸ σκοτάδι. Ἀφοῦ λοιπὸν ὥρισε τὴν μὲν ἡμέραν δι᾽ ἐργασίαν εἰς τὸ ἀνθρώ-

νυκτὸς σκότος εἰς ἄνεσιν καὶ ἀνακωχὴν τῶν πόνων, μέτρα καὶ ὅρους ἑκατέροις ἔπηξεν, ὥστε καὶ ἅπαντας ἡμᾶς τῆς ἐκεῖθεν εὐεργεσίας ἀπολαύειν. Ὅτι γὰρ τὸ φῶς τῆς ἡμερινῆς ἐργασίας ἐστὶ καιρός, ἄκουε τοῦ Δαυὶδ λέγοντος, «Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ, ἕως ἑσπέρας». Καὶ καλῶς εἶπεν, «Ἕως ἑσπέρας»· καταλαβούσης γὰρ τῆς ἑσπέρας, τὸ φῶς ὑποχωρεῖ, καὶ ἐπελθὸν τὸ σκότος κατακοιμίζει τὴν ἀνθρωπίνην φύσιν, καὶ τὸ σῶμα πεπονηκὸς διαναπαύει, καὶ τὰς αἰσθήσεις ἁπάσας ἀνίησι, καὶ καθάπερ τροφὸς ἀρίστη τὰ αἰσθητήρια ἅπαντα τῇ παρ' ἑαυτῆς ἐπιμελείᾳ τῶν πόνων καὶ τῶν καμάτων ἀνιεῖσα. Ἐπειδὰν δὲ πληρωθῇ τῆς νυκτὸς τὸ μέτρον, ἐπιστάσης τῆς τοῦ φωτὸς παρουσίας καὶ διεγειράσης, παρασκευάζει ἀκμαζούσαις ταῖς αἰσθήσεσι προσβαλεῖν ταῖς ἡλιακαῖς ἀκτῖσι, καὶ τῶν συνήθων ἔργων ἅπτεσθαι νεαρᾷ καὶ ζεούσῃ τῇ προθυμίᾳ. Τοῦτο καὶ ἐπὶ τῶν τροπῶν τοῦ ἐνιαυτοῦ ἐστιν ἰδεῖν γεγενημένον. Τὸν γὰρ χειμῶνα διαδέχεται ἔαρ, καὶ οὕτως ἐπιστάντος τοῦ θέρους καταλαμβάνει τὸ μετόπωρον, ἵνα τῇ ἐναλλαγῇ τῆς τῶν ἀέρων κράσεως διαναπαύηται ἡμῶν τὰ σώματα, καὶ μήτε ἐπὶ πλέον τῷ κρυμῷ πηγνύμενα διαφθείρηται, μήτε ὑπὸ τῆς τοῦ θέρους σφοδρότητος ἐπὶ πολὺ θερμαινόμενα διαλύηται· διὰ τοῦτο ἐγγυμνάζεσθαι παρασκευάζει πρὸ μὲν τοῦ χειμῶνος τῷ μετοπώρῳ, πρὸ δὲ τοῦ θέρους τῷ ἔαρι. Καὶ εἴ τις εὐγνωμόνως ἅπαντα σκοπεῖν βούλοιτο, εὑρήσει ἐν ἅπασι τοῖς δημιουργηθεῖσι τάξιν τινὰ καὶ λόγον, καὶ οὐδὲν ἁπλῶς καὶ εἰκῇ γεγενημένον. Τοῦτο καὶ ἐπὶ τῶν σπερμάτων τῶν ἐκ τῆς γῆς ἀναδιδομένων ἄν τις κατίδοι. Οὔτε γὰρ κατὰ τὸν αὐτὸν καιρὸν ἅπαντα ἐκδίδωσιν ἡ γῆ, οὔτε ὁ αὐτὸς καιρὸς ἐπιτήδειος πρὸς τὴν ἐπιμέλειαν τῶν ἐξ αὐτῆς βλαστανόντων· ἀλλ' οἶδε τὸν ἁρμόζοντα καιρὸν ὁ γη-

1. Ψαλμ. 103, 23.

πινον γένος, τὸ δὲ σκοτάδι τῆς νύκτας δι᾽ ἀνάπαυσιν καὶ προσωρινὴν διακοπὴν τῶν κόπων, καθώρισε καὶ εἰς τὰ δύο διάρκειαν καὶ ὅρια, ὥστε καὶ ἡμεῖς ὅλοι νὰ ἀπολαμβάνωμεν ἀπὸ ἐκεῖ τὴν εὐεργεσίαν. Ὅτι λοιπὸν τὸ φῶς εἶναι κατάλληλος χρόνος διὰ τὴν ἐργασίαν τῆς ἡμέρας, ἄκουσε τὸν Δαυΐδ, ὁ ὁποῖος λέγει, «Θὰ ἐξέρχεται ὁ ἄνθρωπος εἰς τὸ ἔργον του καὶ εἰς τὴν ἐργασίαν του μέχρι τὸ βράδυ»[1]. Καὶ εἶπε καλῶς, «Μέχρι τὸ βράδυ'» διότι ὅταν ἔλθῃ τὸ βράδυ, τὸ φῶς ὑποχωρεῖ, καὶ τὸ σκοτάδι, ποὺ ἔπεσε, ἀποκοιμίζει τὴν ἀνθρωπίνην φύσιν καὶ τὸ κατακουρασμένον σῶμα ἀναπαύει, καὶ ὅλας τὰς αἰσθήσεις χαλαρώνει, καὶ ὡσὰν ἀρίστη τροφὸς μὲ τὴν φροντίδα του ἀνακουφίζει ὅλα τὰ αἰσθητήρια ὄργανα ἀπὸ τοὺς κόπους καὶ τὴν κούρασιν. Ὅταν ὅμως συμπληρωθῇ τὸ χρονικὸν διάστημα τῆς νύκτας, καὶ ἀναφανῇ τὸ φῶς καὶ προχωρήσῃ ἡ ἡμέρα, κάνει τὸν ἄνθρωπον νὰ ἀντικρύσῃ μὲ ἀνανεωμένας τὰς αἰσθήσεις του τὰς ἀκτῖνας τοῦ ἡλίου καὶ νὰ ἀρχίζῃ τὰ καθημερινά του ἔργα μὲ νέαν καὶ σφοδρὰν προθυμίαν. Τὸ ἴδιον εἶναι δυνατὸν νὰ ἰδοῦμεν νὰ συμβαίνῃ καὶ εἰς τὰς ἐποχὰς τοῦ χρόνου. Διότι τὸν χειμῶνα διαδέχεται ἡ ἄνοιξις, καὶ ἔτσι ὅταν παρέλθῃ τὸ καλοκαίρι ἔρχεται τὸ φθινόπωρον, ὥστε μὲ τὴν ἐναλλαγὴν τῆς θερμοκρασίας τῶν ἀνέμων νὰ ἀναπαύωνται τὰ σώματά μας καὶ οὔτε νὰ καταστρέφωνται, ἐπειδὴ κρυώνουν ἀπὸ τὸ δριμὺ ψῦχος, οὔτε νὰ διαλύωνται, ἐπειδὴ θερμαίνονται ὑπερβολικὰ ἀπὸ τὴν ζέστην τοῦ καλοκαιριοῦ· Δι᾽ αὐτὸ μᾶς προετοιμάζει νὰ ἐξασκούμεθα πρὶν ἀπὸ τὸν χειμῶνα μὲ τὸ φθινόπωρον, καὶ πρὶν ἀπὸ τὸ καλοκαίρι μὲ τὴν ἄνοιξιν· Καὶ ἐὰν κανεὶς θὰ ἤθελε νὰ ἐξετάσῃ ὅλα μὲ σύνεσιν, θὰ συναντήσῃ εἰς ὅλα τὰ δημιουργηθέντα κάποιαν τάξιν καὶ αἰτίαν, καὶ τίποτε νὰ μὴ ἔχῃ γίνει ἄσκοπα καὶ τυχαῖα. Τοῦτο θὰ ἰδῇ κανεὶς καὶ εἰς τοὺς σπόρους, ποὺ φυτρώνουν ἀπὸ τὴν γῆν. Διότι οὔτε ἡ γῆ βλαστάνει τὰ πάντα κατὰ τὸν αὐτὸν καιρόν, οὔτε ὁ ἴδιος ὁ καιρὸς εἶναι κατάλληλος διὰ τὴν καλλιέργειαν ἐκείνων, ποὺ βλαστάνουν ἀπὸ αὐτήν. Γνωρίζει ὅμως τὸν κατάλληλον καιρὸν ὁ γεωργός, ὁ ὁποῖος ἔχει

πόνος, παρὰ τῆς τοῦ Θεοῦ δοθείσης σοφίας τοῦτο μεμαθηκώς, καὶ ἐπίσταται πότε μὲν δεῖ τὰ σπέρματα καταβαλεῖν, πότε δὲ τῶν δένδρων τὰ φυτὰ τῆς ἀμπέλου τοῖς κόλποις τῆς γῆς παρακαταθέσθαι, καὶ πότε μὲν θήγειν τὴν δρεπάνην πρὸς τὸν ἀμητόν, πότε δὲ τὸν καρπὸν τῆς ἀμπέλου δρέπεσθαι, καὶ τοὺς βότρυας ἐκτέμνειν, καὶ κατὰ ποῖον καιρὸν ἐκλέγειν τῆς ἐλαίας τὸν καρπόν. Καὶ εὑρήσεις, εἰ βούλοιο κατὰ μέρος διερευνᾶσθαι ταῦτα ἅπαντα, πολλὴν σοφίαν καὶ παρὰ τοῖς τὴν γῆν ἐργαζομένοις ἐναποκειμένην. Καὶ οὐκ ἐπὶ τῆς γῆς τοῦτό ἐστιν ἰδεῖν μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάσσης. Καὶ γὰρ ἐνταῦθα πάλιν ἑτέραν θαυμαστὴν σοφίαν ἐστὶν ἰδεῖν. Οἶδε γὰρ ὁ κυβερνήτης, πότε δεῖ καθελκύσαι τὸ πλοῖον, καὶ ἐκ τοῦ λιμένος ἐκβαλεῖν, καὶ τὰ πελάγη περαιώσασθαι. Καὶ πολλὴν μάλιστα παρὰ τούτοις ἐστὶν ἰδεῖν τὴν σύνεσιν ἣν ἡ τοῦ Θεοῦ σοφία ἐναπέθετο τῇ ἀνθρωπίνῃ φύσει. Οὐδὲ γὰρ οὕτως οἱ τὰς λεωφόρους διατρέχοντες ἴσασι μετὰ ἀκριβείας τὰς ἀτραπούς, ὡς οὗτοι οἱ ἐν τοῖς ὕδασι μετὰ ἀσφαλείας τὴν πορείαν ποιοῦνται. Διὸ καὶ ἡ Γραφὴ ἐκπληττομένη τὴν ὑπερβάλλουσαν τοῦ Θεοῦ σοφίαν ἔλεγεν, «Ὁ δοὺς ἐν θαλάσσῃ ὁδόν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον». Ποῖος ἀνθρώπινος λογισμὸς δύναται ταῦτα κατιδεῖν; Κατὰ τὸν αὐτὸν λόγον εὕροι τις καὶ ἂν καὶ ἐν τῇ μεταλήψει τῆς τροφῆς τῆς ἀνθρωπίνης ταῦτα διατεταγμένα. Καὶ γὰρ καθ' ἕκαστον καιρόν, καὶ καθ' ἑκάστην τροπὴν τοῦ ἐνιαυτοῦ, διαφόρους ἡμῖν τροφὰς ὁ Δεσπότης κεχάρισται· καὶ καθάπερ ἀρίστη τροφός, οὕτως ἡ γῆ τὰ παρ' ἑαυτῆς ἡμῖν δωροφορεῖ, τῷ ἐπιτάγματι τοῦ δημιουργοῦ ὑπηρετουμένη.

2. Ἀλλ' ἵνα μὴ ἐπὶ πλέον τοῦτον ἐκτείνω τὸν λόγον, ἔξεστιν ὑμῖν συνετοῖς οὖσι τὰ λοιπὰ ἅπαντα ἀναλέγεσθαι. «Δίδου γάρ», φησί, «σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται». Οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας τροφῆς τοῦτο μόνον ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῆς τῶν ἀλόγων. Καὶ δυνήσεσθε, εἰ βουληθείητε,

---

2. Σοφ. Σολ. 14, 3.
3. Παροιμ. 9, 9.

μάθει αὐτὸ ἀπὸ τὴν δοθεῖσαν σοφίαν τοῦ Θεοῦ, καὶ γνωρίζει καλά πότε μὲν πρέπει νὰ σπείρῃ τοὺς σπόρους, πότε δὲ νὰ βάλῃ μέσα στὸ χῶμα τὰ μοσχεύματα τῶν δένδρων καὶ τῶν κλημάτων, καὶ πότε νὰ ἀκονίσῃ τὸ δρεπάνι διὰ τὸν θερισμόν, πότε νὰ τρυγήσῃ τὸν καρπὸν τοῦ ἀμπελιοῦ, πότε νὰ στίψῃ τὰ σταφύλια καὶ κατὰ ποῖον καιρὸν νὰ συλλέγῃ τόν καρπὸν τῆς ἐλιᾶς· Καὶ θὰ εὕρῃς, ἐὰν ἤθελες νὰ ἐξετάσῃς ἰδιαιτέρως ὅλα αὐτά, ὅτι ὑπάρχει πολλὴ σοφία καὶ εἰς αὐτούς, ποὺ ἐργάζονται τὴν γῆν. Καὶ ὄχι μόνον εἰς τὴν γῆν εἶναι δυνατὸν νὰ ἰδοῦμεν αὐτό, ἀλλὰ καὶ εἰς τὴν θάλασσαν. Διότι καὶ ἐδῶ πάλιν ἠμποροῦμεν νὰ ἰδοῦμεν ἄλλην θαυμαστὴν σοφίαν. Διότι γνωρίζει ὁ κυβερνήτης, πότε πρέπει νὰ κεθλκύσῃ τὸ πλοῖον καὶ νὰ τὸ ὁδηγήσῃ ἔξω ἀπὸ τὸ λιμάνι καὶ νὰ διαπλεύσῃ τὰ πελάγη. Καὶ μάλιστα ἠμπορεῖ νὰ ἰδοῦμεν εἰς αὐτοὺς μεγάλην σύνεσιν, τὴν ὁποίαν ἡ σοφία τοῦ Θεοῦ ἔβαλε μέσα εἰς τὴν ἀνθρωπίνην φύσιν. Διότι οὔτε ἐκεῖνοι, ποὺ διατρέχουν τὰς λεωφόρους, γνωρίζουν μὲ τόσον μεγάλην ἀκρίβειαν τὰ μονοπάτια, ὅσον αὐτοὶ οἱ ὁποῖοι διαπλέουν μὲ ἀσφάλειαν τὰ ὕδατα· Δι' αὐτὸ καὶ ἡ Γραφὴ ἐκπλησσομένη ἀπὸ τὴν ὑπερβολικὴν σοφίαν τοῦ Θεοῦ, ἔλεγε· «Σὺ εἶσαι ἐκεῖνος, ὁ ὁποῖος ἤνοιξες εἰς τὴν θάλασσαν ὁδὸν καὶ εἰς τὰ ἰσχυρὰ κύματα ἀσφαλῆ πορείαν»[2]. Ποία ἀνθρωπίνη σκέψις ἠμπορεῖ νὰ κατανοήσῃ αὐτά; Κατὰ τὴν ἰδίαν λογικὴν θὰ εὕρῃ κανεὶς νὰ ἔχουν καθορισθῆ αὐτὰ καὶ εἰς τὴν λῆψιν τῆς ἀνθρωπίνης τροφῆς. Διότι εἰς κάθε περίστασιν καὶ εἰς κάθε ἐποχὴν τοῦ χρόνου, μᾶς χαρίζει ὁ Θεὸς διαφορετικὰς τροφάς, καὶ ὡσὰν ἀρίστη τροφός, ἔτσι ἡ γῆ μᾶς προσφέρει τὰ ἰδικά της δῶρα, ὑπακούουσα εἰς τὴν ἐντολὴν τοῦ δημιουργοῦ.

2. Ἀλλὰ διὰ νὰ μὴ παρατείνω ἀκόμη περισσότερον τὴν ὁμιλίαν αὐτήν, ἠμπορεῖτε σεῖς, ποὺ εἶσθε συνετοί, νὰ ὑπολογίζετε ὅλα τὰ ὑπόλοιπα· Διότι λέγει ἡ Γραφή, «Δίδε εἰς σοφὸν ἀφορμὴν καὶ θὰ γίνῃ σοφώτερος»[3]. Διότι ἠμποροῦμεν νὰ ἰδοῦμεν αὐτὸ ὄχι μόνον εἰς τὴν ἰδικήν μας τροφήν, ἀλλὰ καὶ εἰς τὴν τροφὴν τῶν ζώων. Καὶ θὰ ἠμπορέ-

καὶ ἐκ πολλῶν ἑτέρων διερευνώμενοι καταμαθεῖν τοῦ ἀριστοτέχνου Θεοῦ τὴν ἄφατον σοφίαν καὶ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, καὶ ὡς ἕκαστον τῶν γεγενημένων λόγῳ τινὶ παρήχθη. Κατὰ τὸ αὐτὸ τοίνυν καὶ ἐπὶ τοῦ καιροῦ τῆς ἁγίας τεσσαρακοστῆς εὑρήσομεν νῦν ἡμῖν διατετυπωμένον. Καθάπερ γὰρ ἐν ταῖς λεωφόροις εἰσὶ σταθμοὶ καὶ καταγώγια, ὥστε τοὺς ὁδίτας κεκμηκότας διαναπαύεσθαι, καὶ τῶν πόνων λήγοντας, οὕτω πάλιν ἅπτεσθαι τῆς ὁδοιπορίας, καὶ ἐν τῇ θαλάσσῃ δὲ ἀκταὶ καὶ αἰγιαλοὶ καὶ λιμένες εἰσίν, ὥστε κἀκεῖ τοὺς ναυτιλλομένους μετὰ τὸ πολλὰ κύματα διαδραμεῖν, καὶ πρὸς τὰς τῶν ἀνέμων ἐμβολὰς ἀντιστῆναι, μικρὸν ἀναθέντας, οὕτω πάλιν τῆς ναυτιλίας ἅπτεσθαι· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, ἐπὶ τῆς ἁγίας τεσσαρακοστῆς, τοῖς τὸν δρόμον τῆς νηστείας καταδεξαμένοις καθάπερ σταθμούς, καὶ καταγώγια, καὶ ἀκτάς, καὶ αἰγιαλούς, καὶ λιμένας, τὰς δύο ταύτας ἡμέρας τῆς ἑβδομάδος βραχύ τι διαναπαύεσθαι κεχάρισται ὁ Δεσπότης[4], ἵνα καὶ τὸ σῶμα μικρὸν ἀνέντες ἀπὸ τῶν πόνων τῆς νηστείας καὶ τὴν ψυχὴν παραμυθησάμενοι, πάλιν παρελθουσῶν τῶν δύο τούτων ἡμερῶν, τῆς αὐτῆς ὁδοῦ μετὰ προθυμίας ἅπτωνται οἱ τὴν καλὴν ταύτην καὶ ἐπωφελῆ ὁδοιπορίαν ποιούμενοι. Φέρε οὖν καὶ ἡμεῖς, ἐπειδὴ τῆς ἀνέσεώς ἐστιν ἡμέρα σήμερον, παρακαλέσωμεν ὑμῶν τὴν ἀγάπην τὰ ἀπὸ τῆς νηστείας συλλεγέντα κέρδη μετὰ ἀσφαλείας φυλάττειν, ἵνα μικρὸν διαναπαυσάμενοι, πάλιν προσθήκην ἐργάσησθε τοῖς προλαβοῦσι, καὶ οὕτω κατὰ μικρὸν μεγάλην τὴν ἐμπορίαν ἑαυτοῖς κατασκευάσαντες, οὕτως εἰς τὴν κυρίαν ἡμέραν ἀπαντήσητε, καὶ πεπληρωμένην ὑμῶν τὴν ὁλκάδα τὴν πνευματικὴν εἰς τὸν λιμένα τῆς ἁγίας ἑορτῆς εἰσαγάγητε. Ὥσπερ γὰρ τὰ παρὰ τοῦ Δεσπότου γεγενημένα ἅπαντα, καθάπερ ὁ λόγος ἀπέδειξε, καὶ ἡ τῶν πραγμάτων διδάσκει μαρτυρία, λόγῳ τινὶ δεδημιούργηται, χρείαν ἀναγκαίαν ἀποπληροῦντα· οὕτω καὶ τὰ παρ' ἡμῶν γινόμενα προσή-

4. Ἀναφέρεται εἰς τὸ Σάββατον καὶ τὴν Κυριακὴν ποὺ ἐγίνετο κατάλυσις ἐλαίου.

σετε, ἐὰν θελήσετε, ἐξετάζοντες νὰ μάθετε καὶ ἀπὸ πολλὰ ἄλλα τὴν ἀνέκφραστον σοφίαν καὶ τὴν ὑπερβολικὴν ἀγαθότητα τοῦ ἀριστοτέχνου Θεοῦ, καὶ πῶς διὰ κάποιον λόγον ἔγινε τὸ κάθε δημιούργημα. Καὶ τὸ ἴδιον λοιπὸν θὰ εὑροῦμεν νὰ ἔχῃ ρυθμισθῆ τώρα καὶ εἰς τὸν καιρὸν τῆς Μεγάλης Τεσσαρακοστῆς. Διότι ὅπως ἀκριβῶς εἰς τὰς λεωφόρους ὑπάρχουν σταθμοὶ καὶ καταλύματα, διὰ νὰ ἀναπαύωνται οἱ κουρασμένοι ὁδοιπόροι, καὶ ὅταν ἀναπαυθοῦν ἀπὸ τὴν κούρασιν, ἔτσι πάλιν ἀρχίζουν τὴν ὁδοιπορίαν· καὶ εἰς τὴν θάλασσαν πάλιν ὑπάρχουν ἀκταὶ καὶ παραλίαι καὶ λιμάνια, ὥστε ἀφοῦ σταθμεύσουν δι' ὀλίγον ἐκεῖ οἱ ναυτικοί, ὅταν διασχίσουν τὰ μεγάλα κύματα καὶ ἀντισταθοῦν εἰς τοὺς ὁρμητικοὺς ἀνέμους, νὰ συνεχίζουν πάλιν τὸ ταξίδι των· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ τώρα, δηλαδὴ εἰς τὸν καιρὸν τῆς Μεγάλης Τεσσαρακοστῆς, εἰς ἐκείνους ποὺ ἀπεδέχθησαν τὸν δρόμον τῆς νηστείας, ὡσὰν σταθμοὺς καὶ καταλύματα καὶ ἀκτὰς καὶ παραλίας καὶ λιμάνια, τὰς δύο αὐτὰς ἡμέρας τῆς ἑβδομάδος[4] ἔχει χαρίσει ὁ Κύριος διὰ νὰ ἀναπαύωνται ἐπ' ὀλίγον, ὥστε, ἀφοῦ χαλαρώσουν ὀλίγον τὸ σῶμα των ἀπὸ τὴν νηστείαν καὶ παραινέσουν τὴν ψυχήν των, νὰ συνεχίζουν πάλιν, ὅταν παρέλθουν αἱ δύο ἡμέραι αὐταί, τὸν ἴδιον δρόμον μὲ προθυμίαν ἐκεῖνοι, οἱ ὁποῖοι βαδίζουν τὴν καλὴν αὐτὴν καὶ ὠφέλιμον ὁδοιπορίαν. Ἐμπρὸς λοιπὸν καὶ ἡμεῖς, ἀφοῦ σήμερα εἶναι ἡ ἡμέρα τῆς ἀναπαύσεως, ἂς παρακαλέσωμεν τὴν ἀγάπην σας, νὰ φυλάσσετε μὲ ἀσφάλειαν τὰ συναθροισθέντα ὀφέλη ἀπὸ τὴν νηστείαν, ὥστε, ἀφοῦ ἀναπαυθῆτε δι' ὀλίγον, νὰ ἐπαυξήσετε τὰ ὀφέλη αὐτὰ καί, ἀφοῦ σιγὰ σιγὰ ἀποκτήσετε μεγάλον πλοῦτον πνευματικῶν ἀγαθῶν, νὰ εἰσέλθετε ἔτσι εἰς τὴν ἡμέραν τοῦ Κυρίου καὶ νὰ ὁδηγήσετε γεμᾶτον τὸ πνευματικόν σας πλοῖον εἰς τὸ λιμάνι τῆς ἁγίας ἑορτῆς. Διότι ὅπως ὅλα, ὅσα ἐδημιούργησεν ὁ Θεός, καθὼς ἀπέδειξεν ἡ ὁμιλία καὶ διδάσκει ἡ πεῖρα τῶν πραγμάτων, ἐδημιουργήθησαν διὰ κάποιον σκοπόν, ἱκανοποιοῦντα ἀπαραιτήτους ἀνάγκας, ἔτσι καὶ τὰ ἰδικά μας ἔργα δὲν πρέπει νὰ γίνωνται οὔτε ἀσκόπως,

κει μὴ ἁπλῶς, μηδὲ μάτην γίνεσθαι, ἀλλ' ἐπ' ὠφελείᾳ καὶ κέρδει τῆς σωτηρίας τῆς ἡμετέρας. Εἰ γὰρ οἱ τὰ βιωτικὰ μετιόντες πράγματα οὐκ ἄν ποτε ἀνάσχοιντο ἐπιτηδεύματος ἅψασθαι, μὴ πρότερον τὸ ἐκεῖθεν κέρδος περισκοπήσαντες· πολλῷ μᾶλλον ἡμᾶς δίκαιον τοῦτο ποιεῖν, καὶ μὴ ἁπλῶς τὰς ἑβδομάδας τῶν νηστειῶν παρατρέχειν, ἀλλὰ διερευνᾶσθαι τὴν ἑαυτῶν συνείδησιν, καὶ τὸν λογισμὸν βασανίζειν, καὶ σκοπεῖν τί μὲν ἐν ταύτῃ τῇ ἑβδομάδι ἡμῖν κατώρθωται, τί δὲ ἐν τῇ ἑτέρᾳ, καὶ τίνα προσθήκην ἐδεξάμεθα εἰς τὴν ἐπιοῦσαν, καὶ ποῖον τῶν ἐν ἡμῖν παθῶν διωρθώσαμεν. Εἰ γὰρ μὴ μέλλοιμεν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν, καὶ τοσαύτην ποιεῖσθαι ἐπιμέλειαν τῆς ἑαυτῶν ψυχῆς, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῆς νηστείας, οὐδὲ τῆς ἀσιτίας, ἣν ὑπομένομεν, μάλιστα εἰ φαινοίμεθα ἐλάττους τῶν περὶ τὴν συλλογὴν τῶν χρημάτων τοσαύτην σπουδὴν ποιουμένων· εὑρήσεις γὰρ ἕκαστον ἐκείνων πᾶσαν ἀγρυπνίαν ἐπιδεικνύμενον, ὥστε ἐφ' ἑκάστης ἡμέρας προστιθέναι τοῖς προτέροις, καὶ οὐδέποτε κόρον λαμβάνοντα, ἀλλ' ὅσῳ ἂν αὔξηται αὐτῷ τὰ τῆς περιουσίας, τοσούτῳ μᾶλλον καὶ τὴν ἐπιθυμίαν καὶ τὴν σπουδὴν ἐκτεινομένην. Εἰ τοίνυν ἔνθα καὶ τὰ τῆς σπουδῆς ἀνόνητα, καὶ τὰ τῆς περιουσίας πολλάκις πολλὴν ἐργάζεται τῇ τῆς ψυχῆς σωτηρίᾳ τὴν λύμην, τοσαύτην ἐπιδείκνυται τὴν ἀγρυπνίαν, πῶς τοῦτο μᾶλλον οὐχὶ ποιεῖν χρή, ἔνθα πολλὴ ἀπὸ τῆς σπουδῆς ἡ ὠφέλεια, καὶ ἄφατος ὁ μισθός, καὶ τὸ κέρδος ἄπειρον; Ἐκεῖ μὲν γὰρ καὶ μετὰ τούτων ἁπάντων πολὺ ἡ ἀδηλία· ἀβέβαιος γὰρ τῶν χρημάτων ἡ κτῆσις· οὐκ ἐπειδὴ μόνον, τῆς τελευτῆς ἐπιστάσης, ἐνταῦθα μένοντα, οὐδεμίαν ὄνησιν παρέχει τῷ ταῦτα συνάγοντι, ἀλλ' ὅτι καὶ τῶν χρημάτων ὧδε μενόντων τὰς ὑπὲρ τούτων εὐθύνας μετὰ πολλῆς τῆς σφοδρότητος ἀπαιτεῖσθαι ἀναγκάζεται. Ἔστι καὶ ὅτε πολλάκις καὶ πρὸ τῆς τελευτῆς μετὰ τοὺς πολλοὺς πόνους, καὶ τοὺς ἱδρῶτας, καὶ τὰς ταλαιπωρίας, καθάπερ καταιγίδος τινὸς προσπεσούσης τῆς τῶν πραγμάτων περιστάσεως, ἀθρόον

οὔτε ματαίως, ἀλλὰ πρὸς ὄφελος καὶ κέρδος τῆς ἰδικῆς μας σωτηρίας. Διότι ἐὰν οἱ μετερχόμενοι τὰς βιωτικὰς ἀσχολίας δὲν θὰ ἐδέχοντο ποτὲ νὰ ἀρχίσουν κάποιο ἔργον, χωρὶς νὰ ἐξετάσουν προηγουμένως τὸ κέρδος ποὺ θὰ προκύψῃ ἀπὸ αὐτὸ· πολὺ περισσότερον εἶναι δίκαιον νὰ κάμνωμεν ἡμεῖς αὐτό, καὶ νὰ μὴ διερχώμεθα ἁπλῶς τὰς ἑβδομάδας τῶν νηστειῶν, ἀλλὰ νὰ ἐξετάζωμεν καλὰ τὴν συνείδησίν μας καὶ νὰ βασανίζωμεν τὴν σκέψιν μας καὶ νὰ ἐρωτῶμεν τί μὲν ἔχομεν κατορθώσει αὐτὴν τὴν ἑβδομάδα, τί δὲ τὴν ἄλλην καὶ τί προσετέθη κατὰ τὴν ἐπομένην καὶ ποῖον ἀπὸ τὰ πάθη μας διωρθώσαμεν. Ἐὰν λοιπὸν δὲν ἔχωμεν σκοπὸν νὰ ρυθμίζωμεν ἔτσι τὰς ὑποθέσεις μας καὶ νὰ φροντίζωμεν τόσον πολὺ τὴν ἰδικήν μας ψυχήν, δὲν θὰ ἔχωμεν κανένα κέρδος ἀπὸ τὴν νηστείαν, οὔτε ἀπὸ τὴν ἀσιτίαν, τὴν ὁποίαν ὑπομένομεν, μάλιστα ἐὰν φαινώμεθα κατώτεροι ἀπὸ ἐκείνους, οἱ ὁποῖοι φροντίζουν ὑπερβολικὰ διὰ τὴν συγκέντρωσιν τῶν χρημάτων. Διότι θὰ συναντήσῃς τὸν καθένα ἀπὸ ἐκείνους νὰ ἀγρυπνῇ πολύ, διὰ νὰ προσθέτῃ καθημερινῶς εἰς τὰ προηγούμενα, καὶ ποτὲ νὰ μὴ χορταίνῃ, ἀλλὰ ὅσον θὰ αὐξάνεται ἡ ἐπιθυμία καὶ ἡ προσπάθειά των. Ἐὰν λοιπὸν ἐκεῖ, ὅπου καὶ ἡ προσπάθεια εἶναι ἀνώφελος καὶ ἡ περιουσία πολλὰς φορὰς προκαλεῖ μεγάλην βλάβην εἰς τὴν σωτηρίαν τῆς ψυχῆς, ἐπιδεικνύει ἐκεῖνος τόσον μεγάλην δραστηριότητα, πῶς δὲν πρέπει νὰ κάμωμεν περισσότερον αὐτὸ ἐκεῖ, ὅπου ἀπὸ τὴν προσπάθειαν ὑπάρχει μεγάλη ὠφέλεια, πολὺς μισθὸς καὶ ἄπειρον κέρδος; Διότι ἐκεῖ μὲν μαζὶ μὲ ὅλα αὐτὰ ὑπάρχει καὶ μεγάλη ἀβεβαιότης, καθόσον ἡ ἀπόκτησις τῶν χρημάτων εἶναι ἀβεβαία, ὄχι μόνον διότι, ὅταν ἔλθῃ ὁ θάνατος, παραμένουν ἐδῶ καὶ δὲν προσφέρουν καμμίαν ὠφέλειαν εἰς ἐκεῖνον ποὺ τὰ ἐσυγκέντρωσε, ἀλλὰ διότι καὶ ὅταν τὰ χρήματα παραμένουν ἐδῶ, ἀναγκάζεται νὰ ἀναλαμβάνῃ μεγάλας εὐθύνας δι' αὐτά. Συμβαίνει δὲ καὶ πρὶν ἀπὸ τὸν θάνατον πολλὰς φοράς, ὕστερα ἀπὸ πολλοὺς κόπους καὶ ἱδρῶτας καὶ ταλαιπωρίας, ὅταν ὡσὰν κάποια καταιγίδα τὸν παρασύρῃ ἡ κατάστασις τῶν πραγμάτων,

ὁ πολλὴν τὴν περιουσίαν τοῦ πλούτου κεκτημένος, τῶν σφόδρα πενήτων γέγονε πενέστερος. Καὶ ταῦτα καθ᾽ ἑκάστην ἡμέραν ἐστὶν ἰδεῖν συμβαίνοντα. Ἐπὶ μέντοι τῆς πνευματικῆς ἐμπορίας οὐδέν ἐστι τοιοῦτον δεῖσαί ποτε· αὕτη γὰρ βεβαία μένει καὶ ἀκίνητος, καὶ ἔνθα μάλιστα χρήζομεν αὐτῆς, ἐκεῖ πολλὴν ἡμῖν παρέχει τὴν ἐξ αὐτῆς παραμυθίαν.

3. Ὡς οὖν καιρὸν ἔχομεν, παρακαλῶ, κἂν γοῦν τὴν αὐτὴν ἐκείνοις εἰσενέγκωμεν σπουδὴν περὶ τὴν πνευματικὴν ταύτην ἐμπορίαν, καὶ μηδέποτε παυσώμεθα τοῦτο μεριμνῶντες, εἴ τι κατώρθωται ἡμῖν, καὶ εἴ τινα τῶν ἐνοχλούντων ἡμῖν παθῶν διὰ τῆς πολλῆς ἀγρυπνίας εἰς φυγὴν ἐτρέψαμεν, ἵν᾽ ἔχοντες τὴν ἀπὸ τοῦ συνειδότος πληροφορίαν, πολλὴν καρπωσώμεθα τὴν ἡδονήν. Οὐδὲ γὰρ τοῦτο μόνον τὸ ζητούμενον, ἵνα καθ᾽ ἑκάστην ἡμέραν ἐνταῦθα παραγινώμεθα, καὶ περὶ τῶν αὐτῶν συνεχῶς ἀκούωμεν, καὶ τὴν τεσσαρακοστὴν πᾶσαν νηστεύοντες ὦμεν. Εἰ γὰρ μὴ μέλλοιμέν τι κερδαίνειν ἐκ τῆς ἐνταῦθα συνεχοῦς ἐλεύσεώς τε καὶ παραινέσεως, καὶ ἀπὸ τοῦ τῆς νηστείας καιροῦ προσφέρειν τι τῶν χρησίμων εἰς τὴν ἑαυτῶν ψυχήν, ταῦτα οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελήσει, ἀλλὰ καὶ μείζονος ἡμῖν κατακρίσεως ἀφορμὴ γενήσεται, ὅταν τοσαύτης ἐπιμελείας ἀπολαύοντες, οἱ αὐτοὶ διαμένωμεν, καὶ μήτε ὁ ὀργίλος ἐπιεικὴς γένηται, μήτε ὁ θυμώδης εἰς πραότητα μεταβάλλοιτο, μήτε ὁ βάσκανος εἰς φιλοφροσύνην ἑαυτὸν ἐναγάγῃ, μήτε ὁ περὶ τὰ χρήματα μεμηνώς, ἀποστὰς τοῦ πάθους πρὸς ἐλεημοσύνην ἑαυτὸν παρασκευάσῃ καὶ τὴν τῶν πενήτων διατροφήν, μήτε ὁ ἀκόλαστος σώφρων γένοιτο, μήτε ὁ περὶ τὴν κενὴν ταύτην δόξαν ἐπτοημένος μάθῃ ταύτης ὑπερορᾶν, καὶ τῆς ἀληθοῦς ἐφίεσθαι δόξης, μήτε ὁ περὶ τὴν ἀγάπην τὴν περὶ τὸν πλησίον ῥᾴθυμος, διαναστήσας αὐτὸν παιδεύσῃ, μὴ μόνον τῶν τελωνῶν μὴ εἶναι ἐλάττων («Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς», φησί, «τί περισσὸν ποιεῖτε; Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦ-

ἐκεῖνος ποὺ ἔχει ἀποκτήσει μεγάλην περιουσίαν, νὰ γίνῃ διὰ μιᾶς πτωχότερος καὶ ἀπὸ τοὺς πλέον πτωχούς. Καὶ αὐτὰ εἶναι δυνατὸν νὰ ἰδοῦμεν καθημερινὰ νὰ συμβαίνουν. Εἰς τὴν πνευματικὴν ὅμως περιουσίαν δὲν θὰ φοβηθοῦμεν ποτὲ κάτι τέτοιο, διότι αὐτὴ παραμένει ἀμετάβλητος καὶ σταθερά, καὶ ὅπου μάλιστα χρειαζόμεθα αὐτήν, ἐκεῖ μᾶς παρέχει τὴν μεγάλην της παρηγορίαν.

3. Ὅσον, λοιπόν, ἔχομεν καιρόν, σᾶς παρακαλῶ, καὶ τὴν ἰδίαν μὲ ἐκείνους προσπάθειαν ἂς καταβάλωμεν διὰ τὸν πνευματικὸν αὐτὸν πλοῦτον, καὶ ἂς μὴ σταματήσωμεν ποτὲ νὰ ἐξετάζωμεν αὐτό, μήπως ἔχωμεν κατορθώσει κάτι, καὶ μήπως μὲ τὴν μεγάλην προσπάθειαν ἀπεμακρύναμεν μερικὰ ἀπὸ τὰ πάθη, ποὺ μᾶς ἐνοχλοῦν, διὰ νὰ ἀπολαύσωμεν μεγάλην εὐχαρίστησιν, ἔχοντες τὴν πληροφορίαν τῆς συνειδήσεως. Οὔτε βέβαια μᾶς ζητεῖται αὐτὸ μόνον, διὰ νὰ ἐρχώμεθα δηλαδὴ καθημερινὰ ἐδῶ καὶ νὰ ἀκούωμεν συνέχεια τὰ ἴδια πράγματα καὶ νὰ νηστεύωμεν ὅλην τὴν Τεσσαρακοστήν. Διότι, ἐὰν δὲν πρόκειται νὰ κερδίζωμεν κάτι καὶ ἀπὸ τὴν ἐδῶ συνεχῆ προσέλευσίν μας καὶ ἀπὸ τὴν διδασκαλίαν, καὶ δὲν προσφέρωμεν κάτι χρήσιμον εἰς τὴν ἰδικήν μας ψυχὴν ἀπὸ τὸν καιρὸν τῆς νηστείας, αὐτὰ ὄχι μόνον δὲν θὰ μᾶς ὠφελήσουν καθόλου, ἀλλὰ θὰ μᾶς γίνουν αἰτία μεγαλυτέρας καταδίκης, ἀφοῦ παραμένωμεν οἱ ἴδιοι, ἐνῷ ἀπολαμβάνωμεν τόσην φροντίδα, καὶ οὔτε ὁ ὀργίλος γίνεται ἤπιος, οὔτε ὁ θυμώδης μεταβάλλεται εἰς πρᾶον, οὔτε ὁ βάσκανος θὰ κάμῃ τὸν ἑαυτόν του προσεκτικόν, οὔτε ἐκεῖνος ποὺ ἐπιθυμεῖ πολὺ τὰ χρήματα, ἀφοῦ ἀπομακρύνῃ τὸ πάθος, θὰ προετοιμάσῃ τὸν ἑαυτόν του διὰ τὴν ἐλεημοσύνην καὶ τὴν διατροφὴν τῶν πτωχῶν, οὔτε ὁ ἀκόλαστος θὰ γίνῃ συνετός, οὔτε ἐκεῖνος, ποὺ συγκινεῖται ἀπὸ τὴν ἀνόητον αὐτὴν δόξαν, θὰ μάθῃ νὰ τὴν περιφρονῇ καὶ νὰ προτιμᾷ τὴν ἀληθινὴν δόξαν, οὔτε ὁ ἀδιάφορος διὰ τὴν ἀγάπην πρὸς τὸν πλησίον, ἀφοῦ ἀφυπνισθῇ, θὰ ἐκπαιδεύσῃ τὸν ἑαυτόν του, ὄχι μόνον νὰ μὴ εἶναι κατώτερος ἀπὸ τοὺς τελώνας («Διότι, ἐὰν ἀγαπήσετε ἐκείνους ποὺ σᾶς ἀγαποῦν, λέγει ὁ Χριστός, τί περισσότε-

σιν;»), ἀλλ' ἵνα παρασκευάζῃ αὐτοῦ τὸν λογισμόν, καὶ τοὺς ἐχθροὺς ἡμέρως ὁρᾶν, καὶ πολλὴν περὶ αὐτοὺς τὴν ἀγάπην ἐπιδείκνυσθαι. Ἐὰν μὴ τούτων περιγενοίμεθα τῶν παθῶν, καὶ τῶν ἄλλων τῶν ἐν ἡμῖν τικτομένων, καθ' ἑκάστην ἐνταῦθα παραγινόμενοι, καὶ συνεχοῦς ἀκροάσεως ἀπολαύοντες, καὶ τοσαύτης διδασκαλίας μετέχοντες, καὶ τὴν ἀπὸ τῆς νηστείας ἔχοντες βοήθειαν, ποία ἡμῖν ἔσται συγγνώμη; ποία δὲ ἀπολογία; Εἰπὲ γάρ μοι, παρακαλῶ, εἰ τὸν παῖδα τὸν σὸν θεάσῃ καθ' ἑκάστην ἀπιόντα ἡμέραν εἰς τὸ διδασκαλεῖον, καὶ τοῦ χρόνου προϊόντος μηδὲν πλέον ἐκεῖθεν κερδαίνοντα, ἆρα ἀνεκτῶς οἴσεις; οὐχὶ δὲ καὶ τῷ παιδὶ μάστιγας ἐπιθήσεις, καὶ τῷ διδασκάλῳ μέμψῃ; εἶτα εἰ μάθοις, ὅτι τὰ μὲν παρὰ τοῦ διδασκάλου πάντα γεγένηται, καὶ οὐδὲν λέλειπται, ἡ δὲ ῥαθυμία τοῦ παιδὸς αἰτία πάντων καθέστηκε, οὐχὶ πᾶσαν τὴν ἀγανάκτησιν ἐπὶ τὸν παῖδα μεταθήσεις, τῆς αἰτίας ἀφεὶς τὸν διδάσκαλον; Τὸ αὐτὸ δὴ καὶ ἐνταῦθα γίνεσθαι δίκαιον. Ἡμεῖς γάρ, καθάπερ ἐτάχθημεν παρὰ τῆς τοῦ Θεοῦ χάριτος, ὡς τέκνα πνευματικὰ καθ' ἑκάστην ἡμέραν εἰς τὸ διδασκαλεῖον τοῦτο καλοῦντες, τὴν σωτηριώδη διδασκαλίαν ὑμῖν παρατίθεμεν, οὐ τὰ ἀπὸ τῆς οἰκείας διανοίας φθεγγόμενο ἀλλὰ τὰ παρὰ τοῦ Δεσπότου διὰ τῶν θείων Γραφῶν ἡμῖν δωρηθέντα διδάγματα, ταῦτα εἰς μέσον προτιθέντες, καὶ ταῦτα συνεχῶς ἐνηχοῦντες. Εἰ τοίνυν ἡμῶν πᾶσαν σπουδὴν καὶ ἀγρυπνίαν ἐπιδεικνυμένων, καὶ ἐφ' ἑκάστης ἐπὶ τὴν ὁδὸν τῆς ἀρετῆς ὁδηγούντων, ὑμεῖς τοῖς αὐτοῖς ἐπιμένετε, ἐννοήσατε ὅση καὶ ἡμῖν ἔσται ὀδύνη, καὶ ὑμῖν ἡ κατάγνωσις, ἵνα μηδὲν πλέον εἴπω. Εἰ γὰρ καὶ ἀνευθύνους ἡμᾶς δείκνυσι τὸ μηδὲν παραλιπεῖν τῶν εἰς τὴν ὑμετέραν οἰκοδομὴν ἡκόντων, ἀλλ' ὅμως ἐπειδὴ κηδόμεθα τῆς ἡμετέρας σωτηρίας, οὐ δυνάμεθα πράως φέρειν. Ἐπεὶ καὶ ὁ διδάσκαλος ἐπειδὰν ἴδῃ τὸν μαθητὴν μηδὲν καρπούμενον παρὰ τῆς αὐ-

---

5. Ματθ. 5, 46.

ρον κάμνετε; Δὲν κάμνουν τὸ αὐτὸ καὶ οἱ τελῶναι;»[5]), ἀλλὰ διὰ νὰ προετοιμάζῃ τὴν σκέψιν του καὶ νὰ βλέπῃ τοὺς ἐχθροὺς μὲ πραότητα καὶ νὰ ἐπιδεικνύῃ μεγάλην ἀγάπην δι' αὐτούς. Ἐὰν λοιπὸν δὲν νικήσωμεν τὰ πάθη αὐτὰ καὶ τὰ ἄλλα, ποὺ γεννῶνται μέσα μας, ἐρχόμενοι καθημερινὰ ἐδῶ καὶ ἀπολαμβάνοντες τὴν συνεχῆ ἀκρόασιν καὶ ἀκούοντες τόσην διδασκαλίαν καὶ ἔχοντες τὴν βοήθειαν τῆς νηστείας, ποία συγγνώμη θὰ ὑπάρξῃ εἰς ἡμᾶς; καὶ ποία δικαιολογία; Διότι εἰπέ μου, παρακαλῶ, ἐὰν παρατηρήσῃς τὸ παιδί σου καθημερινῶς νὰ μεταβαίνῃ εἰς τὸ σχολεῖον καί, ἐνῷ ὁ καιρὸς προχωρεῖ, νὰ μὴ κερδίζῃ τίποτε πλέον ἀπὸ ἐκεῖ, ἄραγε θὰ τὸ ἀνεχθῇς αὐτό; δὲν θὰ μαστιγώσῃς δὲ καὶ τὸ παιδὶ καὶ θὰ κατηγορήσῃς τὸν διδάσκαλον; ἔπειτα ἐὰν μάθῃς, ὅτι ὁ μὲν διδάσκαλος ἔχει κάνει τὰ πάντα καὶ δὲν παρέλειψε τίποτε, ἡ ἀδιαφορία ὅμως τοῦ παιδιοῦ ἔγινεν ἡ αἰτία ὅλων, δὲν θὰ μετατοπίσῃς ὅλην τὴν ἀγανάκτησίν σου εἰς τὸ παιδί, ἀφοῦ ἀπαλλάξῃς τὸν διδάσκαλον ἀπὸ τὴν κατηγορίαν; Τὸ αὐτό, λοιπόν, εἶναι δίκαιον νὰ γίνεται καὶ ἐδῶ. Διότι ἡμεῖς, ὅπως μᾶς ὥρισεν ἡ χάρις τοῦ Θεοῦ, ὡς πνευματικὰ παιδιά μας προσκαλοῦντες καθημερινὰ εἰς τὸ σχολεῖον αὐτό, σᾶς προσφέρομεν τὴν σωτηριώδη διδασκαλίαν, ἀναφέροντες ὄχι ἰδικάς μας σκέψεις, ἀλλὰ τὰ διδάγματα τοῦ Θεοῦ, τὰ ὁποῖα μᾶς παρεχωρήθησαν μὲ τὰς ἁγίας Γραφάς, αὐτὰ προσφέροντες ἐνώπιόν σας καὶ ἐπαναλαμβάνοντες αὐτὰ συνεχῶς· Ἐὰν λοιπὸν ἐπιμένετε σεῖς εἰς τὰ ἴδια, ἐνῷ ἡμεῖς ἐπιδεικνύομεν κάθε προσπάθειαν καὶ φροντίδα καὶ σᾶς ὁδηγοῦμεν καθημερινὰ εἰς τὸν δρόμον τῆς ἀρετῆς, ἀντιληφθῆτε πόση θὰ εἶναι ἡ λύπη μας καὶ πόση ἡ καταδίκη σας, διὰ νὰ μὴ εἰπῶ τίποτε περισσότερον. Διότι ἂν καὶ μᾶς ἀποδεικνύει ἀνευθύνους τὸ ὅτι δὲν παρελείψαμεν τίποτε ἀπὸ ἐκεῖνα, ποὺ ἀναφέρονται εἰς τὴν ἰδικήν σας οἰκοδομήν, ὅμως, ἐπειδὴ φροντίζομεν διὰ τὴν σωτηρίαν σας, δὲν ἠμποροῦμεν νὰ ἡσυχάζωμεν. Διότι καὶ ὁ διδάσκαλος, ὅταν ἰδῇ τὸν μαθητὴν νὰ μὴ ὠφελῆται καθόλου ἀπὸ τὴν προσπάθειάν του,

τοῦ σπουδῆς, οὐχ ὡς ἔτυχεν ἀλγεῖ καὶ ὀδυνᾶται, ὁρῶν ἑαυτὸν μάτην πονούμενον.

4. Ταῦτα λέγω νῦν, οὐχ ἵνα λυπήσω τὴν ὑμετέραν ἀγάπην, ἀλλ' ἵνα διεγείρω καὶ παρασκευάσω, μήτε ἁπλῶς κατατείνειν τὸ σῶμα τῇ νηστείᾳ, μήτε εἰκῇ καὶ μάτην τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς παρατρέχειν. Καὶ τί λέγω τῆς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς, ὅπου γε ἡμᾶς προσήκει, μήτε μίαν ὅλως ἡμέραν παραπέμπεσθαι, εἰ οἷόν τε, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς ἐν ᾗ μὴ κέρδος πνευματικὸν ἑαυτοῖς ἐνοποιηθέμεθα, ἢ δι' εὐχῆς, ἢ δι' ἐξομολογήσεως, ἢ δι' εὐποιΐας, ἢ δι' ἑτέρας τινὸς ἐργασίας πνευματικῆς; Εἰ γὰρ Παῦλος, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ τὰ ἄρρητα ἐκεῖνα ῥήματα ἀκούσας, ἃ μέχρι τῆς σήμερον οὐδεὶς ἔγνω, ἐβόα λέγων· «Καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν· διδάσκων ἡμᾶς, ὅτι οὕτως ἑαυτὸν τοῖς κινδύνοις τοῖς ὑπὲρ τῆς εὐσεβείας ἐξεδίδου, ὡς παρ' αὐτὸν τὸν θάνατον γίνεσθαι ἐφ' ἑκάστης ἡμέρας, καὶ ὅπερ ἡ φύσις οὐκ ἐδέχετο (ἑνὶ γὰρ θανάτῳ πάντες ὑποκείμεθα), τοῦτο ἡ φιλονεικία τῆς προαιρέσεως αὐτοῦ κατώρθου, εἰ καὶ ὁ φιλάνθρωπος Θεὸς ἐπὶ πλέον αὐτὸν διετήρει διὰ τὴν τῶν λοιπῶν σωτηρίαν· εἰ τοίνυν ἐκεῖνος ὁ τοσούτοις κομῶν κατορθώμασι, καὶ καθάπερ ἄγγελος ἐπὶ γῆς φαινόμενος, καθ' ἑκάστην ἐσπούδαζε κερδαίνειν, καὶ πρὸς τοὺς ὑπὲρ τῆς ἀληθείας κινδύνους παρατάττεσθαι, καὶ τὴν ἐμπορίαν τὴν πνευματικὴν ἑαυτῷ συλλέγειν, καὶ μηδέποτε ἵστασθαι· ποίαν ἂν σχοίημεν ἡμεῖς ἀπολογίαν, οἱ μὴ μόνον πάνων ὄντες ἔρημοι τῶν κατορθωμάτων, ἀλλὰ καὶ τοσούτοις ἐλαττώμασιν ὑποκείμενοι, ὧν καὶ ἓν μόνον ἡμῖν προσὸν ἱκανὸν εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον καταγαγεῖν, καὶ μηδεμίαν ποιούμενοι σπουδήν, κἂν γοῦν ταῦτα διορθοῦν; ὅταν δὲ ὁ αὐτὸς πολλάκις εὑρίσκοιτο, μὴ μόνον ἓν ἐλάττωμα ἔχων, ἀλλὰ καὶ πλείονα, καὶ

6. Α΄ Κορ. 15, 31.

δὲν λυπεῖται καὶ θλίβεται τυχαῖα, βλέπων τὸν ἑαυτόν του νὰ κοπιάζῃ εἰς μάτην.

4. Λέγω αὐτὰ τώρα, ὄχι διὰ νὰ στενοχωρήσω τὴν ἀγάπην σας, ἀλλὰ διὰ νὰ σᾶς διεγείρω καὶ νὰ σᾶς προετοιμάσω, οὔτε νὰ βασανίζετε ἁπλῶς μὲ τὴν νηστείαν τὸ σῶμα, οὔτε νὰ διέρχεσθε ἀσκόπως καὶ ματαίως τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς. Καὶ διατί λέγω τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς, ὅπου βεβαίως δὲν πρέπει οὔτε μίαν ἡμέραν νὰ περιφρονοῦμεν ἐντελῶς, ἐὰν εἶναι δυνατόν, εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς μας, κατὰ τὴν ὁποίαν δὲν συγκεντρώνομεν πνευματικὸν κέρδος διὰ τοὺς ἑαυτούς μας, εἴτε μὲ τὴν προσευχήν, εἴτε μὲ τὴν ἐξομολόγησιν, εἴτε μὲ τὴν ἀγαθοεργίαν, εἴτε μὲ κάποιαν ἄλλην πνευματικὴν ἐργασίαν; Διότι ἐὰν ὁ τόσον μέγας καὶ θαυμαστὸς Παῦλος, ὁ ὁποῖος ἤκουσε τὰ ἀπόρρητα ἐκεῖνα λόγια, ποὺ μέχρι σήμερα κανεὶς δὲν ἐγνώρισεν, ἐφώναζε λέγων· «Πεθαίνω καθημερινά, μὰ τὴν καύχησιν, ποὺ ἔχω διὰ σᾶς»[*], διὰ νὰ μᾶς διδάσκῃ, ὅτι τόσον ἐξέθετε τὸν ἑαυτόν του εἰς τοὺς κινδύνους διὰ τὴν εὐσέβειαν, ὥστε νὰ τὸν πλησιάζῃ καθημερινὰ ὁ θάνατος, καὶ ἐκεῖνο ποὺ δὲν ἐδέχετο ἡ φύσις (διότι ὅλοι ὑποκείμεθα εἰς ἕνα θάνατον), αὐτὸ κατώρθωνεν ἡ φιλοτιμία τῆς διαθέσεώς του, ἂν καὶ ὁ φιλάνθρωπος Θεὸς διετηροῦσεν αὐτὸν περισσότερον διὰ τὴν σωτηρίαν τῶν ἄλλων· ἐὰν λοιπὸν ἐκεῖνος, ὁ ὁποῖος ὑπερηφανεύετο διὰ τόσον πολλὰ κατορθώματα καὶ ἐφαίνετο ἐπάνω εἰς τὴν γῆν ὡσὰν ἄγγελος, ἐφρόντιζε καθημερινὰ νὰ κερδίζῃ, νὰ ἀντιμετωπίζῃ τοὺς κινδύνους διὰ τὴν ἀλήθειαν, νὰ συγκεντρώνῃ διὰ τὸν ἑαυτόν του τὸν πνευματικὸν πλοῦτον καὶ ποτὲ νὰ μὴ σταματᾷ, ποίαν δικαιολογίαν θὰ ἠμπορέσωμεν νὰ ἔχωμεν ἡμεῖς, οἱ ὁποῖοι ὄχι μόνον στερούμεθα ὅλα τὰ κατορθώματα, ἀλλὰ ὑποκείμεθα εἰς τόσα ἐλαττώματα, ἀπὸ τὰ ὁποῖα καὶ ἕνα μόνον ὅταν ὑπάρχῃ εἶναι ἀρκετὸν νὰ μᾶς ὁδηγήσῃ εἰς αὐτὸ τὸ βάραθρον τῆς καταστροφῆς, καὶ δὲν φροντίζομεν καθόλου, τουλάχιστον νὰ διορθώνωμεν αὐτά; Ὅταν δὲ ὁ ἴδιος θὰ συμβῇ πολλὰς φορὰς νὰ ἔχῃ ὄχι μόνον ἕνα ἐλάττωμα,

ὀργίλος ᾖ, καὶ ἀκόλαστος, καὶ πλεονέκτης, καὶ βάσκανος, καὶ θυμώδης, καὶ μήτε ταῦτα διορθοῦν βούλοιτο, μήτε τῶν τῆς ἀρετῆς ἔργων ἐφάπτεσθαι, ποία λοιπὸν ἂν γένοιο σωτηρίας ἐλπίς; Ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, ἵνα ἕκαστος τῶν ἀκουόντων τὸ κατάλληλον ἑαυτῷ φάρμακον δεχόμενος ἐκ τῶν παρ' ἡμῶν λεγομένων, σπουδάσῃ ταχέως, καὶ τῶν ἐνοχλούντων παθῶν ἀπαλλαγεὶς πρὸς ὑγίειαν ἐπανελθεῖν, καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν ἑαυτὸν ἐπιτήδειον καταστῆσαι. Καὶ γὰρ ἐπὶ τῶν καμνόντων τὰ σώματα, κἂν μυριάκις ὁ ἰατρὸς ἐπιθῇ τὰ φάρμακα, ὁ δὲ ἄρρωστος μὴ ἀνέχηται ἐπιμένειν τὴν ἀπὸ τοῦ φαρμάκου θεραπείαν, ἀλλὰ πολλάκις δυσχεραίνων μετὰ τὸ ἐπιθεῖναι τὸν ἰατρόν, οὐκ ἀνεχόμενος τῆς ἀλγηδόνος ἀπορρίπτοι τοῦτο, καὶ μὴ κατεδέξοιτο τὴν ἐξ αὐτοῦ ὠφέλειαν, οὐδεὶς ἂν τῶν εὖ φρονούντων μέμψοιτο τῷ ἰατρῷ τῷ παρ' ἑαυτοῦ πάντα εἰσαγαγόντι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα ἡμεῖς μὲν τὸ φάρμακον τὸ ἀπὸ τῆς διδασκαλίας τῆς πνευματικῆς κατασκευάσαντες ἐπιτίθεμεν· ὑμέτερον δὲ ἂν εἴη λοιπὸν καὶ ἀνέχεσθαι τῶν ἀλγηδόνων, καὶ τῆς θεραπείας ἀπόνασθαι, καὶ ἀπαλλαγέντες τῆς νόσου πρὸς τὴν ἀληθῆ ὑγίειαν ἐπανελθεῖν. Οὕτω γὰρ καὶ αὐτοὶ πολλὴν τῆς ὠφελείας τὴν αἴσθησιν λήψεσθε, καὶ ἡμεῖς οὐ μικρὰν ἕξομεν τὴν παραμυθίαν, ὁρῶντες τοὺς πρότερον κάμνοντας, οὕτω ταχέως πρὸς ὑγίειαν ἐπανελθόντας. Ἕκαστος τοίνυν ὑμῶν, παρακαλῶ, εἰ καὶ μὴ πρότερον, κἂν γοῦν ἐκ τοῦ παρόντος σπουδαζέτω, ὅπερ οἶδεν ἐνοχλοῦν αὐτῷ ἐλάττωμα τῶν ἄλλων πλέον παθῶν, τοῦτο ἐκτέμνειν τῆς ψυχῆς, καὶ τῷ εὐσεβεῖ λογισμῷ, καθάπερ μαχαίρᾳ τινὶ πνευματικῇ χρώμενος, οὕτως ἑαυτὸν τοῦ πάθους ἀπαλλαττέτω. Δέδωκε γὰρ ἡμῖν ὁ Θεὸς λογισμὸν ἀρκοῦντα, καὶ δυνάμενον, εἰ βουληθείημεν μικρὸν διαβλέψαι, ἑκάστου τῶν ἐν ἡμῖν τικτομένων παθῶν

ἀλλὰ καὶ περισσότερα, καὶ εἶναι ὀργίλος καὶ ἀκόλαστος καὶ πλεονέκτης καὶ βάσκανος καὶ θυμώδης, καὶ οὔτε αὐτὰ νὰ θέλῃ νὰ διορθώνῃ, οὔτε νὰ καταπιάνεται μὲ τὰ ἐνάρετα ἔργα, ποία λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἐλπὶς σωτηρίας; Αὐτὰ λέγω καὶ δὲν θὰ παύσω νὰ λέγω, διὰ νὰ φροντίσῃ γρήγορα ὁ καθένας ποὺ ἀκούει, ἀφοῦ δέχεται τὸ κατάλληλον φάρμακον διὰ τὸν ἑαυτόν του ἀπὸ τὰ λεγόμενά μας καὶ ἀφοῦ ἀπαλλαγῇ ἀπὸ τὰ πάθη ποὺ τὸν ἐνοχλοῦν, νὰ ἐπανακτήσῃ τὴν ὑγείαν του καὶ νὰ κάμῃ τὸν ἑαυτόν του ἱκανὸν διὰ τὴν διάπραξιν τῆς ἀρετῆς. Διότι καὶ εἰς τὰ σώματα τῶν ἀσθενῶν, καὶ ἂν ἀκόμη ὁ ἰατρὸς ἐπιθέσῃ ἀπείρους φορὰς τὰ φάρμακα, ὁ δὲ ἄρρωστος δὲν ἀνέχεται νὰ ὑφίσταται τὴν θεραπείαν τῶν φαρμάκων, ἀλλὰ πολλὰς φορὰς δυσανασχετῶν ἀφοῦ τὰ ἐπιθέσῃ ὁ ἰατρός, ἐπειδὴ δὲν ἀνέχεται τὸν πόνον, ἂν τὰ ἀπομακρύνῃ καὶ δὲν δεχθῇ τὴν ὠφέλειαν ἀπ' αὐτά, κανεὶς ἀπὸ τοὺς σκεπτομένους ὀρθῶς δὲν θὰ κατηγορήσῃ τὸν ἰατρόν, ὁ ὁποῖος ἐπρόσφερεν ὅλας τὰς ὑπηρεσίας του. Κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ἐδῶ, ἀφοῦ παρασκευάσωμεν ἀπὸ τὴν πνευματικὴν διδασκαλίαν τὸ φάρμακον, τὸ ἐπιθέτομεν ἡμεῖς, θὰ ἐξαρτηθῇ ὅμως ἀπὸ σᾶς εἰς τὸ ἑξῆς, καὶ τοὺς πόνους νὰ ὑποφέρετε καὶ τὴν θεραπείαν νὰ ἀνεχθῆτε καὶ ἀφοῦ ἀπαλλαγῆτε ἀπὸ τὴν ἀσθένειαν, νὰ ἐπανακτήσετε τὴν ἀληθινὴν ὑγείαν. Διότι ἔτσι καὶ σεῖς οἱ ἴδιοι θὰ αἰσθανθῆτε μεγάλην ὠφέλειαν καὶ ἡμεῖς θὰ ἔχωμεν μεγάλην παρηγορίαν, βλέποντες ἐκείνους, ποὺ προηγουμένως ἦσαν ἀσθενεῖς, νὰ ἐπανακτοῦν τόσον γρήγορα τὴν ὑγείαν των. Ὁ καθένας σας λοιπόν, παρακαλῶ, ἂν βέβαια δὲν ἐφρόντιζε προηγουμένως, τουλάχιστον ἀπὸ τώρα ἂς φροντίζῃ, ἐκεῖνο τὸ ἐλάττωμα ποὺ γνωρίζει, ὅτι τὸν ἐνοχλεῖ περισσότερον ἀπὸ τὰ ἄλλα πάθη, νὰ ἀποκόπτῃ αὐτὸ ἀπὸ τὴν ψυχήν του καὶ χρησιμοποιῶν τὴν εὐσεβῆ σκέψιν ὡσὰν πνευματικὴν μάχαιραν, νὰ ἀπαλλάσσῃ ἔτσι τὸν ἑαυτόν του ἀπὸ τὸ πάθος. Διότι μᾶς ἔχει δώσει ὁ Θεὸς ἀρκετὴν σκέψιν καὶ ἱκανήν, ἐὰν θελήσωμεν νὰ προσέξωμεν ὀλίγον, νὰ νικήσωμεν κάθε πάθος, ποὺ γεννᾶται μέσα μας. Διὰ τοῦτο

περιγίνεσθαι. Διὰ τοῦτο καὶ τῶν ἁγίων ἡμῖν ἁπάντων τοὺς βίους καὶ τὴν πολιτείαν διὰ τῶν θείων Γραφῶν ἀνάγραπτον καταλέλοιπεν ἡ τοῦ Πνεύματος χάρις, ἵνα μαθόντες, ὡς τῆς αὐτῆς ἡμῖν ὄντες φύσεως, ἅπαντα τὰ τῆς ἀρετῆς κατώρθωσαν, μὴ ῥαθυμῶμεν περὶ τὴν ταύτης ἐργασίαν.

5. Ἢ οὐχὶ τῆς αὐτῆς ἡμῖν ἦν ὁ μακάριος Παῦλος; Ἐκκαίομαι γὰρ εἰς τὸν τοῦ ἀνδρὸς πόθον, καὶ διὰ τοῦτο συνεχῶς αὐτὸν περιστρέφων οὐ παύομαι, καὶ ὥσπερ εἰς ἀρχέτυπον εἰκόνα τινά, εἰς τὴν τούτου ψυχὴν ἐνορῶν, ἐκπλήττομαι τῶν παθῶν τὴν ὑπεροψίαν, τῆς ἀνδρείας τὴν ὑπερβολήν, τοῦ φίλτρου τοῦ πρὸς τὸν Θεὸν τὸ διάπυρον, καὶ λογίζομαι, ὅτι πᾶσαν τῶν ἀρετῶν τὴν συναγωγὴν εἷς ἄνθρωπος βουληθεὶς κατώρθωσε· καὶ ἡμῶν ἕκαστος οὐδὲ τὸ τυχὸν κατορθοῦν βούλεται. Τίς οὖν ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως τῆς ἀπαραιτήτου, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ γεγονώς, καθ' ἑκάστην ἡμέραν, ὡς εἰπεῖν, ἑλκόμενος, σπαραττόμενος, καὶ δημοσίᾳ συρόμενος ὑπὸ τῶν τῷ κηρύγματι πολεμούντων, οἳ καὶ νομίσαντες αὐτὸν πολλάκις τεθνάναι, τότε λοιπόν, ὡς εἰς ἔργον ἀγαγόντες τὴν φονικὴν αὐτῶν γνώμην, οὕτω κατέλιπον; Εὑρίσκεταί τις ἡμῶν τοσοῦτον μέγεθος ἀρετῆς ἐπιδεικνύμενος, οὕτως ἀναπεπτωκότων, καὶ τοσαύτῃ ῥαθυμίᾳ ἑαυτοὺς ἐκδεδωκότων; Ἀλλ' ἵνα μὴ παρὰ τῆς ἡμετέρας γλώττης ἀκούητε τὰ παρὰ τοῦ μακαρίου τούτου κατορθώματα, καὶ τὴν ἀνδρείαν, ἣν ὑπὲρ τοῦ τῆς εὐσεβείας κηρύγματος καθ' ἑκάστην ἐπεδείκνυτο, ἀναγκαῖον αὐτοῦ ἀκοῦσαι λέγοντος. Ἡνίκα γὰρ εἰς ἀνάγκην κατέστη διὰ τὴν τῶν ψευδαποστόλων ἀπάτην τὰ ἑαυτοῦ διηγεῖσθαι· οὕτω γὰρ ἦν αὐτῷ τοῦτο βαρὺ καὶ ἐπαχθές, ὡς καὶ ἀναδύεσθαι, καὶ μηδέποτε βούλεσθαι ταῦτα εἰς μέσον ἄγειν, ἀλλὰ καὶ τολμᾶν ἑαυτὸν καλεῖν βλάσφημον, καὶ διώκτην· ἐπειδὴ δὲ πολλὴν εἶδε τὴν ἀνάγκην,

μᾶς ἔχει ἀφήσει ἡ χάρις τοῦ Πνεύματος μὲ τὰς ἁγίας Γραφάς, τοὺς βίους ὅλων τῶν ἁγίων καὶ γραπτὴν τὴν δρᾶσιν των, ὥστε, ἀφοῦ μάθωμεν, ὅτι κατώρθωσαν τὴν ἀρετὴν ἂν καὶ ἦσαν τῆς αὐτῆς μὲ ἡμᾶς φύσεως, νὰ μὴ ἀδιαφοροῦμεν διὰ τὴν διάπραξιν τῆς ἀρετῆς.

5. Μήπως δὲν ἦτο τῆς αὐτῆς μὲ ἡμᾶς φύσεως ὁ μακάριος Παῦλος; Διότι φλέγομαι ἀπὸ σφοδρὰν ἐπιθυμίαν πρὸς τὸν ἄνδρα, καὶ δι' αὐτὸ δὲν παύω νὰ ἀναφέρω συνεχῶς αὐτόν, καὶ ὡσὰν εἰς κάποιαν πρωτότυπον εἰκόνα προσβλέπων εἰς τὴν ψυχήν του, ἐκπλήσσομαι ἀπὸ τὴν περιφρόνησιν τῶν παθῶν, τὴν ὑπερβολικήν του ἀνδρείαν, τὴν θερμὴν ἀγάπην του πρὸς τὸν Θεόν, καὶ σκέπτομαι, ὅτι ἕνας ἄνθρωπος ἐπειδὴ ἠθέλησε κατώρθωσεν ὅλας τὰς ἐπὶ μέρους ἀρετὰς ἐνῷ ὁ καθένας ἀπὸ ἡμᾶς δὲν θέλει οὔτε τὴν ἐλαχίστην ἀρετὴν νὰ κατορθώνῃ. Ποῖος λοιπὸν θὰ μᾶς σώσῃ ἀπὸ τὴν βεβαίαν κόλασιν, ὅταν καὶ ἐκεῖνος ποὺ εἶχε τὴν ἰδίαν μὲ ἡμᾶς φύσιν καὶ ὑφίστατο τὰ ἴδια πάθη καὶ εὑρέθη εἰς τόσον πολλὰς δυσκόλους περιστάσεις, καθημερινῶς, οὕτως εἰπεῖν, συρόμενος, προσβαλλόμενος καὶ διασυρόμενος δημόσια ἀπὸ τοὺς ἐχθροὺς τοῦ κηρύγματος, οἱ ὁποῖοι ἀφοῦ ἐθεωροῦσαν πολλὰς φορὰς ὅτι αὐτὸς εἶχε πεθάνει, τότε λοιπὸν τὸν ἐγκατέλειπαν ἔτσι, ὡσὰν νὰ ἐπραγματοποίησαν τὴν φονικήν των διάθεσιν; Ὑπάρχει κανεὶς ἀπὸ ἡμᾶς, ὁ ὁποῖος ἐπιδεικνύει τόσον μεγάλην ἀρετήν, ἀφοῦ ἔχωμεν πέσει τόσον πολὺ καὶ παραδώσει τοὺς ἑαυτούς μας εἰς τόσον μεγάλην ἀδιαφορίαν; Ἀλλὰ διὰ νὰ μὴ ἀκούετε ἀπὸ τὴν ἰδικήν μας γλῶσσαν τοῦ μακαρίου αὐτοῦ ἀνδρὸς τὰ κατορθώματα καὶ τὴν ἀνδρείαν, τὴν ὁποίαν ἐπεδείκνυε καθημερινῶς διὰ τὸ κήρυγμα τῆς εὐσεβείας, εἶναι ἀνάγκη νὰ ἀκούσετε τὸν ἴδιον νὰ ὁμιλῇ. Διότι ὅταν εὑρέθη εἰς ἀνάγκην ἐξ αἰτίας τῆς ἀπάτης τῶν ψευδαποστόλων νὰ διηγῆται τὰ κατορθώματά του· διότι ἦτο τόσον βαρὺ καὶ ἐνοχλητικὸν αὐτὸ τὸ ἔργον εἰς αὐτόν, ὥστε θὰ ἐπροτιμοῦσε νὰ ὑποχωρῇ καὶ ποτὲ νὰ μὴ θέλῃ νὰ φανερώνῃ αὐτά, ἀλλὰ καὶ νὰ τολμᾷ νὰ ὀνομάζῃ τὸν ἑαυτόν του βλάσφημον καὶ διώκτην· ἐπειδὴ ὅμως

ὑπὲρ τοῦ ἀπορράψαι τὰ στόματα τῶν ἀπατεώνων, καὶ μικρὰν δοῦναι τὴν παραψυχὴν τοῖς μαθητευομένοις, οὕτω πως ἤρξατο μετὰ τὸ πολλὰ ἕτερα εἰπεῖν· «Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ». Σκόπει ψυχὴν φιλόθεον, οὐ μόνον τόλμαν, ἀλλὰ καὶ ἀφροσύνην τὸ πρᾶγμα καλεῖ, παιδεύων ἡμᾶς μήποτε ἁπλῶς ἄνευ ἀνάγκης, καὶ μηδενὸς καταναγκάζοντος, τὰ ὑφ' ἡμῶν γεγενημένα ἐκπομπεύειν, εἴ γέ τινες ἐξ ἡμῶν εὑρεθεῖεν ἀγαθόν τι ἐργασάμενοι. «Ἐν ᾧ δ' ἄν τις τολμᾷ», φησίν, «ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ»· τοῦτ' ἔστιν, καὶ ἀφροσύνης ἔργον ἐπιδείξασθαι. «Ἑβραῖοί εἰσι, κἀγώ· Ἰσραηλῖταί εἰσι, κἀγώ· σπέρμα Ἀβραάμ εἰσι, κἀγώ». Ἐπὶ τούτοις, φησί, μέγα φρονοῦσι· μὴ νομιζέτωσαν λείπεσθαι ἡμᾶς· καὶ γὰρ καὶ ἡμεῖς τῶν αὐτῶν μετέχομεν. Εἶτα ἐπήγαγε, «Διάκονοι Χριστοῦ εἰσι, παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ».

6. Θέα μοι ἐνταῦθα, ἀγαπητέ, τοῦ μακαρίου τούτου τῆς ψυχῆς τὴν ἀρετήν. Ἐπειδὴ γὰρ καὶ τόλμαν καὶ ἀφροσύνην ἐκάλεσε τὸ γεγενημένον ὑπ' αὐτοῦ, καίτοι εἰς τοσαύτην ἀνάγκην καταστάς, οὐδὲ οὕτως ἠρκέσθη τοῖς εἰρημένοις· ἀλλ' ὅτε ἔμελλεν ἑαυτὸν δεικνύναι πολλῷ τῷ μέτρῳ ἐκείνους ὑπερακοντίζοντα, ἵνα μή τις νομίσῃ ἀπὸ φιλαυτίας αὐτὸν ταῦτα φθέγγεσθαι, πάλιν ἀφροσύνην καλεῖ τὸ παρ' αὐτοῦ λεγόμενον, μονονουχὶ λέγων· μὴ γὰρ οὐκ οἶδα, ὅτι πρᾶγμα ποιῶ τοῖς πολλοῖς προσιστάμενον, καὶ οὐκ ἐμοὶ πρέπον; ἀλλ' ἡ πολλή με ἀνάγκη εἰς τοῦτο συνωθήσασα ἐκβιάζεται· διὸ σύγγνωτέ μοι, φησί, παραφροσύνης ῥήματα φθεγγομένου. Τούτου κἂν τὴν σκιὰν μιμησώμεθα ἡμεῖς οἱ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα, καὶ πολλάκις ἕν τι βραχὺ κατορθοῦντες, καὶ οὐδὲ τοῦτο εἰς τὰ ταμιεῖα τῆς διανοίας φυλάττειν ἀνεχόμενοι, ἀλλὰ διὰ τὸ τὴν παρὰ τῶν ἀνθρώπων θηρᾶσθαι δόξαν ἐκπομπεύοντες, καὶ εἰς μέσον προτιθέντες, καὶ

7. Β΄ Κορ. 11, 21.
8. Β΄ Κορ. 11, 22.
9. Β΄ Κορ. 11, 23.

εἶδε μεγάλην τὴν ἀνάγκην, διὰ νὰ κλείσῃ τὰ στόματα τῶν ἀπατεώνων καὶ νὰ δώσῃ μικρὰν παρηγορίαν εἰς τοὺς μαθητάς του, ἀφοῦ εἶπε πολλὰ ἄλλα ἔτσι λοιπὸν ἤρχισε νὰ λέγῃ· «Εἰς ὁ,τιδήποτε καὶ ἂν τολμᾷ κανεὶς νὰ καυχηθῇ, ὁμιλῶ μὲ ἀφροσύνην, τολμῶ καὶ ἐγώ»[7]. Πρόσεξε εὐσεβῆ ψυχήν, ὄχι μόνον τόλμην, ἀλλὰ καὶ ἀφροσύνην ὀνομάζει τὸ πρᾶγμα, διδάσκων ἡμᾶς νὰ μὴ ἐπιδεικνύωμεν ποτὲ ἁπλῶς, χωρὶς ἀνάγκην καὶ χωρὶς νὰ μᾶς ἀναγκάζῃ κανείς, τὰ ἰδικά μας ἔργα, ἐὰν βέβαια μερικοὶ ἀπὸ ἡμᾶς θὰ τύχῃ νὰ ἔχωμεν κάμει κάποιο ἀγαθὸν ἔργον. «Εἰς ὁ,τιδήποτε καὶ ἂν τολμᾷ κανεὶς νὰ καυχηθῇ, λέγει, ὁμιλῶ μὲ ἀφροσύνην, τολμῶ καὶ ἐγώ»· δηλαδή, ἐπειδὴ βλέπω μεγάλην τὴν ἀνάγκην, θέλω νὰ καυχηθῶ καὶ νὰ ἐπιδείξω ἔργον ἀφροσύνης»[8]. Καυχῶνται, λέγει, δι' αὐτά· ἂς μὴ νομίζουν, ὅτι ἡμεῖς ὑστεροῦμεν, διότι καὶ ἡμεῖς συμμετέχομεν εἰς τὰ ἴδια. Ἔπειτα ἐπρόσθεσε, «Εἶναι διάκονοι τοῦ Χριστοῦ, ὁμιλῶ ὡς παράφρων· ἐγὼ εἶμαι παραπάνω ἀπὸ αὐτούς»[9].

6. Πρόσεξε, παρακαλῶ ἐδῶ, ἀγαπητέ, τὴν ἀρετὴν τῆς ψυχῆς τοῦ μακαρίου αὐτοῦ ἀνδρός. Διότι ἀφοῦ ὠνόμασε τὴν πρᾶξιν του αὐτὴν καὶ τόλμην καὶ ἀφροσύνην, ἂν καὶ εὑρέθη εἰς τόσον μεγάλην ἀνάγκην, οὔτε ἔτσι ἠρκέσθη εἰς τὰ λεγόμενά του. Ἀλλὰ ὅταν ἐπρόκειτο νὰ ἀποδείξῃ, ὅτι αὐτὸς ὑπερτερεῖ κατὰ πολὺ ἀπὸ ἐκείνους, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ἀπὸ ἐγωισμὸν λέγει αὐτά, ὀνομάζει πάλιν αὐτό, ποὺ λέγει, ἀφροσύνην, σχεδὸν ὡς νὰ λέγῃ· μήπως λοιπὸν δὲν γνωρίζω, ὅτι κάμνω ἔργον δυσάρεστον εἰς τοὺς πολλοὺς καὶ δὲν εἶναι πρέπον εἰς ἐμέ; ὅμως ἡ μεγάλη ἀνάγκη μὲ πιέζει, ἡ ὁποία μὲ ὤθησε εἰς τὸ ἔργον αὐτό. Δι' αὐτὸ συγχωρήσατέ με, λέγει, ποὺ ὁμιλῶ λόγια παραφροσύνης· Τουλάχιστον τὴν σκιάν του ἂς μιμηθοῦμεν ἡμεῖς, οἱ ὁποῖοι φέρομεν ἐπάνω μας τόσα φορτία ἁμαρτημάτων καί, ὅταν πολλάκις κατορθώνωμεν κάτι μικρόν, δὲν ἀνεχόμεθα νὰ τὸ φυλάσσωμεν εἰς τὰ ταμεῖα τῆς διανοίας μας, ἀλλὰ προκειμένου νὰ ἐπιτύχωμεν τὴν δόξαν ἀπὸ τοὺς ἀνθρώπους τὸ ἐπιδεικνύομεν καὶ τὸ παρουσιάζομεν

διὰ τῆς ἀκαίρου ταύτης φλυαρίας τῆς παρὰ τοῦ Θεοῦ ἀμοιβῆς ἑαυτοὺς ἀποστεροῦντες. Ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτόν τι πέπονθεν. Ἀλλὰ τί; «Διάκονοι Χριστοῦ εἰσι», φησί, «παραφρονῶν λέγω, ὑπὲρ ἐγώ»· εἶτα λοιπὸν ἐντεῦθεν ἐκεῖνα εἰς μέσον ἄγει, ὧν οἱ ψευδαπόστολοι οὐδὲν ἦσαν ἐπιδεδειγμένοι. Πῶς γὰρ οἱ καὶ τῇ ἀληθείᾳ πολεμοῦντες, πρὸς τὸ ἐμποδίσαι τῷ κηρύγματι τῆς εὐσεβείας πάντα διαπραττόμενοι, καὶ τῶν ἀφελεστέρων τὰς διανοίας παρασαλεύοντες; Εἰπὼν τοίνυν, «Ὑπὲρ ἐγώ», ἀπαριθμεῖται λοιπὸν τὰ τῆς ἀνδρείας αὐτοῦ κατορθώματα, καί φησιν· «Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις». Τί λέγεις; Ξένον τι καὶ παράδοξόν ἐστι τὸ παρὰ σοῦ λεγόμενον. Ἔστι γὰρ πολλάκις θάνατον ὑπομεῖναι; Ναί, φησίν, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ γνώμῃ· διδάσκων ἡμᾶς, ὅτι τοιούτοις διηνεκῶς ἑαυτὸν κινδύνοις ἐξεδίδου διὰ τὸ κήρυγμα τοῖς θάνατον αὐτῷ τίκτουσιν, ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ἐν αὐτοῖς μέσοις τοῖς κινδύνοις τὸν ἀθλητὴν διεφύλαττεν, ὥστε τοῖς μαθητευομένοις πολλὴν γίνεσθαι παρ' αὐτοῦ τὴν ὠφέλειαν. «Ἐν θανάτοις», φησί, «πολλάκις· ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις, κινδύνοις ἐν πόλεσιν, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ». Μὴ ἁπλῶς παρατρέχωμεν, ἀγαπητοί, τὰ εἰρημένα· ἕκαστον γὰρ τούτων καθ' ἑαυτὸ μόνον πέλαγος ἡμῖν ὑποδείκνυσι πειρασμῶν. Οὐδὲ γὰρ ἁπλῶς ὁδοιπορίαν μίαν εἶπεν· ἀλλ', «Ὁδοιπορίαις», φησί, «πολλάκις»· οὐδὲ κίνδυνον ποταμῶν, ἀλλὰ πολλοὺς καὶ διαφόρους κινδύ-

10. Β΄ Κορ. 11, 23.
11. Β΄ Κορ. 11, 24 - 26.

είς ὅλους, καὶ μὲ τὴν ἄκαιρον αὐτὴν φλυαρίαν στεροῦμεν τὸν ἑαυτόν μας ἀπὸ τὴν ἀμοιβὴν τοῦ Θεοῦ· Ὅμως ὁ μακάριος αὐτὸς δὲν ἔχει πάθει κάτι τέτοιο. Ἀλλὰ τί; «Εἶναι διάκονοι τοῦ Χριστοῦ, λέγει, ὡς παράφρων ὁμιλῶ· ἐγὼ εἶμαι παραπάνω ἀπὸ αὐτούς»· εἰς τὴν συνέχειαν ὅμως παρουσιάζει ἐκεῖνα, τὰ ὁποῖα οἱ ψευδαπόστολοι δὲν εἶχαν ἐπιδείξει καθόλου. Διότι πῶς θὰ εἶχαν νὰ ἐπιδείξουν ἐκεῖνοι, οἱ ὁποῖοι πολεμοῦν καὶ τὴν ἀλήθειαν, καὶ κάμνουν τὰ πάντα διὰ νὰ ἐμποδίσουν τὸ κήρυγμα τῆς εὐσεβείας καὶ ἀμφιταλαντεύουν τὰς διανοίας τῶν ἀφελεστέρων; Ἀφοῦ εἶπε λοιπόν, «Ἐγὼ εἶμαι παραπάνω ἀπὸ αὐτοὺς διάκονος», ἀναφέρει εἰς τὴν συνέχειαν τὰ κατορθώματα τῆς ἀνδρείας του, καὶ λέγει· «Εἰς κόπους περισσότερον, εἰς πληγὰς ὑπερμέτρως, εἰς θανάτους πολλὰς φοράς»[10]. Τί λέγεις; Εἶναι παράξενον καὶ ἀπίστευτον αὐτό, πού λέγεις. Εἶναι λοιπὸν δυνατὸν νὰ ὑπομείνῃς πολλὰς φορὰς τὸν θάνατον; Ναί, λέγει, ἂν καὶ ὄχι εἰς τὴν πραγματικότητα, ἀλλὰ μὲ τὴν σκέψιν· διδάσκων ἡμᾶς, ὅτι διὰ τὸ κήρυγμα ἐξέθετε τὸν ἑαυτόν του συνεχῶς εἰς τέτοιους κινδύνους, ποὺ ἐπροκαλοῦσαν τὸν θάνατον εἰς αὐτόν, ἀλλὰ ἡ χάρις τοῦ Θεοῦ διεφύλασσε τὸν ἀθλητὴν ἀπὸ τοὺς κινδύνους αὐτούς, διὰ νὰ ὠφελοῦνται πολὺ οἱ μαθηταί του ἀπὸ αὐτόν· «Εἰς θανάτους, λέγει, πολλὰς φοράς· ἀπὸ τοὺς Ἰουδαίους πέντε φορὰς ἐμαστιγώθην μὲ σαράντα παρὰ μίαν μαστιγώσεις, τρεῖς φορὰς ἐρραβδίσθην, μίαν φορὰν ἐλιθοβολήθην, τρεῖς φορὰς ἐναυάγησα, ἕνα ἡμερονύκτιον ἔμεινα εἰς τὸ ἀνοικτὸν πέλαγος, εἰς ὁδοιπορίας πολλὰς φοράς, μὲ κινδύνους μέσα εἰς τὰ ποτάμια, μὲ κινδύνους ἀπὸ τοὺς λῃστάς, μὲ κινδύνους ἀπὸ τοὺς Ἰουδαίους, μὲ κινδύνους ἀπὸ τοὺς ἐθνικούς, μὲ κινδύνους μεταξὺ τῶν ψευδαδέλφων, μὲ κινδύνους μέσα εἰς πόλεις, μὲ κινδύνους μέσα εἰς ἐρήμους τόπους, μὲ κινδύνους μέσα εἰς τὴν θάλασσαν»[11]. Ἂς μὴ διερχώμεθα ἐπιπόλαια, ἀγαπητοί, αὐτὰ ποὺ ἐλέχθησαν, διότι τὸ καθένα ἀπὸ αὐτὰ μᾶς παρουσιάζει πλῆθος πειρασμῶν. Οὔτε βέβαια εἶπεν ἁπλῶς μίαν ὁδοιπορίαν, ἀλλὰ λέγει, «Εἰς ὁδοιπορίας πολλὰς φοράς»· οὔτε κίνδυνον εἰς τὰ

νους, καὶ πάντα μετὰ πολλῆς τῆς ὑπερβολῆς ὑπέμεινε. Καὶ μετὰ ταῦτα ἅπαντα πάλιν φησίν· «Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός».

7. Ὅρα πάλιν ἄλλο πέλαγος ἡμῖν πειρασμῶν ἀνοιγόμενον. Εἰπὼν γάρ, «Χωρὶς τῶν παρεκτός», ἠνίξατο ὅτι τὰ παραλειφθέντα πλείονα εἰκὸς εἶναι τῶν εἰρημένων. Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ πάλιν ἡμᾶς διδάσκει τὰς ἐπισυστάσεις, καὶ τὰς συστροφὰς ἃς ὑπέμεινεν, οὕτω λέγων· «Ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν». Ἰδοὺ πάλιν καὶ τοῦτο ἱκανὸν κατόρθωμα, εἰ καὶ μόνον τυγχάνει, εἰς αὐτὴν αὐτὸν ἐναγαγεῖν τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς· «Ἡ μέριμνα», φησί, «πασῶν τῶν Ἐκκλησιῶν», οὐχὶ μιᾶς, καὶ δύο, καὶ τριῶν, ἀλλὰ πασῶν τῶν κατὰ τὴν οἰκουμένην. Ὅσην γὰρ ἥλιος διατρέχει γῆν τὰς οἰκείας ἀκτῖνας ἀφιείς, τοσαύτην καὶ ὁ μακάριος οὗτος εἶχε τὴν μέριμναν καὶ τὴν φροντίδα. Εἶδες πλάτος ψυχῆς; εἶδες διανοίας μέγεθος; Καὶ τὸ ἑξῆς δὲ ἐπαγόμενον πάλιν ἅπαντα, ὡς εἰπεῖν, τὰ εἰρημένα ἀποκρύπτει· «Τίς γὰρ ἀσθενεῖ», φησί, «καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι»; Βαβαί, πόση τοῦ ἀνδρὸς τούτου ἡ φιλοστοργία· πόση ἡ ἀγρυπνία· πόση ἡ μέριμνα. Ποία μήτηρ οὕτω διακόπτεται τὰ σπλάγχνα τοῦ παιδὸς αὐτῆς πυρέττοντος, καὶ ἐπὶ τῆς κλίνης κειμένου, ὡς ὁ μακάριος οὗτος ὑπὲρ τῶν ἑκάστῳ τόπῳ ἀσθενούντων μᾶλλον ἠσθένει, καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦτο; Σκόπει γάρ μοι λέξεως ἔμφασιν. Οὐκ εἶπε, τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ λυποῦμαι; ἀλλὰ «Πυροῦμαι», φησί, τὴν ἐπίτασιν ἡμῖν τῆς ὀδύνης δηλῶν, καὶ μονονουχὶ δεικνὺς ἐμπυριζόμενον ἑαυτόν, καὶ καιόμενον ἔνδοθεν ὑπὲρ τῶν τὰ σκάνδαλα ὑπομενόντων. Οἶδα ὅτι εἰς πολὺ μῆκος ἐξέτεινα τὴν διδασκαλίαν, καὶ ταῦτα προηρημένος σήμερον

12. Β΄ Κορ. 11, 27. 28.
13. Β΄ Κορ. 11, 28.
14. Β΄ Κορ. 11, 29.

ποτάμια, ἀλλὰ πολλοὺς καὶ διαφόρους κινδύνους, καὶ ὅλα ὑπέμεινε μὲ τὸ παραπάνω. Καὶ ὕστερα ἀπὸ ὅλα αὐτὰ πάλιν λέγει· «Μὲ κόπον καὶ μόχθον, μὲ ἀγρυπνίας πολλὰς φοράς, μὲ πεῖναν καὶ μὲ δίψαν, μὲ νηστείας πολλὰς φοράς, μὲ ψῦχος καὶ γυμνότητα, χωρὶς τὰ ἄλλα ποὺ παρέλειψα»[12].

7. Πρόσεχε πάλιν ἄλλο πλῆθος πειρασμῶν, πού ἀποκαλύπτεται ἐνώπιόν μας. Διότι μὲ τὸ νὰ εἰπῇ, «Χωρὶς τὰ ἄλλα ποὺ παρέλειψα», ὑπενόησεν ὅτι αὐτὰ εἶναι περισσότερα ἀπὸ ἐκεῖνα, πού ἀνέφερε. Καὶ δὲν ἐσταμάτησεν εἰς αὐτὸ τὸ σημεῖον, ἀλλὰ πάλιν μᾶς παρουσιάζει τὰς πιέσεις καὶ τὰς ἐπιθέσεις, τὰς ὁποίας ὑπέστη, λέγων τὰ ἑξῆς· «Ἡ καθημερινὴ πίεσίς μου, ἡ φροντίδα μου δι' ὅλας τὰς Ἐκκλησίας»[13]. Ἰδοὺ πάλιν καὶ αὐτὸ εἶναι κατόρθωμα ἀρκετόν, καὶ ἂν εἶναι μοναδικόν, νὰ ἀνυψώσῃ αὐτὸν εἰς τὴν ὑψίστην κορυφὴν τῆς ἀρετῆς. «Ἡ φροντίδα, λέγει, δι' ὅλας τὰς Ἐκκλησίας», ὄχι διὰ μίαν καὶ δύο καὶ τρεῖς, ἀλλὰ δι' ὅλας τὰς εὑρισκομένας εἰς τὴν οἰκουμένην. Διότι ὅσην γῆν διατρέχει ὁ ἥλιος, ἐκπέμπων τὰς ἀκτῖνας του, τόσον μεγάλην μέριμναν καὶ φροντίδα εἶχεν ὁ μακάριος Παῦλος. Εἶδες εὐρύτητα ψυχῆς; εἶδες μέγεθος διανοίας; Καὶ τὸ ἑπόμενον δὲ ποὺ προσθέτει, πάλιν ἐπισκιάζει, κατὰ κάποιον τρόπον, ὅλα τὰ λεχθέντα. «Διότι ποῖος ἀσθενεῖ, λέγει, καὶ δὲν ἀσθενῶ ἐγὼ μαζί του; ποῖος σκανδαλίζεται καὶ δὲν δοκιμάζομαι καὶ ἐγὼ μαζί του»[14]; Πράγματι, πόση εἶναι ἡ φιλοστοργία τοῦ ἀνδρὸς αὐτοῦ, πόση ἡ ἀγρυπνία, πόση ἡ μέριμνα: Ποία μητέρα ὀδύρεται τόσον πολύ, ὅταν τὸ παιδί της ἔχει πυρετὸν καὶ εἶναι εἰς τὸ κρεββάτι, ὅσον ὁ μακάριος αὐτὸς ἠσθένει περισσότερον διὰ τοὺς εἰς κάθε τόπον ἀσθενεῖς καὶ ἐδοκιμάζετο διὰ τοὺς σκανδαλιζομένους; Πρόσεξε λοιπόν, παρακαλῶ, τὴν ἔμφασιν τῆς λέξεως. Δὲν εἶπε, ποῖος σκανδαλίζεται καὶ ἐγὼ δὲν λυποῦμαι; ἀλλὰ «Δοκιμάζομαι», λέγει, δηλώνων εἰς ἡμᾶς τὴν ἔντασιν τῆς ὀδύνης του, καὶ σχεδὸν ἀποδεικνύων τὸν ἑαυτόν του νὰ φλέγεται καὶ νὰ καίεται μέσα του δι' ἐκείνους, οἱ ὁποῖοι σκνδαλίζονται. Γνωρίζω ὅτι παρέτεινα πολύ τὴν διδασκαλίαν μου, ἂν καὶ εἶχα ἀποφασίσει νὰ τὴν συντο-

συστεῖλαι, ἵνα μικρὸν ἐκ τοῦ τῆς νηστείας πόνου ἀνεθῆναι δυνηθῆτε· ἀλλ' οὐκ οἶδ' ὅπως ἐμπεσὼν εἰς τὸν πλοῦτον τῶν κατορθωμάτων τοῦ ἁγίου τούτου, καθάπερ ὑπὸ ῥύμης ὑδάτων σφοδροτάτης, οὕτω τὴν γλῶτταν παρεσύρην. Διὸ μέχρι τούτου στήσας τὸν λόγον, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διηνεκῶς τοῦτον ἐν διανοίᾳ περιφέρειν, καὶ τοῦτο λογίζεσθαι συνεχῶς, ὅτι τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐπιτήδευμα ἔχων εὐτελὲς καὶ εὐκαταφρόνητον, καὶ δέρματα ῥάπτων, καὶ ἐπὶ ἐργαστηρίου ἑστηκώς, ἐπειδὴ ἠβουλήθη καὶ ἠθέλησε πρὸς τοὺς τῆς ἀρετῆς πόνους ἑαυτὸν ἐκδοῦναι, καὶ ἄξιον ἑαυτὸν καταστῆσαι τῆς ὑποδοχῆς τοῦ ἁγίου Πνεύματος, δαψιλεστέρας ἀπήλαυσε τῆς ἄνωθεν φιλοτιμίας. Καὶ ἡμεῖς τοίνυν, ἐὰν βουληθῶμεν τὰ παρ' ἑαυτῶν ἐπιδείξασθαι, οὐδὲν τὸ κωλύον τῶν αὐτῶν ἡμᾶς ἀπολαῦσαι. «Φιλότιμος γὰρ ὁ Δεσπότης, καὶ «Βούλεται πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν». Ἀξίους τοίνυν ἑαυτοὺς κατασκευάσωμεν, καὶ μετὰ προθυμίας ζεούσης τῆς ἀρετῆς ὀψὲ γοῦν ποτε ἐπιλαβώμεθα, καὶ τῶν ἐν ἡμῖν παθῶν τὴν διόρθωσιν ἐπιδειξάμενοι ἐπιτηδείους ἑαυτοὺς ἀπεργασώμεθα πρὸς τὴν τοῦ Πνεύματος ὑποδοχήν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

15. Ὁ Παῦλος, ὡς γνωστόν, ἦτο σκηνοποιός.
16. Α΄ Τιμ. 2, 4.

μεύσω σήμερα, διὰ νὰ ἠμπορέσετε νὰ ἀνακουφισθῆτε ὀλίγον ἀπὸ τὸν κόπον τῆς νηστείας· ἀλλὰ δὲν γνωρίζω πῶς εὑρεθεὶς εἰς τὸν πλοῦτον τῶν κατορθωμάτων τοῦ ἁγίου αὐτοῦ ἀνδρός, ὡσὰν ἀπὸ ὁρμητικώτατον ρεῦμα ὑδάτων, ἔτσι παρεσύρθην εἰς τὸν λόγον. Δι᾽ αὐτὸ ἀφοῦ σταματήσω εἰς τὸ σημεῖον αὐτὸ τὸν λόγον, παρακαλῶ τὴν ἰδικήν σας ἀγάπην νὰ ἔχῃ αὐτὸν συνεχῶς μέσα εἰς τὴν διάνοιάν σας καὶ νὰ σκέπτεσθε διαρκῶς αὐτό, ὅτι δηλαδὴ ἔχων τὴν ἰδίαν μὲ ἡμᾶς φύσιν καὶ πάσχων τὰ ἴδια πάθη καὶ ἀσκῶν ἐπάγγελμα ἀσήμαντον καὶ εὐκαταφρόνητον καὶ ράπτων δέρματα[15], καὶ ἐργαζόμενος εἰς τὸ ἐργαστήριον, ἐπειδὴ ἀπεφάσισε καὶ ἠθέλησε νὰ παραδώσῃ τὸν ἑαυτόν του εἰς τοὺς κόπους τῆς ἀρετῆς καὶ νὰ τὸν καταστήσῃ ἄξιον διὰ τὴν ὑποδοχὴν τοῦ Ἁγίου Πνεύματος, ἀπήλαυσε μὲ περισσοτέραν ἀφθονίαν τὴν γενναιοδωρίαν τοῦ Θεοῦ. Καὶ ἡμεῖς λοιπὸν ἐὰν θελήσωμεν νὰ ἐπιδείξωμεν τὰ ἰδικά μας κατορθώματα, τίποτε δὲν θὰ μᾶς ἐμποδίσῃ νὰ ἀπολαύσωμεν τὰ ἴδια. Διότι ὁ Κύριος εἶναι γενναιόδωρος καὶ «Θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθειαν»[16]. Ἂς κάμωμεν λοιπὸν ἀξίους τοὺς ἑαυτούς μας καὶ μὲ θερμὴν προθυμίαν ἂς καταγινώμεθα ἀπὸ τώρα πλέον μὲ τὴν ἀρετήν, καὶ ἀφοῦ ἐπιτύχωμεν τὴν διόρθωσιν τῶν παθῶν ποὺ εὑρίσκονται μέσα μας, ἂς καταστήσωμεν τοὺς ἑαυτούς μας καταλλήλους διὰ τὴν ὑποδοχὴν τοῦ Πνεύματος, τὴν ὁποίαν εἴθε ὅλοι μας νὰ ἀξιωθοῦμεν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΟΜΙΛΙΑ ΙΒ΄
(Γεν. 2, 4-7)

Εἰς τὰ ἀκόλουθα τῆς κτίσεως· Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

1. Φέρε δὴ σήμερον πληρώσωμεν ἡμῶν τὴν ὑπόσχεσιν, καὶ τῆς συνήθους ἁψώμεθα διδασκαλίας, καὶ τῇ ἀκολουθίᾳ τῶν πρῴην εἰρημένων συνάψωμεν καὶ τὰ μέλλοντα νῦν ῥηθήσεσθαι. Ἴστε γάρ, ὅτι καὶ ἅπαξ καὶ δεύτερον σπεύδοντας ἡμᾶς, καὶ βουλομένους τοῦτο ποιῆσαι, ἡ περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους πρόνοια τὴν γλῶτταν ἡμῖν εἰς τὴν πρὸς ἐκείνους παραίνεσιν μετήγαγε. Ποτὲ μὲν γὰρ τοὺς νενοσηκότας τῶν ἀδελφῶν, καὶ διὰ συνηθείας πρόληψιν ἀποσχίζοντας ἑαυτοὺς τοῦ συλλόγου τούτου τοῦ πνευματικοῦ, καὶ τὴν ἡδονὴν τῆς ἁγίας ἑορτῆς ἡμῖν ἀκρωτηριάζοντας, διὰ τῆς πολλῆς παρακλήσεως καὶ συμβουλῆς ἐπείθομεν, μὴ ἐπὶ πολὺ χωρίζειν ἑαυτοὺς τῆς τοῦ Χριστοῦ ποίμνης, μηδὲ ἔξω τοῦ σηκοῦ τούτου τοῦ πνευματικοῦ πλανᾶσθαι, καὶ τῷ μὲν λόγῳ καὶ τῷ ὀνόματι ἡμῖν ἡνῶσθαι, τῇ δὲ ἀληθείᾳ Ἰουδαίοις κατακολουθεῖν τοῖς ἐπὶ τῇ σκιᾷ παρακαθημένοις, καὶ τῷ λύχνῳ προσηλωμένοις, μετὰ τὴν ἔλλαμψιν τοῦ τῆς δικαιοσύνης ἡλίου· ποτὲ δὲ τῶν ἐνταῦθα συλλεγομένων τοὺς ἀμυήτους παρεκαλέσαμεν ἐπιδραμεῖν τῇ κλήσει τῇ πνευματικῇ, καὶ πάντα ὕπνον, καὶ πᾶσαν ῥαθυμίαν ἀποτιναξαμένους, πόθῳ ζέοντι, καὶ προθυμίᾳ συντεταμένῃ ἑτοίμους ἑαυτοὺς πρὸς τὴν ὑπο-

ΟΜΙΛΙΑ ΙΒ΄
(Γεν. 2, 4-7)

Εἰς τὰ ἑπόμενα τῆς δημιουργίας· «Αὐτὴ εἶναι ἡ ἱστορία τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατὰ τὴν δημιουργίαν των· κατὰ τὴν ἡμέραν ποὺ ἔκαμεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν».

1. Ἐμπρὸς λοιπὸν ἂς ἐκπληρώσωμεν σήμερα τὴν ὑπόσχεσίν μας, καὶ ἂς ἀρχίσωμεν τὴν συνηθισμένην διδασκαλίαν, καὶ εἰς τὴν συνέχειαν ἐκείνων, ποὺ ἐλέχθησαν προχθές, ἂς συνδέσωμεν καὶ αὐτά, ποὺ πρόκειται νὰ λεχθοῦν τώρα. Διότι γνωρίζετε, ὅτι ἂν καὶ ἡμεῖς ἐπειγόμεθα μίαν καὶ δύο φορὰς καὶ θέλομεν νὰ κάμομεν αὐτό, ἡ μέριμνα πρὸς τοὺς ἰδικούς μας ἀδελφοὺς μετέφερε τὴν γλῶσσαν μας εἰς τὰς παραινέσεις πρὸς ἐκείνους. Καὶ ἄλλοτε μὲν τοὺς ἀσθενεῖς ἀδελφοὺς μας, ποὺ ἀπὸ προκατάληψιν ἀποχωρίζονται ἀπὸ τὴν πνευματικὴν αὐτὴν συγκέντρωσιν καὶ περιορίζουν τὴν χαράν μας τῆς ἁγίας ἑορτῆς, τοὺς ἐπείθαμεν μὲ πολλὰς παρακλήσεις καὶ συμβουλάς, νὰ μὴ ἀποχωρίζωνται ἐπὶ πολὺ ἀπὸ τὴν ποίμνην τοῦ Χριστοῦ, οὔτε νὰ περιπλανῶνται ἔξω ἀπὸ τὸν πνευματικὸν αὐτὸν χῶρον, καὶ μὲ τὰ λόγια μὲν καὶ τὸ ὄνομα νὰ ἔχουν ἑνωθῆ μαζί μας, εἰς τὴν πραγματικότητα ὅμως νὰ ἀκολουθοῦν πιστὰ τοὺς Ἰουδαίους, οἱ ὁποῖοι κάθονται εἰς τὸ σκοτάδι καὶ εἶναι προσηλωμένοι εἰς τὸ λυχνάρι, μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου τῆς δικαιοσύνης. Ἄλλοτε δὲ παρεκαλέσαμεν τοὺς ἀμυήτους, ἀπὸ τοὺς συγκεντρωμένους ἐδῶ, νὰ τρέξουν μὲ προθυμίαν εἰς τὴν πνευματικὴν πρόσκλησιν, καὶ ἀφοῦ ἀποτινάξουν κάθε ἀδράνειαν καὶ ἀδιαφορίαν, μὲ θερμὸν πόθον καὶ ἔντονον προθυμίαν νὰ προετοιμάσουν τοὺς ἑαυτούς των διὰ τὴν ὑποδοχὴν τῆς βασιλικῆς δωρεᾶς

δοχὴν τῆς βασιλικῆς δωρεᾶς ἀπεργάσασθαι, καὶ σπεῦσαι πρὸς τὸν τὴν ἄφεσιν τῶν πεπλημμελημένων δωρούμενον, καὶ τὰ μυρία ἀγαθὰ μετὰ δαψιλείας παρέχοντα. Ἐπεὶ οὖν καὶ τῶν περὶ τὴν τοῦ πάσχα ἑορτὴν σφαλλομένων, καὶ διὰ τῆς νομιζομένης ταύτης μικρᾶς παρατηρήσεως μεγάλα ἑαυτοὺς ζημιούντων, τὴν ἡμῖν ἁρμόττουσαν πρόνοιαν ἐποιησάμεθα, κατάλληλον αὐτῶν τῷ τραύματι τὴν θεραπείαν ἐπαγαγόντες, καὶ τοῖς ἀμυήτοις τὴν προσήκουσαν νουθεσίαν προσηγάγομεν, ἀκόλουθον ἂν εἴη λοιπόν, ἐπειδὴ πρὸς τὰ κατεπείγοντα τῶν νοσημάτων ἔστημεν, καὶ τὸ αὐτῶν ἐπληρώσαμεν, κοινῇ πᾶσιν ὑμῖν σήμερον ἑστίασιν παραθεῖναι τὴν πνευματικήν. Ὥσπερ γὰρ πρὶν ἢ τῶν ἀδελφῶν τῶν ἡμετέρων τὴν ἐπιμέλειαν ποιήσασθαι, εἰ τὴν πρὸς ἐκείνους παραίνεσιν καταλιπόντες, τῆς ἀκολουθίας ἐχόμενοι, παρείδομεν κάμνοντας αὐτούς, εἰκότως ἄν τις ἡμῖν μέμψαιτο ὡς τὸν ἐπιτήδειον καιρὸν παραδραμοῦσιν· οὕτω νῦν, ἐπειδὴ μηδὲν παραλέλειπται τῶν εἰς δύναμιν ἡμετέραν, ἀλλὰ τὸν τῆς διδασκαλίας λόγον ἐποιησάμεθα, καὶ τὸ ἀργύριον κατεβάλομεν, καὶ τὰ σπέρματα τῇ γῇ ταύτῃ τῇ πνευματικῇ παρακατετέθεμεθα, ἀκόλουθόν ἐστι πάλιν τὰ παρὰ τοῦ μακαρίου Μωϋσέως ἀναγνωσθέντα εἰς μέσον προθεῖναι, ἵνα τὸ ἐξ αὐτῶν κέρδος καρπωσάμενοι, οὕτως οἴκαδε ἀναχωρήσωμεν. Τίνα οὖν ἐστιν, ἀκούσωμεν. «Αὕτη ἡ βίβλος», φησί, «γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ, πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ, πρὸ τοῦ ἀνατεῖλαι. Οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς». Σκόπει μοι πάλιν τοῦ θαυμασιοῦ τούτου προφήτου τὴν σύνεσιν, μᾶλλον δὲ τοῦ ἁγίου Πνεύματος τὴν διδασκαλίαν. Μετὰ γὰρ τὸ διηγήσασθαι ἡμῖν κατὰ μέρος τὰ τῆς δημιουργίας ἅπαντα, καὶ τὰ ἔργα

καὶ νὰ σπεύσουν πρὸς ἐκεῖνον, ποὺ χαρίζει τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ παρέχει μὲ ἀφθονίαν τὰ ἄπειρα ἀγαθά. Ἀφοῦ λοιπὸν ἐμεριμνήσαμεν, ὅπως πρέπει εἰς ἡμᾶς, καὶ δι' ἐκείνους ποὺ σφάλλουν διὰ τὴν ἑορτὴν τοῦ Πάσχα καὶ ζημιώνουν ὑπερβολικὰ τοὺς ἑαυτούς των μὲ τὸ νομιζόμενον μικρὸν αὐτὸ πρᾶγμα, χορηγήσαντες τὴν κατάλληλον θεραπείαν εἰς τὴν πληγήν των, καὶ ἐπροσφέραμεν τὴν ἁρμόζουσαν νομοθεσίαν εἰς τοὺς ἀμυήτους, θὰ ἦτο ἑπόμενον λοιπόν, ἀφοῦ ἐσταματήσαμεν εἰς τὰ κατεπείγοντα νοσήματα καὶ ἱκανοποιήσαμεν τὰς ἀνάγκας των, νὰ παραθέσωμεν ἀπὸ κοινοῦ σήμερα εἰς σᾶς τὴν πνευματικὴν συνεστίασιν. Διότι ὅπως, προτοῦ νὰ φροντίσωμεν διὰ τοὺς ἰδικούς μας ἀδελφούς, ἐὰν παρεβλέπαμεν αὐτοὺς ποὺ εἶναι ἀσθενεῖς, καὶ ἐγκαταλείψαντες τὴν διδασκαλίαν πρὸς ἐκείνους ἐσυνεχίζαμεν εἰς τὰ ἑπόμενα, θὰ ἦτο φυσικὸν νὰ μᾶς κατηγορήσῃ κανείς, ὅτι παρετρέξαμεν τὸν κατάλληλον καιρόν· ἔτσι τώρα, ἀφοῦ τίποτε δὲν ἔχῃ παραλειφθῆ ἀπὸ ἐκεῖνα, ποὺ ἠμπορούσαμεν νὰ κάμωμεν, ἀλλὰ καὶ τὴν διδασκαλίαν ἐκάμαμεν καὶ τὰ ὀφειλόμενα ἐδώσαμεν καὶ τὰ σπέρματα ἐρρίψαμεν εἰς τὸ πνευματικὸν αὐτὸ χωράφι, εἶναι ἑπόμενον πάλιν νὰ παρουσιάσωμεν ἐνώπιόν μας τὰ ἀναγνωσθέντα ἀπὸ τὸν μακάριον Μωυσῆν, ὥστε, ἀφοῦ λάβωμεν τὸ κέρδος ἀπὸ αὐτά, νὰ ἐπιστρέψωμεν ἔτσι εἰς τὰ σπίτια μας. Ποῖα λοιπὸν εἶναι αὐτά, ἂς ἀκούσωμεν. «Αὐτὴ εἶναι ἡ ἱστορία, λέγει, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατὰ τὴν δημιουργίαν των· τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἔκαμεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, δὲν ὑπῆρχαν ἀκόμη θάμνοι τοῦ ἀγροῦ εἰς τὴν γῆν καὶ δὲν εἶχαν ἀκόμη βλαστήσει τὰ φυτὰ τοῦ ἀγροῦ ἐπάνω εἰς τὴν γῆν. Διότι δὲν εἶχε βρέξει ὁ Θεὸς ἐπὶ τῆς γῆς καὶ δὲν ὑπῆρχεν ἄνθρωπος, διὰ νὰ καλλιεργῇ τὴν γῆν. Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τὴν γῆν καὶ ἐπότιζε ὅλην τὴν ἐπιφάνειαν τῆς γῆς». Πάλιν πρόσεξε, παρακαλῶ, τὴν σύνεσιν τοῦ θαυμαστοῦ αὐτοῦ προφήτου, μᾶλλον δὲ τὴν διδασκαλίαν τοῦ Ἁγίου Πνεύματος. Διότι, ἀφοῦ μᾶς διηγήθη μὲ λεπτομέρειαν ὅλην τὴν δημιουργίαν, καὶ ἐπραγματεύθη τὰ ἔργα τῶν ἕξ

τῶν ἓξ διελθεῖν ἡμερῶν καὶ τὴν τοῦ ἀνθρώπου δημιουργίαν, καὶ τὴν ἐξουσίαν τὴν παρασχεθεῖσαν αὐτῷ πάντων τῶν ὁρωμένων, νῦν πάλιν ἀνακεφαλαιούμενος τὰ πάντα, φησίν· «Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο». Ἄξιον ἐνταῦθα ζητῆσαι, τίνος ἕνεκεν βίβλον αὐτὴν καλεῖ οὐρανοῦ τε καὶ γῆς, καίτοι πολλὰ ἕτερα τῆς βίβλου περιεχούσης, καὶ διδασκούσης ἡμᾶς, καὶ περὶ ἑτέρων πλειόνων, καὶ περὶ τῆς τῶν δικαίων ἀρετῆς, καὶ περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τῆς συγκαταβάσεως, ἣν ἐπεδείξατο περί τε τὸν πρωτόπλαστον, καὶ περὶ ἅπαν τὸ τῶν ἀνθρώπων γένος, καὶ περὶ ἑτέρων δὲ πολλῶν, ἅπερ οὐκ ἂν εἴη τοῦ παρόντος καιροῦ καταλέγειν. Μὴ ξενισθῇς, ἀγαπητέ· ἔθος γὰρ τοῦτο τῇ θείᾳ Γραφῇ, μὴ πανταχοῦ κατὰ μέρος ἡμῖν ἅπαντα διηγεῖσθαι, ἀλλ' ἀπὸ τῶν συνεκτικωτάτων ἀρχομένην καταλιμπάνειν τὰ ἑξῆς σκοπεῖν τοῖς εὐγνώμοσιν ἀκοαῖς δεχομένοις τὰ λεγόμενα. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο οὕτως ἐστίν, ἐξ αὐτῶν τῶν νῦν ἀνεγνωσμένων τοῦτο δῆλον ὑμῖν καθίστημι. Ἰδοὺ γὰρ ἐν τοῖς προλαβοῦσι διδάξασα ἡμᾶς ἡ θεία Γραφὴ τὴν κατὰ μέρος ἁπάντων δημιουργίαν, νῦν οὐ πάντων μέμνηται, ἀλλά φησιν· «Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰ ἑξῆς:.

2. Ὁρᾷς πῶς πάντα τὸν λόγον εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν περιστρέφει, ἡμῖν καταλιμπάνουσα ἐκ τούτων πάντα τὰ ἄλλα συνιδεῖν. Ὅταν γὰρ εἴπῃ οὐρανὸν καὶ γῆν, πάντα ὁμοῦ συνελοῦσα εἶπε, τά τε ἐν τῇ γῇ, τά τε ἐν τῷ οὐρανῷ. Ὥσπερ οὖν ἐπὶ τῆς τῶν δημιουργημάτων διηγήσεως οὐ πάντα καθεξῆς λέγει, ἀλλὰ τῶν συνεκτικωτάτων μνημονεύουσα, οὐκέτι καθ' ἓν ἡμῖν ἅπαντα διηγεῖται· οὕτω καὶ τὴν βίβλον πᾶσαν, εἰ καὶ πολλὰ ἕτερα περιέχει, βίβλον γενέσεως οὐρανοῦ τε καὶ γῆς ὠνόμασεν, ἡμῖν καταλιμπάνουσα λοιπὸν διὰ τῆς

ἡμερῶν, καὶ τὴν δημιουργίαν τοῦ ἀνθρώπου, καὶ τὴν ἐξουσίαν, ἡ ὁποία ἐδόθη εἰς αὐτὸν ἐπάνω εἰς ὅλα τὰ ὁρατὰ δημιουργήματα, τώρα πάλιν συνοψίζων ὅλα αὐτά, λέγει· «Αὐτὴ εἶναι ἡ ἱστορία τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατὰ τὴν δημιουργίαν των». Ἀξίζει νὰ ἐρευνήσωμεν ἐδῶ, διὰ ποῖον λόγον ὀνομάζει αὐτὴν ἱστορίαν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἂν καὶ περιέχει αὐτὴ πολλὰ ἄλλα καὶ μᾶς διδάσκει καὶ διὰ περισσότερα ἄλλα, καὶ διὰ τὴν ἀρετὴν τῶν δικαίων, καὶ διὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ τὴν συγκατάβασιν, τὴν ὁποίαν ἔδειξε διὰ τὸν πρωτόπλαστον, καὶ δι᾿ ὁλόκληρον τὸ ἀνθρώπινον γένος, καὶ δι᾿ ἄλλα πολλά, τὰ ὁποῖα δὲν εἶναι δυνατὸν νὰ ἀναφέρωμεν εἰς τὴν παροῦσαν στιγμήν. Μὴ παραξενεύεσαι, ἀγαπητέ, διότι εἶναι συνήθεια τῆς Ἁγίας Γραφῆς, νὰ μὴ μᾶς διηγῆται παντοῦ ὅλα μὲ λεπτομέρειαν, ἀλλὰ ἐνῷ ἀρχίζει ἀπὸ τὰ σημαντικώτερα, ἀφήνει τὰ ὑπόλοιπα νὰ ἐξετάζωνται ἀπὸ τοὺς ἔχοντας ἀγαθὴν διάθεσιν, ποὺ ἀκούουν τὰ λεγόμενα. Καὶ διὰ νὰ μάθῃς, ὅτι αὐτὸ ἔτσι εἶναι, σᾶς τὸ καθιστῶ φανερὸν ἀπὸ αὐτά, ποὺ ἔχουν ἀναγνωσθῇ τώρα. Διότι ἰδού, ἀφοῦ μᾶς ἐδίδαξε εἰς τὰ προηγούμενα ἡ Ἁγία Γραφὴ τὴν ἰδιαιτέραν δημιουργίαν τῶν πάντων, τώρα δὲν τὰ μνημονεύει ὅλα, ἀλλὰ λέγει· «Αὐτὴ εἶναι ἡ ἱστορία τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατὰ τὴν δημιουργίαν των· τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἔκαμεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰ ἑπόμενα».

2. Βλέπεις πῶς περιστρέφει ὅλον τὸν λόγον εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀφήνουσα εἰς ἡμᾶς νὰ γνωρίσωμεν ἀπὸ αὐτὰ ὅλα τὰ ἄλλα. Διότι ὅταν λέγῃ οὐρανὸν καὶ γῆν, συνοψίζουσα ὅλα μαζὶ λέγει, καὶ ὅσα εὑρίσκονται εἰς τὴν γῆν, καὶ ὅσα εὑρίσκονται εἰς τὸν οὐρανόν. Ὅπως λοιπὸν κατὰ τὴν διήγησιν τῶν δημιουργημάτων δὲν λέγει τὰ πάντα ἰδιαιτέρως, ἀλλὰ ἀφοῦ ἀναφέρῃ τὰ σημαντικώτατα, δὲν μᾶς τὰ διηγεῖται ὅλα μὲ τὴν σειράν· ἔτσι καὶ ὅλην τὴν ἱστορίαν, ἂν καὶ περιέχει πολλὰ ἄλλα, ὠνόμασεν ἱστορίαν δημιουργίας οὐρανοῦ καὶ γῆς, ἀφήνουσα εἰς ἡμᾶς μὲ τὴν ὑπενθύμισιν αὐτῶν νὰ σκεπτώμεθα εἰς τὴν συνέχειαν

τούτων μνήμης ἀναλογίζεσθαι, ὅτι πάντα ἀνάγκη ἐν ταύτῃ τῇ βίβλῳ περιέχεσθαι τὰ ὁρώμενα, τά τε ἐν τῷ οὐρανῷ τά τε ἐν τῇ γῇ. «Ἡ ἡμέρᾳ», φησίν, «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ, πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ, πρὸ τοῦ ἀνατεῖλαι. Οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς». Πολὺς ὁ ἐγκεκρυμμένος θησαυρὸς τοῖς βραχέσι τούτοις ῥήμασι· διὸ προσήκει μετὰ πολλῆς τῆς συνέσεως, ὑπὸ τῆς τοῦ Θεοῦ χάριτος ὁδηγουμένους ἡμᾶς ἀναπτύξαι τὰ εἰρημένα, καὶ κοινωνοὺς ὑμᾶς λαβεῖν τοῦ πλούτου τούτου τοῦ πνευματικοῦ. Τὸ γὰρ Πνεῦμα τὸ ἅγιον τὰ μέλλοντα προγινῶσκον, ἵνα μηδενὶ τῶν μετὰ ταῦτα ἐξῇ φιλονεικεῖν, καὶ ἀπεναντίας τῇ θείᾳ Γραφῇ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν ἐπιφέρειν τοῖς τῆς Ἐκκλησίας δόγμασι, καὶ νῦν πάλιν, μετὰ τὸ διδάξαι τῶν δημιουργηθέντων τὴν τάξιν, καὶ τί μὲν πρῶτον παρήχθη, τί δὲ δεύτερον, καὶ ὅτι τὰ ἀπὸ τῆς γῆς σπέρματα τῷ λόγῳ καὶ τῷ προστάγματι ὑπηρετουμένη τοῦ Δεσπότου ἐξέδωκεν ἡ γῆ, καὶ πρὸς τὰς ὠδῖνας διηγέρθη, οὔτε τοῦ ἡλίου πρὸς συνέργειαν δεηθεῖσα (πῶς γὰρ τοῦ μηδέπω δημιουργηθέντος;), οὔτε τῆς τῶν ὑετῶν ἐπομβρίας, οὔτε τῆς τοῦ ἀνθρώπου ἐργασίας· οὐδὲ γὰρ οὗτος ἦν παραχθεὶς εἰς τὸ μέσον· διὰ τοῦτο πάλιν κατὰ μέρος πάντων μνημονεύει, ἵνα τῶν ἀναισχυντεῖν ἐπιχειρούντων ἐπιστομίσῃ τὴν ἀκόλαστον γλῶτταν. Τί γάρ φησιν; «Ἡ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ, πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ, πρὸ τοῦ ἀνατεῖλαι. Οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότισε πᾶν τὸ πρόσωπον τῆς γῆς». Τοῦτο βούλεται εἰπεῖν, ὅτι τῷ λόγῳ αὐτοῦ καὶ

ὅτι εἶναι ἀναγκαῖον νὰ περιέχωνται εἰς τὴν ἱστορίαν αὐτὴν ὅλα τὰ ὁρώμενα, τὰ εὑρισκόμενα δηλαδὴ καὶ εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν. «Τὴν ἡμέραν, λέγει, κατὰ τὴν ὁποίαν ἔκαμεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, δὲν ὑπῆρχαν ἀκόμη θάμνοι τοῦ ἀγροῦ εἰς τὴν γῆν, καὶ δὲν εἶχαν βλαστήσει ἀκόμη τὰ φυτὰ τοῦ ἀγροῦ ἐπάνω εἰς τὴν γῆν. Διότι ὁ Θεὸς δὲν εἶχε βρέξει ἐπὶ τῆς γῆς καὶ δὲν ὑπῆρχεν ἄνθρωπος, διὰ νὰ καλλιεργῇ τὴν γῆν. Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τὴν γῆν καὶ ἐπότιζεν ὅλην τὴν ἐπιφάνειαν αὐτῆς». Εἶναι μεγάλος ὁ θησαυρός, ποὺ εἶναι κρυμμένος εἰς τὰ σύντομα αὐτὰ λόγια, δι' αὐτὸ πρέπει μὲ πολλὴν σύνεσιν, καθοδηγούμενοι ἀπὸ τὴν χάριν τοῦ Θεοῦ, νὰ ἀναπτύξωμεν τὰ λεχθέντα καὶ νὰ σᾶς καταστήσωμεν μετόχους εἰς τὸν πνευματικὸν αὐτὸν πλοῦτον. Διότι τὸ Ἅγιον Πνεῦμα, ποὺ προγνωρίζει τὰ μέλλοντα, διὰ νὰ μὴ ἐπιτρέπῃ νὰ φιλονικοῦμεν διὰ τίποτε ἀπὸ τὰ ἑπόμενα καὶ διὰ νὰ μὴ προσθέτωμεν εἰς τὰ δόγματα τῆς Ἐκκλησίας τὰς ἰδικάς μας σκέψεις ἀντίθετα πρὸς τὴν Ἁγίαν Γραφήν, καὶ τώρα πάλιν, ἀφοῦ ἐδίδαξε τὴν τάξιν τῶν δημιουργηθέντων, καὶ τί μὲν ἐδημιουργήθη πρῶτον, τί δὲ δεύτερον, καὶ ὅτι ὑπακούουσα ἡ γῆ εἰς τὸν λόγον καὶ τὴν προσταγὴν τοῦ Δημιουργοῦ παρήγαγε τὰ φυτά, ποὺ προέρχονται ἀπὸ αὐτήν, καὶ ἐβλάστησεν αὐτά, χωρὶς νὰ χρειασθῇ τὴν βοήθειαν τοῦ ἡλίου (διότι πῶς νὰ χρειασθῇ τὴν βοήθειαν ἐκείνου, ποὺ δὲν ἐδημιουργήθη ἀκόμη;), οὔτε τὴν ὑγρασίαν τῆς βροχῆς, οὔτε τὴν ἐργασίαν τοῦ ἀνθρώπου (διότι οὔτε αὐτὸς εἶχε δημιουργηθῆ ἀκόμη), δι' αὐτὸ ἀναφέρει πάλιν ὅλα ἰδιαιτέρως, διὰ νὰ ἀποστομώσῃ τὴν ἀκόλαστον γλῶσσαν ἐκείνων, ποὺ ἐπιχειροῦν νὰ συμπεριφέρωνται ἀναίσχυντα. Τί λοιπὸν λέγει; «Τὴν ἡμέραν, κατὰ τὴν ὁποίαν ἔκαμεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, δὲν ὑπῆρχαν ἀκόμη θάμνοι τοῦ ἀγροῦ εἰς τὴν γῆν καὶ δὲν εἶχαν βλαστήσει τὰ φυτὰ τοῦ ἀγροῦ. Διότι ὁ Θεὸς δὲν ἔβρεξεν ἐπάνω εἰς τὴν γῆν καὶ δὲν ὑπῆρχεν ἄνθρωπος, διὰ νὰ καλλιεργῇ τὴν γῆν. Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τὴν γῆν καὶ ἐπότιζεν ὅλην τὴν ἐπιφάνειαν τῆς γῆς». Αὐτὸ θέλει νὰ εἰπῇ,

τῷ προστάγματι τὰ πρότερον μὴ ὄντα εἰς τὸ εἶναι ὑπέστη, καὶ ἅπερ οὐκ ἦν, ταῦτα ἀθρόον ἐδείκνυτο. Ὁ χόρτος, ὁ ἐκ τῆς γῆς ἀναδιδόμενος· χόρτον δὲ ὅταν εἴπῃ, τὰ σπέρματα ἅπαντα λέγει. Καὶ περὶ τῶν ὑετῶν διδάσκουσα ἡμᾶς, πάλιν ἡ θεία Γραφὴ ἐπήγαγεν· «Οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν»· τοῦτ' ἔστιν, οὐδέπω οὐδὲ ὑετοὶ ἄνωθεν κατεφέροντο· καὶ μετὰ τοῦτο λοιπὸν δείκνυσιν ἡμῖν, ὅτι οὐδὲ τῆς τοῦ ἀνθρώπου ἐργασίας ἐδεήθη· «Ἄνθρωπος γάρ», φησίν, «οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν»· μονονουχὶ βοῶσα, καὶ λέγουσα τοῖς μετὰ ταῦτα ἅπασιν, ὅτι ταῦτα ἀκούοντες μάθετε, πῶς ἐξ ἀρχῆς ἅπαντα παρηχθη τὰ ἀπὸ τῆς γῆς ἀναδιδόμενα, καὶ μὴ τῇ ἐπιμελείᾳ τῶν τὴν γῆν θεραπευόντων τὸ πᾶν λογίζεσθε, μηδὲ ἐκείνοις τὰς ὠδῖνας ταύτας ἐπιγράφετε, ἀλλὰ τῷ λόγῳ καὶ τῷ ἐπιτάγματι τῷ ἐξ ἀρχῆς πρὸς αὐτὴν παρὰ τοῦ δημιουργήσαντος αὐτὴν γενομένῳ. Ταῦτα δὲ ἅπαντα γίνεται, ἵνα μάθωμεν, ὅτι οὐκ ἐδεήθη τῆς τῶν ἄλλων στοιχείων συνεργείας πρὸς τὴν τῶν οἰκείων σπερμάτων ἀνάδοσιν, ἀλλ' ἠρκέσθη τῷ ἐπιτάγματι τοῦ δημιουργοῦ. Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, οὗτος ὁ νῦν τῷ οἰκείῳ λόγῳ πρὸς τὴν τῶν τοσούτων σπερμάτων βλάστην αὐτὴν διεγείρας, καὶ τὴν οἰκείαν δύναμιν ἐπιδειξάμενος, ὑπερβαίνουσαν τὸν ἀνθρώπινον λογισμόν, ταύτην αὐτὴν τὴν βαρεῖαν, καὶ τὸν τοσοῦτον κόσμον ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσε, καθὼς καὶ ὁ προφήτης φησίν, «Ὁ θεμελιώσας ἐπὶ τῶν ὑδάτων τὴν γῆν». Ποῖος λογισμὸς ἀνθρώπινος ἐφικέσθαι τούτων δυνήσεται; Ἐπειδὴ γὰρ οἱ ἄνθρωποι οἰκίας οἰκοδομούμενοι, καὶ θεμελίους καταβάλλειν βουλόμενοι, πρότερον διασκάπτοντες, καὶ εἰς τὸ βάθος κατιόντες, κἂν μικρὰν νοτίδα ἴδωσι, πάντα ποιοῦσιν, ὥστε πᾶσαν αὐτὴν ἐξαντλῆσαι, καὶ οὕτω τοὺς θεμελίους καταβαλεῖν· διὰ τοῦτο καὶ ὁ τῶν ἁπάντων δημιουργὸς ἀπεναντίας τῇ ἀνθρωπίνῃ φύσει ἅπαντα δημιουργεῖ, ἵνα μάθῃς καὶ

1. Ψαλμ. 135, 6.

ὅτι μὲ τὸν λόγον καὶ τὴν προσταγήν του ἔλαβαν ὕπαρξιν ἐκεῖνα, πού δὲν ὑπῆρχαν προηγουμένως, καὶ ἐκεῖνα πού δὲν ὑπῆρχαν, αὐτὰ ἐφανέρωνεν ἀμέσως. Οἱ θάμνοι, οἱ ὁποῖοι προέρχονται ἀπὸ τὴν γῆν· ὅταν δὲ λέγῃ θάμνους, ἐννοεῖ ὅλα τὰ φυτά. Καὶ διὰ τὴν βροχὴν διδάσκουσα ἡμᾶς, πάλιν ἐπρόσθεσεν ἡ Ἁγία Γραφή· «Διότι δὲν ἔβρεξεν ὁ Θεὸς ἐπάνω εἰς τὴν γῆν», δηλαδή, ἀκόμη οὔτε ἡ βροχὴ δὲν ἔπιπτεν ἀπὸ τὸν οὐρανόν. Καὶ ὕστερα ἀπὸ αὐτὸ μᾶς δείχνει εἰς τὴν συνέχειαν, ὅτι δὲν ἐχρειάσθη οὔτε τὴν ἐργασίαν τοῦ ἀνθρώπου· «Διότι, λέγει, δὲν ὑπῆρχεν ἄνθρωπος, διὰ νὰ καλλιεργῇ τὴν γῆν», σχεδὸν ὡς νὰ φωνάζῃ καὶ νὰ λέγῃ εἰς ὅλους τοὺς μεταγενεστέρους, ὅτι ἀκούοντες αὐτὰ μάθετε, πῶς ἀπὸ τὴν ἀρχὴν ἐδημιουργήθησαν ὅλα τὰ προερχόμενα ἀπὸ τὴν γῆν, καὶ νὰ μὴ λογαριάζετε τὸ κάθε τι εἰς τὴν φροντίδα τῶν καλλιεργούντων τὴν γῆν, οὔτε νὰ ἀποδίδετε εἰς ἐκείνους τὴν βλάστησιν τῶν φυτῶν, ἀλλὰ εἰς τὸν λόγον καὶ τὴν προσταγήν, ἡ ὁποία ἐδόθη ἐξ ἀρχῆς πρὸς αὐτὴν ἀπὸ τὸν δημιουργόν της. Αὐτὰ δὲ ὅλα συμβαίνουν, διὰ νὰ μάθωμεν, ὅτι δὲν ἐχρειάσθη τὴν βοήθειαν τῶν ἄλλων στοιχείων διὰ τὴν βλάστησιν τῶν ἰδικῶν της φυτῶν, ἀλλὰ ἠρκέσθη εἰς τὴν προσταγὴν τοῦ Δημιουργοῦ. Καὶ τὸ περισσότερον θαυμαστὸν καὶ παράξενον εἶναι, ὅτι αὐτὸς ὁ ὁποῖος τώρα μὲ τὸν ἰδικόν του λόγον ἐπροκάλεσε τὴν βλάστησιν τόσον πολλῶν φυτῶν καὶ ἐφανέρωσε τὴν δύναμίν του, ἡ ὁποία ὑπερβαίνει τὴν ἀνθρωπίνην σκέψιν, αὐτὴν ἀκριβῶς τὴν βαρεῖαν καὶ ἡ ὁποία φέρει εἰς τὴν ἐπιφάνειάν της τόσον καλλωπισμόν, ἐστερέωσεν ἐπάνω εἰς τὰ ὕδατα, καθὼς ὁ προφήτης λέγει, «Σὺ ἐστερέωσες τὴν γῆν ἐπάνω εἰς τὰ ὕδατα»[1]. Ποῖος νοῦς ἀνθρώπου θὰ ἠμπορέσῃ νὰ πλησιάσῃ αὐτά; Ἐπειδὴ λοιπὸν οἱ ἄνθρωποι, ὅταν κτίζουν σπίτια καὶ θέλουν νὰ βάλλουν θεμέλια, πρῶτα σκάπτουν καὶ ἀφοῦ κατέλθουν βαθιά, ἂν ἰδοῦν ὀλίγην ὑγρασίαν, κάνουν τὰ πάντα, ὥστε νὰ τὴν ἀπομακρύνουν ὅλην καὶ ἔτσι νὰ βάλουν τὰ θεμέλια· διὰ τοῦτο καὶ ὁ δημιουργὸς τῶν πάντων ἀντίθετα πρὸς τὴν ἀνθρωπίνην φύσιν τὰ δημιουργεῖ ὅλα, διὰ νὰ μάθῃς καὶ ἀπὸ

ἐκ τούτων αὐτοῦ τὴν ἄφατον δύναμιν, καὶ ὅτι, ἐπειδὰν βουληθῇ, καὶ αὐτὰ τὰ στοιχεῖα τὰ ἐναντία τῇ οἰκείᾳ ἐνεργείᾳ ἐπιδείκνυται, τῷ ἐπιτάγματι τοῦ δημιουργήσαντος ὑπηρετούμενα.

3. Καὶ ἵνα σαφέστερον ὑμῖν γένηται τὸ λεγόμενον, τέως ἐπ' αὐτοῦ τοῦ προκειμένου τὸν λόγον γυμνάσωμεν, καὶ τότε καὶ ἐφ' ἕτερον μεταβησόμεθα. Τοῦτο γὰρ αὐτὸ ἐναντίον ἐστὶ τῇ φύσει τῶν ὑδάτων, τὸ οὕτω βαρὺ σῶμα φέρειν· καὶ τῇ γῇ πάλιν ἐναντίον τὸ ἐπὶ τοιούτῳ θεμελίῳ τὴν ἕδραν ἔχειν. Καὶ τί θαυμάζεις; Κἂν γὰρ ἐφ' ἑκάστου τῶν γενομένων διερευνῆσαι βουληθῇς, εὑρήσεις τοῦ δημιουργήσαντος ἄπειρον τὴν δύναμιν, καὶ ὅτι τῇ οἰκείᾳ βουλήσει ἡνιοχεῖ πάντα τὰ δρώμενα. Τοῦτο γὰρ καὶ ἐπὶ τοῦ πυρός ἐστιν ἰδεῖν γινόμενον· τὸ γὰρ δαπανητικὴν ἔχον ἐνέργειαν, καὶ πάντων περιγινόμενον, καὶ πᾶσαν ὕλην λίθων, καὶ ξύλων, καὶ σωμάτων, καὶ σιδήρου μετ' εὐκολίας καταναλίσκον, ἐπειδὴ προσέταξεν ὁ δημιουργός, σωμάτων ἁπαλῶν καὶ φθαρτῶν οὐχ ἥψατο, ἀλλ' ἀβλαβεῖς τοὺς παῖδας διεφύλαττεν ἐν μέσῃ τῇ καμίνῳ. Καὶ μὴ θαυμάσῃς, εἰ τῶν σωμάτων αὐτῶν οὐχ ἥψατο, ἀλλ' εὐταξίαν τοσαύτην ἐπεδείξατο τὸ ἄλογον στοιχεῖον, ὅσην οὐδὲ ἔστιν εἰπεῖν. Οὐδὲ γὰρ ταῖς θριξὶν ἐλυμήνατο, ἀλλ' ἐκύκλου μὲν αὐτούς, καὶ εἶχεν ἔνδον· καθάπερ δὲ ὑπακοὴν πληροῦσα ἡ τοῦ πυρὸς οὐσία, καὶ Δεσπότου ἐπιτάγματι ὑπηρετουμένη, ἀκεραίους καὶ ἀβλαβεῖς διεφύλαττε τοὺς θαυμαστοὺς ἐκείνους παῖδας, καὶ ὥσπερ ἐν λειμῶνι καὶ παραδείσῳ βαδίζοντες, μετὰ τοσαύτης ἀδείας ἐπὶ τῆς καμίνου διῆγον. Καὶ ἵνα μὴ νομίσῃ τις, ὅτι οὐκ ἦν ἐνέργεια πυρὸς τὸ δρώμενον, διὰ τοῦτο ὁ φιλάνθρωπος Δεσπότης οὐ τὴν ἐνέργειαν αὐτοῦ ἐπέδησεν, ἀλλ' ἀφεὶς μένειν τὴν ἐνέργειαν αὐτοῦ τὴν καυστικήν, τοὺς ἰδίους θεράποντας ἀνωτέρους τῆς ἐκ τούτου βλάβης εἰργάζετο. Ἀλλ' ἵνα μάθωσι καὶ οἱ ἐμβαλόντες, ὅση τοῦ τῶν ὅλων Θεοῦ ἡ δύναμις, ἐπ' ἐκείνων μὲν τὴν οἰκείαν ἐνέργειαν ἐπεδείκνυτο τὸ πῦρ· καὶ τὸ αὐτὸ ἐκείνους μὲν περι-

---

2. Ἀναφέρεται εἰς τὴν γνωστὴν ἱστορίαν τῶν τριῶν παίδων, τοὺς ὁποίους ὁ βασιλεὺς Ναβουχοδονόσορ ἔρριψεν εἰς τὴν κάμινον τοῦ πυρός.

αὐτὰ τὴν ἄπειρον δύναμίν του, καὶ ὅτι, ὅταν θελήσῃ, καὶ τὰ ἴδια τὰ στοιχεῖα ἐπιδεικνύουν τὰ ἀντίθετα πρὸς τὴν ἰδικήν των ἐνέργειαν, ὑποτασσόμενα εἰς τὴν προσταγὴν τοῦ δημιουργοῦ.]

[3. Καὶ διὰ νὰ σᾶς γίνῃ σαφέστερον αὐτὸ ποὺ λέγω, ἂς στρέψωμεν κατὰ πρῶτον τὸν λόγον εἰς αὐτὸ καὶ ὕστερα θὰ προχωρήσωμεν εἰς ἄλλο σημεῖον. Διότι αὐτὸ ἀκριβῶς εἶναι ἀντίθετον εἰς τὴν φύσιν τῶν ὑδάτων, τὸ νὰ φέρουν, δηλαδή, ἔτσι βαρὺ σῶμα· καὶ εἰς τὴν γῆν πάλιν εναι ἀντίθετον τὸ νὰ στηρίζεται ἐπάνω εἰς τέτοιο θεμέλιον. Καὶ διατί ἀπορεῖς; Διότι ἐὰν θελήσῃς νὰ ἐρευνήσῃς κάθε ἕνα ἀπὸ τὰ δημιουργήματα, θὰ διαπιστώσῃς τὴν ἄπειρον δύναμιν τοῦ δημιουργοῦ καὶ ὅτι μὲ τὴν θέλησίν του τὰ κατευθύνει ὅλα. Αὐτὸ βέβαια εἶναι δυνατὸν νὰ τὸ ἰδῇ κανεὶς καὶ εἰς τὴν περίπτωσιν τοῦ πυρὸς νὰ συμβαίνῃ· διότι αὐτὸ τὸ ὁποῖον ἔχει καταστρεπτικὴν δύναμιν καὶ καταβάλλει τὰ πάντα καὶ κατακαίει εὔκολα λίθους, ξύλα, σώματα καὶ σίδηρον, ἐπειδὴ ἐπρόσταξεν ὁ δημιουργός, δὲν ἐπροκάλεσε κακὸν εἰς ἁπαλὰ καὶ φθαρτὰ σώματα, ἀλλὰ ἄφησεν ἀβλαβεῖς τοὺς παῖδας μέσα εἰς τὴν κάμινον[2]. Καὶ μὴ θαυμάσῃς, ἐὰν δὲν ἤγγισε τὰ σώματά των, ἀλλὰ τὸ χωρὶς λογικὴν στοιχεῖον ἔδειξε τόσον μεγάλην πειθαρχίαν, ὅσην οὔτε νὰ εἰπῇς εἶναι δυνατόν. Διότι οὔτε τὰς τρίχας κατέστρεψεν, ἀλλὰ τοὺς περιεκύκλωνεν αὐτοὺς καὶ τοὺς εἶχε εἰς τὸ μέσον· ὡσὰν δὲ νὰ ὑπακούῃ καὶ νὰ ὑπηρετῇ τὴν προσταγὴν τοῦ Κυρίου ἡ οὐσία τοῦ πυρός, διεφύλασσε σώους καὶ ἀβλαβεῖς τοὺς θαυμαστοὺς ἐκείνους παῖδας, καὶ ὡσὰν νὰ ἐβάδιζαν εἰς λειβάδι καὶ κῆπον, διέβαιναν μὲ τόσην ἄνεσιν μέσα εἰς τὴν κάμινον. Καὶ διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι τὸ θέαμα δὲν ἦτο ἐνέργεια πυρός, δι᾽ αὐτὸ ὁ φιλάνθρωπος Κύριος δὲν ἐσταμάτησε τὴν ἐνέργειάν του, ἀλλὰ ἀφοῦ ἄφησε νὰ παραμένῃ ἡ καυστική του ἐνέργεια, διεφύλασσεν ἀβλαβεῖς τοὺς ἰδικούς του ὑπηρέτας. Ἀλλὰ διὰ νὰ μάθουν καὶ ἐκεῖνοι ποὺ τοὺς ἔρριψαν εἰς τὴν κάμινον, πόση εἶναι ἡ δύναμις τοῦ Θεοῦ τῶν πάντων, εἰς ἐκείνους μὲν τὸ πῦρ ἐφανέρωνε τὴν ἰδικήν του ἐνέργειαν· καὶ αὐτὸ μὲν τοὺς

ἔστελλεν ἔνδον, τούτους δὲ ἔξω ἑστῶτας κατέφλεγε καὶ ἀνήλισκεν. Εἶδες πῶς, ὅταν ὁ Δεσπότης βούληται, ἕκαστον τῶν στοιχείων πρὸς τὴν ἐναντίαν μεθίστησιν οὐσίαν; Δημιουργὸς γάρ ἐστι καὶ Δεσπότης, καὶ πρὸς τὸ οἰκεῖον θέλημα ἅπαντα οἰκονομεῖ. Βούλεσθε καὶ ἐπὶ τῶν ὑδάτων πάλιν ἰδεῖν τὸ αὐτὸ τοῦτο γινόμενον; Καθάπερ γὰρ ἐνταῦθα τὸ πῦρ τῶν μὲν ἔνδον ὄντων ἀπέσχετο, καὶ ἐπελάθετο τῆς οἰκείας ἐνεργείας, ἐπὶ δὲ τῶν ἔξω τυγχανόντων τὰ ἑαυτοῦ ἐπλήρου, οὕτω καὶ τὰ ὕδατα ὀψόμεθα τοὺς μὲν ὑποβρυχίους ἐργαζόμενα, ἑτέροις δὲ ὑποχωροῦντα, ὥστε ἀβλαβῶς αὐτοὺς διελθεῖν. Ἀναμνήσθητέ μοι νῦν τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων, καὶ τοῦ δήμου τῶν Ἑβραίων, ὅπως ἐκεῖνοι μὲν διὰ τὸ πρόσταγμα τοῦ Δεσπότου, τοῦ μεγάλου Μωϋσέως προηγουμένου, καθάπερ ἐπὶ ξηρᾶς, οὕτω διέβαινον διὰ τῆς θαλάσσης τῆς ἐρυθρᾶς· οἱ δὲ Αἰγύπτιοι μετὰ τοῦ Φαραὼ τὴν αὐτὴν αὐτοῖς ἐλθεῖν ὁδὸν βουληθέντες, ὑποβρύχιοι γενόμενοι κατεποντίζοντο. Οὕτως οἶδε καὶ τὰ στοιχεῖα αἰδεῖσθαι τοὺς τοῦ Δεσπότου θεράποντας, καὶ τὴν οἰκείαν ὁρμὴν ἔσω κατέχειν. Ἀκούσωμεν ὅσοι θυμώδεις, ὅσοι ὀργίλοι, ὅσοι ὑπὸ τῶν ἄλλων παθῶν διὰ ῥαθυμίαν ἁλισκόμενοι τὴν ἑαυτῶν προδίδομεν σωτηρίαν, καὶ μιμησώμεθα τῶν ἀλόγων τούτων στοιχείων τὴν τοσαύτην ὑπακοήν, ἡμεῖς οἱ λόγῳ τετιμημένοι. Εἰ γὰρ τὸ πῦρ, τὸ οὕτω δαπανητικόν, τὸ οὕτω σφοδρόν, σωμάτων φθαρτῶν καὶ οὕτως ἁπαλῶν ἀπέσχετο, ποίας ἂν τύχῃ συγγνώμης ἄνθρωπος, μὴ βουλόμενος τὸν ἑαυτοῦ χαλινῶσαι θυμὸν διὰ τὸ ἐπίταγμα τοῦ Δεσπότου, καὶ τὴν ὀργὴν τὴν πρὸς τὸν πλησίον ἐκβαλεῖν; Καὶ τὸ δὴ μεῖζον, ὅτι πῦρ ταύτην ἔχον τὴν οὐσίαν, τὸ καίειν λέγω, τὴν οἰκείαν ἐνέργειαν οὐκ ἐπεδείξατο, ὁ δὲ ἄνθρωπος, τὸ ἥμερον ζῶον, τὸ λογικόν, τὸ ἐπιεικές, τὰ ἐναντία τῇ οἰκείᾳ φύσει διαπράττεται, καὶ διὰ ῥαθυμίαν εἰς τὴν τῶν θη-

3. Τὰ τῆς διαβάσεως τῆς Ἐρυθρᾶς θαλάσσης εἰς Ἐξ. κεφ. 14.

εὑρισκομένους μέσα ἐπροφύλασσεν, αὐτοὺς δὲ ἂν καὶ ἐστέκοντο ἔξω κατέκαιε καὶ κατέτρωγε. Εἶδες πῶς, ὅταν ὁ Κύριος θέλῃ, μεταβάλλει κάθε στοιχεῖον εἰς τὴν ἀντίθετον οὐσίαν; Διότι εἶναι Δημιουργὸς καὶ Δεσπότης καὶ οἰκονομεῖ τὰ πάντα σύμφωνα μὲ τὴν ἠδικήν του θέλησιν. Θέλετε νὰ ἰδῆτε πάλιν νὰ γίνεται τὸ ἴδιον ἀκριβῶς καὶ εἰς τὴν περίπτωσιν τῶν ὑδάτων; Διότι ὅπως ἐδῶ τὸ πῦρ ἀπεμακρύνθη μὲν ἀπὸ τοὺς εὑρισκομένους μέσα καὶ ἔχασε τὴν ἐνέργειάν του, διὰ τοὺς εὑρισκομένους ὅμως ἔξω τὴν διετηροῦσε, ἔτσι καὶ τὰ ὕδατα θὰ ἰδοῦμεν ἄλλους μὲν νὰ καταποντίζουν, εἰς ἄλλους δὲ νὰ ὑποχωροῦν, διὰ νὰ διέλθουν αὐτοὶ χωρὶς βλάβην. Ἐνθυμηθῆτε, παρακαλῶ τώρα, τὸν Φαραὼ καὶ τοὺς Αἰγυπτίους καὶ τὸν λαὸν τῶν Ἑβραίων, πῶς αὐτοὶ μὲν κατὰ τὴν προσταγὴν τοῦ Κυρίου διέβαιναν τὴν Ἐρυθρὰν θάλασσαν ἔτσι, ὡσὰν νὰ ἐβάδιζαν εἰς ξηράν, ἐνῷ τοὺς ὡδηγοῦσε ὁ μεγάλος Μωυσῆς· οἱ Αἰγύπτιοι ὅμως μαζὶ μὲ τὸν Φαραώ, ὅταν ἠθέλησαν νὰ διέλθουν τὴν ἰδίαν μὲ αὐτοὺς ὁδόν, κατεποντίζοντο ἀφοῦ ἔπεσαν εἰς τὴν θάλασσαν[3]. Ἔται καὶ τὰ στοιχεῖα τῆς φύσεως γνωρίζουν νὰ σέβωνται τοὺς δούλους τοῦ Κυρίου καὶ νὰ συγκρατοῦν τὴν ὁρμήν των. Ἂς ἀκούσωμεν ὅσοι εἴμεθα εὐέξαπτοι, ὀργίλοι, ὅσοι προδίδομεν τὴν σωτηρίαν μας καταλαμβανόμενοι ἀπὸ τὰ ἄλλα πάθη ἐξ αἰτίας τῆς ἀδιαφορίας μας, καὶ ἂς μιμηθοῦμεν τὴν μεγάλην ὑπακοὴν τῶν ἀλόγων αὐτῶν στοιχείων, ἡμεῖς οἱ ὁποῖοι ἔχομεν τιμηθῆ μὲ λόγον. Ἐὰν λοιπὸν τὸ πῦρ, τὸ ὁποῖον εἶναι τόσον καταστρεπτικόν, τόσον σφοδρόν, δὲν ἐπλησίασε σώματα φθαρτὰ καὶ τόσον ἁπαλά, ποίαν συγγνώμην θὰ λάβῃ ὁ ἄνθρωπος, ὁ ὁποῖος δὲν θέλει νὰ συγκρατήσῃ τὸν θυμόν του κατὰ τὴν προσταγὴν τοῦ Κυρίου καὶ νὰ ἐκριζώσῃ τὴν ὀργήν του πρὸς τὸν πλησίον; Καὶ τὸ ἀκόμη μεγαλύτερον εἶναι, ὅτι τὸ πῦρ τὸ ὁποῖον ἔχει αὐτὴν τὴν οὐσίαν, ἐννοῶ τὸ νὰ καίῃ, δὲν ἔδειξε τὴν ἰδικήν του ἐνέργειαν, ὁ ἄνθρωπος ὅμως, τὸ ἥμερον ζῶον, τὸ λογικόν, τὸ ἐπιεικές, ἐνεργεῖ τὰ ἀντίθετα πρὸς τὴν φύσιν του καὶ ἀπὸ ἀδιαφορίαν παρασύρει τὸν ἑαυτόν του εἰς τὴν ἀγριότητα τῶν θηρίων.

ρίων ὠμότητα ἑαυτὸν ἐξάγει. Διὰ τοῦτο καὶ ἡ θεία Γραφὴ πρὸς τὰ πάθη τὰ ἐνοχλοῦντα οὕτω καὶ τὰς τῶν ἀλόγων προσηγορίας, πολλαχοῦ δὲ καὶ τῶν θηρίων τοῖς λόγῳ τετιμημένοις ἐπιτίθησι· ποτὲ μὲν κύνας καλοῦσα διὰ τὸ ἀναίσχυντον καὶ ἰταμόν· «Κύνες γάρ», φησίν, «ἐνεοί, οὐ δυνάμενοι ὑλακτεῖν»· ποτὲ δὲ ἵππους διὰ τὸ λάγνον· «Ἵπποι γὰρ θηλυμανεῖς ἐγένοντο, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον χρεμετίζοντες»· ποτὲ δὲ ὄνους, διὰ τὴν ἀγνωμοσύνην καὶ τὴν ἄνοιαν· «Παρασυνεβλήθη γάρ», φησί, «τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς»· ποτὲ δὲ λέοντας καὶ παρδάλεις, διὰ τὸ ἁρπακτικὸν καὶ πλεονεκτικόν· ποτὲ δὲ ἀσπίδας, διὰ τὸ δολερόν· «Ἰὸς γάρ», φησίν, «ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν»· ποτὲ δὲ ὄφεις καὶ ἔχεις, διὰ τὸν ἰὸν καὶ τὴν πονηρίαν, καθὼς καὶ ὁ μακάριος Ἰωάννης ἐβόα, λέγων· «Ὄφεις, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;» καὶ ἕτερα κατάλληλα τοῖς πάθεσιν ὀνόματα ἐπάγει, ἵνα κἂν οὕτως αἰδεσθέντες ὀψέ ποτε πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθωσι, καὶ σπείωνται πρὸς τὸ ὁμογενές, καὶ τοὺς τοῦ Θεοῦ νόμους προτιμοτέρους ἡγήσωνται τῶν οἰκείων παθῶν, οἷς διὰ ῥαθυμίαν ἑαυτοὺς ἐκδεδώκασιν.

4. Ἀλλ' οὐκ οἶδα, πῶς ὑπὸ τῆς τοῦ λόγου ῥύμης εἰς ταῦτα ἐξέβημεν. Φέρε δὴ λοιπὸν ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον, καὶ ἴδωμεν τί καὶ ἕτερον σήμερον ἡμᾶς διδάξαι βούλεται ὁ μακάριος οὗτος προφήτης. Εἰπὼν γάρ, «Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς», προϊὼν διηγεῖται ἡμῖν πάλιν ἀκριβέστερον τὴν τοῦ ἀνθρώπου δημιουργίαν. Καὶ ἐπειδὴ ἀνωτέρω συντόμως εἶπε, «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν», νῦν φησι, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο

4. Ἡσ. 56, 10.
5. Ἱερ. 5, 8.
6. Ψαλμ. 48, 13.
7. Ψαλμ. 139, 4.
8. Ματθ. 3, 7.
9. Γεν. 1, 27.

Δι' αὐτὸ καὶ ἡ Ἁγία Γραφὴ ἀνάλογα μὲ τὰ πάθη, ποὺ ἐνοχλοῦν τόσον πολύ, δίδει τὰς ὀνομασίας τῶν ζώων, πολλὰς φορὰς δὲ καὶ τῶν ἀγρίων θηρίων εἰς τοὺς τιμημένους μὲ λόγον ἀνθρώπους. Ἄλλοτε μὲν ὀνομάζει σκύλους διὰ τὴν ἀναισχυντίαν καὶ θρασύτητά των, διότι λέγει· «Εἶναι σκύλοι ἄλαλοι, χωρὶς νὰ ἠμποροῦν νὰ γαυγίζουν»[4]. Ἄλλοτε δὲ ἵππους διὰ τὴν λαγνότητά των· «Διότι ἔγιναν ἵπποι θηλυμανεῖς καὶ ὁ καθένας χρεμετίζει πρὸς τὴν σύζυγον τοῦ πλησίον»[5]. Ἄλλοτε πάλιν τοὺς ὀνομάζει ὄνους, διὰ τὴν ἀγνωμοσύνην καὶ ἀνοησίαν των. «Διότι ἐξωμοιώθη, λέγει, μὲ τὰ ἀνόητα κτήνη καὶ ἔγινεν ὅμοιος μὲ αὐτά»[6]. Ἄλλοτε ὀνομάζει αὐτοὺς λέοντας καὶ λεοπαρδάλεις διὰ τὴν ἁρπακτικότητα καὶ πλεονεξίαν των, ἄλλοτε δὲ ἀσπίδας διὰ τὴν δολιότητά των· «Διότι ὑπάρχει δηλητήριον ἀσπίδων, λέγει, κάτω ἀπὸ τὰ χείλη των»[7]. Ἄλλοτε πάλιν ὄφεις καὶ ἐχίδνας διὰ τὸ δηλητήριον καὶ τὴν πονηρίαν των, καθὼς καὶ ὁ μακάριος Ἰωάννης ἐφώναζε λέγων· «Ὄφεις, ἀπόγονοι ἐχιδνῶν, ποῖος σᾶς ὑπέδειξε νὰ ἀποφύγετε τὴν μέλλουσαν ὀργήν;»[8]. Προσθέτει δὲ καὶ ἄλλας καταλλήλους εἰς τὰ πάθη ὀνομασίας, διὰ νὰ ἐπανέλθουν τουλάχιστον κάποτε εἰς τὴν ἰδικήν των εὐγένειαν, ἀφοῦ ἐντραποῦν κατ' αὐτὸν τὸν τρόπον, καὶ νὰ κάμουν συνθήκην πρὸς τοὺς συνανθρώπους των καὶ νὰ προτιμήσουν τοὺς νόμους τοῦ Θεοῦ ἀπὸ τὰ ἰδικά των πάθη, εἰς τὰ ὁποῖα παρέδωσαν τοὺς ἑαυτούς των ἐξ αἰτίας τῆς ἀδιαφορίας.

4. Ἀλλὰ δὲν γνωρίζω, πῶς ἀπὸ τὴν ὁρμὴν τοῦ λόγου ἐφθάσαμεν εἰς αὐτά. Ἐμπρὸς λοιπόν, ἂς ἐπανέλθωμεν εἰς τὸ θέμα μας καὶ ἂς ἰδοῦμεν καὶ τί ἄλλο θέλει νὰ μᾶς διδάξῃ σήμερα ὁ μακάριος αὐτὸς προφήτης. Διότι ἀφοῦ εἶπεν, «Αὐτὴ εἶναι ἡ ἱστορία τῆς δημιουργίας τοῦ οὐρανοῦ καὶ τῆς γῆς», εἰς τὴν συνέχειαν μᾶς διηγεῖται πάλιν μὲ μεγαλυτέραν ἀκρίβειαν τὴν δημιουργίαν τοῦ ἀνθρώπου. Καὶ ἐπειδὴ ἀνωτέρω μὲ συντομίαν εἶπε, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, σύμφωνα μὲ τὴν εἰκόνα του ἔπλασεν αὐτόν»[9], τώρα λέγει, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον ἀπὸ τὸ χῶμα τοῦ ἐδάφους, καὶ ἐφύσησεν εἰς τὸ πρόσωπον

ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Μέγα τὸ εἰρημένον, καὶ πολλῆς ἐκπλήξεως γέμον, καὶ ὑπερβαῖνον διάνοιαν ἀνθρωπίνην· «Καὶ ἔπλασε», φησίν, ὁ Θεὸς τὸν ἄνθρωπον, λαβὼν χοῦν ἀπὸ τῆς γῆς». Ὥσπερ ἐπὶ τῶν κτισμάτων τῶν ὁρωμένων ἁπάντων ἔλεγον, ὅτι ἀπεναντίας τῇ φύσει τῇ ἀνθρωπίνῃ ἅπαντα διαπράττεται ὁ τῶν ὅλων δημιουργός, ἵνα καὶ διὰ τούτου ἡ ἄφατος αὐτοῦ δύναμις δειχθῇ· οὕτω καὶ ἐπὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως εὑρήσομεν νῦν γεγονός. Ὅρα γάρ, τὴν γῆν ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσεν, ὅπερ οὐ χωρεῖ δέξασθαι λογισμὸς ἀνθρώπινος ἄνευ πίστεως, καὶ τὰς οὐσίας δὲ πάσας ἐπειδὰν βουληθῇ, καθάπερ ἀπεδείξαμεν, ἐναντία τῇ οἰκείᾳ ἐνεργείᾳ παρασκευάζει διαπράττεσθαι. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς πλάσεως τοῦ ἀνθρώπου νῦν ἡμῖν ἐμφαίνει γεγονὸς ἡ θεία Γραφή. «Ἔπλασε», φησίν, «ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών». Τί λέγεις; «Χοῦν λαβὼν ἀπὸ τῆς γῆς ἔπλασε τὸν ἄνθρωπον»; Ναί, φησί, καὶ οὐχ ἁπλῶς εἶπε γῆν, ἀλλά, «Χοῦν», ὡς ἂν εἴποι τις, αὐτῆς τῆς γῆς τὸ λεπτότερον καὶ ἀτιμότερον. Μέγα σοι καὶ παράδοξον εἶναι δοκεῖ τὸ εἰρημένον· ἀλλ' ἐὰν νοήσῃς τίς ὁ δημιουργός, οὐκέτι ἀπιστήσεις τῷ γινομένῳ, ἀλλὰ θαυμάσεις καὶ προσκυνήσεις τὴν δύναμιν. Ἐὰν δὲ μέλλῃς πρὸς τὴν ἀσθένειαν τῶν σῶν λογισμῶν ταῦτα περιεργάζεσθαι, εἰκός γε κἀκεῖνό σε εἰς ἔννοιαν λαβεῖν, ὅτι ἀπὸ γῆς σῶμα οὐκ ἂν γένοιτό ποτε, ἀλλ' ἢ πλίνθος, ἢ ὄστρακον, σῶμα δὲ τοιοῦτον οὐκ ἂν γένοιτο. Ὁρᾷς ὅτι ἐὰν μὴ καὶ δύναμιν εἰς ἔννοιαν λάβωμεν τοῦ δημιουργοῦντος, καὶ τοὺς οἰκείους λογισμοὺς τοὺς πολλὴν τὴν ἀσθένειαν προβεβλημένους κατευνάσωμεν, οὐ δυνάμεθα τῶν εἰρημένων τὸ ὕψος δέξασθαι; Τῶν γὰρ τῆς πίστεως ὀφθαλμῶν δεῖται τὰ λεγόμενα, καὶ ταῦτα μετὰ πολλῆς τῆς συγκαταβάσεως καὶ διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν οὕτω ῥηθέντα. Καὶ αὐτὸ γὰρ τὸ εἰπεῖν, «Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ ἐνεφύσησεν», ἀνάξιον Θεοῦ· ἀλλὰ

αὐτοῦ πνοὴν ζωῆς, καὶ ἀπέβη ὁ ἄνθρωπος ψυχὴ ζῶσα». Μέγα τὸ λεχθέν, ἄξιον πολλοῦ θαυμασμοῦ καὶ ὑπεράνω τῆς ἀνθρωπίνης διανοίας. «Καὶ ἔπλασε, λέγει, ὁ Θεὸς τὸν ἄνθρωπον, ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν». Ὅπως δι' ὅλα τὰ ὁρατὰ κτίσματα ἔλεγα, ὅτι ὁ δημιουργὸς τῶν πάντων τὰ δημιουργεῖ ὅλα ἀντίθετα πρὸς τὴν ἀνθρωπίνην φύσιν, διὰ νὰ ἀποδειχθῇ καὶ μὲ τὸν τρόπον αὐτὸν ἡ ἄπειρος δύναμίς του, ἔτσι θὰ συναντήσωμεν τώρα νὰ γίνεται αὐτὸ καὶ εἰς τὴν δημιουργίαν τοῦ ἀνθρώπου. Διότι πρόσεχε, ἐπάνω εἰς τὰ ὕδατα ἐστερέωσε τὴν γῆν, πρᾶγμα ποὺ δὲν ἠμπορεῖ νὰ κατανοήσῃ ὁ ἀνθρώπινος νοῦς χωρὶς πίστιν, καὶ ὅταν θελήσῃ, ὅλα τὰ στοιχεῖα, καθὼς ἀπεδείξαμεν, κάνει νὰ ἐνεργοῦν ἀντίθετα πρὸς τὴν ἰδικήν των φύσιν. Κατὰ τὸν ἴδιον λοιπὸν τρόπον καὶ εἰς τὴν δημιουργίαν τοῦ ἀνθρώπου ἡ Ἁγία Γραφὴ μᾶς παρουσιάζει τώρα νὰ γίνεται αὐτό. Ἔπλασε, λέγει, ὁ Θεὸς τὸν ἄνθρωπον ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν». Τί λέγεις; «Ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν ἔπλασε τὸν ἄνθρωπον»; Ναί, λέγει, καὶ δὲν εἶπεν ἁπλῶς γῆν, ἀλλὰ «χῶμα», ὡς νὰ ἠμποροῦσε νὰ εἴπῃ κανείς, τὸ πιὸ λεπτὸν καὶ ἀσήμαντον στοιχεῖον ἀπὸ αὐτὴν τὴν γῆν. Φαίνεται εἰς σὲ μέγα καὶ παράξενον τὸ λεχθέν· ἐὰν ὅμως κατανοήσῃς ποῖος εἶναι ὁ δημιουργός, δὲν θὰ δυσπιστῇς πλέον εἰς τὸ γεγονός, ἀλλὰ θὰ θαυμάσῃς καὶ θὰ προσκυνήσῃς τὴν δύναμιν τοῦ δημιουργοῦ. Ἐὰν δὲ πρόκειται νὰ ἐξετάζῃς αὐτὰ σύμφωνα μὲ τὴν ἀδυναμίαν τῶν ἰδικῶν σου σκέψεων, εἶναι φυσικὸν βέβαια καὶ ἐκεῖνο νὰ κατανοήσῃς, ὅτι δὲν θὰ ἐγίνετο ποτὲ ἀπὸ τὴν γῆν σῶμα, ἀλλὰ πλίνθος ἢ ὄστρακον, τέτοιο ὅμως σῶμα δὲν θὰ ἠμποροῦσε νὰ γίνῃ. Βλέπεις ὅτι· ἐὰν δὲν ἀντιληφθοῦμεν τὴν δύναμιν τοῦ δημιουργοῦ καὶ δὲν καθησυχάσωμεν τὰς σκέψεις μας, ποὺ ἔχουν μεγάλην ἀδυναμίαν, δὲν ἠμποροῦμεν νὰ κατανοήσωμεν τὸ ὕψος τῶν λεχθέντων; Διότι τὰ λεγόμενα χρειάζονται τὰ μάτια τῆς πίστεως, καὶ ἔχουν λεχθῆ ἔτσι αὐτὰ μὲ μεγάλην συγκατάβασιν καὶ ἐξ αἰτίας τῆς ἰδικῆς μας ἀδυναμίας. Διότι καὶ αὐτὸ ποὺ εἶπεν, «Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον καὶ ἐφύσησεν», εἶναι ἀνάξιον

δι' ἡμᾶς καὶ τὸ ἀσθενὲς τὸ ἡμέτερον οὕτω ταῦτα διηγεῖται ἡ θεία Γραφή, ἡμῖν συγκαταβαίνουσα, ἵνα ταύτης ἀξιωθέντες τῆς συγκαταβάσεως, ἀνελθεῖν πρὸς τὸ ὕψος ἐκεῖνο ἰσχύσωμεν. «Καὶ ἔπλασε», φησίν, «ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς». Τέως οὐ μικρὰ ἡμῖν ἐντεῦθεν τίκτεται, ἐὰν νήφειν βουλώμεθα, ταπεινοφροσύνης διδασκαλία. Ὅταν γὰρ ἐννοήσωμεν, πόθεν ἔσχε τὴν ἀρχὴν τῆς συστάσεως ἡ φύσις ἡ ἡμετέρα, κἂν μυριάκις τὰς ὀφρῦς ἀνασπάσωμεν, συστελλόμεθα, ταπεινούμεθα, τὴν οὐσίαν ἑαυτῶν ἀναλογιζόμενοι, μετριάζειν παιδευόμεθα. Διὰ τοῦτο γὰρ καὶ ὁ Θεός, κηδόμενος ἡμῶν τῆς σωτηρίας, οὕτως ὡδήγησε τοῦ προφήτου τὴν γλῶτταν πρὸς τὴν ἡμετέραν διδασκαλίαν. Ἐπειδὴ γὰρ εἶπε προλαβοῦσα ἡ θεία Γραφή, «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν», καὶ τὴν ἀρχὴν αὐτῷ πᾶσαν παρέδωκε τῶν ὁρωμένων, μὴ ἀγνοῶν τῆς οἰκείας αὐσίας τὴν σύστασιν μεγάλα φαντασθῇ, καὶ ὑπερβῇ τοὺς οἰκείους ὅρους· διὰ τοῦτο ἐπαναλαμβάνουσα διδάσκει καὶ τὸν τρόπον τῆς συστάσεως, καὶ τῆς γενέσεως τὴν ἀρχήν, καὶ ὅθεν ὁ πρῶτος ἄνθρωπος παρήχθη, καὶ πῶς παρήχθη. Εἰ γὰρ καὶ μετὰ ταύτην τὴν διδασκαλίαν, καὶ μετὰ τὸ γνῶναι, ὅτι ἀπὸ τῆς γῆς ἔχει τὴν ἀρχὴν τῆς συστάσεως, ἐξ ἧς τὰ σπέρματα, ἐξ ἧς τὰ ἄλογα ζῶα, εἰ καὶ ἡ διάπλασις, καὶ τῆς ψυχῆς ἡ οὐσία ἡ ἀσώματος πολλὴν αὐτῷ τὴν προεδρίαν διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν κεχάρισται· διὰ γὰρ ταύτην καὶ τὸ λογικὸς εἶναι, καὶ τὴν κατὰ πάντων ἀρχὴν ἐδέξατο· εἰ τοίνυν καὶ ταῦτα μαθών, διὰ τὴν παρὰ τοῦ ὄφεως ἀπάτην ἰσοθεΐαν ἐφαντάσθη ὁ ἐκ γῆς πλασθείς· εἰ τῇ πρώτῃ διηγήσει ἠρκέσθη ὁ μακάριος οὗτος προφήτης, καὶ μὴ ἐπαναλαβὼν πάντα μετὰ ἀκριβείας ἡμᾶς ἐδίδαξε, ποῦ οὐκ ἂν μανίας ἐξωκείλαμεν;

5. Ὥστε μέγιστον ἡμῖν ἐστιν εἰς διδασκαλίαν φιλοσοφίας

τοῦ Θεοῦ· ἀλλὰ δι' ἡμᾶς καὶ διὰ τὴν ἰδικήν μας ἀδυναμίαν ἡ Ἁγία Γραφὴ διηγεῖται αὐτὰ ἔτσι, συγκαταβαίνουσα εἰς ἡμᾶς, ὥστε ἀφοῦ ἀξιωθοῦμεν αὐτὴν τὴν συγκατάβασιν, νὰ ἠμπορέσωμεν νὰ ἀνέλθωμεν εἰς τὸ ὕψος ἐκεῖνο. «Καὶ ἔπλασε, λέγει, ὁ Θεὸς τὸν ἄνθρωπον, ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν». Κατὰ πρῶτον, ἐὰν θέλωμεν νὰ εἴμεθα νηφάλιοι, γεννᾶται δι' ἡμᾶς μεγάλη διδασκαλία ταπεινοφροσύνης ἀπὸ ἐδῶ. Διότι ὅταν κατανοήσωμεν, ἀπὸ ποῦ ἔλαβε τὴν ἀρχὴν τῆς ὑπάρξεώς της ἡ ἰδική μας φύσις, καὶ ἂν ἀκόμη στενοχωρηθοῦμεν ἀπείρους φοράς, συγκεντρωνόμεθα, ταπεινούμεθα, σκεπτόμενοι τὴν οὐσίαν μας, διδασκόμεθα νὰ εἴμεθα μετριόφρονες. Διὰ τοῦτο λοιπὸν καὶ ὁ Θεός, ἐπειδὴ φροντίζει διὰ τὴν σωτηρίαν μας, ἔτσι ὡδήγησε τὴν γλῶσσαν τοῦ προφήτου διὰ τὴν ἰδικήν μας διδασκαλίαν. Ἀφοῦ δὲ εἶπε προηγουμένως ἡ Ἁγία Γραφή, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, σύμφωνα μὲ τὴν εἰκόνα του ἔπλασεν αὐτόν», καὶ ἔδωσεν εἰς αὐτὸν ὅλην τὴν ἐξουσίαν τῶν ὁρατῶν κτισμάτων, διὰ νὰ μὴ ὑπερηφανευθῇ, ἀγνοῶν τὴν σύστασιν τῆς ἰδικῆς του οὐσίας, καὶ ὑπερβῇ τὰ ὅριά του, δι' αὐτὸ ἐπαναλαμβάνουσα διδάσκει καὶ τὸν τρόπον τῆς συστάσεως, καὶ τὴν ἀρχὴν τῆς δημιουργίας, καὶ ἀπὸ ποῦ ἐδημιουργήθη ὁ πρῶτος ἄνθρωπος καὶ πῶς ἐδημιουργήθη. Διότι ἐὰν καὶ μετὰ ἀπὸ αὐτὴν τὴν διδασκαλίαν καὶ μετὰ τὴν γνῶσιν, ὅτι ἀπὸ τὴν γῆν ἔλαβε τὴν ἀρχὴν τῆς συστάσεως, ἀπὸ τὴν ὁποίαν προῆλθαν τὰ φυτὰ καὶ τὰ ἄλογα ζῶα, ἂν καὶ ἡ δημιουργία καὶ ἡ ἀσώματος οὐσία τῆς ψυχῆς ἔχει χαρίσει εἰς αὐτὸν τὴν ἐξουσίαν ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ· διότι ἐξ αἰτίας αὐτῆς ἔλαβε καὶ τὸ λογικὸν καὶ τὴν ἐξουσίαν ἐπάνω εἰς ὅλα· ἐὰν λοιπόν, ἀφοῦ ἔμαθε καὶ αὐτά, ἐφαντάσθη τὴν ἰσοθεΐαν ὁ δημιουργηθεὶς ἀπὸ τὴν γῆν ἐξ αἰτίας τῆς ἀπάτης τοῦ ὄφεως, ἐὰν περιωρίζετο εἰς τὴν πρώτην διήγησιν ὁ μακάριος αὐτὸς προφήτης, καὶ μᾶς ἐδίδασκε μὲ ἀκρίβειαν χωρὶς νὰ ἐπαναλάβῃ τὰ πάντα, εἰς ποῖον σημεῖον παραφροσύνης δὲν θὰ ἐφθάναμεν;

5. Ὥστε συντελεῖ τὰ μέγιστα διὰ τὴν διδασκαλίαν τῆς

τὸ μαθεῖν πόθεν ἐξ ἀρχῆς τὴν σύστασιν τῆς οὐσίας ἐσχήκαμεν. «Καὶ ἔπλασε», φησίν, «ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς». Ἐπειδὴ ἀνθρώποις διελέγετο οὐ δυναμένοις ἑτέρως ἀκοῦσαι, ἢ ὡς ἀκοῦσαι ἡμᾶς δυνατὸν ἦν, οὕτω τῇ παχύτητι τῶν λόγων κέχρηται, καὶ ἵνα διδάξῃ ἡμᾶς, ὅτι τοῦτον τὸν ἐκ τῆς γῆς πλασθέντα ἡ φιλανθρωπία τοῦ Δεσπότου ἐβουλήθη καὶ ψυχῆς οὐσίαν ἔχειν λογικήν, δι' ἧς τὸ ζῶον τοῦτο ἄρτιον καὶ τέλειον ἀπεδείκνυτο. «Καὶ ἐνεφύσησε», φησίν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς». Ζωτικήν, φησίν, ἐνέργειαν τὸ ἐμφύσημα ἐχαρίσατο τῷ ἐκ γῆς πλασθέντι, καὶ τοῦτο ἐγένετο σύστασις τῆς οὐσίας τῆς ψυχῆς. Ἐπήγαγε γοῦν. «Καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Ἐκεῖνος ὁ πλασθείς, ὁ ἀπὸ τοῦ χοός, δεξάμενος τὸ ἐμφύσημα τὴν πνοὴν τῆς ζωῆς, «Ἐγένετο», φησίν, «εἰς ψυχὴν ζῶσαν». Τί ἐστιν, «Εἰς ψυχὴν ζῶσαν»; Ἐνεργοῦσαν, ἔχουσαν ὑπηρετούμενα τὰ μέλη τοῦ σώματος ταῖς αὐτῆς ἐνεργείαις, καὶ τῷ βουλήματι αὐτῆς ἑπόμενα. Ἀλλ' οὐκ οἶδ' ὅπως ἡμεῖς ἀντεστρέψαμεν τὴν τάξιν, καὶ τοσαύτη γέγονεν ἡ τῆς κακίας ἐπίτασις, ὡς ταύτην ἀναγκάζειν τοῖς τῆς σαρκὸς βουλήμασιν ἐξακολουθεῖν, καὶ τὴν ἐν τάξει δεσποίνης ὀφείλουσαν προκαθῆσαι καὶ ἐπιτάττειν καταβιβάσαντες ἀπὸ τοῦ θρόνου, ὑπακούειν ταῖς τῆς σαρκὸς ἡδοναῖς καταναγκάζομεν, ἀγνοοῦντες αὐτῆς τὴν εὐγένειαν, καὶ ὅση ταύτης ἡ προεδρία τυγχάνει. Ἐννόησον γάρ μοι τὴν τάξιν τῆς διαπλάσεως, καὶ λογίζου πρὸ τοῦ ἐμφυσήματος τοῦ Δεσπότου, ὅπερ αὐτῷ γέγονεν εἰς πνοὴν ζωῆς, καὶ ἐγένετο εἰς ψυχὴν ζῶσαν, τί ἦν ὁ πλασθείς. Ἁπλῶς εἰκὼν ἄψυχος, καὶ ἀνενέργητος, καὶ εἰς οὐδὲν χρήσιμος, ὥστε τὸ πᾶν καὶ τὸ εἰς τοσαύτην αὐτὸν τιμὴν ἀγαγόν, ἐκεῖνό ἐστι τὸ παρὰ τοῦ Θεοῦ γεγονὸς εἰς αὐτὸν ἐμφύσημα. Καὶ ἵνα τοῦτο μὴ ἐκ τῶν τότε γεγενημένων, ἀλλὰ καὶ ἐκ τῶν νῦν καθ'

φιλοσοφίας τὸ νὰ μάθωμεν ἀπὸ ποῦ ἔχομεν ἐξ ἀρχῆς τὴν σύστασιν τῆς οὐσίας μας. «Καὶ ἔπλασε, λέγει, ὁ Θεὸς τὸν ἄνθρωπον, ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν καὶ ἐφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς». Ἐπειδὴ ὡμιλοῦσεν εἰς ἀνθρώπους, ποὺ δὲν ἠμποροῦσαν νὰ ἀκούσουν διαφορετικά, παρὰ ὅπως ἦτο δυνατὸν νὰ ἀκούσωμεν ἡμεῖς, ἔτσι μεταχειρίζεται τὰς ἁπλᾶς λέξεις καὶ διὰ νὰ μᾶς διδάξῃ, ὅτι ἡ φιλανθρωπία τοῦ Θεοῦ ἠθέλησε νὰ ἔχῃ ὁ πλασθεὶς ἀπὸ τὴν γῆν οὐσίαν ψυχῆς λογικήν, μὲ τὴν ὁποίαν τὸ ζῶον αὐτὸ ἀπεδεικνύετο ἄρτιον καὶ τέλειον. «Καὶ ἐφύσησε, λέγει, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς». Τὸ φύσημα, λέγει, ἐχάρισεν εἰς τὸν πλασθέντα ἀπὸ τὴν γῆν ζωοποιὸν ἐνέργειαν καὶ αὐτὸ ὑπῆρξεν ἡ σύστασις τῆς οὐσίας τῆς ψυχῆς. Ἐπρόσθεσε λοιπόν, «Καὶ ἀπέβη ὁ ἄνθρωπος ψυχὴ ζῶσα». Ἐκεῖνος ποὺ ἐπλάσθη, ποὺ προῆλθεν ἀπὸ τὸ χῶμα, ἀφοῦ ἐδέχθη τὸ φύσημα, τὴν πνοὴν τῆς ζωῆς, «Ἀπέβη, λέγει, ψυχὴ ζῶσα». Τί σημαίνει, «ψυχὴ ζῶσα»; Ὅτι ἐνεργεῖ, ὅτι ἔχει τὰ μέλη τοῦ σώματος νὰ ὑπηρετοῦν εἰς τὰς ἐνεργείας της καὶ νὰ ἀκολουθοῦν τὴν θέλησίν της. Ἀλλὰ δὲν γνωρίζω μὲ ποῖον τρόπον ἀντεστρέψαμεν ἡμεῖς τὴν τάξιν, καὶ ἔχει γίνει ἡ δύναμις τῆς κακίας τόσον μεγάλη, ὥστε νὰ ἀναγκάζῃ αὐτὴν νὰ ἀκολουθῇ τὰς ἐπιθυμίας τῆς σαρκὸς καὶ ἀφοῦ κατεβιβάσαμεν ἀπὸ τὸν θρόνον ἐκείνην ποὺ πρέπει νὰ κάθεται εἰς τὴν θέσιν τῆς ἡγέτιδος καὶ νὰ διατάσσῃ, τὴν ὑποχρεώνομεν νὰ ὑπακούῃ εἰς τὰς ἡδονὰς τῆς σαρκός, περιφρονοῦντες τὴν εὐγενικὴν της καταγωγὴν καὶ πόση εἶναι ἡ τιμή της. Διότι κατανόησε, παρακαλῶ, τὴν τάξιν τῆς δημιουργίας, καὶ σκέψου τί ἦτο ὁ ἄνθρωπος, ποὺ ἐδημιουργήθη, πρὶν ἀπὸ τὸ φύσημα τοῦ Δημιουργοῦ, τὸ ὁποῖον ἔγινεν εἰς αὐτὸν πνοὴ ζωῆς καὶ ἀπέβη αὐτὸς ψυχὴ ζῶσα. Ἦτο ἁπλῶς εἰκόνα ἄψυχος καὶ χωρὶς ἐνέργειαν καὶ εἰς τίποτε χρήσιμος, ὥστε τὸ πᾶν καὶ ἐκεῖνο ποὺ ἔφερεν εἰς αὐτὸν τόσον μεγάλην τιμὴν εἶναι ἐκεῖνο τὸ φύσημα τοῦ Θεοῦ, τὸ ὁποῖον ἔγινεν εἰς αὐτόν. Καὶ διὰ νὰ κατανοήσῃς αὐτό, ὄχι μόνον ἀπὸ ἐκεῖνα ποὺ ἔχουν γίνει τότε, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ καθημερι-

ἑκάστην ἡμέραν συμβαινόντων κατίδοις, ἐννόει μοι μετὰ τὴν τῆς ψυχῆς ἔξοδον τὸ σῶμα τοῦτο πῶς ἀηδὲς καὶ ἀτερπὲς φαίνεται· καὶ τί λέγω ἀηδὲς καὶ ἀτερπές; πῶς φευκτόν, δυσωδίας ἐμπεπλησμένον, πάσης ἀμορφίας πεπληρωμένον, τὸ πρὸ τούτου, ἡνίκα τὴν ψυχὴν εἶχεν ἡνιοχοῦσαν, φαιδρόν, χαρίεν, πολλῆς τῆς εὐμορφίας ἐμπεπλησμένον, πολλῆς τῆς συνέσεως πεπληρωμένον πολλὴν ἐπιτηδειότητα ἔχον πρὸς τὴν τῶν ἀγαθῶν πράξεων ἐνέργειαν. Ταῦτα δὴ πάντα ἐννοοῦντες, καὶ λογιζόμενοι τὴν εὐγένειαν τῆς ἡμετέρας ψυχῆς, μηδὲν ἀνάξιον αὐτῆς διαπραττώμεθα, μηδὲ καταρρυπαίνωμεν αὐτὴν ταῖς ἀτόποις πράξεσι, καθέλκοντες αὐτὴν εἰς τὴν τῆς σαρκὸς ὑποταγήν, καὶ περὶ τὴν οὕτως εὐγενῆ, καὶ τοσαύτης ἠξιωμένην προεδρίας, οὕτως ἀσυμπαθεῖς γινόμενοι, καὶ ἀγνώμονες. Διὰ γὰρ τὴν ταύτης οὐσίαν οἱ σώματι συμπεπλεγμένοι, ἐὰν βουληθῶμεν, δυνησόμεθα, τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἡμῖν συνεφαπτομένης, ταῖς ἀσωμάτοις ἁμιλλᾶσθαι δυνάμεσι, καὶ ἐν γῇ βαδίζοντες ὡς ἐν οὐρανῷ διάγοντες, οὕτω πολιτεύεσθαι, καὶ μηδὲν ἐκείνων ἔλαττον ἔχειν, ἀλλὰ τάχα κατά τι καὶ πλέον· καὶ πῶς, ἐγὼ λέγω. Ὅταν γὰρ εὑρεθῇ τις μετὰ τὸ σώματι φθαρτῷ συμπεπλέχθαι, τὰ αὐτὰ ταῖς ἄνω δυνάμεσι πολιτευόμενος, πῶς οὐ πλείονος ἀξιωθήσεται τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς, ὅτι καὶ ταῖς ἀνάγκαις τοῦ σώματος ὑποκείμενος ἀκέραιον τῆς ψυχῆς τὴν εὐγένειαν διετήρησε; Καὶ τίς ἂν δυνηθείη, φησί, τοιοῦτος εὑρεθῆναί ποτε; Εἰκότως ἀδύνατον ἡμῖν τὸ πρᾶγμα νενόμισται διὰ τὸν πολὺν τῆς ἀρετῆς αὐχμόν. Εἰ δὲ βούλει μαθεῖν, ὅτι οὐκ ἔστι τοῦτο τῶν ἀδυνάτων, ἐννόησόν μοι ἐξ ἀρχῆς μέχρι τοῦ παρόντος τοὺς εὐαρεστήσαντας τῷ Δεσπότῃ, τὸν μέγαν Ἰωάννην ἐκεῖνον, τὸν τῆς στείρας υἱόν, τὸν τῆς ἐρήμου πολίτην, Παῦλον τὸν τῆς οἰκουμένης διδάσκαλον, καὶ πάντα τῶν ἁγίων τὸν ὁρμαθόν, οἳ τῆς αὐτῆς ἡμῖν φύσεως ἐτύγχανον, ταῖς αὐταῖς τοῦ σώματος ὑποκείμενοι, καὶ μηκέτι λοι-

10. Διὰ τὴν γέννησιν τοῦ Ἰωάννου ἀπὸ τὴν στεῖρον Ἐλισάβετ βλ. Λουκᾶ 1,5-25· 57-66.

νὰ συμβαίνουν τώρα, πρόσεξε, παρακαλῶ, πῶς φαίνεται τὸ σῶμα τοῦτο ἀηδὲς καὶ δυσάρεστον μετὰ τὴν ἀπομάκρυνσιν τῆς ψυχῆς. Καὶ διατί λέγω ἀηδὲς καὶ δυσάρεστον; Εἶναι ἀνεπιθύμητον, πλῆρες δυσωδίας καὶ κάθε ἀμορφίας, τὸ ὁποῖον πρὶν ἀπὸ αὐτό, ὅταν εἶχε τὴν ψυχὴν ὁδηγόν, ἦτο εὐχάριστον, χαρούμενον, πάρα πολὺ ὅμορφον, γεμᾶτον ἀπὸ πολλὴν σύνεσιν καὶ εἶχε μεγάλην ἐπιδεξιότητα διὰ τὴν ἐπίτευξιν τῶν ἀγαθῶν ἔργων. Κατανοοῦντες λοιπὸν ὅλα αὐτὰ καὶ ἀναλογιζόμενοι τὴν εὐγενικὴν καταγωγὴν τῆς ἰδικῆς μας ψυχῆς, ἂς μὴ πράττωμεν τίποτε ἀνάξιον αὐτῆς, οὔτε νὰ τὴν μολύνωμεν μὲ ἀνοήτους πράξεις, σύροντες αὐτὴν εἰς τὴν ὑποταγὴν τῆς σαρκὸς καὶ γινόμενοι τόσον ἀντιπαθητικοὶ καὶ ἀχάριστοι πρὸς τὴν ψυχήν, ποὺ εἶναι τόσον εὐγενὴς καὶ ἔχει ἀξιωθῆ τόσον μεγάλην τιμήν. Διότι μὲ τὴν οὐσίαν αὐτῆς ἡμεῖς οἱ συνδεδεμένοι μὲ σῶμα, ἐὰν θελήσωμεν, θὰ ἠμπορέσωμεν, μὲ τὴν συμπαράστασιν τοῦ Θεοῦ, νὰ συναγωνιζώμεθα μὲ τὰς ἀσωμάτους δυνάμεις, καὶ βαδίζοντες εἰς τὴν γῆν ὡσὰν νὰ ζῶμεν εἰς τὸν οὐρανόν, ἔτσι νὰ συμπεριφερώμεθα καὶ νὰ μὴ ἔχωμεν τίποτε ὀλιγώτερον ἀπὸ ἐκείνας, ἀλλὰ ἴσως καὶ κάτι περισσότερον. Μὲ ποῖον τρόπον δέ, ἐγὼ λέγω. Διότι ὅταν εὑρεθῇ κάποιος, ὕστερα ἀπὸ τὴν σύνδεσίν του μὲ τὸ φθαρτὸν σῶμα, νὰ συμπεριφέρεται κατὰ τὸν ἴδιον τρόπον μὲ τὰς οὐρανίους δυνάμεις, πῶς δὲν θὰ ἀξιωθῇ τὴν ἐνίσχυσιν τοῦ Θεοῦ, διότι ἂν καὶ ὑπόκειται εἰς τὰς ἀνάγκας τοῦ σώματος, διετήρησεν ἀκεραίαν τὴν εὐγένειαν τῆς ψυχῆς; Καὶ ποῖος θὰ ἠμποροῦσε, λέγει κάποιος, νὰ εὑρεθῇ ποτὲ νὰ ἐπιτύχῃ αὐτό; Εὔλογα νομίζομεν ἀκατόρθωτον αὐτὸ τὸ πρᾶγμα, ἐξ αἰτίας τῆς μεγάλης δυσκολίας τῆς ἀρετῆς. Ἐὰν δὲ θέλῃς νὰ μάθῃς, ὅτι αὐτὸ δὲν εἶναι ἀπὸ τὰ ἀκατόρθωτα, σκέψου, παρακαλῶ, ἐκείνους ποὺ ἀπὸ τὴν ἀρχὴν μέχρι τώρα εὐαρέστησαν τὸν Θεόν, τὸν μέγαν ἐκεῖνον Ἰωάννην, τὸν υἱὸν τῆς στείρας[16], τὸν πολίτην τῆς ἐρήμου, τὸν διδάσκαλον τῆς οἰκουμένης Παῦλον καὶ ὅλον τὸ πλῆθος τῶν ἁγίων, οἱ ὁποῖοι εἶχον τὴν ἰδίαν μὲ ἡμᾶς φύσιν καὶ ὑπέκειντο εἰς τὰς ἰδίας ἀνάγκας τοῦ σώ-

πὸν ἀδύνατον εἶναι τὸ πρᾶγμα νόμιζε, μηδὲ ὀκνηρότερος γίνου περὶ τὴν ἀρετήν, τοσαύτας λαβὼν τὰς ἀφορμὰς παρὰ τοῦ Δεσπότου πρὸς τὸ μετ' εὐκολίας αὐτὴν ἀσπάσασθαι. Καὶ γὰρ εἰδὼς ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης τὸ ἀσθενὲς ἡμῶν τῆς προαιρέσεως, καὶ τὸ εὐόλισθον, μεγάλα φάρμακα ἡμῖν κατέλιπε, τὴν ἐκ τῶν Γραφῶν ἀνάγνωσιν, ἵνα ταῦτα ἐπιθέντες ἑαυτοῖς συνεχῶς, καὶ τοὺς βίους ἀναλογιζόμενοι τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων ἀνδρῶν, εἰς ζῆλον ἐναγώμεθα, καὶ μὴ ἀμελῶμεν τῆς ἀρετῆς, ἀλλὰ φεύγωμεν κακίαν, καὶ πάντα ποιῶμεν, ὥστε μὴ ἀναξίους ἑαυτοὺς καταστῆσαι τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ματος, καὶ νὰ μὴ θεωρῇς πλέον εἰς τὸ ἑξῆς ὅτι εἶναι ἀκατόρθωτον αὐτὸ τὸ πρᾶγμα, οὔτε νὰ γίνεσαι περισσότερον ὀκνηρὸς διὰ τὴν διάπραξιν τῆς ἀρετῆς, ἀφοῦ ἔλαβες τόσας ἀφορμὰς ἀπὸ τὸν Κύριον διὰ νὰ τὴν ἐπιδιώξῃς μὲ εὐκολίαν. Διότι πράγματι ὁ φιλάνθρωπος Κύριός μας, γνωρίζων τὴν ἀδυναμίαν καὶ τὴν εὐκολίαν τοῦ ὀλισθήματος τῆς ἰδικῆς μας διαθέσεως, μᾶς ἄφησεν ἰσχυρὰ φάρμακα, δηλαδὴ τὴν ἀνάγνωσιν τῆς Γραφῆς, ὥστε χρησιμοποιοῦντες αὐτὰ συνεχῶς καὶ σκεπτόμενοι τοὺς βίους τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων ἀνδρῶν, νὰ ὁδηγούμεθα εἰς ἅμιλλαν καὶ νὰ μὴ ἀδιαφοροῦμεν διὰ τὴν ἀρετήν, ἀλλὰ νὰ ἀποφεύγωμεν τὴν κακίαν, καὶ νὰ κάμνωμεν τὰ πάντα, διὰ νὰ μὴ καταστήσωμεν τοὺς ἑαυτούς μας ἀναξίους διὰ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά. Αὐτὰ τὰ ἀγαθὰ εἴθε ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΓ´
(Γεν. 2, 8 - 14)

«Καὶ ἐφύτευσε Κύριος ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν».

1. Ὁρῶν ὑμῶν τὸν πόθον τὸν ἀκόρεστον, καὶ τὴν ἐπιθυμίαν τὴν πολλήν, καὶ συντεταμένην τὴν διάνοιαν, καὶ πάντας κεχηνότας, καὶ ἀνεπτερωμένους πρὸς τὴν πνευματικὴν διδασκαλίαν, καίτοι πολλὴν ἐμαυτῷ πενίαν συνειδώς, συνεχῶς καὶ καθ' ἑκάστην ἡμέραν τὴν πτωχὴν ταύτην καὶ εὐτελῆ τράπεζαν ὑμῖν παρατιθέναι, σπουδάζω, θαρρῶν ὅτι τῇ ἐπιθυμίᾳ ἐκκαιόμενοι μετὰ προθυμίας δέξεσθε τὰ λεγόμενα, ἐπεὶ καὶ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. Ὅταν μὲν γὰρ διεγηγερμένην ἔχωσι τὴν ὄρεξιν οἱ δαιτυμόνες, κἂν πτωχή τις τυγχάνῃ ἡ τράπεζα, κἂν εὐτελὴς ᾖ ὁ ἑστιάτωρ, μετὰ πολλῆς τῆς ἡδονῆς δαπανῶσι τὰ παρατιθέμενα· ὅταν δὲ καταβεβλημένην ἔχωσι ὄρεξιν οἱ ἑστιώμενοι, κἂν πολυτελὴς τυγχάνῃ ἡ τράπεζα, καὶ ἔχῃ καὶ διάφορα τὰ ἐδέσματα, οὐδὲν ὄφελος, οὐκ ὄντων τῶν δυναμένων χρήσασθαι τοῖς παρασκευασθεῖσιν. Ἐνταῦθα δέ, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν καὶ ἡ προθυμία ὑμῶν διεγηγερμένη τυγχάνει, καὶ ἡ τράπεζα πνευματική, μετὰ πολλοῦ τοῦ πόθου καὶ αὐτοὶ λέγομεν, εἰδότες ὅτι νηφούσαις ἀκοαῖς παρατιθέμεθα τὰ θεῖα ταῦτα διδάγματα. Ἐπεὶ καὶ γηπόνος ἐπειδὰν λιπαρὰν εὕρῃ καὶ βαθύγειον ἄρουραν τὰ παρ' ἑαυτοῦ πάντα εἰς αὐτὴν ἐπιδειξάμενος, καὶ τοὺς αὔλακας ἀνατεμών, καὶ τὸ ἄροτρον ἑλκύσας, καὶ τὰς ἀκάνθας ἀνασπάσας, μετὰ δαψιλείας καταβάλλει τὰ σπέρματα, καὶ ταῖς χρησταῖς ἐλπίσιν

ΟΜΙΛΙΑ ΙΓ΄
(Γεν. 2, 8 - 14)

«Καὶ ἐφύτευσε Κύριος ὁ Θεὸς παράδεισον εἰς τὴν Ἐδέμ, πρὸς ἀνατολάς, καὶ ἐτοποθέτησεν ἐκεῖ τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε».

1. Βλέπων τὸν ἀκόρεστον πόθον σας, καὶ τὴν μεγάλην ἐπιθυμίαν, καὶ τὴν τεταμένην διάνοιαν, καὶ ὅλοι νὰ εἶσθε ἀφωσιωμένοι καὶ νὰ ἐνδισφέρεσθε διὰ τὴν πνευματικὴν διδασκαλίαν, ἂν καὶ γνωρίζω καλὰ τὴν μεγάλην μου πτωχείαν, προσπαθῶ νὰ σᾶς παραθέτω συνέχεια καὶ καθημερινὰ αὐτὸ τὸ πτωχὸν καὶ εὐτελὲς πνευματικὸν συμπόσιον, ἐλπίζων ὅτι φλογιζόμενοι ἀπὸ τὴν ἐπιθυμίαν θὰ δεχθῆτε μὲ προθυμίαν τὰ λεγόμενα, ἀφοῦ εἶναι δυνατὸν νὰ διαπιστώση κανεὶς ὅτι τὸ ἴδιον συμβαίνει καὶ εἰς τὰ ὑλικὰ φαγητά. Διότι ὅταν μὲν οἱ συνδαιτυμόνες ἔχουν μεγάλην ὄρεξιν, καὶ ἂν ἀκόμη εἶναι πτωχὸν τὸ τραπέζι καὶ ἀσήμαντος ὁ προσφέρων τὸ γεῦμα, μὲ πολλὴν εὐχαρίστησιν τρώγουν τὰ προσφερόμενα φαγητά· ὅταν ὅμως οἱ παρακαθήμενοι εἰς γεῦμα δὲν ἔχουν καμμίαν ὄρεξιν, καὶ ἂν ἀκόμη εἶναι πλούσιον τὸ τραπέζι καὶ ἔχῃ ποικίλα φαγητά, δὲν ὑπάρχει κανένα ὄφελος, ἀφοῦ δὲν ὑπάρχουν ἐκεῖνοι ποὺ ἠμποροῦν νὰ καταναλώσουν τὰ παρασκευασθέντα φαγητά. Ἐδῶ ὅμως, ἐπειδὴ μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ ἡ προθυμία σας εἶναι μεγάλη καὶ τὸ τραπέζι εἶναι πνευματικόν, μὲ πολὺν πόθον καὶ ἡμεῖς οἱ ἴδιοι ὁμιλοῦμεν, γνωρίζοντες ὅτι παραθέτομεν τὰ θεῖα αὐτὰ διδάγματα εἰς προσεκτικὰς ἀκοάς. Ἐπειδὴ καὶ ὁ γεωργός, ὅταν συναντήσῃ γόνιμον καὶ εὔφορον χωράφι, ἀφοῦ ἐπιδείξῃ ὅλον του τὸ ἐνδιαφέρον δι' αὐτό, καὶ ἀνοίξῃ τὰ αὐλάκια καὶ ὀργώσῃ καὶ κόψῃ τὰ ἀγκάθια, ρίπτει μὲ ἀφθονίαν τοὺς σπόρους εἰς αὐτό, καὶ

ἤδη τρεφόμενος καθ' ἑκάστην ἡμέραν τὴν βλάστησιν ἀναμένει τῶν καταβληθέντων, τῷ γονίμῳ τῆς γῆς προσέχων, καὶ πολλαπλασίονα τῶν σπερμάτων ἕτοιμος ὢν ὑποδέξασθαι τὸν ἀμητόν. Κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ὁρῶντες ὑμῶν ἐφ' ἑκάστης ἡμέρας αὐξανομένην τὴν προθυμίαν, τὸν πόθον ἀκμάζοντα, τὴν σπουδὴν ἐπίδοσιν λαμβάνουσαν, καὶ περὶ ὑμῶν χρηστὰς ἔχομεν τὰς ἐλπίδας, καὶ αὐτοὶ πλείονι προθυμίᾳ καὶ σπουδῇ τὰ εἰς δύναμιν ἡμετέραν εἰσφέρειν ἐπειγόμεθα εἰς οἰκοδομὴν τῆς ὑμετέρας ἀγάπης, εἰς δόξαν Θεοῦ, εἰς καύχημα τῆς τοῦ Θεοῦ Ἐκκλησίας. Φέρε οὖν, εἰ δοκεῖ, μικρὰ τῶν πρώην εἰρημένων ἀναλαβόντες, ἀκολούθως τοῖς σήμερον ἀναγνωσθεῖσιν ἐπεξέλθωμεν. Τί δὲ ἡμῖν ἦν τὸ πρώην κινούμενον, καὶ μέχρι ποῦ τὸν λόγον ἐκτείναντες κατελύσαμεν τὴν διδασκαλίαν, ἀναγκαῖον εἰπεῖν. «Καὶ ἔπλασε», φησίν, «ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Ὅπερ τότε ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ, καὶ διηνεκῶς λέγων οὐ παύσομαι, ὅτι πολλὴ καὶ ἄφατος ἡ φιλανθρωπία τοῦ κοινοῦ πάντων Δεσπότου ἡ περὶ τὸ γένος τὸ ἡμέτερον. Καὶ γὰρ πολλῇ συγκαταβάσει ἐχρήσατο διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν καὶ πολλῆς τιμῆς ἠξίωσε τουτὶ τὸ ζῶον, τὸν ἄνθρωπον λέγω, καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων δεικνύς, ὡς πάντων τῶν ὁρωμένων πλείονα τὴν περὶ αὐτὸν κηδεμονίαν ἐπιδείκνυται. Οὐδὲν γὰρ κωλύει καὶ σήμερον τὰ αὐτὰ διερευνήσασθαι ἐπὶ τῆς ὑμετέρας ἀγάπης. Καθάπερ γὰρ ἡ τῶν θυμιαμάτων φύσις, ὅσῳ ἂν ὑπὸ τῶν δακτύλων τῶν ἡμετέρων περιστρέφηται, πλείονα τὴν εὐωδίαν παρέχει· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῶν Γραφῶν ἐστιν ἰδεῖν γινόμενον· ὅσῳ ἄν τις ἐπὶ πλέον ταύταις ἐπιέναι σπουδάζοι, τοσούτῳ μᾶλλον κατοπτεύειν δύναται τὸν ἐγκεκρυμμένον θησαυρόν, καὶ πολὺν καὶ ἄφατον τὸν πλοῦτον

1. Γεν. 2, 7.

τρεφόμενος καθημερινὰ μὲ τὰς χρηστὰς ἐλπίδας περιμένει τὴν βλάστησιν τῶν σπόρων, παρακολουθῶν τὴν γονιμότητα τῆς γῆς, καὶ προετοιμαζόμενος νὰ ὑποδεχθῇ τὴν συγκομιδὴν μὲ περισσοτέρους καρποὺς ἀπὸ τοὺς σπόρους. Κατὰ τὸν ἴδιον λοιπὸν τρόπον καὶ ἡμεῖς, βλέποντες καθημερινὰ νὰ αὐξάνῃ ἡ προθυμία σας, νὰ εἶναι ἔντονος ὁ πόθος σας, νὰ εὐδοκιμῇ ἡ προσπάθεια, τρέφομεν χρηστὰς ἐλπίδας καὶ διὰ σᾶς, καὶ ἡμεῖς οἱ ἴδιοι ἐπειγόμεθα νὰ προσφέρωμεν μὲ περισσοτέραν προθυμίαν καὶ προσπάθειαν ὅ,τι ἠμποροῦμεν διὰ τὴν οἰκοδομὴν τῆς ἀγάπης σας, διὰ τὴν δόξαν τοῦ Θεοῦ καὶ διὰ τὸ καύχημα τῆς Ἐκκλησίας τοῦ Θεοῦ. Ἐμπρὸς λοιπόν, ἐὰν θέλετε, ἀφοῦ ἐπαναλάβωμεν σύντομα τὰ λεχθέντα προηγουμένως, ἂς ἐξετάσωμεν λεπτομερῶς εἰς τὴν συνέχειαν τὰ ἀναγνωσθέντα σήμερα. Εἶναι ἀναγκαῖον νὰ εἰποῦμεν τί μᾶς ἀπησχολοῦσε προηγουμένως καὶ μέχρι ποίου σημείου ἐφθάσαμεν σταματήσαντες τὴν διδασκαλίαν. «Καὶ ἔπλασε, λέγει ἡ Γραφή, ὁ Θεὸς τὸν ἄνθρωπον, ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν, καὶ ἐφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἀπέβη ὁ ἄνθρωπος ψυχὴ ζῶσα»[1]. Ἐκεῖνο ποὺ τότε ἔλεγα, αὐτὸ καὶ τώρα θὰ εἰπῶ καὶ δὲν θὰ σταματήσω νὰ λέγω διαρκῶς, ὅτι εἶναι μεγάλη καὶ ἀνέκφραστος ἡ φιλανθρωπία τοῦ κοινοῦ ὅλων Δεσπότου διὰ τὸ ἀνθρώπινον γένος. Διότι πράγματι ἐξεδήλωσε μεγάλην συγκατάβασιν διὰ τὴν ἰδικήν μας σωτηρίαν, καὶ ἐθεώρησεν ἄξιον μεγάλης τιμῆς αὐτὸ ἐδῶ τὸ ζῶον, δηλαδὴ τὸν ἄνθρωπον, ἀποδεικνύων καὶ μὲ λόγια καὶ μὲ ἔργα, ὅτι φροντίζει αὐτὸν περισσότερον ἀπὸ ὅλα τὰ ὁρατὰ κτίσματα. Τίποτε βέβαια δὲν ἐμποδίζει νὰ ἐξετάσωμεν καὶ σήμερα τὰ ἴδια ἐνώπιον τῆς ἰδικῆς σας ἀγάπης. Διότι ὅπως ἀκριβῶς ἡ φύσις τοῦ θυμιάματος, ὅσον θὰ περιστρέφεται ἀπὸ τὰ δάκτυλά μας, δίδει περισσοτέραν εὐωδίαν· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον εἶναι δυνατὸν νὰ ἰδοῦμεν νὰ γίνεται καὶ εἰς τὰς Γραφάς· ὅσον θὰ προσπαθῇ κανεὶς νὰ τὰς ἐρευνήσῃ περισσότερον, τόσον περισσότερον ἠμπορεῖ νὰ διακρίνῃ τὸν κρυμμένον θησαυρὸν καὶ νὰ ἀποκομίζῃ ἀπὸ αὐτὰς καὶ πολὺν καὶ

ἐντεῦθεν καρποῦσθαι. «Καὶ ἔπλασε», φησίν, «ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς». Σκόπει μοι τὴν διαφορὰν εὐθέως ἐξ αὐτοῦ τοῦ προοιμίου τῶν λόγων. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων τῶν δημιουργηθέντων ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς τὸν τρόπον λέγων τῆς δημιουργίας, ὅτι «Εἶπεν ὁ Θεός, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· Γενηθήτω στερέωμα· καί, Συναχθήτω τὸ ὕδωρ, φησί· καί, Γενηθήτωσαν φωστῆρες· καί, Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου· καί, Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· καί, Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν». Εἶδες πῶς λόγῳ τὰ πάντα ἐδημιουργήθη; Ἀλλ' ἴδωμεν λοιπὸν ἐπὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας τί φησι. «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον». Ὅρα πῶς διὰ τῆς τῶν ῥημάτων συγκαταβάσεως, οἷς διὰ τὴν ἡμετέραν ἀσθένειαν ἐχρήσατο, ὁμοῦ καὶ τὸν τρόπον τῆς δημιουργίας διδάσκει, καὶ τὸ ἐνηλλαγμένον καὶ μονονουχί, ἵνα ἀνθρωπίνως εἴπω, ταῖς χερσὶν αὐτὸν διαπλαττόμενον ὑποδείκνυσι τοῦ Θεοῦ, καθὼς καὶ ἕτερος προφήτης φησίν· «Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με». Εἰ γὰρ προσέταξεν ἁπλῶς, εἰπέ μοι, ἐκ τῆς γῆς ἀναδοθῆναι τὸν ἄνθρωπον, οὐκ ἂν παρήχθη τὸ προσταχθέν; Ἀλλ' ἵνα διὰ τοῦ τρόπου τῆς δημιουργίας διδασκαλίαν ἡμῖν ἐναποθῆται διηνεκῆ, ὥστε μὴ πλέον τι τῆς φύσεως φαντάζεσθαι, διὰ τοῦτο οὕτω μετὰ ἀκριβείας ἅπαντα διηγεῖται, καί φησιν· «Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς».

2. Ὅρα καὶ ἐν τούτῳ αὐτῷ τὴν τιμήν. Οὐ γὰρ ἁπλῶς γῆν λαμβάνει, ἀλλὰ χοῦν, τὸ λεπτότατον, ὡς ἂν εἴποι τις, τῆς γῆς, καὶ τοῦτον αὐτὸν τὸν χοῦν τὸν ἀπὸ τῆς γῆς τῷ οἰκείῳ προστάγματι εἰς σώματος φύσιν μετέστησεν. Ὥσπερ γὰρ αὐτὴν τὴν οὐσίαν τῆς γῆς οὐχ ὑφεστῶσαν παρήγαγεν, οὕτω καὶ νῦν, ὅτε ἐβουλήθη, τὸν χοῦν ἀπὸ τῆς γῆς εἰς σῶμα μετέστησεν. Ἐνταῦθα ἀναβοῆσαι καλὸν τὸ παρὰ τοῦ μακαρίου Δαυῒδ εἰρημένον· «Τίς λαλήσει τὰς δυναστείας τοῦ

2. Ἀναφέρεται περιληπτικὰ εἰς τὸ ἔργον τῆς δημιουργίας.
3. Ἰὼβ 10, 8.

ἀνέκφραστον πλοῦτον. «Καὶ ἔπλασε, λέγει, ὁ Θεὸς τὸν ἄνθρωπον, ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν». Πρόσεξε, παρακαλῶ, τὴν διαφορὰν ἀμέσως ἀπὸ αὐτὴν τὴν ἀρχὴν τῶν λόγων. Διότι δι' ὅλα τὰ ἄλλα δημιουργήματα μᾶς ἐδίδαξεν ὁ μακάριος Μωυσῆς τὸν τρόπον τῆς δημιουργίας των λέγων, ὅτι «Εἶπεν ὁ Θεός, ἄς γίνῃ φῶς, καὶ ἔγινε φῶς· Ἄς γίνῃ τὸ στερέωμα τοῦ οὐρανοῦ· καί, Ἄς συναχθοῦν τὰ ὕδατα, λέγει· καί, Ἄς γίνουν φωστῆρες· καί, Ἄς βλαστήσῃ ἡ γῆ χόρτον χλωρόν· καί, Ἄς γεμίσουν τὰ ὕδατα ἑρπετὰ ζῶντα· καί, Ἄς παράγῃ ἡ γῆ τὰ εἴδη τῶν ζώων»[2]. Εἶδες πῶς μὲ τὸν λόγον ἐδημιουργήθησαν τὰ πάντα; Ἀλλὰ ἄς ἰδοῦμεν εἰς τὴν συνέχειαν τί λέγει διὰ τὴν δημιουργίαν τοῦ ἀνθρώπου. «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον». Πρόσεξε πῶς μὲ τὴν συγκατάθεσιν τῶν λέξεων, τὰς ὁποίας διὰ τὴν ἰδικήν μας ἀδυναμίαν ἐχρησιμοποίησε, διδάσκει μαζὶ καὶ τὸν τρόπον τῆς δημιουργίας, καὶ τὸ μεταβαλλόμενον εἰς τὴν δημιουργίαν καὶ σχεδόν, διὰ νὰ ὁμιλήσω ἀνθρωπίνως, παρουσιάζει αὐτὸν νὰ διαπλάσσεται ἀπὸ τὰ χέρια τοῦ Θεοῦ, καθὼς καὶ ἄλλος προφήτης λέγει· «Τὰ χέρια σου μὲ ἔκαμαν καὶ μὲ ἔπλασαν»[3]. Ἐὰν λοιπὸν ἐπρόσταζεν ἁπλῶς, εἰπέ μου, νὰ προέλθῃ ὁ ἄνθρωπος ἀπὸ τὴν γῆν, δὲν θὰ ἐπραγματοποιεῖτο ἡ προσταγή; Ἀλλὰ διὰ νὰ μᾶς ἀφήσῃ μὲ τὸν τρόπον τῆς δημιουργίας παντοτινὴν διδασκαλίαν, ὥστε νὰ μὴ φανταζώμεθα κάπως περισσότερον ἀπὸ τὴν φύσιν μας, δι' αὐτὸ διηγεῖται ὅλα ἔτσι μὲ ἀκρίβειαν, καὶ λέγει· «Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν».

2. Πρόσεξε καὶ εἰς αὐτὸ ἀκόμη τὴν τιμήν. Διότι δὲν λαμβάνει ἁπλῶς γῆν, ἀλλὰ χῶμα, τὸ λεπτότατον, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, στοιχεῖον τῆς γῆς, καὶ αὐτὸ ἀκριβῶς τὸ χῶμα, ποὺ ἔλαβε ἀπὸ τὴν γῆν, τὸ μετέτρεψε μὲ τὴν προσταγήν του εἰς σῶμα. Διότι ὅπως ἐδημιούργησεν αὐτὴν τὴν οὐσίαν τῆς γῆς χωρὶς νὰ ὑπάρχῃ, ἔτσι καὶ τώρα, ὅταν ἠθέλησε, μετέτρεψεν εἰς σῶμα τὸ χῶμα ποὺ ἔλαβεν ἀπὸ τὴν γῆν. Ἐδῶ εἶναι καλὸν νὰ ἀναφωνήσωμεν τὸ λεχθὲν ἀπὸ τὸν μακάριον Δαυΐδ· «Ποῖος ἠμπορεῖ νὰ

Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;»· ὅτι ἀπὸ χοὸς τοιοῦτον ζῶον ἀνέδειξε, καὶ εἰς τοσαύτην τιμὴν ἀνήγαγε, καὶ τοσαύτας εὐεργεσίας εἰς αὐτὸν ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπιδείκνυται, δεικνὺς διὰ πάντων τὴν οἰκείαν φιλανθρωπίαν. «Καὶ ἐνεφύσησε», φησίν, «εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Ἐνταῦθά τινες τῶν ἀγνωμόνων, ἐξ οἰκείων λογισμῶν κινούμενοι, καὶ οὐδὲν θεοπρεπὲς ἐννοοῦντες, οὔτε τὴν συγκατάβασιν τῶν ῥημάτων λογιζόμενοι, λέγειν ἐπιχειροῦσιν ὅτι ἐκ τῆς τοῦ Θεοῦ οὐσίας ἐστὶν ἡ ψυχή. Ὢ τῆς μανίας· ὢ τῆς παραφροσύνης· πόσας ὁδοὺς ἀπωλείας ὁ διάβολος ἔτεμε τοῖς αὐτὸν θεραπεύειν βουλομένοις; Καὶ ἵνα μάθῃς, σκόπει πῶς ἀπεναντίας ἀλλήλοις ἔρχονται. Οἱ μὲν γὰρ αὐτῶν ἐπιλαβόμενοι τῆς λέξεως τῆς λεγούσης, ὅτι «Ἐνεφύσησε», λέγουσιν, ὅτι ἐκ τῆς οὐσίας τοῦ Θεοῦ τυγχάνουσιν αἱ ψυχαί· ἕτεροι πάλιν φασὶν ὅτι καὶ εἰς τὴν τῶν ἀτιμοτάτων ἀλόγων οὐσίαν μεθίστανται αὗται. Τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; Ἐπειδὴ γὰρ ἐσκοτίσθη ὁ λογισμὸς αὐτῶν, καὶ τὸν ἀληθῆ τῆς Γραφῆς νοῦν ἠγνόησαν, καθάπερ πηρωθέντες τὸ ὄμμα τῆς διανοίας, ἀπεναντίας ἀλλήλοις κατὰ κρημνὸν φέρονται, οἱ μὲν ὑπὲρ τὴν ἀξίαν αὐτὴν ἀνάγοντες, οἱ δὲ παρὰ τὴν ἀξίαν κατάγοντες. Εἰ γὰρ μέλλοιεν διὰ τὸ λέγειν τὴν Γραφήν, «Ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ», καὶ στόμα περιτιθέναι τῷ Θεῷ, ἀνάγκη καὶ χεῖρας αὐτῷ περιάπτειν· ἐπειδὴ εἶπεν,« Ἔπλασε τὸν ἄνθρωπον». Ἀλλ' ἵνα μὴ βουλόμενοι τὴν ἐκείνων λοιδορίαν εἰς μέσον προτιθέναι, ἀναγκαζώμεθα καὶ αὐτοὶ τὰ μὴ πλείονα φθέγγεσθαι, φέρε δὴ λοιπὸν τὴν μὲν ἄνοιαν αὐτῶν, καὶ τὴν πολλὴν φρενοβλάβειαν ἐκτρεπώμεθα, κατακολουθήσωμεν δὲ τῷ σκοπῷ τῆς θείας Γραφῆς ἑαυτὴν ἑρμηνευούσης, μόνον ἐὰν ἡμεῖς μὴ τῇ παχύτητι τῶν ῥημάτων προσέχωμεν, ἀλλ' ἐκεῖνο ἐννοῶ-

4. Ψαλμ. 105, 2.

διηγηθῇ τὰ κραταιὰ ἔργα τοῦ Κυρίου, νὰ κάμῃ γνωστὰς ὅλας τὰς αἰνέσεις του;»[4]; διότι ἀπὸ τὸ χῶμα ἀνέδειξε τέτοιο ζῶον, καὶ ἀνύψωσεν εἰς τόσον μεγάλην τιμήν, καὶ δείχνει ἀμέσως ἀπὸ τὴν ἀρχὴν τόσας εὐεργεσίας πρὸς αὐτάν, ἀποδεικνύων μὲ ὅλα τὴν ἰδικήν του φιλανθρωπίαν. «Καὶ ἐφύσησε, λέγει, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἀπέβη ὁ ἄνθρωπος ψυχὴ ζῶσα». Ἐδῶ μερικοὶ ἀγνώμονες, κινούμενοι ἐξ ἰδίων λογισμῶν καὶ μὴ κατανοοῦντες τίποτε τὸ θεοπρεπές, οὔτε τὴν συγκατάθεσιν τῶν λέξεων ἀναλογιζόμενοι, ἐπιχειροῦν νὰ λέγουν, ὅτι ἡ ψυχὴ προέρχεται ἀπὸ τὴν οὐσίαν τοῦ Θεοῦ. Πόση εἶναι ἡ παραφροσύνη! πόση ἡ ἀνοησία! πόσους δρόμους καταστροφῆς ἤνοιξεν ὁ διάβολος εἰς τοὺς ἐπιθυμοῦντας νὰ τὸν ὑπακούουν; Καὶ διὰ νὰ μάθῃς, σκέψου πῶς ἔρχονται ἀντίπαλοι μεταξύ των. Διότι ἄλλοι μὲν ἀπὸ αὐτοὺς στηριζόμενοι εἰς τὴν λέξιν πού λέγει, ὅτι «Ἐφύσησεν», ἰσχυρίζονται, ὅτι αἱ ψυχαὶ προέρχονται ἀπὸ τὴν οὐσίαν τοῦ Θεοῦ· ἄλλοι πάλιν ἰσχυρίζονται, ὅτι αὐταὶ μεταβάλλονται εἰς τὴν οὐσίαν τῶν εὐτελεστάτων ζώων. Τί θὰ ἠμποροῦσε νὰ γίνῃ χειρότερον ἀπὸ τὴν ἀνοησίαν αὐτήν; Ἐπειδὴ λοιπὸν ἐσκοτίσθη ἡ σκέψις των καὶ ἠγνόησαν τὸ ἀληθινὸν νόημα τῆς Γραφῆς, ὡσὰν τυφλωμένοι κατὰ τὴν διάνοιαν, ὁδηγοῦνται εἰς τὴν καταστροφὴν ἀντιμέτωποι μεταξύ των, οἱ μὲν τιμῶντες αὐτὴν ὑπεράνω ἀπὸ τὴν ἀξίαν της, οἱ ἄλλοι δὲ ὑποτιμῶντες αὐτὴν κάτω ἀπὸ τὴν ἀξίαν της. Διότι ἐὰν πρόκειται, ἐπειδὴ λέγει ἡ Γραφή, «Ἐφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ», νὰ θέσουν καὶ στόμα εἰς τὸν Θεόν, εἶναι ἀνάγκη νὰ βάλουν καὶ χέρια εἰς αὐτόν, ἐπειδὴ εἶπεν, «Ἔπλασε τὸν ἄνθρωπον». Ἀλλὰ διὰ νὰ μὴ ἀναγκαζώμεθα καὶ ἡμεῖς οἱ ἴδιοι νὰ λέγωμεν ἐκεῖνα πού δὲν πρέπει, ἐπειδὴ θέλομεν νὰ παρουσιάζωμεν ἐνώπιόν σας τὴν ἀνοησίαν ἐκείνων, ἐμπρὸς λοιπὸν ἂς ἀπομακρυνώμεθα εἰς τὸ ἑξῆς ἀπὸ τὴν μωρίαν καὶ τὴν μεγάλην παραφροσύνην των, καὶ ἂς ἀκολουθήσωμεν πιστὰ τὸ νόημα τῆς Ἁγίας Γραφῆς, ἡ ὁποία ἑρμηνεύει τὸν ἑαυτόν της, ἐὰν δὲν προσέχωμεν μόνον εἰς τὰς ἁπλοϊκὰς ἐκφράσεις, ἀλλὰ ἐὰν κατανοοῦ-

μεν, ὅτι αἰτία τῆς τῶν λέξεων παχύτητος ἡ ἀσθένεια τυγχάνει ἡ ἡμετέρα. Οὐδὲ γὰρ ἦν ἑτέρως τὴν ἀκοὴν τὴν ἀνθρωπίνην δέξασθαι τὰ λεγόμενα, μὴ τοσαύτης ἀπολαύσασαν τῆς συγκαταβάσεως. Ἐννοοῦντες τοίνυν καὶ τὴν ἑαυτῶν ἀσθένειαν, καὶ ὅτι περὶ Θεοῦ ἐστι τὰ λεγόμενα, οὕτω δεχόμεθα τὰ εἰρημένα, ὡς εἰκὸς περὶ Θεοῦ λέγεσθαι, μὴ εἰς σωμάτων σχηματισμὸν καὶ μελῶν σύνθεσιν τὸ Θεῖον κατάγοντες, ἀλλὰ θεοπρεπῶς ἅπαντα νοοῦντες. Ἁπλοῦν γὰρ καὶ ἀσύνθετον καὶ ἀσχημάτιστον τὸ Θεῖον· ἐπεὶ εἰ μέλλοιμεν ἐξ ἑαυτῶν ὁρμώμενοι, καὶ μελῶν σύνθεσιν περιτιθέναι τῷ Θεῷ, λανθάνομεν ἑαυτοὺς εἰς τὴν ἑλληνικὴν ἀσέβειαν ἐκπίπτοντες. Ὅταν οὖν ἀκούσῃς τῆς Γραφῆς λεγούσης, «Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον», τὴν αὐτὴν νόει δύναμιν τῷ, «Γενηθήτω»· καὶ πάλιν ὅταν ἀκούσῃς, ὅτι «Ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς», τοῦτο πάλιν λογίζου, ὅτι ἔδοξεν αὐτῷ, καθάπερ τὰς ἀσωμάτους δυνάμεις παρήγαγεν, οὕτω καὶ τὸ σῶμα τοῦτο τὸ ἀπὸ τοῦ χοὸς ψυχὴν ἔχειν λογικὴν τὴν τοῖς μέλεσι τοῦ σώματος κεχρῆσθαι δυναμένην. Δημιουργηθὲν γὰρ τουτὶ τὸ σῶμα κατὰ τὸ πρόσταγμα τοῦ Δεσπότου, καθάπερ ὄργανον ἔκειτο δεόμενον τοῦ κινοῦντος αὐτό, μᾶλλον δὴ καθάπερ λύρα χρῄζουσά τινος τοῦ δυναμένου διὰ τῆς οἰκείας τέχνης καὶ σοφίας, ὥσπερ διὰ δονάκων τινῶν, διὰ τῶν μελῶν τῶν ἐν ἑαυτῷ τὴν προσήκουσαν μελῳδίαν ἀναφέρειν τῷ Δεσπότῃ. «Ἐνεφύσησε», φησίν, «εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Τί ἐστιν, «Ἐνεφύσησε πνοὴν ζωῆς»; Τὸ σῶμα, φησί, τοῦτο τὸ δημιουργηθὲν ἐβουλήθη καὶ προσέταξε ζωτικὴν ἔχειν δύναμιν, ἥτις ἐγένετο τῷ ζώῳ εἰς ψυχὴν ζῶσαν, τοῦτ' ἔστιν ἐνεργοῦσαν, καὶ τὴν ἑαυτῆς τέχνην διὰ τῆς τῶν μελῶν κινήσεως ἐπιδείκνυσθαι δυναμένην.

3. Καὶ σκόπει καὶ ἐν αὐτῷ τούτῳ τὴν διαφορὰν τοῦ θαυμαστοῦ τούτου ζώου τοῦ λογικοῦ, καὶ τῆς τῶν ἀλόγων δη-

5. Δηλαδὴ τὴν εἰδωλολατρείαν, ἡ ὁποία ἀπέδιδεν ἀνθρωπίνην μορφὴν εἰς τοὺς θεούς της.

μεν αὐτό, ὅτι δηλαδὴ αἰτία τῶν ἁπλοϊκῶν λέξεων εἶναι ἡ ἰδική μας ἀδυναμία. Διότι δὲν ἦτο δυνατὸν νὰ δεχθῇ διαφορετικὰ τὸ αὐτὶ τὸ ἀνθρώπινον τὰ λεγόμενα, ἐὰν δὲν ἐδέχετο τόσην συγκατάβασιν. Κατανοοῦντες λοιπὸν καὶ τὴν ἰδικήν μας ἀδυναμίαν καὶ ὅτι τὰ λεγόμενα ἀναφέρονται εἰς τὸν Θεόν, ἂς δεχώμεθα ἔτσι τὰ λεχθέντα, ὡς νὰ λέγωνται πράγματι περὶ τοῦ Θεοῦ, χωρὶς νὰ κατεβάζωμεν τὸ Θεῖον εἰς τὸ σχῆμα τῶν σωμάτων καὶ τὴν σύνθεσιν τῶν μελῶν, ἀλλὰ νὰ κατανοοῦμεν τὰ πάντα κατὰ θεοπρεπῆ τρόπον. Διότι τὸ θεῖον εἶναι ἁπλοῦν καὶ ἀσύνθετον καὶ χωρὶς σχῆμα. Διότι ἐὰν πρόκειται κρίνοντες ἀπὸ τοὺς ἑαυτούς μας νὰ ἀποδώσωμεν εἰς τὸν Θεὸν καὶ σύνθεσιν μελῶν, πίπτομεν ἀσυναίσθητα εἰς τὴν ἑλληνικὴν ἀσέβειαν[5]. Ὅταν λοιπὸν ἀκούσῃς τὴν Γραφὴν νὰ λέγῃ, «Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον», νὰ ἐννοῇς τὴν ἰδίαν δύναμιν μὲ τό, «Ἂς γίνῃ'» καὶ ὅταν πάλιν ἀκούσῃς, ὅτι «Ἐφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς», τοῦτο πάλιν νὰ σκέπτεσαι, ὅτι ἐφάνη καλὸν εἰς αὐτόν, ὅπως ἐδημιούργησε τὰς ἀσωμάτους δυνάμεις, ἔτσι καὶ τὸ σῶμα αὐτό, τὸ ὁποῖον προέρχεται ἀπὸ τὸ χῶμα, νὰ ἔχῃ ψυχὴν λογικήν, ποὺ ἠμπορεῖ νὰ χρησιμοποιῇ τὰ μέλη τοῦ σώματος. Ἀφοῦ λοιπὸν ἐδημιουργήθη τὸ σῶμα αὐτὸ σύμφωνα μὲ τὴν προσταγὴν τοῦ Δεσπότου, ἦτο ὡσὰν ὄργανον ποὺ ἐχρειάζετο ἐκεῖνον ποὺ θὰ τὸ ἔθετε εἰς κίνησιν, μᾶλλον δὲ ὡσὰν λύρα ποὺ ἐχρειάζετο κάποιον νὰ ἠμπορῇ μὲ τὴν τέχνην καὶ τὴν σοφίαν του, ὅπως μὲ μερικοὺς αὐλούς, νὰ ἀναπέμπῃ εἰς τὸν Δεσπότην τὴν ἁρμόζουσαν μελωδίαν μὲ τὰ εὑρισκόμενα εἰς αὐτὸν μέλη. «Ἐφύσησε, λέγει, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἀπέβη ὁ ἄνθρωπος ψυχὴ ζῶσα». Τί σημαίνει, «Ἐφύσησε πνοὴν ζωῆς»; Τὸ σῶμα, λέγει, αὐτὸ ποὺ ἐδημιουργήθη, ἠθέλησε καὶ ἐπρόσταξε νὰ ἔχῃ ζωοποιὸν δύναμιν, ἡ ὁποία κατέστησε τὸ ζῶον ζῶσαν ψυχήν, δηλαδὴ δύναμιν ποὺ ἐνεργεῖ καὶ ἠμπορεῖ νὰ ἐπιδεικνύῃ τὴν τέχνην της μὲ τὴν κίνησιν τῶν μελῶν τοῦ σώματος.

3. Καὶ πρόσεξε καὶ εἰς αὐτὸ ἀκόμη τὴν διαφορὰν τοῦ θαυμαστοῦ τούτου λογικοῦ ζώου ἀπὸ τὴν δημιουργίαν τῶν

μιουργίας. Ἐπ' ἐκείνων μὲν γάρ φησιν· «Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν», καὶ ὁμοῦ ἀνεδίδοτο ἐκ τῶν ὑδάτων ζῶα ἔμψυχα· καὶ ἐπὶ τῆς γῆς πάλιν ὡσαύτως· «Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν». Ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ οὕτως, ἀλλὰ πρότερον ἀπὸ τοῦ χοὸς τὸ σῶμα δημιουργεῖται, καὶ μετὰ ταῦτα ἡ ζωτικὴ δύναμις αὐτῷ δίδοται, ὅπερ ἐστὶν ἡ τῆς ψυχῆς οὐσία. Διὰ τοῦτο καὶ περὶ τῶν ἀλόγων ἔλεγε Μωϋσῆς, ὅτι «Τὸ αἷμα αὐτοῦ ἡ ψυχὴ αὐτοῦ ἐστιν». Ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐσία τίς ἐστιν ἀσώματος καὶ ἀθάνατος πολλὴν πρὸς τὸ σῶμα τὴν ὑπεροχὴν κεκτημένη, καὶ τοσαύτην, ὅσην εἰκὸς τὸ ἀσώματον τοῦ σώματος. Ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν, εἰ τιμιώτερον ἡ ψυχὴ τοῦ σώματος, τὸ ἔλαττον πρῶτον δημιουργεῖται, καὶ τότε τὸ μεῖζον καὶ ὑπερέχον; Οὐχ ὁρᾷς, ἀγαπητέ, ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο γέγονεν; Ὥσπερ γὰρ οὐρανός, καὶ γῆ, καὶ ἥλιος, καὶ σελήνη, καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη, καὶ τὰ ζῶα τὰ ἄλογα, καὶ μετὰ ταῦτα ἅπαντα ὁ ἄνθρωπος, ὁ τούτων ἁπάντων τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν αὐτῇ τῇ διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα παράγεται, καὶ τότε ἡ ψυχὴ ἡ τιμιωτέρα. Ὃν γὰρ τρόπον τὰ ἄλογα τὰ πρὸς ὑπηρεσίαν μέλλοντα τῷ ἀνθρώπῳ εἶναι χρήσιμα, πρὸ τοῦ ἀνθρώπου δημιουργεῖται, ἵνα ἑτοίμην ἔχῃ τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν· οὕτω καὶ πρὸ τῆς ψυχῆς τὸ σῶμα δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψυχὴ παραχθῇ, ἔχῃ τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως. «Καὶ ἐφύτευσε», φησίν, ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν». Ἐπειδὴ τὴν οἰκείαν φιλανθρωπίαν ἐπεδείξατο ὁ τῶν ὅλων Δεσπότης, καὶ δι' ὃν πάντα τὰ ὁρώμενα ἐδημιούργησεν, καὶ παρήγαγεν εἰς μέσον, εὐθέως ἄρχεται

6. Λευϊτ. 17, 11.

ἀλόγων ζώων. Διότι δι' ἐκεῖνα μὲν λέγει· «Ἂς γεμίσουν τὰ ὕδατα ἑρπετὰ ζῶντα», καὶ ἀμέσως παρήγοντο ἀπὸ τὰ ὕδατα ζῶντα ζῶα· καὶ διὰ τὴν γῆν πάλιν ὁμοίως λέγει· «Ἂς παράγῃ ἡ γῆ τὰ εἴδη τῶν ζώων». Εἰς τὸν ἄνθρωπον ὅμως δὲν συμβαίνει ἔτσι, ἀλλὰ πρῶτα δημιουργεῖται τὸ σῶμα ἀπὸ τὸ χῶμα, καὶ ὕστερα δίδεται εἰς αὐτὸν ἡ ζωοποιὸς δύναμις, πρᾶγμα ποὺ εἶναι ἡ οὐσία τῆς ψυχῆς. Δι' αὐτὸ καὶ περὶ τῶν ἀλόγων ἔλεγεν ὁ Μωυσῆς, ὅτι «Τὸ αἷμα του εἶναι ἡ ψυχή του»[6]. Εἰς τὸν ἄνθρωπον ὅμως κάποια οὐσία εἶναι ἀσώματος καὶ ἀθάνατος, ἔχει μεγάλην ὑπεροχὴν πρὸς τὸ σῶμα, καὶ τόσον μεγάλην, ὅση εἶναι φυσικὸν νὰ ἔχῃ τὸ ἀσώματον ἀπὸ τὸ σῶμα. Ἀλλὰ ἴσως θὰ εἰπῇ κάποιος, καὶ διὰ ποῖον λόγον, ἐὰν ἡ ψυχὴ εἶναι τιμιώτερον πρᾶγμα ἀπὸ τὸ σῶμα, τὸ μικρότερον δημιουργεῖται πρῶτον, καὶ ὕστερα τὸ μεγαλύτερον καὶ ἀνώτερον; Δὲν βλέπεις, ἀγαπητέ, ὅτι καὶ εἰς τὴν δημιουργίαν τοῦ σύμπαντος ἔχει γίνει ἀκριβῶς τὸ ἴδιον; Διότι ὅπως ἀκριβῶς ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὅλα τὰ ἄλλα ἐδημιουργήθησαν, καὶ τὰ ἄλογα ζῶα, καὶ ὕστερα ἀπὸ ὅλα αὐτὰ ὁ ἄνθρωπος, ὁ ὁποῖος ἐπρόκειτο νὰ λάβῃ τὴν ἐξουσίαν ἐπάνω εἰς αὐτὰ ὅλα, κατὰ τὸν ἴδιον ἀκριβῶς τρόπον καὶ εἰς αὐτὴν τὴν δημιουργίαν τοῦ ἀνθρώπου, δημιουργεῖται πρῶτα τὸ σῶμα καὶ ὕστερα ἡ ψυχή, ποὺ ἔχει περισσοτέραν ἀξίαν. Ὅπως λοιπὸν τὰ ἄλογα ζῶα, τὰ ὁποῖα πρόκειται νὰ εἶναι χρήσιμα εἰς τὴν ἐξυπηρέτησιν τοῦ ἀνθρώπου, δημιουργοῦνται πρὶν ἀπὸ τὸν ἄνθρωπον, διὰ νὰ ἔχῃ ἕτοιμον τὴν ἐξυπηρέτησιν αὐτὸς ποὺ πρόκειται νὰ ἀπολαμβάνῃ τὴν χρησιμότητα αὐτῶν· ἔτσι καὶ πρὶν ἀπὸ τὴν ψυχὴν δημιουργεῖται τὸ σῶμα, ὥστε, ὅταν σύμφωνα μὲ ἀπόρρητον σοφίαν του δημιουργηθῇ ἡ ψυχή, νὰ ἠμπορῇ νὰ ἐπιδεικνύῃ τὰς ἐνεργείας της μὲ τὴν κίνησιν τοῦ σώματος. «Καὶ ἐφύτευσε, λέγει, ὁ Θεὸς παράδεισον εἰς τὴν Ἐδέμ, πρὸς ἀνατολάς, καὶ ἐτοποθέτησεν ἐκεῖ τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασεν». Ἀφοῦ ἐπέδειξε τὴν φιλανθρωπίαν του ὁ Κύριος τοῦ παντός, καὶ δι' ἐκεῖνον διὰ τὸν ὁποῖον[7] ἐδημιούργησε τὰ ὁρατὰ ὅλα, καὶ τὰ ἐπαρουσίασεν εἰς αὐτόν, ἀμέσως ἀρχίζει νὰ παραθέτῃ τὰς πρὸς αὐτὸν

τὰς εἰς αὐτὸν εὐεργεσίας κατατίθεσθαι. «Καὶ ἐφύτευσεν ὁ Θεός», φησί, «παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς». Σκόπει καὶ ἐνταῦθα, ἀγαπητέ, ὅτι ἐὰν μὴ θεοπρεπῶς τὰ ῥήματα δεχώμεθα, εἰς βαθὺν κρημνὸν ἀνάγκη κατενεχθῆναι. Τί γὰρ ἂν εἰπεῖν ἔχοιεν, καὶ ἐπὶ τούτου τοῦ ῥήματος, οἱ πάντα τὰ περὶ τοῦ Θεοῦ λεγόμενα ἀνθρωπίνως ἐκλαμβάνειν τολμῶντες; «Καὶ ἐφύτευσεν ὁ Θεός», φησί, «παράδεισον». Τί οὖν; εἰπέ μοι· σκαπάνης ἐδεήθη καὶ γεωργίας, καὶ τῆς ἄλλης ἐπιμελείας, ἵνα καλλωπίσῃ τὸν παράδεισον; Μὴ γένοιτο. Πάλιν γὰρ καὶ ἐνταῦθα τό, «Ἐφύτευσεν», οὕτω δεῖ νοεῖν, ὅτι προσέταξε παράδεισον ἐν τῇ γῇ γενέσθαι, ὥστε τὸν παραχθέντα ἄνθρωπον τούτῳ ἐνδιαιτᾶσθαι. Ὅτι γὰρ διὰ τοῦτον τὸν παράδεισον παρήγαγεν, ἄκουσον αὐτῆς τῆς Γραφῆς λεγούσης· «Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν». Διὰ τοῦτο καὶ τὸ ὄνομα τοῦ τόπου ἐντίθησιν ἐν τοῖς γράμμασιν ὁ μακάριος Μωϋσῆς, ἵνα μὴ ἐξῇ τοῖς φλυαροῖν μάτην βουλομένοις ἀπατᾶν τῶν ἀφελεστέρων τὰς ἀκοάς, καὶ λέγειν, μὴ εἶναι ἐν τῇ γῇ τὸν παράδεισον, ἀλλ' ἐν οὐρανῷ, καὶ μυθολογίας τινὰς τοιαύτας ὀνειροπολεῖν. Εἰ γὰρ καὶ τοσαύτῃ χρησαμένης ἀκριβείᾳ τῆς θείας Γραφῆς, οὐ παρῃτήσαντό τινες τῶν ἐπὶ εὐλωττίᾳ μεγαλοφρονούντων, καὶ τῇ σοφίᾳ τῇ ἔξωθεν, ἀπεναντίας τοῖς γεγραμμένοις φθέγγεσθαι, καὶ εἰπεῖν, μὴ ἐπὶ τῆς γῆς εἶναι τὸν παράδεισον, καὶ πολλὰ ἕτερα τῶν εἰρημένων παρεγγυῶντες, μὴ ὡς γέγραπται φρονεῖν, ἀλλ' ἀπεναντίας ἔρχεσθαι, καὶ τὰ ἐπὶ τῆς γῆς εἰρημένα περὶ τῶν ἐν οὐρανοῖς νομίζειν εἰρῆσθαι· εἰ μὴ τῇ ταπεινότητι τούτων τῶν λόγων, καὶ τῇ συγκαταβάσει ὁ μακάριος Μωϋσῆς ἐχρήσατο, τοῦ ἁγίου Πνεύματος τὴν γλῶτταν αὐτοῦ κινοῦντος, ποῦ οὐκ ἂν ἐξεκυλίσθησαν, καίτοι γε τῆς ἁγίας Γραφῆς, ἐπειδὰν βούληταί τι τοιοῦτον ἡμᾶς διδάσκειν, ἑαυτὴν ἑρμηνευούσης, καὶ οὐκ ἀφιείσης πλανᾶσθαι τὸν ἀκροατήν; Ἀλλ' ἐπειδὴ οἱ πολλοὶ οὐ διὰ τὸ καρπώσασθαί

7. Δηλ. τὸν ἄνθρωπον.

εὐεργεσίας. «Καὶ ἐφύτευσεν ὁ Θεός, λέγει, παράδεισον εἰς τὴν Ἐδέμ, πρὸς ἀνατολάς». Πρόσεξε καὶ ἐδῶ, ἀγαπητέ, ὅτι ἐὰν δὲν ἐννοοῦμεν τὰς λέξεις θεοπρεπῶς, κατ' ἀνάγκην θὰ πέσωμεν εἰς βαθὺν κρημνόν. Διότι τί θὰ ἠμποροῦσαν νὰ εἰποῦν καὶ δι' αὐτοὺς τοὺς λόγους, ἐκεῖνοι ποὺ τολμοῦν νὰ ἐννοοῦν ὅλα τὰ διὰ τὸν Θεὸν λεγόμενα κατὰ τρόπον ἀνθρώπινον; «Καὶ ἐφύτευσεν ὁ Θεός, λέγει ἡ Γραφή, παράδεισον». Τί λοιπὸν συμβαίνει; εἰπέ μου· ἐχρειάσθη σκαπάνην καὶ γεωργικὴν τέχνην καὶ τὰς ἄλλας φροντίδας, διὰ νὰ καλλωπίσῃ τὸν παράδεισον; Μὴ γένοιτο νὰ εἰποῦμεν κάτι τέτοιο. Καὶ ἐδῶ πάλιν τό, «Ἐφύτευσε», ἔτσι πρέπει νὰ τὸ ἐννοῇς, ὅτι ἐπρόσταξε νὰ γίνῃ παράδεισος εἰς τὴν γῆν, ὥστε νὰ διαμένῃ μέσα εἰς αὐτὸν ὁ δημιουργηθεὶς ἄνθρωπος. Ὅτι λοιπὸν ἐδημιούργησε δι' αὐτὸν τὸν παράδεισον, ἄκουσε τὴν ἰδίαν τὴν Ἁγίαν Γραφὴν νὰ λέγῃ· «Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον εἰς τὴν Ἐδέμ, πρὸς ἀνατολάς, καὶ ἐτοποθέτησεν ἐκεῖ τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε». Δι' αὐτὸ καὶ τὸ ὄνομα τοῦ τόπου παρεμβάλλει εἰς τὸ βιβλίον ὁ μακάριος Μωυσῆς, διὰ νὰ μὴ ἐπιτρέπῃ εἰς τοὺς θέλοντας νὰ φλυαροῦν ἀνοήτως νὰ ἐξαπατοῦν τοὺς ἀφελεστέρους καὶ νὰ λέγουν, ὅτι δὲν εἶναι εἰς τὴν γῆν ὁ παράδεισος, ἀλλὰ εἰς τὸν οὐρανὸν καὶ νὰ ὀνειροπολοῦν τέτοιας μυθολογίας. Διότι ἐὰν ὕστερα ἀπὸ τόσην ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς, δὲν ἐσταμάτησαν μερικοί, ποὺ ὑπερηφανεύονται διὰ τὴν εὐγλωττίαν καὶ τὴν ἔξωθεν σοφίαν των, νὰ ὁμιλοῦν ἀντίθετα πρὸς αὐτὰ ποὺ ἔχουν γραφῆ, καὶ νὰ λέγουν, ὅτι δὲν εἶναι ἐπάνω εἰς τὴν γῆν ὁ παράδεισος, καὶ ὑποστηρίζοντες πολλὰ ἄλλα ἀπὸ τὰ λεχθέντα, δὲν τὰ πιστεύουν ὅπως ἔχουν γραφῆ, ἀλλὰ τὰ ἀντίθετα, καὶ θεωροῦν ὅτι τὰ λεχθέντα διὰ τὴν γῆν ἔχουν λεχθῆ διὰ τὰ οὐράνια· ἐὰν ὁ μακάριος Μωυσῆς δὲν ἐχρησιμοποιοῦσε τὴν ἁπλότητα καὶ τὴν συγκατάβασιν αὐτῶν τῶν λόγων, ἀφοῦ τὸ Ἅγιον Πνεῦμα ἐκινοῦσε τὴν γλῶσσαν του, εἰς ποῖον σημεῖον ἀνοησίας δὲν θὰ ἔφθαναν, ἂν καὶ βεβαίως ἡ Ἁγία Γραφή, ὅταν θέλῃ νὰ μᾶς διδάσκῃ κάτι τέτοιο, ἑρμηνεύει τὸν ἑαυτόν της καὶ δὲν ἀφήνει νὰ πλανᾶται ὁ ἀκροατής; Ἐπειδὴ ὅμως οἱ πολλοὶ

τι κέρδος ἐκ τῶν θείων Γραφῶν, ἀλλὰ τέρψεως ἕνεκεν τὰς ἀκοὰς ὑπέχουσι τοῖς τὰ παριστάμενα λέγουσι, διὰ τοῦτο οὐ τοῖς ὠφελοῦσιν, ἀλλὰ τοῖς τέρπειν μᾶλλον δυναμένοις προσέχειν σπουδάζουσι. Διό, παρακαλῶ, πᾶσι τοῖς τοιούτοις τὰς ἀκοὰς ἀποτειχίσαντες, τῷ κανόνι τῆς ἁγίας Γραφῆς κατακολουθήσωμεν. Καὶ ὅταν ἀκούσῃς, ἀγαπητέ, ὅτι «Ἐφύτευσε παράδεισον ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἐντολάς», τὸ μέν, «Ἐφύτευσε», θεοπρεπῶς ἐπὶ Θεοῦ νόει, ὅτι προσέταξε, τὸ δὲ ἑξῆς πίστευε, ὅτι καὶ παράδεισος γέγονε, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα καὶ ἡ Γραφὴ ἐπεσημήνατο. Τὸ γὰρ μὴ πιστεύειν τοῖς ἐν τῇ θείᾳ Γραφῇ κειμένοις, ἀλλ' ἕτερα ἐπεισάγειν ἐξ οἰκείας διανοίας, πολὺν ἡγοῦμαι κίνδυνον φέρειν τοῖς τοῦτο ποιεῖν τολμῶσι. «Καὶ ἔθετο», φησίν, «ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν».

4. Ὅρα εὐθέως, πόσην τὴν τιμὴν εἰς αὐτὸν ἐπιδείκνυται. Ἔξω τοῦ παραδείσου τοῦτον δημιουργήσας, εὐθέως αὐτὸν παραγαγών, ἵνα διὰ τῶν πραγμάτων αἴσθησιν αὐτῷ τῆς εὐεργεσίας παράσχῃ, καὶ γνῷ διὰ τῶν ἔργων τὴν τιμήν, ἣν εἰς αὐτὸν ἐπιδείκνυται, εἰς τὸν παράδεισον αὐτὸν εἰσήγαγε, «Καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε». Καὶ τό, «Ἔθετο», πάλιν οὕτω νοῶμεν, ἀντὶ τοῦ προσέταξεν ἐκεῖ αὐτὸν διάγειν, ἵνα καὶ ἡ ὄψις καὶ ἡ διαγωγὴ πολλὴν αὐτῷ τὴν ἡδονὴν παρέχῃ, καὶ εἰς εὐχαριστίας εὐγνωμοσύνην αὐτὸν διεγείρῃ, ἐννοοῦντα ὅσον εὐεργέτηται οὐδὲν οὐδέπω ἐπιδειξάμενος. Μὴ τοίνυν ξενιζέτω σε ἡ τοῦ «Ἔθετο» λέξις· ἔθος γὰρ ἀεὶ τῇ Γραφῇ δι' ἡμᾶς καὶ τὴν ὠφέλειαν τὴν ἡμετέραν ταῖς ἀνθρωπίναις κεχρῆσθαι λέξεσι. Καὶ ἵνα μάθῃς, ὅρα πῶς προλαβοῦσα, καὶ ἐπὶ τῆς τῶν ἀστέρων δημιουργίας τῇ αὐτῇ λέξει ἐχρήσατο εἰποῦσα, «Καὶ ἔθετο αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ», οὐχ ἵνα ἐμπεπῆχθαι

8. Γεν. 1, 17.

δὲν προσέχουν εἰς τοὺς λέγοντας τὰ παρόντα διὰ νὰ καρπωθοῦν κάποιο κέρδος ἀπὸ τὰς Ἁγίας Γραφάς, ἀλλὰ δι᾽ εὐχαρίστησιν, δι᾽ αὐτὸ δὲν σπεύδουν νὰ παρακολουθοῦν ἐκείνους ποὺ ὠφελοῦν, ἀλλὰ μᾶλλον ἐκείνους ποὺ ἠμποροῦν νὰ προκαλοῦν εὐχαρίστησιν. Δι᾽ αὐτό, παρακαλῶ, ἀφοῦ κλείσωμεν τὰ αὐτιά μας εἰς ὅλους αὐτούς, ἂς ἀκολουθήσωμεν πιστὰ τὸν κανόνα τῆς Ἁγίας Γραφῆς. Καὶ ὅταν ἀκούσῃς, ἀγαπητέ, ὅτι «Ἐφύτευσε παράδεισον ὁ Θεὸς εἰς τὴν Ἐδὲμ, πρὸς ἀνατολάς», τὸ μὲν «Ἐφύτευσε», νὰ τὸ ἐννοῇς θεοπρεπῶς ὡς ἀναφερόμενον εἰς τὸν Θεόν, ὅτι ἐπρόσταξε, τὸ ἑπόμενον δὲ νὰ πιστεύῃς, ὅτι δηλαδὴ καὶ παράδεισος ἔχει γίνει, καὶ εἰς ἐκεῖνον τὸν τόπον, ὅπου ἐφανέρωσεν ἡ Γραφή. Διότι τὸ νὰ μὴ πιστεύῃ κανεὶς εἰς τὰ γραφόμενα μέσα εἰς τὴν Ἁγίαν Γραφήν, ἀλλὰ νὰ προσθέτῃ ἄλλα ἀπὸ τὸν ἰδικόν του νοῦν, νομίζω ὅτι φέρει μεγάλον κίνδυνον εἰς ἐκείνους ποὺ τολμοῦν νὰ κάνουν αὐτό. «Καὶ ἐτοποθέτησε, λέγει, ἐκεῖ τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε».

4. Βλέπε ἀμέσως, πόσην τιμὴν ἐπιδεικνύει εἰς αὐτόν, Ἀφοῦ τὸν ἐδημιούργησεν ἔξω ἀπὸ τὸν παράδεισον, ἀμέσως τὸν ὡδήγησε, διὰ νὰ παρουσιάσῃ μὲ τὰ πράγματα εἰς αὐτὸν τὰς εὐεργεσίας καὶ νὰ γνωρίσῃ μὲ τὰ ἔργα τὴν τιμήν, τὴν ὁποίαν ἐπιδεικνύει πρὸς αὐτόν, εἰσήγαγεν αὐτὸν εἰς τὸν παράδεισον, «Καὶ ἐτοποθέτησεν ἐκεῖ τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε». Καὶ τὸ «Ἐτοποθέτησε», ἂς τὸ ἐννοοῦμεν πάλιν ἔτσι, ἀντὶ τοῦ ἐπρόσταξεν αὐτὸν νὰ ζῇ ἐκεῖ, διὰ νὰ παρέχῃ μεγάλην εὐχαρίστησιν εἰς αὐτὸν ἡ θέα καὶ ὁ τρόπος ζωῆς, καὶ νὰ διεγείρῃ αὐτὸν εἰς εὐγνωμοσύνην εὐχαριστίας, ἀφοῦ κατανοήσῃ ὅτι ἔχει εὐεργετηθῆ ὅσον κανεὶς ἄλλος ποτέ. Ἂς μὴ σὲ παραξενεύῃ λοιπὸν ἡ λέξις «Ἐτοποθέτησε», διότι πάντοτε συνηθίζει ἡ Γραφὴ νὰ χρησιμοποιῇ τὰς ἀνθρωπίνους λέξεις δι᾽ ἡμᾶς καὶ τὴν ἰδικήν μας ὠφέλειαν. Καὶ διὰ νὰ μάθῃς, πρόσεξε πῶς προηγουμένως καὶ εἰς τὴν δημιουργίαν τῶν ἀστέρων τὴν ἰδίαν λέξιν ἐχρησιμοποίησεν, ἀφοῦ εἶπε, «Καὶ ἐτοποθέτησεν αὐτοὺς εἰς τὸ στερέωμα τοῦ οὐρανοῦ»[8], ὄχι διὰ νὰ ἐννοήσω-

αὐτοὺς τῷ οὐρανῷ νοήσωμεν (καὶ γὰρ ἕκαστος αὐτῶν τὸν οἰκεῖον δρόμον διανύει τόπους ἐκ τόπων ἀμείβων), ἀλλ' ἵνα διδάξῃ, ὅτι ἐν τῷ οὐρανῷ αὐτοὺς εἶναι προσέταξε, καθάπερ καὶ τὸν ἄνθρωπον ἐν τῇ παραδείσῳ διάγειν. «Καὶ ἐξανέτειλε», φησίν, «ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ». Ἰδοὺ καὶ ἕτερον εὐεργεσίας εἶδος πάλιν διὰ τὴν εἰς τὸν δημιουργηθέντα τιμήν. Ἐπειδὴ γὰρ αὐτὸν ἐν τῷ παραδείσῳ διάγειν ἐβουλήθη, προσέταξεν ἐκ τῆς γῆς ἀναδοθῆναι δένδρα διάφορα, καὶ πρὸς βρῶσιν ἐπιτήδεια. «Πᾶν γὰρ ξύλον», φησίν, ὡραῖον εἰς ὅρασιν», τοῦτ' ἔστιν εἰς θέαν· «Καὶ καλὸν εἰς βρῶσιν», τοῦτ' ἔστι καὶ εὐφραίνειν δυνάμενα διὰ τῆς ὄψεως, καὶ ἡδονὴν πολλὴν παρέχοντα διὰ τῆς βρώσεως, καὶ τῷ πλήθει δὲ καὶ τῇ ἀφθονίᾳ πολλὴν τὴν εὐφροσύνην προξενοῦντα τῷ μέλλοντι τούτων ἀπολαύειν. Πᾶν γάρ, φησί, ξύλον, ὅπερ ἂν εἴπῃς, ἀναδοθῆναι πεποίηκεν. Εἶδες διαγωγὴν ἀταλαίπωρον; εἶδες βίον θαυμαστόν; Καθάπερ γὰρ ἄγγελός τις, οὕτως ἐπὶ τῆς γῆς διέτριβεν ὁ ἄνθρωπος, σῶμα μὲν περικείμενος, ἔξω δὲ τῶν σωματικῶν ἀναγκῶν τυγχάνων, καὶ καθάπερ ἁλουργίδι καὶ διαδήματι κεκοσμημένος, καὶ πορφυρίδα ἀναβεβλημένος, οὕτως ἐνετρύφα τῇ τοῦ παραδείσου διαγωγῇ μετὰ ἀδείας πολλὴν ἔχων τὴν ἀφθονίαν. «Καὶ τὸ ξύλον», φησί, «τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ». Μετὰ τὸ διδάξαι ἡμᾶς, ὅτι πᾶν ξύλον ἐξέδωκεν ἡ γῆ κατὰ τὸ τοῦ Δεσπότου πρόσταγμα, καὶ ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, τότε φησί· Καὶ τὸ ξύλον

μεν, ὅτι ἐκάρφωσεν αὐτοὺς εἰς τὸν οὐρανὸν (διότι ὁ καθένας ἀπὸ αὐτοὺς βαδίζει τὸν ἰδικόν του δρόμον ἀλλάσσων συνεχῶς τόπους), ἀλλὰ διὰ νὰ διδάξῃ, ὅτι ἐπρόσταξεν αὐτοὺς νὰ εἶναι εἰς τὸν οὐρανόν, ὅπως ἀκριβῶς καὶ τὸν ἄνθρωπον νὰ ζῇ μέσα εἰς τὸν παράδεισον. «Καὶ ἐβλάστησε, λέγει, ὁ Θεὸς ἀκόμη ἀπὸ τὴν γῆν ὅλα τὰ εἴδη τῶν δένδρων, τὰ ὁποῖα εἶναι εὐχάριστα εἰς τὴν ὅρασιν καὶ καλὰ πρὸς βρῶσιν, καὶ τὸ δένδρον τῆς ζωῆς εἰς τὸ μέσον τοῦ παραδείσου, καὶ τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ». Ἰδοὺ καὶ ἄλλο εἶδος εὐεργεσίας πάλιν διὰ νὰ τιμήσῃ τὸν δημιουργηθέντα. Ἀφοῦ λοιπὸν ἠθέλησε νὰ ζῇ αὐτὸς μέσα εἰς τὸν παράδεισον, ἐπρόσταξε νὰ βλαστήσουν ἀπὸ τὴν γῆν διάφορα δένδρα, τὰ ὁποῖα ἠμποροῦν νὰ προκαλοῦν εὐχαρίστησιν εἰς αὐτὸν διὰ τῆς θέας καὶ μαζὶ νὰ εἶναι κατάλληλα πρὸς βρῶσιν. Διότι λέγει, «Ὅλα τὰ εἴδη τῶν δένδρων, τὰ ὁποῖα εἶναι εὐχάριστα εἰς τὴν ὅρασιν», δηλαδὴ εἰς θέαν· «Καὶ καλὰ πρὸς βρῶσιν», δηλαδὴ νὰ ἠμποροῦν καὶ νὰ εὐφραίνουν μὲ τὴν ἐξωτερικήν των ἐμφάνισιν καὶ νὰ παρέχουν μὲ τὴν βρῶσιν των μεγάλην εὐχαρίστησιν καὶ μὲ τὸ πλῆθος δὲ καὶ μὲ τὴν ἀφθονίαν των νὰ προκαλοῦν μεγάλην χαρὰν εἰς ἐκεῖνον, ποὺ πρόκειται νὰ τὰ ἀπολαμβάνῃ. Διότι λέγει, «Κάθε δένδρον», ὁποιοδήποτε θὰ ἠμποροῦσες νὰ ἀναφέρῃς, ἔχει κάμει νὰ φυτρώσῃ. Εἶδες ἄνετον τρόπον ζωῆς; εἶδες ζωὴν θαυμαστήν; Διότι ὡσὰν κάποιος ἄγγελος, ἔτσι ἐζοῦσε ἐπάνω εἰς τὴν γῆν ὁ ἄνθρωπος, ὁ ὁποῖος ἐνῷ μὲν εἶχε σῶμα, δὲν ὑπέκειτο ὅμως εἰς τὰς σωματικὰς ἀνάγκας, καί, ὡσὰν βασιλεύς, στολισμένος μὲ πορφυρᾶν ταινίαν καὶ διάδημα, καὶ ἐνδεδυμένος πορφύραν, ἔτσι ἀπελάμβανε τὴν ζωὴν τοῦ παραδείσου μὲ ἀσφάλειαν, ἔχων μεγάλην ἀφθονίαν ἀγαθῶν. «Καὶ τὸ δένδρον, λέγει, τῆς ζωῆς εἰς τὸ μέσον τοῦ παραδείσου, καὶ τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ». Ἀφοῦ μᾶς ἐδίδαξεν, ὅτι ἡ γῆ ἐβλάστησε σύμφωνα μὲ τὴν ἐντολὴν τοῦ Θεοῦ ὅλα τὰ εἴδη τῶν δένδρων, τὰ ὁποῖα εἶναι καὶ εὐχάριστα εἰς τὴν ὅρασιν καὶ καλὰ πρὸς βρῶσιν, τότε λέγει· «Καὶ τὸ δένδρον τῆς ζωῆς εἰς

τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ». Προειδὼς γὰρ ὁ φιλάνθρωπος Δεσπότης, ὡς δημιουργός, τὴν ἐκ τῆς πολλῆς ἀδείας μέλλουσαν τοῦ χρόνου προϊόντος τίκτεσθαι βλάβην, ἀνῆκε καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ, ἐπειδὴ μετ' οὐ πολὺ μέλλει τὴν τούτου ἀποδοχὴν αὐτῷ κελεύειν, ἵνα εἰδέναι ἔχῃ, ὅτι χάριτι καὶ φιλανθρωπίᾳ τὴν ἀπόλαυσιν ἔχει, καὶ ἔστι Δεσπότης καὶ δημιουργὸς καὶ τῆς αὐτοῦ φύσεως, καὶ πάντων τῶν δρωμένων. Διὰ τοῦτο ἤδη τοῦ ξύλου, τὴν μνήμην ἐποιήσατο, καὶ διηγεῖται ἡμῖν ἐφεξῆς τῶν ποταμῶν τὰ ὀνόματα, καὶ τούτων τὸν ἀφορισμόν, ὡς ἂν εἴποι τις, καὶ ὅτι ἐξ ἐκείνου τοῦ τὴν ἀρδείαν τῷ παραδείσῳ παρέχοντος ἕτεροι εἰς τέσσαρας ἀρχὰς διαιρεθέντες, οὕτω τὰ κλίματα τῆς γῆς διενείμαντο. Ἀλλ' ἴσως οἱ τὰ ἀπὸ τῆς οἰκείας σοφίας φθέγγεσθαι βουλόμενοι, πάλιν οὔτε ποταμοὺς συγχωροῦσιν εἶναι τοὺς ποταμούς, οὔτε τὰ ὕδατα, ὕδατα, ἀλλ' ἕτερόν τι φαντάζεσθαι ἀναπείθουσι τοὺς ἐκδιδόναι αὐτοῖς τὰς ἀκοὰς αἱρουμένους. Ἀλλ' ἡμεῖς, παρακαλῶ, τούτων μὲν μὴ ἀνεχώμεθα, ἀλλ' ἀποφράττωμεν αὐτοῖς τὰς ἀκοάς, πειθώμεθα δὲ τῇ θείᾳ Γραφῇ, καὶ τοῖς ὑπ' αὐτῆς εἰρημένοις κατακολουθοῦντες, τὰ ὑγιῆ δόγματα σπουδάζωμεν ἐναποτίθεσθαι ταῖς ἑαυτῶν ψυχαῖς, καὶ μετὰ τούτων καὶ βίου ἀκρίβειαν ἐπιδείκνυσθαι, ἵνα καὶ ὁ βίος μαρτυρῇ τοῖς δόγμασι, καὶ τὰ δόγματα τὸν βίον ἀξιοπιστότερον ἀποφαίνῃ. Οὔτε γὰρ ἐὰν ἔχωμεν δόγματα μὲν ὀρθά, βίου δὲ ἀμελῶμεν, ὄφελος ἡμῖν ἔσται τι· οὔτε ἐὰν βίον ἔχοντες, τῶν ὀρθῶν δογμάτων ἀμελῶμεν, κερδᾶναί τι χρήσιμον καὶ πρὸς σωτηρίαν ἡμετέραν δυνησόμεθα. Προσήκει γάρ, εἰ βουλοίμεθα καὶ γεέννης ἐλευθερωθῆναι, καὶ βασιλείας ἐπιτυχεῖν, ἀμφοτέρωθεν κοσμεῖσθαι, καὶ δο-

9. Ὁ ποταμὸς ποὺ ἐπότιζε τὸν παράδεισον διεκλαδίζετο εἰς τοὺς ἑξῆς τέσσαρας: Φισών, Γηών, Τίγρητα καὶ Εὐφράτην.

τὸ μέσον τοῦ παραδείσου καὶ τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ». Προγνωρίζων λοιπὸν ὁ φιλάνθρωπος Θεός, ὡς δημιουργός, τὴν ζημίαν ποὺ ἐπρόκειτο μὲ τὴν πάροδον τοῦ χρόνου νὰ προέλθῃ ἀπὸ τὴν πολλὴν ἀσφάλειαν, ἐβλάστησεν εἰς τὸ μέσον τοῦ παραδείσου καὶ τὸ δένδρον τῆς ζωῆς καὶ τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἐπειδὴ ὕστερα ἀπὸ ὀλίγον πρόκειται νὰ τοῦ διατάξῃ τὴν ἀποχὴν ἀπὸ αὐτό, διὰ νὰ ἠμπορῇ νὰ γνωρίζῃ, ὅτι ἀπὸ χάριν καὶ φιλανθρωπίαν ἔχει τὴν ἀπόλαυσιν καὶ ὅτι ὑπάρχει Δεσπότης καὶ δημιουργὸς καὶ τῆς φύσεώς του καὶ ὅλων τῶν δημιουργημάτων. Δι' αὐτὸ ἀνέφερε τώρα τὸ δένδρον, καὶ εἰς τὴν συνέχειαν μᾶς διηγεῖται τὰ ὀνόματα τῶν ποταμῶν καὶ τὸν διαχωρισμὸν αὐτῶν, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, καὶ ὅτι ἀπὸ ἐκεῖνον ποὺ ἐπότιζε τὸν παράδεισον, ἀφοῦ ἐχωρίσθησαν ἄλλοι εἰς τέσσαρας ἀφετηρίας, ἔτσι διεμοίρασαν τὰ ἐδάφη τῆς γῆς. Ἴσως ὅμως ἐκεῖνοι ποὺ θέλουν νὰ ὁμιλοῦν ἀπὸ τὴν ἰδικήν των σοφίαν, πάλιν οὔτε τὰ ποτάμια συμφωνοῦν ὅτι εἶναι ποτάμια, οὔτε τὰ ὕδατα, ὕδατα, ἀλλὰ παρασύρουν αὐτούς, οἱ ὁποῖοι προτιμοῦν νὰ τοὺς ἀκούουν, νὰ φαντάζωνται κάτι ἄλλο. Ἡμεῖς ὅμως, παρακαλῶ, ἂς μὴ τοὺς ἀνεχώμεθα, ἀλλὰ ἂς τοὺς κλείνωμεν τὰ αὐτιά μας, νὰ πιστεύωμεν δὲ εἰς τὴν Ἁγίαν Γραφὴν καὶ ἀκολουθοῦντες πιστὰ τὰ λεχθέντα ἀπὸ αὐτήν, ἂς φροντίζωμεν νὰ ἀποθηκεύωμεν μέσα εἰς τὰς ψυχάς μας τὰς ὀρθὰς διδασκαλίας καὶ μαζὶ μὲ αὐτὰς νὰ ἐπιδεικνύωμεν καὶ ἀκρίβειαν εἰς τὴν ζωήν, ὥστε καὶ ἡ ζωή μας νὰ ἐπιβεβαιώνῃ τὰς διδασκαλίας, καὶ αἱ διδασκαλίαι νὰ ἀποδεικνύουν περισσότερον ἀξιόπιστον τὴν ζωήν μας. Διότι οὔτε ἐὰν ἔχωμεν μὲν τὰς ὀρθὰς διδασκαλίας, καὶ ἀδιαφοροῦμεν δὲ διὰ τὴν ζωήν, θὰ προκύψῃ δι' ἡμᾶς κάποιο ὄφελος· οὔτε ἐὰν ἔχοντες ἐνάρετον ζωήν, ἀδιαφοροῦμεν διὰ τὰς ὀρθὰς διδασκαλίας, θὰ ἠμπορέσωμεν νὰ κερδίσωμεν κάτι χρήσιμον καὶ διὰ τὴν σωτηρίαν μας. Πρέπει βέβαια, ἐὰν θὰ θέλωμεν νὰ ἀποφύγωμεν καὶ τὴν γέενναν καὶ νὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν, νὰ κοσμούμεθα καὶ ἀπὸ τὰ δύο, δηλαδὴ καὶ ἀπὸ ὀρθό-

γμάτων ὀρθότητι, καὶ βίου ἐπιμελείᾳ. Τί γὰρ ὄφελος, εἰπέ μοι, δένδρου εἰς ὕψος πολὺ ἐκτεινομένου, καὶ τοῖς φύλλοις κομῶντος, ὅταν καρποῦ ἔρημον ᾖ; οὕτω καὶ τὸν Χριστιανὸν οὐδὲν ὀνίνησι τὰ ὀρθὰ δόγματα, ἐὰν τῆς κατὰ τὸν βίον πολιτείας ἀμελῇ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοὺς τοιούτους ἐμακάριζε λέγων· «Μακάριος ὁ ποιήσας καὶ διδάξας». Τῆς γὰρ διὰ τῶν λόγων διδασκαλίας ἡ διὰ τῶν ἔργων ἀκριβεστέρα καὶ ἀξιοπιστοτέρα πολλῷ. Ὁ γὰρ τοιοῦτος καὶ σιγῶν, καὶ μὴ ὁρώμενος παιδεύειν δύναται, τοὺς μὲν διὰ τῆς θέας, τοὺς δὲ διὰ τῆς ἀκοῆς, καὶ πολλῆς ἀπολαύσεται τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας, οὐ μόνον δι' ἑαυτοῦ, ἀλλὰ καὶ διὰ τῶν εἰς αὐτὸν ὁρώντων παρασκευάζων δοξάζεσθαι τὸν ἑαυτοῦ Δεσπότην. Ὁ τοιοῦτος διὰ μυρίων γλωσσῶν, καὶ διὰ πολλῶν στομάτων τὰς εὐχαριστίας καὶ τοὺς ὕμνους ἀνοίσει τῷ τῶν ὅλων Θεῷ. Οὐδὲ γὰρ οἱ γνώριμοι μόνον, καὶ μάρτυρες τοῦ βίου ὄντες, καὶ αὐτὸν θαυμάσονται καὶ τὸν αὐτοῦ Δεσπότην, ἀλλὰ καὶ οἱ ἀγνοοῦντες παρ' ἑτέρων ταῦτα μανθάνοντες, καὶ οἱ πόρρωθεν οἰκοῦντες, καὶ οἱ μακρὰν ἀπῳκισμένοι, καὶ οὐ φίλοι μόνον, ἀλλὰ καὶ ἐχθροὶ αἰδεσθήσονται τῆς ἀρετῆς τὴν ὑπερβολήν. Τοσαύτη γὰρ ταύτης ἡ ἰσχύς, ὡς καὶ τῶν πολεμούντων αὐτῇ ἀποφράττειν τὰ στόματα, καὶ τὴν γλῶτταν ἐπισσμίζειν. Καὶ ὥσπερ πρὸς τὰς ἀκτῖνας τὰς ἡλιακὰς οἱ ἀσθενεῖς τὰς ὄψεις ἀντιβλέψαι οὐ τολμῶσιν, οὕτως οὐδὲ πρὸς τὴν ἀρετὴν ἡ κακία ἀντιβλέψαι δυνήσεταί ποτε, ἀλλὰ παραχωρήσει, καὶ νῶτα δώσει, καὶ τὴν ἧτταν ὁμολογήσει. Ὃ δὴ καὶ πεπεισμένοι ἀντεχώμεθα τῆς ἀρετῆς, καὶ μετὰ ἀσφαλείας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, καὶ τῶν μικρῶν καὶ εὐτελῶν εἶναι δοκούντων ἁμαρτημάτων, εἴτε ἐν λόγοις, εἴτε ἐν πράγμασιν, ἀπέχεσθαι σπουδάζωμεν. Οὕτω γὰρ οὐδέποτε

10. Ματθ. 5, 19.

τητα διδασκαλιῶν καὶ ἀπὸ φροντίδα ἐναρέτου ζωῆς. Διότι εἰπέ μου, ποῖον τὸ ὄφελος, ὅταν τὸ δένδρον δὲν φέρῃ καρπούς, ἂν καὶ εἶναι πολὺ ὑψηλὸν καὶ ἔχῃ πλούσιον φύλλωμα; Ἔτσι καὶ τὸν Χριστιανὸν δὲν ὠφελοῦν καθόλου αἱ ὀρθαὶ διδασκαλίαι, ἐὰν ἀδιαφορῇ διὰ τὴν συμπεριφορὰν κατὰ τὴν ζωήν του. Δι᾿ αὐτὸ καὶ ὁ Χριστὸς ἐμακάριζεν αὐτοὺς λέγων· «Εἶναι μακάριος ἐκεῖνος ποὺ θὰ πράξῃ καὶ θὰ διδάξῃ»[19]. Διότι ἀπὸ τὴν διδασκαλίαν μὲ τὰ λόγια εἶναι κατὰ πολὺ περισσότερον ἀκριβὴς καὶ ἀξιόπιστος ἡ διδασκαλία μὲ τὰ ἔργα. Διότι αὐτὸς καὶ ὅταν σιγᾷ καὶ ὅταν εἶναι ἀθέατος ἠμπορεῖ νὰ διδάσκῃ, ἄλλους μὲν μὲ τὴν παρατήρησιν, ἄλλους δὲ μὲ τὴν ἀκρόασιν, καὶ θὰ ἀπολαύσῃ μεγάλην εὔνοιαν ἀπὸ τὸν Θεόν, ὄχι μόνον μὲ τὰς ἰδικάς του ἐνεργείας, ἀλλὰ καὶ μὲ ἐκείνων ποὺ ἀποβλέπουν πρὸς αὐτόν, μὲ τὸ κάμνῃ νὰ δοξάζεται ὁ ἰδικός του Θεός. Αὐτὸς μὲ ἀπείρους γλώσσας καὶ μὲ πολλὰ στόματα θὰ προσφέρῃ τὰς εὐχαριστίας καὶ ὕμνους εἰς τὸν Θεὸν τῶν ὅλων. Διότι ὄχι μόνον ἐκεῖνοι, ποὺ εἶναι γνωστοί του καὶ μάρτυρες τῆς ζωῆς του, θὰ θαυμάσουν αὐτὸν καὶ τὸν Θεόν του, ἀλλὰ καὶ ἐκεῖνοι, ποὺ ἐνῷ δὲν γνωρίζουν, μαθαίνουν ὅμως ἀπὸ ἄλλους, καὶ οἱ διαμένοντες μακράν, καὶ οἱ ζῶντες μακρὰν εἰς ξένην χώραν, καὶ ὄχι μόνον φίλοι, ἀλλὰ καὶ ἐχθροὶ θὰ σεβασθοῦν τὴν ὑπερβολικήν του ἀρετήν. Διότι τόσον μεγάλη εἶναι ἡ δύναμίς της, ὥστε νὰ κλείνῃ καὶ τὰ στόματα τῶν ἐχθρῶν της καὶ νὰ φιμώνῃ τὴν γλῶσσαν των. Καὶ ὅπως ἀκριβῶς δὲν τολμοῦν νὰ ἀτενίσουν πρὸς τὰς ἀκτῖνας τοῦ ἡλίου οἱ ἔχοντες ἀσθενῆ μάτια, ἔτσι οὔτε ἡ κακία θὰ ἠμπορέσῃ ποτὲ νὰ ἀτενίσῃ τὴν ἀρετήν, ἀλλὰ θὰ ὑποχωρήσῃ καὶ θὰ στρέψῃ τὰ νῶτα καὶ θὰ ὁμολογήσῃ τὴν ἧτταν. Πρᾶγμα λοιπὸν διὰ τὸ ὁποῖον εἴμεθα πεπεισμένοι, ἂς καταγινώμεθα μὲ τὴν ἀρετήν, καὶ ἂς ρυθμίζωμεν μὲ ἀσφάλειαν τὴν ζωήν μας καὶ ἂς φροντίζωμεν νὰ ἀπέχωμεν ἀπὸ τὰ θεωρούμενα μικρὰ καὶ ἀσήμαντα ἁμαρτήματα, εἴτε μὲ λόγια, εἴτε μὲ πράξεις. Διότι ἔτσι ποτὲ δὲν θὰ πέσωμεν

τοῖς μείζοσι περιπεσούμεθα τῶν ἁμαρτημάτων, ἐὰν τῶν μικρῶν ἀποσχώμεθα· καὶ τοῦ χρόνου προϊόντος δυνησόμεθα καὶ τῆς ἄνωθεν ροπῆς ἀπολαύοντες τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τὴν κόλασιν διαφυγεῖν τὴν ἀποκειμένην, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

είς μεγαλύτερα άμαρτήματα, έὰν θὰ ἀπέχωμεν ἀπὸ τὰ μικρά· καὶ μὲ τὴν πάροδον τοῦ χρόνου θὰ ἠμπορέσωμεν, ἀπολαμβάνοντες τὴν ἐνίσχυσιν τοῦ Θεοῦ, καὶ τὴν ὑψίστην ἀρετὴν νὰ κατορθώσωμεν καὶ τὴν εὑρισκομένην εἰς τὴν ἄλλην ζωὴν κόλασιν νὰ ἀποφύγωμεν καὶ τὰ αἰώνια ἀγαθὰ νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΔ΄
(Γεν. 2, 15 - 20)

«Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν».

1. Πάλιν, εἰ βούλεσθε, καὶ σήμερον τῆς ἀκολουθίας τῶν χθὲς εἰρημένων ἁψάμενοι, ἐντεῦθεν ὑμῖν τὴν διδασκαλίαν τὴν πνευματικὴν ὑφᾶναι σπουδάσομεν. Πολλὴ γὰρ καὶ τῶν προσφάτων ἀναγνωσθέντων ἡ ἐγκεκρυμμένη δύναμις, καὶ προσήκει πρὸς τὸ βάθος ἡμᾶς καθιέντας, καὶ ἅπαντα μετὰ ἀκριβείας διερευνησαμένους τὸ ἐξ αὐτῶν καρπώσασθαι. Εἰ γὰρ οἱ τοὺς ἀπὸ τῆς θαλάσσης λίθους εὑρίσκειν βουλόμενοι, τοσοῦτον πόνον καὶ ταλαιπωρίαν ὑπομένουσι, τῇ τῶν ὑδάτων ῥύμῃ ἑαυτοὺς ἐκδιδόντες, ἵνα τῶν σπουδαζομένων ἐπιτύχωσι, πολλῷ μᾶλλον ἡμᾶς ἀκόλουθον συντεῖναι τὴν διάνοιαν, καὶ τὰ ἐν τῷ βάθει κατοπτεύσαντας τῶν εἰρημένων, οὕτω τῶν τιμίων τούτων λίθων ἐπιλαβέσθαι. Ἀλλὰ μὴ δείσῃς, ἀγαπητέ, βάθος ἀκούων. Οὐ γάρ ἐστιν ἐνταῦθα ὑδάτων ἄτακτος φορά, ἀλλὰ Πνεύματος χάρις καταυγάζουσα ἡμῶν τὴν διάνοιαν, καὶ τὴν εὕρεσιν τῶν ζητουμένων μετ' εὐκολίας ἡμῖν παρεχομένη, καὶ πάντα πόνον ἐπικουφίζουσα. Ἐκείνων μὲν οὖν τῶν λίθων ἡ εὕρεσις οὐ σφόδρα ὤνησε τὸν ἐπιτυχόντα, πολλάκις δὲ καὶ κατέβλαψε, καὶ μυρίων ναυαγίων ὑπόθεσις αὐτῷ γέγονε, καὶ οὐ τοσαύτην ἀπὸ τῆς εὑρέσεως ἐκαρπώσατο

ΟΜΙΛΙΑ ΙΔ΄
(Γεν. 2, 15-20)

«Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε, καὶ ἔβαλεν αὐτὸν μέσα εἰς τὸν παράδεισον τῆς τρυφῆς, διὰ νὰ τὸν καλλιεργῇ καὶ νὰ τὸν φυλάσσῃ».

1. Πάλιν, ἐὰν θέλετε, καὶ σήμερα ἀφοῦ ἀρχίσωμεν μὲ τὴν συνέχειαν ἐκείνων ποὺ ἐλέχθησαν χθές, θὰ φροντίσωμεν ἀπὸ ἐδῶ νὰ παρασκευάσωμεν τὴν πνευματικήν σας διδασκαλίαν. Διότι εἶναι μεγάλη ἡ δύναμις, ποὺ εἶναι κρυμμένη εἰς τὰ ἀναγνωσθέντα προσφάτως καὶ πρέπει, ἀφοῦ εἰσχωρήσωμεν εἰς τὸ βαθύ των νόημα καὶ νὰ ἐξετάσωμεν ὅλα μὲ ἀκρίβειαν, νὰ ἀποκομίσωμεν τὸ ἐξ αὐτῶν κέρδος. Διότι ἐὰν ἐκεῖνοι, ποὺ θέλουν νὰ ἀναζητοῦν πολυτίμους λίθους εἰς τὴν θάλασσαν, ὑπομένουν τόσον πολλοὺς κόπους καὶ ταλαιπωρίας, ἐκθέτοντες τοὺς ἑαυτούς των εἰς τὴν ὁρμὴν τῶν ὑδάτων, διὰ νὰ ἀποκτήσουν αὐτὰ ποὺ τοὺς ἐνδιαφέρουν, πολὺ περισσότερον εἶναι ἑπόμενον νὰ ἐντείνωμεν ἐμεῖς τὴν διάνοιάν μας, καὶ ἀφοῦ ἐξετάσωμεν καλὰ τὸ βαθύτερον νόημα τῶν λεχθέντων, ἔτσι νὰ συλλάβωμεν τοὺς πολυτίμους αὐτοὺς λίθους. Ἀλλὰ μὴ φοβηθῇς, ἀγαπητέ, ὅταν ἀκούσῃς τὴν λέξιν βάθος. Διότι δὲν ὑπάρχει ἐδῶ ἄτακτον ρεῦμα ὑδάτων, ἀλλὰ ἡ χάρις τοῦ Πνεύματος, ποὺ φωτίζει πλήρως τὴν διάνοιάν μας καὶ μᾶς παρέχει μὲ εὐκολίαν τὴν εὕρεσιν ἐκείνων ποὺ ζητοῦμεν καὶ ἀνακουφίζει κάθε κόπον. Ἡ ἀνεύρεσις λοιπὸν ἐκείνων τῶν λίθων δὲν ὠφέλησε πάρα πολὺ ἐκεῖνον ποὺ τοὺς ἐπέτυχε, πολλὰς φορὰς δὲ καὶ τὸν ἔβλαψε πολύ, καὶ ἔγινεν αἰτία πολλῶν ναυαγίων, καὶ δὲν ἀπεκόμισεν ἀπὸ τὴν εὕρεσιν τόσην εὐ-

τὴν εὐφροσύνην, ὅσην μετὰ τὴν εὕρεσιν τὴν ἀηδίαν ὑπέμεινε τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ἀναπτερώσας καθ' ἑαυτοῦ, τοὺς πλεονέκτας διεγείρας εἰς τὸν κατ' αὐτοῦ πόλεμον. Οὕτως οὐ μόνον οὐδὲν ὄφελος εἰς τὸν βίον εἰσάγει τὸν ἡμέτερον ἡ ἐκείνων εὕρεσις, ἀλλὰ καὶ πολλῶν πολέμων ὑπόθεσις γίνεται. Ὕλη γάρ ἐστι πλεονεξίας, καὶ κάμινον ἀνάψασα φιλαργυρίας, πολιορκεῖ τὴν ψυχὴν τῶν ἁλόντων. Ἐπὶ δὲ τῶν πνευματικῶν τούτων καὶ τιμίων οὐδέν ἐστι δεῖσαί τι τοιοῦτον, ἀλλὰ καὶ ὁ πλοῦτος ὁ ἐντεῦθεν συλλεγόμενος ἄφατος, καὶ ἡ ἡδονὴ ἀμάραντος, καὶ ἐκ πολλοῦ τοῦ περιόντος νικῶσα πᾶσαν τὴν ἐκεῖθεν προσγινομένην τοῖς ἀνθρώποις εὐφροσύνην. Καὶ τοῦτο ἄκουε τοῦ Δαυὶδ λέγοντος, ὅτι «Ἐπιθυμητὰ τὰ λόγιά σου ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν». Ὁρᾷς πῶς τὰς τιμιωτέρας νομιζομένας τῶν ὑλῶν εἰς μέσον παραγαγών, οὐ μόνον ταύτῃ τῇ συγκρίσει οὐκ ἠρκέσθη, ἀλλὰ καὶ προσέθηκε, «Πολύν», καὶ τότε τὴν ἐντεῦθεν ἡμῖν ὑπεροχὴν ἐδήλωσεν; «Ὑπὲρ χρυσίον», φησί, «καὶ λίθον τίμιον πολύν». Οὐκ ἐπειδὴ τοσοῦτον μόνον ἐστὶν ἐπιθυμητὰ τὰ θεῖα λόγια, ἀλλ' ἐπειδὴ ταύτας μόνας τὰς ὕλας παρὰ τοῖς ἀνθρώποις εἶδε τὴν ἀνωτάτω προεδρίαν ἐχούσας, διὰ τοῦτο ταύτας παραγαγὼν εἰς μέσον, οὕτω τὴν ὑπεροχὴν ἔδειξε, καὶ τὴν ἐπιθυμίαν τῶν τοῦ Πνεύματος λογίων σφοδροτέραν οὖσαν. Καὶ ἵνα μάθητε, ὅτι τοῦτο ἔθος ἀεὶ τῇ θείᾳ Γραφῇ τοῖς αἰσθητοῖς παραβάλλειν πράγμασι τὴν ἐντεῦθεν ὠφέλειαν, καὶ οὕτω τὴν ὑπεροχὴν ἐπιδείκνυσθαι, ἄκουε καὶ τῶν ἑξῆς. Ἐπήγαγε γοῦν· «Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον». Καὶ ἐνταῦθα οὐκ ἐπειδὴ τοσοῦτο μόνον ἐστὶ γλυκύτερα, οὐδὲ ἐπειδὴ τοσαύτην παρέχειν δύναται τὴν ἡδονήν, ἀλλ' ἐπειδὴ οὐδὲν ἕτερον εἶχεν ἐν τοῖς αἰσθητοῖς παραβάλλειν τῇ ἡδονῇ τῶν θείων λογίων· διὰ τοῦτο τούτων μνημονεύσας, οὕτω πάλιν τὴν ὑπεροχὴν ἔ-

1. Ψαλμ. 18, 11.
2. Ψαλμ. 18, 11.

χαρίστησιν, όσην αηδίαν εδοκίμασεν ύστερα από την **εύρεσιν,** αφού επροκάλεσε τα βλέμματα των φθονερών **έναντίον του** καί παρεκίνησε τούς πλεονέκτας είς τόν **κατ' αύτοῦ** πόλεμον. Ἔτσι ὄχι μόνον δέν ὠφελεῖ καθόλου τήν ζωήν μας ἡ ἀνεύρεσις ἐκείνων τῶν λίθων, ἀλλά καί γίνεται αἰτία πολλῶν πολέμων. Διότι εἶναι ὕλη πλεονεξίας καί ἀφοῦ ἀνάψη τόν πόθον τῆς φιλαργυρίας, πολιορκεῖ τήν ψυχήν ἐκείνων πού ἐκυρίευσεν. Εἰς τά πνευματικά ὅμως πράγματα καί εἰς τούς πολυτίμους λίθους δέν ὑπάρχει τίποτε τέτοιο νά φοβηθῇς, ἀλλά καί ὁ πλοῦτος πού συγκεντρώνεται ἀπό ἐδῶ εἶναι ἀνείπωτος καί ἡ εὐχαρίστησις παντοτινή καί ἀφοῦ αὐξηθῇ πολύ, νικᾷ κάθε χαράν πού προέρχεται ἀπό τά ὑλικά εἰς τούς ἀνθρώπους. Καί ἄκουε αὐτό ἀπό τόν Δαυίδ ὁ ὁποῖος λέγει, ὅτι «Τά λόγια σου ἀξίζουν περιασσότερον ἀπό τόν χρυσόν καί τούς πολλούς πολυτίμους λίθους»[1]. Βλέπεις πῶς ἀφοῦ ἔφερεν ἐνώπιόν μας τά θεωρούμενα ὡς πολυτιμότερα ὑλικά ἀγαθά, ὄχι μόνον δέν ἠρκέσθη εἰς αὐτήν τήν σύγκρισιν, ἀλλά καί ἐπρόσθεσε, «Πολλούς», καί τότε μᾶς ἐφανέρωσε τήν ὑπεροχήν ἀπό αὐτά; «Περισσότερον ἀπό τόν χρυσόν, λέγει, καί ἀπό πολλούς πολυτίμους λίθους». Ὄχι ἐπειδή εἶναι τόσον ἐπιθυμητά τά θεῖα λόγια, ἀλλά ἐπειδή εἶδε ὅτι αὐτά μόνον τά ὑλικά ἀγαθά κατέχουν τήν ἀνωτάτην θέσιν εἰς τήν προτίμησιν τῶν ἀνθρώπων, δι' αὐτό ἀφοῦ ἐπαρουσίασεν αὐτά ἐνώπιόν μας, ἔτσι ἔδειξε τήν ὑπεροχήν καί τήν ἐπιθυμίαν τῶν λόγων τοῦ Πνεύματος νά εἶναι ἰσχυροτέρα. Καί διά νά μάθετε, ὅτι αὐτό συνηθίζει πάντοτε ἡ Ἁγία Γραφή, νά συγκρίνῃ πρός τά ὑλικά πράγματα τήν ὠφέλειαν πού προέρχεται ἀπό αὐτά, καί νά ἀποδεικνύῃ ἔτσι τήν ὑπεροχήν, ἄκουε καί τά ἑπόμενα. Ἐπρόσθεσε λοιπόν· «Καί εἶναι γλυκύτερα ἀπό μέλι καί κηρήθρα»[2]. Καί ἐδῶ ὄχι ἐπειδή εἶναι μόνον τόσον γλυκύτερα, οὔτε ἐπειδή ἠμποροῦν νά παρέχουν τόσον μεγάλην εὐχαρίστησιν, ἀλλά ἐπειδή δέν εἶχε τίποτε ἄλλο ἀπό τά αἰσθητά πράγματα νά συγκρίνῃ μέ τήν εὐχαρίστησιν τῶν θείων λόγων. Δι' αὐτό ἀφοῦ ἐμνημόνευσεν αὐτά, ἔτσι πάλιν ἔδωσε

δωκε, καὶ τὴν ἡδονὴν πλείονα ἔφησεν εἶναι τῶν πνευματικῶν διδαγμάτων. Τῷ αὐτῷ κανόνι εὑρήσεις καὶ τὸν Χριστὸν ἐν τοῖς εὐαγγελίοις κεχρημένον. Ὅτε γὰρ τοῖς μαθηταῖς διελέγετο, καὶ ἐπιθυμοῦσι μαθεῖν τὴν ἑρμηνείαν τῆς παραβολῆς τοῦ σπείραντος τὸ καλὸν σπέρμα ἐν τῷ ἀγρῷ, καὶ τοῦ ἐχθροῦ τοῦ τὰ ζιζάνια ἀναμέσον τοῦ σίτου ἐπεμβαλόντος, κατὰ μέρος πᾶσαν διέλυσε τὴν παραβολήν, εἰπὼν τίς ἦν ὁ τὸ καλὸν σπέρμα σπείρας, καὶ τίς ὁ ἀγρός, καὶ τίνα ἐστὶ τὰ ζιζάνια, καὶ τίς ὁ ταῦτα κατασπείρας, καὶ τίνες οἱ θερίζοντες, καὶ τίς ὁ θερισμός, καὶ ὅτε πάντα σαφῶς αὐτοῖς ἐξεκάλυψε τότε φησίν· «Οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν»· οὐκ ἐπειδὴ τοσαύτην μόνην τὴν λαμπηδόνα ἕξουσιν οἱ δίκαιοι, ἀλλὰ δεικνὺς ὅτι πολλῷ μείζονα· τοσαύτην δὲ εἶπεν, ἐπειδὴ μείζονα ταύτης εἰκόνα ἐν τοῖς ὁρωμένοις οὐκ ἦν εὑρεῖν. Ἐπειδὰν οὖν τι τοιοῦτον ἀκούσωμεν, μὴ μέχρι τῶν λεγομένων ἐναπομείνωμεν, ἀλλὰ ἀναλογιζώμεθα ἀπὸ τῶν αἰσθητῶν καὶ ὁρωμένων τῶν πνευματικῶν μάλιστα τὴν ὑπεροχήν. Εἰ τοίνυν καὶ τὴν ἐπιθυμίαν σφοδροτέραν ἐστὶν ἐνταῦθα εὑρεῖν, καὶ τὴν ἡδονὴν ἀκριβεστέραν (θεῖα γάρ ἐστι τὰ λόγια καὶ πνευματικά, καὶ πολλὴν δυνάμενα τίκτειν τῇ ψυχῇ τὴν εὐφροσύνην τὴν πνευματικήν), μετὰ πολλοῦ τοῦ πόθου, καὶ σφοδρᾶς τῆς ἐπιθυμίας τὰς ἀκοὰς ὑπέχωμεν τοῖς λεγομένοις, ἵνα τὸν ἀληθῆ πλοῦτον ἐντεῦθεν ἑαυτοῖς περιποιησάμενοι, καὶ πρὸς τὴν κατὰ Θεὸν φιλοσοφίαν πολλὰ δεξάμενοι τὰ σπέρματα, οὕτως οἴκαδε ἀναχωρῶμεν.

2. Ἀκούσωμεν τοίνυν τίνα ἐστὶ τὰ σήμερον ἀναγνωσθέντα· ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν, καὶ πᾶσαν ῥαθυμίαν ἀποτιναξάμενοι, καὶ φροντίδα βιωτικήν, οὕτω τοῖς λεγομένοις προσέχετε· θεῖοι γάρ εἰσι νόμοι ἄνωθεν ἐκ τῶν οὐρανῶν κατενεχθέντες διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. Εἰ γὰρ βασι-

3. Ματθ. 13, 24-30 ἡ διήγησις τῆς παραβολῆς καὶ 13, 36-43 ἡ ἑρμηνεία της.
4. Ματθ. 13, 43.

τὴν ὑπεροχὴν καὶ εἶπεν, ὅτι ἡ εὐχαρίστησις τῶν πνευματικῶν διδασκαλιῶν εἶναι μεγαλυτέρα. Τὸν ἴδιον κανόνα θὰ συναντήσης νά χρησιμοποιῆ καὶ ὁ Χριστὸς εἰς τὰ εὐαγγέλια. Διότι ὅταν ὡμιλοῦσε πρὸς τοὺς μαθητὰς καὶ ἐζήτησαν νὰ μάθουν τὴν ἐξήγησιν τῆς παραβολῆς τοῦ σπορέως[3], ποὺ ἔσπειρε τὸν καλὸν σπόρον εἰς τὸ χωράφι, καὶ τοῦ ἐχθροῦ, ποὺ ἔβαλε τὰ ζιζάνια ἀνάμεσα εἰς τὸ σιτάρι, ἐξήγησεν ὅλην τὴν παραβολὴν λεπτομερειακά, λέγων ποῖος ἦτο ὁ σπορέας τοῦ καλοῦ σπόρου, καὶ ποῖον τὸ χωράφι, καὶ ποῖα εἶναι τὰ ζιζάνια, καὶ ποῖος εἶναι ὁ σπορέας αὐτῶν, καὶ ποῖοι οἱ θερισταί, καὶ ποῖος ὁ θερισμός, καὶ ὅταν ἀπεκάλυψε μὲ σαφήνειαν αὐτά, τότε λέγει· «Οἱ δίκαιοι θὰ λάμψουν ὡσὰν ὁ ἥλιος εἰς τὴν Βασιλείαν τοῦ Πατρός των»[4], ὄχι διότι θὰ ἔχουν τόσην μόνον λαμπρότητα οἱ δίκαιοι, ἀλλὰ διὰ νὰ ἀποδείξῃ ὅτι θὰ ἔχουν πολὺ μεγαλυτέραν· εἶπε δὲ τόσον μεγάλην, διότι δὲν ἦτο δυνατὸν νὰ εὑρῇ κανεὶς μεταξὺ τῶν αἰσθητῶν πραγμάτων μεγαλυτέραν εἰκόνα ἀπὸ αὐτήν. Ὅταν λοιπὸν ἀκούσωμεν κάτι τέτοιο, ἄς μὴ περιορισθοῦμεν μόνον εἰς τὰ λεγόμενα, ἀλλὰ ἄς ἀναλογιζώμεθα ἀπὸ τὰ αἰσθητὰ καὶ ὁρατὰ πράγματα τὴν ὑπεροχὴν κυρίως τῶν πνευματικῶν. Ἐὰν λοιπὸν εἶναι δυνατὸν νὰ εὑροῦμεν ἐδῶ καὶ τὴν ἐπιθυμίαν ἰσχυροτέραν καὶ τὴν εὐχαρίστησιν ἀκριβεστέραν (καθόσον τὰ λόγια εἶναι θεῖα καὶ πνευματικά, καὶ ἠμποροῦν νὰ προκαλοῦν μεγάλην πνευματικὴν χαρὰν εἰς τὴν ψυχήν), ἄς προσέχωμεν εἰς τὰ λεγόμενα μὲ πολὺν πόθον καὶ μεγάλην ἐπιθυμίαν, ὥστε ἀφοῦ ἀποκτήσωμεν ἀπὸ ἐδῶ τὸν ἀληθινὸν πλοῦτον διὰ τὸν ἑαυτόν μας καὶ ἀφοῦ δεχθοῦμεν πολλὰ σπέρματα διὰ τὸν κατὰ Θεὸν τρόπον ζωῆς, ἄς ἐπιστρέφωμεν ἔτσι εἰς τὰ σπίτια μας.

2. Ἄς ἀκούσωμεν λοιπὸν ποῖα εἶναι αὐτὰ ποὺ ἀνεγνώσθησαν σήμερα. Ἐντείνατε ὅμως, παρακαλῶ, τὸν νοῦν καὶ ἀφοῦ ἀποβάλετε κάθε ἀδιαφορίν καὶ βιωτικὴν μέριμναν, νὰ προσέχετε ἔτσι εἰς τὰ λεγόμενα, διότι εἶναι θεῖοι νόμοι ποὺ ἀπὸ τοὺς οὐρανοὺς ἐστάλησαν διὰ τὴν ἰδικήν μας σωτηρίαν. Διότι ἐὰν γίνεται μεγάλη ἡσυχία, ὅταν ἀναγινώ-

λικῶν γραμμάτων ἀναγινωσκομένων πολλὴ γίνεται ἡ ἡσυχία, καὶ πᾶς θόρυβος, καὶ ταραχὴ ἐκποδών, πάντων συντεταμέναις ταῖς ἀκοαῖς ἑστώτων καὶ ἐπιθυμούντων ἀκοῦσαι, τίνα ἐστὶν ἃ δηλοῖ τὰ γράμματα τὰ βασιλικά, καὶ κίνδυνος μέγιστος ἕπεται τῷ κἂν πρὸς βραχὺ θορυβήσαντι, καὶ διακόψαντι τῶν ἀναγινωσκομένων τὴν ἀκολουθίαν πολλῷ μᾶλλον ἐνταῦθα μετὰ φόβου καὶ τρόμου ἑστάναι δεῖ, καὶ πολλὴν παρέχειν τὴν σιγήν, καὶ τῶν λογισμῶν τὴν ταραχὴν φυγαδεύειν, ἵνα καὶ συνιέναι δυνηθῆτε τὰ λεγόμενα, καὶ τῆς ὑπακοῆς ἀποδεξάμενος ὑμᾶς ὁ βασιλεὺς τῶν οὐρανῶν, μειζόνων καταξιώσῃ τῶν δωρεῶν. Ἴδωμεν τοίνυν τί διδάσκει ἡμᾶς καὶ νῦν ὁ μακάριος Μωϋσῆς, οὐκ οἰκείᾳ γλώττῃ μόνον ταῦτα λέγων, ἀλλ' ὑπὸ τῆς τοῦ Πνεύματος χάριτος ἐνηχούμενος. «Καὶ ἔλαβε», φησίν, «Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε». Καλῶς εὐθέως ἐκ προοιμίων τὰ δύο τέθεικεν· οὐδὲ γὰρ εἶπε, «Κύριος», καὶ ἐσίγησεν, ἀλλὰ προσέθηκε, «Ὁ Θεός», λανθάνον τι καὶ κεκρυμμένον ἐντεῦθεν ἡμᾶς διδάσκων, ἵνα εἰδέναι ἔχωμεν, ὅτι κἂν τε Κύριον ἀκούσωμεν, κἄν τε Θεόν, οὐδεμία ἐν τοῖς ὀνόμασίν ἐστι διαφορά. Τούτου δὲ νῦν οὐχ ἁπλῶς ἐμνημόνευσα, ἀλλ' ἵνα ὅταν ἀκούσῃς Παύλου λέγοντος, «Εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα», μὴ νομίσῃς διαφορὰν εἶναι ἐν ταῖς λέξεσι, καὶ τὴν μὲν μεῖζόν τι δηλοῦν, τὴν δὲ ἔλαττον. Διὰ τοῦτο καὶ ἀδιαφόρως ἡ Γραφὴ τούτοις κέχρηται τοῖς ὀνόμασιν, ἵνα μὴ ἐξῇ τοῖς φιλονείκως διακειμένοις τὸ ἐξ οἰκείας ὑπονοίας ἐπεισφέρειν τῇ τῶν δογμάτων ὀρθότητι. Καὶ ἵνα μάθῃς ὡς οὐδὲν τῶν τοιούτων παρατετηρημένως καὶ ἀποκεκληρωμένως φθέγγεται ἡ θεία Γραφή, ἐξ αὐτοῦ τοῦ νῦν λεγομένου σκόπει μετὰ ἀκριβείας. «Καὶ ἔλαβε», φησί, «Κύριος ὁ Θεός». Περὶ τίνος τοῦτο βούλεται εἰρῆσθαι ὁ αἱρετικός; Περὶ τοῦ Πατρὸς μόνου; Ἄκουε τοίνυν Παύλου λέγοντος. «Εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ Εἷς Κύ-

5. Α΄ Κορ. 8, 6.

σκωνται αἱ βασιλικαὶ διαταγαί, καὶ κάθε θόρυβος καὶ ταραχὴ ἀπομακρύνεται, ἐνῷ ὅλοι στέκονται μὲ μεγάλην προσοχὴν καὶ θέλουν νὰ ἀκούσουν, τί δηλώνουν αἱ βασιλικαὶ διαταγαί, καὶ ἐπικρέμαται μέγιστος κίνδυνος δι' ἐκεῖνον, ποὺ θὰ θορυβήσῃ ἔστω καὶ ὀλίγον καὶ θὰ διακόψῃ τὴν συνέχειαν τῆς ἀναγνώσεως· κατὰ πολὺ περισσότερον πρέπει νὰ στέκεσθε ἐδῶ μὲ φόβον καὶ τρόμον, καὶ νὰ τηρῆτε μεγάλην ἡσυχίαν, καὶ νὰ ἀπομακρύνετε τὴν ταραχὴν τῶν σκέψεών σας, διὰ νὰ ἠμπορέσετε καὶ τὰ λεγόμενα νὰ καταλάβετε καὶ ἀφοῦ δεχθῆ τὴν ὑπακοήν σας ὁ Βασιλεὺς τῶν Οὐρανῶν νὰ σᾶς ἀξιώσῃ μεγαλυτέρων δώρων. Ἂς ἰδοῦμεν λοιπὸν τί μᾶς διδάσκει καὶ τώρα ὁ μακάριος Μωυσῆς, λέγων αὐτὰ ὄχι μόνον μὲ τὴν ἰδικήν του γλῶσσαν ἀλλὰ φωτιζόμενος ἀπὸ τὴν χάριν τοῦ Πνεύματος. «Καὶ ἔλαβε, λέγει, Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε». Καλῶς ἐτοποθέτησεν ἀμέσως ἀπὸ τὴν ἀρχὴν τὰ δύο, διότι δὲν εἶπε, «Κύριος», καὶ ἐσιώπησεν, ἀλλὰ ἐπρόσθεσεν, «Ὁ Θεός», διδάσκων ἡμᾶς ἀπὸ ἐδῶ κάτι κρυφὸν καὶ κρυμμένον, διὰ νὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν, ὅτι εἴτε ἀκούσωμεν Κύριον, εἴτε Θεόν, δὲν ὑπάρχει καμμία διαφορὰ εἰς τὰ ὀνόματα. Δὲν τὸ ἀνέφερα δὲ αὐτὸ τώρα ἁπλῶς, ἀλλὰ ὥστε ὅταν ἀκούσῃς τὸν Παῦλον νὰ λέγῃ «Ἕνας ὁ Θεός, ὁ Πατήρ, ἀπὸ τὸν ὁποῖον ἔγιναν τὰ πάντα, καὶ ἕνας Κύριος, ὁ Ἰησοῦς Χριστός, διὰ τοῦ ὁποίου ἔγιναν ὅλα»[5], νὰ μὴ νομίσῃς ὅτι ὑπάρχει διαφορὰ εἰς τὰς λέξεις, καὶ ὅτι ἡ μία δηλώνει κάτι μεγαλύτερον, ἡ ἄλλη δὲ μικρότερον. Δι' αὐτὸ καὶ ἡ Γραφὴ χρησιμοποιεῖ τὰ ὀνόματα αὐτὰ χωρὶς διάκρισιν, διὰ νὰ μὴ ἐπιτρέψῃ εἰς τοὺς ἐχθρικῶς διακειμένους νὰ προσθέτουν εἰς τὴν ὀρθότητα τῶν δογμάτων τὰς ἰδικάς των σκέψεις. Καὶ διὰ νὰ μάθῃς ὅτι τίποτε τέτοιο δὲν λέγει ἡ Ἁγία Γραφὴ χωρὶς προσοχὴν καὶ ἀπερίσκεπτα, πρόσεξε ἀπὸ αὐτὸ ποὺ λέγεται τώρα. «Καὶ ἔλαβε», λέγει, «Κύριος ὁ Θεός». Διὰ ποῖον θέλει νὰ ἔχῃ λεχθῆ αὐτὸ ὁ αἱρετικός; Διὰ τὸν Πατέρα μόνον; Καλῶς. Ἄκουε λοιπὸν τὸν Παῦλον, ὁ ὁποῖος λέγει, «Ἕνας ὁ Θεός, ὁ Πατήρ, ἀπὸ τὸν ὁποῖον ἔγιναν τὰ πάντα,

ριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα». Ὁρᾷς πῶς τό, Κύριος, ὄνομα τῷ Υἱῷ προσένειμε; Τί ἂν οὖν εἴποιεν τήν, Κύριος, προσηγορίαν μείζονα εἶναι τῆς, Θεός; Ὁρᾶτε ὅσον τὸν ἄτοπον, καὶ ὅση τῆς βλασφημίας ἡ ἐπίτασις. Ὅταν γὰρ μὴ βούληταί τις ἀνέχεσθαι κατακολουθεῖν τῷ κανόνι τῆς θείας Γραφῆς, ἀλλὰ τοῖς οἰκείοις λογισμοῖς ἐθέλοι διδόναι χώραν, ταράττει τὴν διάνοιαν, καὶ λογομαχίας καὶ ζητήσεις ἀπεράντους ἐπιφέρει τῇ ὑγιεῖ τῶν δογμάτων ὀρθότητι. «Καὶ ἔλαβε», φησίν, «Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν». Ὅρα πόσῃ κέχρηται προνοίᾳ περὶ τὸν δημιουργηθέντα ἄνθρωπον. Ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς λέγων, ὅτι «Ἐφύτευσεν ὁ Θεὸς τὸν παράδεισον, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον» ἀντὶ τοῦ, ἐβουλήθη ἐκεῖ αὐτὸν ἔχει τὸ οἰκητήριον, καὶ ἐνδιαιτᾶσθαι τῇ ἀπολαύσει τοῦ παραδείσου· σήμερον πάλιν δείκνυσιν ἡμῖν τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, ἣν περὶ αὐτὸν ἐπιδείκνυται, καὶ ἐπαναλαμβάνων τὸν λόγον φησί· «Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς». Οὐχ ἁπλῶς εἶπεν, «Ἐν τῷ παραδείσῳ», ἀλλὰ προσέθηκε, «Τῆς τρυφῆς», ἵνα τὴν ὑπερβάλλουσαν ἡδονήν, ἧς ἀπήλαυεν ἐκ τῆς αὐτόθι οἰκήσεως, ἐμφήνῃ ἡμῖν· καὶ εἰπών, «Ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς», φησίν, «Ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν». Πολλῆς καὶ τοῦτο κηδεμονίας. Ἐπειδὴ γὰρ τρυφῆς ἁπάσης ἐπεπλήρωτο ἡ αὐτόσε διαγωγή, καὶ τὴν ἀπὸ τῆς θέας τέρψιν ἔχουσα, καὶ τὴν ἀπὸ τῆς ἀπολαύσεως εὐφροσύνην, ἵνα μὴ ἀποσκιρτήσῃ ἐκ τῆς ὑπερβαλλούσης ἀνέσεως ὁ ἄνθρωπος (Πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξε, φησίν, ἡ ἀργία), διὰ τοῦτο προσέταξεν αὐτὸν ἐργάζεσθαι καὶ φυλάσσειν. Τί οὖν, φησί, τῆς παρ' αὐτοῦ

6. Γεν. 3, 8.
7. Σοφ. Σειρ. 33, 28.

καὶ ἕνας ὁ Κύριος, ὁ Ἰησοῦς Χριστός, διὰ τοῦ ὁποίου ἔγιναν ὅλα». Βλέπεις πῶς τὴν ὀνομασίαν Κύριος, ἀπέδωσεν εἰς τὸν Υἱόν; Τί λοιπὸν θὰ εἰποῦν, ὅτι ἡ ὀνομασία «Κύριος» εἶναι μεγαλυτέρα ἀπὸ τὴν ὀνομασίαν «Θεός»; Προσέχετε πόση εἶναι ἡ ἀνοησία καὶ πόση ἡ ἐπέκτασις τῆς βλασφημίας. Διότι ὅταν κανεὶς δὲν θέλῃ νὰ ἀκολουθῇ πιστὰ τὸν κανόνα τῆς Ἁγίας Γραφῆς, ἀλλὰ τὰς ἰδικάς του σκέψεις, ταράσσει τὸν νοῦν του καὶ προκαλεῖ λογομαχίας καὶ ἀναζητήσεις ἀτελειώτους εἰς τὴν ὀρθότητα τῶν ὑγιῶν δογμάτων. «Καὶ ἔλαβε, λέγει, Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε, καὶ ἔβαλεν αὐτὸν μέσα εἰς τὸν παράδεισον τῆς τρυφῆς, διὰ νὰ τὸν καλλιεργῇ καὶ νὰ τὸν φυλάσσῃ». Πρόσεχε πόσην φροντίδα ἐπιδεικνύει διὰ τὸν δημιουργηθέντα ἄνθρωπον. Ἐπειδὴ λοιπὸν μᾶς ἐδίδαξε χθὲς ὁ μακάριος Μωυσῆς λέγων, ὅτι «Ἐφύτευσεν ὁ Θεὸς τὸν παράδεισον καὶ ἔθεσεν ἐκεῖ τὸν ἄνθρωπον»[6], ἀντὶ τοῦ, ἠθέλησεν ἐκεῖ νὰ ἔχῃ τὴν κατοικίαν αὐτὸς καὶ νὰ ζῇ μέσα εἰς τὴν ἀπόλαυσιν τοῦ παραδείσου, πάλιν μᾶς δεικνύει σήμερα τὴν ἄπειρον φιλανθρωπίαν τοῦ Θεοῦ, ποὺ ἐπιδεικνύει δι' αὐτόν, καὶ ἐπαναλαμβάνων τὰ ἴδια λόγια, λέγει· «Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασε, καὶ ἔβαλεν αὐτὸν μέσα εἰς τὸν παράδεισον τῆς τρυφῆς». Δὲν εἶπεν ἁπλῶς, «Μέσα εἰς τὸν παράδεισον», ἀλλὰ ἐπρόσθεσε, «Τῆς τρυφῆς», διὰ νὰ μᾶς φανερώσῃ τὴν ὑπερβολικὴν εὐχαρίστησιν, τὴν ὁποίαν ἀπελάμβανε ἀπὸ τὴν διαμονήν του εἰς αὐτόν. Καὶ ἀφοῦ εἶπεν, «Ἔβαλεν αὐτὸν μέσα εἰς τὸν παράδεισον τῆς τρυφῆς», λέγει, «Νὰ τὸν καλλιεργῇ καὶ νὰ τὸν φυλάσσῃ». Καὶ αὐτὸ εἶναι ἀπόδειξις μεγάλης φροντίδος. Ἐπειδὴ λοιπὸν ἡ ζωή του ἐδῶ ἦτο γεμάτη ἀπὸ κάθε ἀπόλαυσιν, μὲ τὸ νὰ ἔχῃ καὶ τὴν εὐχαρίστησιν ἀπὸ τὴν θέαν τοῦ παραδείσου καὶ τὴν χαρὰν ἀπὸ τὴν ἀπόλαυσιν τῶν εὑρισκομένων μέσα εἰς αὐτόν, διὰ νὰ μὴ ἀπομακρυνθῇ ὁ ἄνθρωπος ἀπὸ τὴν ὑπερβολικὴν ἀνάπαυσιν (Διότι λέγει ἡ Γραφή, «Ἡ ἀργία εἶναι διδάσκαλος κάθε κακίας»[7]), δι' αὐτὸ τὸν ἐπρόσταξε νὰ καλλιεργῇ καὶ νὰ φυλάσσῃ τὸν παράδεισον. Τί λοιπόν, θὰ εἰπῇ κανείς,

ἐπιμελείας ἐδεῖτο ὁ παράδεισος; Οὐ τοῦτο λέγω, ἀλλ' ἐβουλήθη τέως μικράν τινα καὶ σύμμετρον αὐτὸν ἔχειν μέριμναν περί τε τὴν φυλακήν, περί τε τὴν ἐργασίαν. Εἰ γὰρ πόνου παντὸς ἦν ἀπηλλαγμένος, εὐθὺς ἀπέκλινεν ἂν πρὸς ῥαθυμίαν πολλῇ κεχρημένος ἀνέσει· νῦν δὲ ἐργαζόμενος ἐργασίαν ἀνώδυνόν τινα, καὶ ταλαιπωρίας ἐκτός, σωφρονέστερον ἂν διετέθη. Καὶ τὸ εἰπεῖν δέ, ὅτι «Φυλάσσειν», οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ συγκατάβασίς ἐστι τῶν ῥημάτων, ἵνα ὅλως εἰδέναι ἔχῃ, φησίν, ὅτι ὑπόκειταί τινι δεσπότῃ τῷ τὴν τοσαύτην ἀπόλαυσιν αὐτῷ χαρισαμένῳ, καὶ μετὰ τῆς ἀπολαύσεως τὴν φυλακὴν ἐπιτρέψαντι. Πάντα γὰρ ποιεῖ ὁ Θεὸς καὶ πραγματεύεται διὰ τὴν ὠφέλειαν τὴν ἡμετέραν, καὶ μετὰ τούτου καὶ τὴν ἀπόλαυσιν καὶ τὴν ἄνεσιν δωρεῖται. Εἰ γὰρ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλανθρωπίαν, καὶ πρὶν ἡμᾶς παραγαγεῖν τὰ ἀπόρρητα ἐκεῖνα ἡμῖν ἀγαθὰ ηὐτρέπισε, καθὼς αὐτὸς λέγει· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου»· πολλῷ μᾶλλον τὰ ἐνταῦθα πάντα μετὰ δαψιλείας παρέξει.

3. Ἐπεὶ οὖν τοσαύτας εὐεργεσίας εἰς τὸν δημιουργηθέντα κατέθετο, πρῶτον ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν αὐτόν, καὶ ἀπὸ τοῦ χοὸς σῶμα διαπλάσσαι καταξιώσας, καὶ μετὰ ταῦτα τὸ κυριώτερον, τὴν ψυχὴν τὴν ἀσώματον διὰ τοῦ ἐμφυσήματος χρησάμενος, εἶτα τὸν παράδεισον γενέσθαι κελεύσας, καὶ ἐκεῖ αὐτὸν ἐνδιαιτᾶσθαι προστάξας, μετὰ ταῦτα πάλιν καθάπερ πατὴρ φιλόστοργος παιδὶ νέῳ πολλῆς ἀδείας καὶ ἀνέσεως ἀπολαύοντι, ὥστε μὴ ἀποσκιρτῆσαι, μικράν τινα καὶ σύμμετρον ἐπινοεῖ φροντίδα, οὕτω καὶ ὁ Δεσπότης Θεὸς τῷ Ἀδὰμ τὴν ἐργασίαν καὶ τὴν φυλακὴν προσέταξεν, ἵνα μετὰ τῆς τρυφῆς τῆς πολλῆς, καὶ τῆς ἀδείας, καὶ τῆς ἀνέ-

8. Ματθ. 25, 34.

ὁ παράδεισος ἐχρειάζετο τὴν ἰδικήν του φροντίδα; Δὲν ἐννοῶ αὐτό, ἀλλὰ ἠθέλησε κατὰ πρῶτον νὰ ἔχῃ αὐτὸς κάποιαν μικρὰν καὶ ἀνάλογον φροντίδα καὶ διὰ τὴν φύλαξιν καὶ διὰ τὴν ἐργασίαν. Διότι ἐὰν ἦτο ἀπηλλαγμένος ἀπὸ κάθε κόπον, ἀμέσως θὰ ἐξετρέπετο πρὸς τὴν ἀδιαφορίαν, ἐπειδὴ εἶχε μεγάλην ἄνεσιν· τώρα ὅμως ἀσχολούμενος μὲ κάποιαν ἀνώδυνον καὶ χωρὶς ταλαιπωρίας ἐργασίαν, θὰ ἐγίνετο περισσότερον σώφρων. Καὶ τὸ νὰ εἰπῇ δέ, «Νὰ φυλάσσῃ», δὲν προστίθεται ἁπλῶς, ἀλλὰ εἶναι συγκατάβασις τῶν λέξεων, διὰ νὰ ἠμπορῇ νὰ γνωρίζῃ τελείως, λέγει, ὅτι εἶναι κάτω ἀπὸ κάποιον κύριον, ὁ ὁποῖος ἐχάρισεν εἰς αὐτὸν τὴν τόσον μεγάλην ἀπόλαυσιν, καὶ μαζὶ μὲ τὴν ἀπόλαυσιν τοῦ ἐνεπιστεύθη τὴν φύλαξιν τοῦ παραδείσου. Τὰ πάντα λοιπὸν κάνει καὶ ἐπιχειρεῖ ὁ Θεὸς διὰ τὴν ἰδικήν μας ὠφέλειαν, καὶ μαζὶ μὲ αὐτὸ χαρίζει καὶ τὴν ἀπόλαυσιν καὶ τὴν ἄνεσιν. Διότι ἐὰν ἐξ αἰτίας τῆς ὑπερβολικῆς του φιλανθρωπίας καὶ προτοῦ νὰ μᾶς δημιουργήσῃ ἡτοίμασεν εἰς ἡμᾶς τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, καθὼς ὁ ἴδιος λέγει· «Ἐλᾶτε σεῖς, ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, λάβετε ὡς κληρονομίαν τὴν βασιλείαν, ποὺ ἔχει ἑτοιμασθῆ διὰ σᾶς, ἀφ᾽ ὅτου ἐθεμελιώνετο ὁ κόσμος»[8], πολὺ περισσότερον θὰ μᾶς χορηγήσῃ μὲ ἀφθονίαν ὅλα τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς.

3. Ἀφοῦ λοιπὸν τόσον πολλὰς εὐεργεσίας ἔκαμεν εἰς τὸν δημιουργηθέντα ἄνθρωπον, κατὰ πρῶτον ἔφερεν αὐτὸν ἀπὸ τὸ μηδὲν εἰς τὴν ὕπαρξιν, καὶ τὸν ἐθεώρησεν ἄξιον νὰ διαπλάσῃ τὸ σῶμα του ἀπὸ τὸ χῶμα, καὶ ὕστερα ἀπὸ αὐτὰ τὸ κυριώτερον, ἐχάρισε μὲ τὸ φύσημά του τὴν ἄυλον ψυχὴν εἰς αὐτόν, κατόπιν διέταξε νὰ γίνῃ ὁ παράδεισος καὶ ἐπρόσταξε νὰ ζῇ ἐκεῖ αὐτός, μετὰ πάλιν ὡσὰν φιλόστοργος πατέρας εἰς τὸ νέον παιδί, ἐπειδὴ ἀπολαμβάνει μεγάλην ἀσφάλειαν καὶ ἄνεσιν, διὰ νὰ μὴ ἀπομακρυνθῇ, ἀναθέτει κάποιαν μικρὰν καὶ ἀνάλογον φροντίδα. Ἔτσι καὶ ὁ Δεσπότης Θεὸς ἐπρόσταξεν εἰς τὸν Ἀδὰμ τὴν ἐργασίαν καὶ τὴν φύλαξιν, ὥστε μαζὶ μὲ πολλὴν ἀπόλαυσιν, τὴν ἀσφάλειαν καὶ τὴν ἄνεσιν, νὰ ἔχῃ καὶ τὰ δύο

σεως, ἠρέμα πως ἔχη ταῦτα ἀμφότερα ἐγκόπτοντα αὐτοῦ τὴν εἰς τὸ πρόσω φοράν. Ταῦτα μὲν οὖν τὰ ἤδη ὑπάρξαντα τῷ δημιουργηθέντι· τὰ δέ γε ἑξῆς ἐπαγόμενα πάλιν πολλὴν καὶ ὑπερβάλλουσαν ἡμῖν ἐμφαίνει τὴν περὶ αὐτὸν φιλανθρωπίαν, τήν τε συγκατάβασιν, ἣν διὰ τὴν οἰκείαν ἀγαθότητα ἐπιδείκνυται. Τί γάρ φησιν ἡ Γραφή; «Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδάμ». Ἰδοὺ πάλιν καὶ ἐνταῦθα τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο, ἵνα τῇ πυκνότητι τῶν λεγομένων ἀκριβῆ τὴν διδασκαλίαν δεξώμεθα, καὶ μηκέτι ἀνεχώμεθα τῶν τολμώντων ἀποκληροῦν τὰς τῶν ὀνομάτων προσηγορίας, καὶ τὴν μὲν τῷ Πατρί, τὴν δὲ τῷ Υἱῷ προσνέμειν. Ἐπειδὴ γὰρ ἀμφοτέρων ἡ οὐσία μία, διὰ τοῦτο καὶ ἡ θεία Γραφὴ ἀδιαφόρως ποτὲ μὲν τῷ Πατρί, ποτὲ δὲ τῷ Υἱῷ τὴν αὐτὴν προσηγορίαν εὑρίσκεται ἀποκληροῦσα. «Καὶ ἐνετείλατο», φησί, «Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων». Ἄξιον ἐνταῦθα ἐκπλαγῆναι τὴν πάντα λόγον ὑπερβαίνουσαν τοῦ Θεοῦ φιλανθρωπίαν, ἣν ἐνδείκνυται ἡμῖν διὰ τῆς βραχείας ταύτης λέξεως, «Καὶ ἐνετείλατο», φησί. Βλέπε ἐκ προοιμίων πόση τιμῇ κέχρηται περὶ τὸν ἄνθρωπον. Οὐδὲ γὰρ εἶπε, προσέταξεν, ἢ ἐκέλευσεν, ἀλλὰ τί; «Ἐνετείλατο». Καθάπερ φίλος φίλῳ περί τινων ἀναγκαίων ἐντελλόμενος διαλέγεται, οὕτω καὶ ὁ Θεὸς πρὸς τὸν Ἀδὰμ διατίθεται, μονονουχὶ διὰ τῆς τοσαύτης τιμῆς ἐπισπάσασθαι βουλόμενος αὐτὸν πρὸς τὴν ὑπακοὴν τῶν ἐντελλομένων ὑπ' αὐτοῦ. «Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγῃ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. Ἡ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε». Πολὺ τῆς ἐντολῆς τὸ ἀνεπαχθές. Ἀλλὰ δεινόν, ἀγαπητέ, ἡ ῥαθυμία· ὥσπερ γὰρ αὕτη καὶ τὰ εὔκολα δύσκολα ἡμῖν φαίνεσθαι ποιεῖ, οὕτως ἡ σπουδὴ καὶ ἡ ἀγρυπνία καὶ τὰ δύσκολα εὔκολα ἡμῖν ἀπεργάζεται. Τί γάρ, εἰπέ μοι, τού-

αὐτὰ νὰ τὸν ὠθοῦν εἰς τὴν μελλοντικήν του προκοπήν. Αὐτὰ μὲν λοιπὸν εἶναι ἐκεῖνα, ποὺ ἔγιναν ἤδη πρὸς χάριν τοῦ δημιουργηθέντος ἀνθρώπου. Καὶ τὰ προστιθέμενα ὅμως εἰς τὸ ἑξῆς μᾶς φανερώνουν πάλιν τὴν μεγάλην καὶ ὑπερβολικὴν δι' αὐτὸν φιλανθρωπίαν, καὶ τὴν συγκατάβασιν, τὴν ὁποίαν ἐξ αἰτίας τῆς ἀγαθότητός του ἐπιδεικνύει. Τί λοιπὸν λέγει ἡ Γραφή; «Καὶ ἔδωσε Κύριος ὁ Θεὸς ἐντολὴν πρὸς τὸν Ἀδάμ». Ἰδοὺ πάλιν καὶ ἐδῶ μετεχειρίσθη τὴν ἰδίαν συνήθειαν, διὰ νὰ δεχθοῦμεν μὲ τὴν πυκνότητα τῶν λεγομένων τὴν ἀκριβῆ διδασκαλίαν καὶ νὰ μὴ ἀνεχώμεθα ποτὲ πλέον ἐκείνους, ποὺ τολμοῦν νὰ προτιμοῦν τυχαῖα τὰς σημασίας τῶν ὀνομάτων, καὶ τὴν μὲν νὰ ἀπονέμουν εἰς τὸν Πατέρα, τὴν δὲ ἄλλην εἰς τὸν Υἱόν. Ἀφοῦ λοιπὸν καὶ τῶν δύο ἡ οὐσία εἶναι μία, δι' αὐτὸ καὶ ἡ Ἁγία Γραφὴ χωρὶς διάκρισιν ἄλλοτε μὲν εἰς τὸν Πατέρα, ἄλλοτε δὲ εἰς τὸν Υἱὸν ἀπονέμει τὴν ἰδίαν ὀνομασίαν. «Καὶ ἔδωσε, λέγει, Κύριος ὁ Θεὸς ἐντολὴν πρὸς τὸν Ἀδὰμ λέγων». Ἀξίζει ἐδῶ νὰ θαυμάσωμεν τὴν ὑπερβαίνουσαν κάθε λογικὴν φιλανθρωπίαν τοῦ Θεοῦ, τὴν ὁποίαν μᾶς φανερώνει μὲ τὴν μικρὰν αὐτὴν λέξιν. «Καὶ ἔδωσε ἐντολήν», λέγει. Βλέπε πόσην τιμὴν ἔδειξε διὰ τὸν ἄνθρωπον. Διότι δὲν εἶπεν, ἐπρόσταξεν ἢ διέταξεν· ἀλλὰ τί; «Ἔδωσεν ἐντολήν». Ὅπως ἀκριβῶς φίλος πρὸς φίλον συζητεῖ παραγγέλων διὰ κάποια ἀναγκαῖα πράγματα, ἔτσι καὶ ὁ Θεὸς συμπεριφέρεται πρὸς τὸν Ἀδάμ, ἐπιθυμῶν νὰ παρακινήσῃ ἀμέσως αὐτόν, μὲ τὴν τόσον μεγάλην τιμήν, πρὸς τὴν ὑπακοὴν τῶν ἐντολῶν του. «Καὶ ἔδωσε Κύριος ὁ Θεὸς ἐντολὴν πρὸς τὸν Ἀδὰμ λέγων· ἀπὸ κάθε δένδρον τοῦ παραδείσου εἶσαι ἐλεύθερος νὰ τρώγῃς· ἀπὸ τὸ δένδρον ὅμως τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ δὲν θὰ φάγετε. Τὴν ἡμέραν κατὰ τὴν ὁποίαν δὲ θὰ φάγετε ἀπὸ αὐτό, ὁπωσδήποτε θὰ ἀποθάνετε». Ἡ ἐντολὴ δὲν εἶναι καθόλου ἀνυπόφορος. Ἀλλὰ εἶναι φοβερὸν κακόν, ἀγαπητέ, ἡ ἀδιαφορία· διότι ὅπως αὐτὴ κάμνει νὰ μᾶς φαίνωνται καὶ τὰ εὔκολα δύσκολα, ἔτσι καὶ ἡ προσπάθεια καὶ ἡ ἐπαγρύπνησις καὶ τὰ δύσκολα καθιστᾷ εὔκολα εἰς ἡμᾶς. Διότι εἰπέ μου, τί εἶναι

του ἀνεπαχθέστερον; τί ταύτης τῆς τιμῆς μεῖζον γένοιτ' ἄν; Παρέσχεν ἐνδιαιτᾶσθαι τῷ παραδείσῳ, τῷ κάλλει τέρπεσθαι τῶν ὁρωμένων, καὶ τὴν ὄψιν ἐκεῖθεν εὐφραίνειν, καὶ διὰ τῆς ἀπολαύσεως πολλὴν τὴν ἡδονὴν καρποῦσθαι. Ἐννόησον γὰρ ὅσον ἦν ὁρᾶν τὰ δένδρα τοῖς καρποῖς βριθόμενα, τῶν ἀνθῶν τὴν ποικιλίαν, τῶν βοτανῶν τὴν διαφοράν, τῶν φύλλων τὰς κόμας, τὰ ἄλλα ὅσα εἰκὸς ἐν παραδείσῳ τυγχάνειν, καὶ ἐν παραδείσῳ ὑπὸ τοῦ Θεοῦ φυτευθέντι. Διὰ γὰρ τοῦτο προλαβοῦσα ἡ θεία Γραφὴ εἶπεν, ὅτι «Ἐξανέτειλεν ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν», ἵνα εἰδέναι ἔχωμεν ὅσης ἀφθονίας ἀπολαύων, εἰς τὴν δοθεῖσαν αὐτῷ ἐντολὴν ἐξύβρισε διὰ πολλὴν ἀκρασίαν καὶ ῥαθυμίαν. Ἐννόησον γάρ μοι, ἀγαπητέ, τῆς τιμῆς τὴν ὑπερβολήν, ἧς αὐτὸν ἠξίωσεν, ἰδιάζουσαν καὶ ἀφωρισμένην αὐτῷ τράπεζαν τὴν ἐν τῷ παραδείσῳ δωρησάμενος, ἵνα μὴ νομίσῃ τὴν αὐτὴν τοῖς ἀλόγοις καὶ αὐτῷ τροφὴν ὑπάρχειν, ἀλλ' ἔχῃ καθάπερ βασιλεὺς ἐνδιαιτώμενος τῇ τοῦ παραδείσου διαγωγῇ, ἐντρυφᾶν τῇ ἐκεῖθεν ἀπολαύσει, καὶ καθάπερ δεσπότης κεχωρισμένος ᾖ τῶν εἰς ὑπηρεσίαν αὐτῷ παρασχεθέντων, καὶ ἀφωρισμένην ἔχῃ τὴν διαγωγήν. «Καὶ ἐνετείλατο», φησί, «Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε»· μονονουχὶ λέγων πρὸς αὐτόν, μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς ἀπαιτῶ παρὰ σοῦ; Πάντων τὴν ἀπόλαυσιν ἐπιτρέπω, ἑνὸς τούτου μόνον μὴ ἅψασθαι ἐντέλλομαι· ἀλλὰ καὶ τὸ ἐπιτίμιον μέγα ὁρίζω, ἵνα κἂν τῷ φόβῳ σωφρονιζόμενος φυλάξῃς τὴν παρ' ἐμοῦ σοι δοθεῖσαν ἐντολήν· ταὐτὸν ποιῶν, ὥσπερ ἂν εἴ τις

9. Γεν. 2, 9.

ὀλιγώτερον ἐνοχλητικὸν ἀπὸ αὐτό; τί θὰ ἠμποροῦσε νὰ γίνῃ μεγαλύτερον ἀπὸ τὴν τιμὴν αὐτήν; Παρεχώρησε νὰ ζῇ μέσα εἰς τὸν παράδεισον, νὰ εὐχαριστῆται μὲ τὴν ὁμορφιὰν τῶν δημιουργημάτων, καὶ νὰ εὐφραίνεται μὲ τὴν θέαν αὐτῶν, καὶ μὲ τὴν ἀπόλαυσίν των νὰ αἰσθάνεται μεγάλην εὐχαρίστησιν. Διότι παρατήρησε, ὅσον ἠμπορεῖς νὰ ἰδῇς, τὰ δένδρα νὰ εἶναι γεμᾶτα καρπούς, τὴν ποικιλίαν τῶν λουλουδιῶν, τὴν διαφορὰν τῶν φυτῶν, τὸ φύλλωμα τῶν δένδρων, τὰ ὑπόλοιπα, ποὺ ἦτο φυσικὸν νὰ ὑπάρχουν μέσα εἰς τὸν παράδεισον καὶ ἐφυτεύθησαν μέσα εἰς αὐτὸν ἀπὸ τὸν Θεόν. Διὰ τοῦτο λοιπὸν εἶπε προηγουμένως ἡ Ἁγία Γραφή, ὅτι «Ἔκαμεν ἀκόμη νὰ βλαστήσουν ἀπὸ τὴν γῆν ὅλα τὰ εἴδη τῶν δένδρων, τὰ ὁποῖα εἶναι εὐχάριστα εἰς τὴν ὅρασιν καὶ καλὰ πρὸς βρῶσιν»*, διὰ νὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν ὅτι, ἂν καὶ ἀπελάμβανε μεγάλην ἀφθονίαν ἀγαθῶν, συμπεριεφέρθη περιφρονητικὰ πρὸς τὴν ἐντολὴν ποὺ ἐδόθη εἰς αὐτὸν ἐξ αἰτίας τῆς ἀκρατείας καὶ ἀδιαφορίας του. Διότι κατανόησε, ἀγαπητέ, τὴν ὑπερβολικὴν τιμήν, μὲ τὴν ὁποίαν τὸν περιέβαλεν, ἀφοῦ ἐχάρισεν εἰς αὐτὸν ἰδιαιτέραν καὶ χωριστὴν τράπεζαν μέσα εἰς τὸν παράδεισον, διὰ νὰ μὴ νομίσῃ ὅτι ἔχει τὴν ἰδίαν μὲ τὰ ἄλογα ζῶα τροφήν, ἀλλὰ διὰ νὰ ἠμπορῇ ὡσὰν βασιλεύς, ζῶν μέσα εἰς τὸν παράδεισον, νὰ εὐφραίνεται ἀπὸ τὴν ἀπόλαυσιν αὐτοῦ, καὶ ὡσὰν κύριος νὰ εἶναι ἀποχωρισμένος ἀπὸ ἐκεῖνα ποὺ τοῦ ἐδόθησαν νὰ τὸν ὑπηρετοῦν καὶ νὰ ἔχῃ διαφορετικὸν τρόπον ζωῆς. «Καὶ ἔδωσε, λέγει, Κύριος ὁ Θεὸς ἐντολὴν πρὸς τὸν Ἀδὰμ λέγων· ἀπὸ κάθε δένδρον τοῦ παραδείσου εἶσαι ἐλεύθερος νὰ τρώγῃς· ἀπὸ τὸ δένδρον ὅμως τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ δὲν θὰ φάγετε. Τὴν ἡμέραν δὲ κατὰ τὴν ὁποίαν θὰ φάγετε ἀπὸ αὐτό, ὁπωσδήποτε θὰ ἀποθάνετε»· σχεδὸν ὡσὰν νὰ ἔλεγε πρὸς αὐτόν, μήπως λοιπὸν ἀπαιτῶ ἀπὸ σὲ κάτι βαρὺ καὶ ἐνοχλητικόν; Ἐπιτρέπω τὴν ἀπόλαυσιν ὅλων, αὐτὸ τὸ ἕνα μόνον δίδω ἐντολὴν νὰ μὴ ἐγγίσετε· ἀλλὰ καὶ τὴν τιμωρίαν ὁρίζω μεγάλην, ὥστε σωφρονιζόμενος τουλάχιστον ἀπὸ τὸν φόβον νὰ τηρήσῃς τὴν ἐντολήν μου ποὺ σοῦ ἔδωσα·

δεσπότης φιλότιμος οἰκίαν μεγάλην τινὶ ἐμπιστεύσειε, καὶ ὑπὲρ τοῦ τὴν δεσποτείαν αὐτῷ ἀκέραιον μένειν, βραχύ τι ἀργύριον τυπώσειε παρ' αὐτοῦ δίδοσθαι. Οὕτω δὴ καὶ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης πάντων τῶν ἐν τῷ παραδείσῳ τὴν ἀπόλαυσιν αὐτῷ χαρισάμενος, τοῦ ἑνὸς ξύλου μόνου ἀποσχέσθαι ἐκέλευσεν, ἵνα εἰδέναι ἔχῃ, ὅτι ὑπὸ Δεσπότην ἐστίν, ᾧ προσήκει αὐτὸν πείθεσθαι, καὶ τοῖς ὑπ' ἐκείνου προσταττομένοις εἴκειν.

4. Τίς ἂν κατ' ἀξίαν θαυμάσειε τοῦ κοινοῦ πάντων Δεσπότου τὴν φιλοτιμίαν; Οὐδὲν οὐδέπω ἐπιδειξάμενον πόσης ἀξιοῖ τῆς εὐεργεσίας; Οὐδὲ γὰρ ἐξ ἡμισείας αὐτῷ τὴν ἀπόλαυσιν ἔδωκεν, οὐδὲ τῶν πλειόνων ἀποσχέσθαι ἐκέλευσεν, τῶν δὲ λειπομένων ἔχειν τὴν ἀπόλαυσιν· ἀλλὰ πάντων τῶν ἐν τῷ παραδείσῳ μετέχειν αὐτὸν βουληθείς, τοῦ ἑνὸς ξύλου μόνου ἀποσχέσθαι προστάττει, δεικνὺς διὰ τῶν πραγμάτων, ὅτι οὐδενὸς ἑτέρου ἕνεκεν τοῦτο πεποίηκεν, ἀλλ' ἵνα τὸν αἴτιον εἰδέναι ἔχῃ τῶν τοσούτων εὐεργεσιῶν. Καὶ σκόπει μετὰ τῶν ἄλλων καὶ ἐντεῦθεν τοῦ Θεοῦ τὴν ἀγαθότητα, ὅσῃ τῇ τιμῇ κέχρηται καὶ περὶ τὴν μέλλουσαν ἐξ αὐτοῦ διαπλάττεσθαι γυναῖκα. Οὐδέπω γὰρ αὐτῆς παραχθείσης, ὡς πρὸς ἀμφοτέρους τὴν ἐντολὴν ποιεῖται λέγων· «Οὐ φάγεσθε ἀπ' αὐτοῦ», καί, «Ἧ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε»· δηλῶν ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτι ἕν εἰσιν ἀνὴρ καὶ γυνή, καθὼς καὶ ὁ Παῦλός φησι· «Κεφαλὴ τῆς γυναικὸς ὁ ἀνήρ». Διὰ τοῦτο τοίνυν ὡς πρὸς ἀμφοτέρους διαλέγεται, ἵνα μετὰ ταῦτα διαπλάσσας ἐξ αὐτοῦ τὴν γυναῖκα, ἀφορμὰς αὐτῷ παράσχῃ τοῦ γνωρίσαι αὐτῇ τὰ παρ' αὐτοῦ ἐνταλθέντα. Καὶ οἶδα μέν, ὅτι πολυθρύλλητόν ἐστι τοῦτο τὸ περὶ τοῦ ξύλου ζήτημα. καὶ ὅτι πολλοὶ τῶν ἀπαραφυλάκτως φθεγγομένων ἀπὸ τοῦ ἀνθρώπου ἐπὶ τὸν Θεὸν τὴν αἰτίαν μετάγειν ἐπιχειροῦσι,

10. Ἐφ. 5, 23.

...ιθῶς ὅπως κάποιος φιλότιμος οἰκοδεσπότης, ...πιστεύετο εἰς κάποιαν μεγάλην οἰκίαν καί, διὰ ...απόλυτος εἰς αὐτὸν ἡ ἐξουσία τῆς οἰκίας, θὰ ... νὰ δίδῃ αὐτὸς κάποιαν μικρὰν ἀμοιβήν. Ἔτσι ...καὶ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης ἀφοῦ ἐχάρισεν ...τὸν τὴν ἀπόλαυσιν ὅλων τῶν εὑρισκομένων μέσα εἰς ...παράδεισον, ἐπρόσταξε νὰ ἀπέχῃ ἀπὸ ἕνα μόνον δέν...ν, διὰ νὰ ἠμπορῇ νὰ γνωρίζῃ, ὅτι εὑρίσκεται κάτω ἀπὸ ...σπότην, εἰς τὸν ὁποῖον ἁρμόζει νὰ ὑπακούῃ καὶ νὰ ὑπο...ῃ εἰς τὰς ἐντολὰς ἐκείνου.

Ποῖος θὰ ἠμποροῦσε νὰ τιμήσῃ ἐπάξια τὴν φιλοτι...ν τοῦ κοινοῦ ὅλων Δεσπότου; Χωρὶς νὰ ἐπιδείξῃ τίπο... μέχρι τώρα ὁ ἄνθρωπος, μὲ πόσην εὐεργεσίαν τὸν ἀξιώ...; Διότι οὔτε ἔδωσεν εἰς αὐτὸν τὴν μισὴν ἀπόλαυσιν, ...τε τὸν ἐπρόσταξε νὰ ἀπέχῃ ἀπὸ τὰ περισσότερα καὶ νὰ ...ολαμβάνῃ τὰ ὑπόλοιπα. Ἀλλὰ ἐπειδὴ ἠθέλησε νὰ μετέ... ὁ ἄνθρωπος ὅλων τῶν εὑρισκομένων μέσα εἰς τὸν πα...άδεισον, προστάζει νὰ ἀπέχῃ ἀπὸ ἕνα μόνον δένδρον, ...οδεικνύων μὲ τὰ πράγματα, ὅτι διὰ τίποτε ἄλλο δὲν ...ει κάμει αὐτό, ἀλλὰ διὰ νὰ ἠμπορῇ νὰ γνωρίζῃ τὸν ...τιον τόσων πολλῶν εὐεργεσιῶν. Καὶ παρατήρησε μαζὶ ... τὰ ἄλλα καὶ ἀπὸ ἐδῶ τὴν ἀγαθότητα τοῦ Θεοῦ, πόσην ...μὴν ἐκδηλώνει καὶ διὰ τὴν γυναῖκα, ποὺ πρόκειται νὰ ...ημιουργηθῇ ἀπὸ αὐτόν. Διότι ἂν καὶ δὲν ἐδημιουργήθη ...υτὴ ἀκόμη, δίδει τὴν ἐντολὴν καὶ πρὸς τοὺς δύο λέγων· ...ὲν θὰ φάγετε ἀπὸ αὐτό», καὶ «Τὴν ἡμέραν κατὰ τὴν ...οίαν θὰ φάγετε, ὁπωσδήποτε θὰ ἀποθάνετε», δηλώνων ...μέσως ἀπὸ τὴν ἀρχήν, ὅτι ὁ ἄνδρας καὶ ἡ γυναῖκα εἶναι ...α, καθὼς καὶ ὁ Παῦλος λέγει, «Κεφαλὴ τῆς γυναικὸς ...αι ὁ ἄνδρας»[19]. Δι' αὐτὸ λοιπὸν ὁμιλεῖ καὶ πρὸς τοὺς ...ο, διὰ νὰ δώσῃ εἰς αὐτὸν ἀφορμάς, ἀφοῦ κατόπιν δη...ουργήσῃ ἀπὸ αὐτὸν τὴν γυναῖκα, νὰ τῆς γνωστοποιήσῃ ...ς ἐντολάς του. Γνωρίζω βέβαια, ὅτι τὸ ζήτημα αὐτὸ διὰ ... δένδρον εἶναι περιλάλητον, καὶ ὅτι πολλοὶ ἀπὸ τοὺς ...ιλοῦντας ἀπρόσεκτα ἐπιχειροῦν νὰ μεταφέρουν ἀπὸ τὸν ...θρωπον εἰς τὸν Θεὸν τὴν αἰτίαν καὶ τολμοῦν νὰ λέγουν·

καὶ λέγειν τολμῶσι· τίνος γὰρ ἕνεκεν ἐδίδου αὐτῷ τὴν ἐντολὴν εἰδὼς ὅτι παραβήσεται; καὶ πάλιν, διὰ τί γὰρ τὸ ξύλον προσέταξε γενέσθαι ἐν τῷ παραδείσῳ; καὶ πολλὰ ἕτερα· ἀλλ' ἵνα μὴ νῦν πρὸ τοῦ καιροῦ τῆς παραβάσεως δόξωμεν προπηδᾶν εἰς τὴν περὶ τούτων ἐξήγησιν, ἀναγκαῖον ἀναμεῖναι καὶ ἡμᾶς τὴν τοῦ μακαρίου Μωϋσέως διήγησιν, ἵν' οὕτως εἰς τὸν τόπον ἀφικόμενοι εὐκαίρως, ἅπερ ἂν ἡ τοῦ Θεοῦ χάρις χορηγήσῃ, περὶ τούτου κινήσαντες, διδάξωμεν τὴν ὑμετέραν ἀγάπην τὸν ἀληθῆ τῆς Γραφῆς νοῦν· ἵν' εἰδότες τὴν ἀλήθειαν τῶν ἐγγεγραμμένων, καὶ τὴν προσήκουσαν δοξολογίαν ἀναφέρητε τῷ Δεσπότῃ καὶ μὴ καταλιπόντες τὸν ἡμαρτηκότα, ἐπὶ τὸν ἀναίτιον Θεὸν τὴν αἰτίαν μεταγάγητε· τέως δὲ ἐπὶ τοῦ παρόντος, εἰ δοκεῖ, τὰ ἑξῆς τοῦ ἀναγνώσματος ἐπέλθωμεν. «Καὶ εἶπε», φησί, «Κύριος ὁ Θεός, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον». Ἰδοὺ πάλιν ὁμοίως εἶπε, καθάπερ καὶ πρότερον, «Κύριος ὁ Θεός», ἵνα ἐμπήξαντες ἡμῶν τῇ διανοίᾳ τὰ λεγόμενα, μὴ τὰ ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν τῆς θείας Γραφῆς κυριώτερα εἶναι νομίζωμεν. «Καὶ εἶπε», φησίν, «Κύριος ὁ Θεός, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον». Σκόπει πῶς οὐχ ἵσταται ὁ ἀγαθὸς Θεός, ἀλλ' εὐεργεσίας εὐεργεσίαις προστίθησι, καὶ πλουτῶν ἀγαθότητι, πάσῃ τιμῇ περιβαλεῖν βούλεται τὸ ζῶον τοῦτο τὸ λογικόν, καὶ μετὰ τῆς τιμῆς καὶ εὐκολίαν αὐτῷ διαγωγῆς χαρίσασθαι. «Εἶπε γάρ», φησί, «Κύριος ὁ Θεός, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν». Ἰδοὺ πάλιν καὶ ἐνταῦθα τό, «Ποιήσωμεν». Καθάπερ γὰρ ἐξ ἀρχῆς ἔλεγεν ἐπὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν», οὕτω καὶ νῦν μέλλων τὴν γυναῖκα διαπλάττειν τῷ αὐτῷ κέχρηται ῥήματι, καί φησι, «Ποιήσωμεν». Πρὸς τίνα διαλέγεται; Οὐ πρὸς

11. Γεν. 1, 26.

διὰ ποῖον λόγον λοιπὸν ἔδωσεν εἰς αὐτὸν τὴν ἐντολὴν ἀφοῦ ἐγνώριζεν ὅτι θὰ τὴν παραβῇ; καὶ πάλιν, διατί ἐπρόσταξε νὰ βλαστήσῃ τὸ δένδρον μέσα εἰς τὸν παράδεισον; καὶ πολλὰ ἄλλα. Ἀλλὰ διὰ νὰ μὴ θεωροῦμεν ὅτι τώρα, πρὶν ἀπὸ τὸν χρόνον τῆς παραβάσεως, μεταπηδῶμεν εἰς τὴν ἑρμηνείαν τῶν σχετικῶν μὲ αὐτήν, εἶναι ἀνάγκη νὰ περιμένωμεν καὶ ἡμεῖς τὴν διήγησιν τοῦ μακαρίου Μωυσέως, ὥστε ὅταν φθάσωμεν εἰς αὐτὴν τὴν κατάλληλον στιγμήν, ἐκεῖνα ποὺ ἡ χάρις τοῦ Θεοῦ θὰ μᾶς χορηγήσῃ, ἀφοῦ τὴν προκαλέσωμεν διὰ τὸν σκοπὸν αὐτάν, νὰ διδάξωμεν ἔτσι τὸ ἀληθινὸν νόημα τῆς Γραφῆς εἰς τὴν ἰδικήν σας ἀγάπην· ὥστε γνωρίζοντες τὴν ἀλήθειαν τῶν λεγομένων, καὶ τὴν ἁρμόζουσαν δοξολογίαν νὰ προσφέρετε εἰς τὸν Δεσπότην, καὶ νὰ μὴ μεταφέρετε τὴν αἰτίαν εἰς τὸν ἀνεύθυνον Θεόν, παραβλέποντες ἐκεῖνον ποὺ ἡμάρτησε. Καὶ ἐπὶ τοῦ παρόντος δέ, ἐὰν θέλετε, ἂς ἐξηγήσωμεν τὴν συνέχειαν τοῦ ἀναγνώσματος. «Καὶ εἶπε, λέγει, Κύριος ὁ Θεός, δὲν εἶναι καλὸν νὰ μένῃ ὁ ἄνθρωπος μόνος». Ἰδοὺ πάλιν εἶπε μὲ τὸν ἴδιον τρόπον, ὅπως καὶ προηγουμένως, «Κύριος ὁ Θεός», ὥστε ἀφοῦ ἐντυπώσωμεν εἰς τὴν διάνοιάν μας τὰ λεγόμενα, νὰ μὴ θεωροῦμεν ὅτι τὰ προερχόμενα ἀπὸ τὰς ἀνθρωπίνους σκέψεις εἶναι σπουδαιότερα ἀπὸ τὴν Ἁγίαν Γραφήν. «Καὶ εἶπε, λέγει, Κύριος ὁ Θεός,* δὲν εἶναι καλὸν νὰ μένῃ ὁ ἄνθρωπος μόνος». Πρόσεχε πῶς δὲν σταματᾷ ὁ ἀγαθὸς Θεός, ἀλλὰ εἰς τὰς εὐεργεσίας προσθέτει εὐεργεσίας καὶ ἐπειδὴ εἶναι πλήρης ἀγαθότητος θέλει νὰ περιβάλῃ μὲ κάθε τιμὴν τὸ λογικὸν αὐτὸ ζῶον, καὶ μαζὶ μὲ τὴν τιμὴν νὰ χαρίσῃ εἰς αὐτὸν καὶ ἄνεσιν ζωῆς. Διότι λέγει ἡ Γραφή, «Εἶπε Κύριος ὁ Θεός, δὲν εἶναι καλὸν νὰ μένῃ ὁ ἄνθρωπος μόνος. Ἂς τοῦ κάμωμεν ἕνα βοηθὸν ὅμοιον μὲ αὐτόν». Ἰδοὺ πάλιν καὶ ἐδῶ τό, «Ἂς κάμωμεν». Διότι ὅπως ἀκριβῶς ἀπὸ τὴν ἀρχὴν ἔλεγε διὰ τὴν δημιουργίαν τοῦ ἀνθρώπου, «Ἂς κάμωμεν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν»[11], ἔτσι καὶ τώρα ποὺ πρόκειται νὰ πλάσῃ τὴν γυναῖκα μεταχειρίζεται τὴν ἰδίαν λέξιν, καὶ λέγει, «Ἂς κάμωμεν». Πρὸς ποῖον ἀπευθύνεται;

κτιστήν τινα δύναμιν, ἀλλὰ πρὸς τὸν ἐξ αὐτοῦ γεννηθέντα, τὸν θαυμαστὸν σύμβουλον, τὸν ἐξουσιαστήν, τὸν ἄρχοντα τῆς εἰρήνης, τὸν μονογενῆ αὐτοῦ Παῖδα. Καὶ ἵνα μάθῃ ὁ Ἀδάμ, ὅτι ὁμότιμον αὐτῷ τὸ ζῶον μέλλει εἶναι τὸ διαπλαττόμενον, διὰ τοῦτο καθάπερ ἐπ' αὐτοῦ ἔλεγε, «Ποιήσωμεν», οὕτω καὶ νῦν φησι, «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν». Ἀμφότερα πολλὴν ἔχει τὴν δύναμιν, καὶ τό, «Βοηθόν», καὶ τό, «Κατ' αὐτόν». Οὐ βούλομαι, φησί, μόνον αὐτὸν εἶναι, ἀλλ' ἔχειν τινὰ παραμυθίαν ἐκ τῆς συνουσίας, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ κατάλληλον αὐτῷ βοηθὸν παραγαγεῖν δεῖ, τὴν γυναῖκα αἰνιττόμενος. Διὰ τοῦτό φησι, «Ποιήσωμεν αὐτῷ βοηθόν», καὶ προσέθηκε δέ, «Κατ' αὐτόν», ἵν' ὅταν ἴδῃς εὐθὺς τὰ θηρία παραγόμενα, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ μὴ νομίσῃς περὶ τούτων εἰρῆσθαι. Εἰ γὰρ καὶ συνεφάπτεται τῶν καμάτων αὐτῷ πολλὰ τῶν ἀλόγων, ἀλλ' οὐδὲν ἴσον τῆς λογικῆς γυναικός. Διὰ τοῦτο εἶπε, «Βοηθὸν κατ' αὐτόν», καὶ ἐπήγαγε· «Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά· καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ». Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ τοῦτο γίνεται, ἀλλὰ διὰ τὰ μέλλοντα μετ' οὐ πολὺ συμβαίνειν, ἃ προειδὼς ὁ Θεὸς δείκνυσιν ἡμῖν τὴν πολλὴν σοφίαν, ἣν κεχάρισται τῷ ὑπ' αὐτοῦ δημιουργηθέντι, ἵν' ἐπειδὰν τὰ τῆς παραβάσεως τῆς ἐντολῆς τῆς ὑπὸ τοῦ Θεοῦ δοθείσης γένηται, μὴ νομίσῃς δι' ἄγνοιαν αὐτὸν παραβεβηκέναι, ἀλλ' εἰδέναι ἔχῃς, ὅτι ῥᾳθυμίας ἐστὶ τὸ πτῶμα.

5. Ὅτι γὰρ σοφίας πολλῆς ἐπεπλήρωτο, μάνθανε ἐκ τῶν νῦν γινομένων. «Καὶ ἤγαγεν αὐτά», φησί, «πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά». Ἀπόδειξιν ἡμῖν τῆς πολλῆς αὐτοῦ σοφίας παρασχεῖν βουλόμενος τοῦτο ποιεῖ. Καὶ πάλιν, «Ὃ ἐ-

"Οχι πρὸς κάποιαν κτιστὴν δύναμιν, ἀλλὰ πρὸς τὸν γεννηθέντα, ἀπ' αὐτὸν τὸν θαυμαστὸν σύμβουλον, τὸν ἐξουσιαστήν, τὸν ἄρχοντα τῆς εἰρήνης, τὸν μονογενῆ του Υἱόν. Καὶ διὰ νὰ μάθη ὁ 'Αδάμ, ὅτι τὸ δημιουργούμενον ζῶον πρόκειται νὰ εἶναι ὅμοιον πρὸς αὐτόν, δι' αὐτὸ ὅπως ἀκριβῶς ἔλεγεν εἰς τὴν περίπτωσιν αὐτοῦ, «"Ας κάμωμεν», ἔτσι καὶ τώρα λέγει, «"Ας τοῦ κάμωμεν βοηθὸν ὅμοιον μὲ αὐτόν». Καὶ τὰ δύο ἔχουν μεγάλην δύναμιν, δηλαδὴ καὶ τὸ «Βοηθόν», καὶ τό, «"Ομοιον μὲ αὐτόν». Δὲν θέλω, λέγει, νὰ μένη αὐτὸς μόνος, ἀλλὰ νὰ ἔχη κάποιαν παρηγορίαν ἀπό τὴν συναναστροφήν, καὶ ὄχι μόνον αὐτό, ἀλλὰ πρέπει νὰ δημιουργήση καὶ κατάλληλον βοηθὸν εἰς αὐτόν, ὑπονοῶν τὴν γυναῖκα. Δι' αὐτὸ λέγει, «"Ας τοῦ κάμωμεν βοηθόν», καὶ ἐπρόσθεσε δέ, «"Ομοιον μὲ αὐτόν», ὥστε ὅταν ἰδῇς νὰ δημιουργοῦνται ἀμέσως τὰ θηρία καὶ ὅλα τὰ πτηνὰ τοῦ οὐρανοῦ, νὰ μὴ νομίσης ὅτι ἔχουν λεχθῆ δι' αὐτά. "Αν καὶ βεβαίως πολλὰ ζῶα τὸν βοηθοῦν εἰς τοὺς κόπους του, ὅμως κανένα τὸ ἴδιον μὲ τὴν λογικὴν γυναῖκα. Δι' αὐτὸ εἶπε, «Βοηθὸν ὅμοιον μὲ αὐτόν», καὶ ἐπρόσθεσε· «Καὶ ἔπλασεν ὁ Θεὸς ἀκόμη ἀπὸ τὴν γῆν ὅλα τὰ ἄγρια θηρία τοῦ ἀγροῦ καὶ ὅλα τὰ πτηνὰ τοῦ οὐρανοῦ, καὶ ἔφερεν αὐτὰ εἰς τὸν 'Αδὰμ διὰ νὰ ἰδῇ πῶς θὰ τὰ ὀνομάση· ὁποιονδήποτε δὲ ὄνομα ἔδωσεν ὁ 'Αδὰμ εἰς κάθε ζωντανὸν δημιούργημα, τοῦτο ἦτο τὸ ὄνομά του». Δὲν γίνεται αὐτὸ οὔτε ἄσκοπα, οὔτε τυχαῖα, ἀλλὰ δι' ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν ὕστερα ἀπὸ ὀλίγον, τὰ ὁποῖα προγνωρίζων ὁ Θεὸς μᾶς φανερώνει τὴν μεγάλην σοφίαν, τὴν ὁποίαν ἔχει χαρίσει εἰς τὸν δημιουργηθέντα ἀπὸ αὐτὸν ἄνθρωπον, διὰ νὰ μὴ νομίσης, ὅταν συμβῇ ἡ παράβασις τῆς δοθείσης ἀπὸ τὸν Θεὸν ἐντολῆς, ὅτι ἀπὸ ἄγνοιαν τὴν ἔχει παραβῆ, ἀλλὰ νὰ ἠμπορέσης νὰ γνωρίζης ὅτι ἡ πτῶσις εἶναι ἀποτέλεσμα τῆς ἀδιαφορίας.

5. "Οτι λοιπὸν ἦτο πλήρης πολλῆς σοφίας, μάθαινε ἀπὸ τὰ συμβαίνοντα τώρα. «Καὶ ἔφερεν αὐτά, λέγει, εἰς τὸν 'Αδάμ, διὰ νὰ ἰδῇ πῶς θὰ τὰ ὀνομάση». Κάμνει αὐτό, ἐπειδὴ θέλει νὰ μᾶς δώση ἀπόδειξιν τῆς πολλῆς σοφίας αὐ-

κάλεσεν αὐτό», φησίν, «Ἀδάμ, τοῦτο ὄνομα αὐτῷ». Οὐχ ἵνα δὲ τὴν σοφίαν αὐτοῦ μόνον καταμάθωμεν, τοῦτο γίνεται ἀλλ' ἵνα καὶ τὸ σύμβολον τῆς δεσποτείας διὰ τῆς τῶν ὀνομάτων θέσεως ἐπιδείξηται. Καὶ γὰρ καὶ τοῖς ἀνθρώποις ἔτος τοῦτο ποιεῖσθαι σύμβολον δεσποτείας, ἐπειδὰν οἰκέτας ὠνήσωνται, μετατιθέναι αὐτῶν τὰς προσηγορίας. Διὰ τοῦτο καὶ τὸν Ἀδὰμ παρασκευάζει καθάπερ δεσπότην πᾶσι τοῖς ἀλόγοις ἐπιθεῖναι τὰς προσηγορίας. Μὴ γὰρ ἁπλῶς παραδράμῃς, ἀγαπητέ, τὸ εἰρημένον, ἀλλ' ἐννόησόν μοι, πόσης ἦν σοφίας τοσούτοις γένεσι πτηνῶν, ἑρπετῶν, θηρίων, κτηνῶν καὶ τῶν ἄλλων ἀλόγων, τῶν ἡμέρων, τῶν ἀγρίων, τῶν ἐν τοῖς ὕδασι διαιτωμένων, τῶν ἐκ τῆς γῆς ἀναδοθέντων, πᾶσι τούτοις ἐπιθεῖναι τὰς προσηγορίας, καὶ προσηγορίας τὰς κυρίας καὶ καταλλήλους ἑκάστῳ γένει· «Πᾶν γάρ», φησίν, «ὁ ἐκάλεσεν αὐτὸ Ἀδάμ, τοῦτο ὄνομα αὐτῷ». Εἶδες ἐξουσίαν ἀπηρτισμένην; εἶδες δεσποτείας αὐθεντίαν; Λογίζου μετὰ τῶν ἄλλων καὶ τοῦτο, ὅτι καὶ λέοντες, καὶ παρδάλεις, καὶ ἔχεις, καὶ σκορπίοι, καὶ ὄφεις, καὶ τὰ ἄλλα ἅπαντα τὰ τούτων θηριωδέστερα, καθάπερ πρὸς δεσπότην μετὰ πάσης ὑποταγῆς παραγεγονότα τὰς προσηγορίας ἐδέξαντο, καὶ οὐδὲν τῶν θηρίων τούτων ἐδεδοίκει ὁ Ἀδάμ. Μὴ τοίνυν ἐπισκηπτέτω τις τοῖς γεγενημένοις παρὰ τοῦ Δεσπότου, καὶ τὴν γλῶτταν ἀκονάτω κατὰ τοῦ δημιουργοῦ, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς, καὶ λεγέτω τὰ ἀνόητα ἐκεῖνα ῥήματα· τίνος ἕνεκεν τὰ θηρία παρήχθη; Ὅτι γὰρ ἅπαντα ὁμοίως τοῖς ἡμέροις τὴν δουλείαν ἐπεγίνωσκε καὶ τὴν δεσποτείαν, δείκνυσιν ἡμῖν ἀκριβῶς ἡ τῶν ὀνομάτων θέσις. Αἱ γὰρ προσηγορίαι ἐκεῖναι ἃς ἔθετο αὐτοῖς μέχρι τοῦ παρόντος διαμένουσιν· οὕτως αὐτὰς ἐκύρωσεν ὁ Θεός, ἵνα διηνεκῆ ὑπόμνησιν ἔχωμεν καὶ τῆς τιμῆς, ἣν ἐξ ἀρχῆς ἐδέξατο παρὰ τοῦ Δεσπότου πάντων, τούτων τὴν ὑποταγὴν λαβών, καὶ τῆς ἀφαιρέσεως αὐτῷ τὴν αἰτίαν

τοῦ. Καὶ πάλιν, «Ὁποιοδήποτε ὄνομα, λέγει, ἔδωσεν ὁ Ἀδάμ, τοῦτο ἦτο τὸ ὄνομά του». Ὄχι δὲ μόνον διὰ νὰ μάθωμεν καλὰ τὴν σοφίαν του, γίνεται αὐτό, ἀλλὰ διὰ νὰ ἀποκαλύψῃ καὶ τὸ σύμβολον τῆς ἐξουσίας μὲ τὸ νὰ δώσῃ τὰ ὀνόματα. Διότι καὶ εἰς τοὺς ἀνθρώπους εἶναι συνήθεια αὐτὸ νὰ κάμνουν σύμβολον ἐξουσίας, ὅταν θὰ ἀγοράσουν ὑπηρέτας, νὰ ἀλλάσσουν τὰ ὀνόματά των. Δι' αὐτὸ καὶ τὸν Ἀδὰμ προετοιμάζει νὰ δώσῃ ὡσὰν κυρίαρχος τὰ ὀνόματα εἰς ὅλα τὰ ἄλογα ζῶα. Μὴ λοιπὸν παρέλθῃς ἐπιπόλαια, ἀγαπητέ, αὐτὸ ποὺ ἐλέχθη, ἀλλὰ κατανόησε, παρακαλῶ, πόσον μεγάλης σοφίας ἔργον ἦτο εἰς τόσα γένη πτηνῶν, ἑρπετῶν, θηρίων, κατοικιδίων ζώων καὶ τῶν ἄλλων ἀλόγων ζώων, τῶν ἡμέρων καὶ τῶν ἀγρίων, ἐκείνων ποὺ ζοῦν μέσα εἰς τὰ ὕδατα, ἐκείνων ποὺ προῆλθαν ἀπὸ τὴν γῆν, εἰς ὅλα αὐτὰ νὰ δώσῃ τὰ ὀνόματα, καὶ μάλιστα τὰ ἔγκυρα καὶ κατάλληλα εἰς κάθε γένος. «Ὁποιοδήποτε, λέγει, ὄνομα ἔδωσεν ὁ Ἀδὰμ εἰς αὐτό, τοῦτο ἦτο τὸ ὄνομά του». Εἶδες ἐξουσίαν πλήρη; εἶδες ἐξουσίαν ἀπόλυτον; Σκέψου μαζὶ μὲ τὰ ἄλλα καὶ τοῦτο, ὅτι καὶ λέοντες καὶ λεοπαρδάλεις καὶ ἔχιδναι καὶ σκορπιοὶ καὶ φίδια καὶ ὅλα τὰ ἄλλα τὰ ἀγριώτερα ἀπὸ αὐτά, ἀφοῦ προσῆλθαν ὡσὰν εἰς κυρίαρχον μὲ κάθε ὑποταγήν, ἐδέχθησαν τὰ ὀνόματα καὶ κανένα ἀπὸ τὰ θηρία αὐτὰ δὲν ἐφοβήθη ὁ Ἀδάμ. Ἂς μὴ κατηγορῇ λοιπὸν κανεὶς τὰ δημιουργήματα τοῦ Θεοῦ καὶ ἂς μὴ ἀκονίζῃ τὴν γλῶσσαν του ἐναντίον τοῦ δημιουργοῦ, μᾶλλον δὲ ἐναντίον τῆς ἰδικῆς του κεφαλῆς, καὶ ἂς μὴ λέγῃ τὰ ἀνώφελα ἐκεῖνα λόγια· διὰ ποῖον λόγον ἐδημιουργήθησαν τὰ ἄγρια ζῶα; Ὅτι βέβαια ὅλα, καθ' ὅμοιον τρόπον μὲ τὰ ἥμερα, ἀνεγνώριζαν τὴν ὑποταγὴν καὶ τὴν ἐξουσίαν, μᾶς τὸ φανερώνει μὲ ἀκρίβειαν ἡ τοποθέτησις τῶν ὀνομάτων των. Διότι τὰ ὀνόματα ἐκεῖνα, τὰ ὁποῖα ἔδωσεν εἰς αὐτά, παραμένουν μέχρι τώρα. Ἔτσι ἐπεκύρωσεν αὐτὰ ὁ Θεός, διὰ νὰ ἐνθυμούμεθα συνεχῶς καὶ τὴν τιμήν, τὴν ὁποίαν ἀπὸ τὴν ἀρχὴν ἐδέχθη ἀπὸ τὸν Δεσπότην τῶν ὅλων, μὲ τὸ νὰ λάβῃ τὴν ὑποταγὴν αὐτῶν, καὶ νὰ καταλογίζωμεν εἰς

ἐπιγράφωμεν διὰ τῆς ἁμαρτίας τὴν ἐξουσίαν ἀκρωτηριάσαντι· «Καὶ ἐκάλεσεν Ἀδάμ», φησίν, «ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς». Ἐντεῦθεν ἤδη σκόπει μοι, τῆς προαιρέσεως τὸ αὐτεξούσιον, καὶ τῆς συνέσεως αὐτοῦ τὴν ὑπερβολήν, καὶ μὴ λέγε, ὅτι ἠγνόει τί μὲν καλόν, τί δὲ κακόν. Ὁ γὰρ δυνηθεὶς καταλλήλους τὰς προσηγορίας τοῖς κτήνεσιν ἐπιθεῖναι, καὶ τοῖς πετεινοῖς, καὶ τοῖς θηρίοις, καὶ μὴ συγχέας τὴν τάξιν, μηδὲ τὰς μὲν τοῖς ἡμέροις ζώοις ἁρμοζούσας τοῖς ἀγρίοις ἐπιθεῖναι, μηδὲ τὰς τοῖς ἀγρίοις προσηκούσας τοῖς ἡμέροις ἀφορίσαι, ἀλλὰ πᾶσι τὰς καταλλήλους ὀνομασίας δοῦναι, πῶς οὐ πάσης σοφίας καὶ συνέσεως πεπλήρωτο; Λογίζου ἐντεῦθεν λοιπὸν ὅση τοῦ ἐμφυσήματος ἐκείνου ἡ δύναμις, καὶ πόση τῆς ἀσωμάτου ψυχῆς ἡ σοφία, ἣν ὁ Δεσπότης αὐτῇ κεχάρισται, ζῶον τοιοῦτον καὶ θαυμαστὸν καὶ λογικὸν ἐκ δύο οὐσιῶν συστησάμενος, καὶ τὴν ἀσώματον οὐσίαν τῆς ψυχῆς συμπλέξας τῷ σώματι, καθάπερ ὀργάνῳ τινί, τεχνίτην ἄριστον. Ὅταν οὖν ἐννοήσῃς τοῦ ζώου τούτου τὴν τοσαύτην σοφίαν, ἐκπλήττου τοῦ δημιουργήσαντος τὴν δύναμιν. Εἰ γὰρ τοῦ οὐρανοῦ τὸ κάλλος ὁρώμενον, εὐγνώμονα θεατὴν εἰς τὴν τοῦ δημιουργήσαντος παραπέμπει δοξολογίαν· πολλῷ μᾶλλον τὸ λογικὸν τοῦτο ζῶον ὁ ἄνθρωπος δυνήσεται τὰ κατὰ τὴν οἰκείαν διάπλασιν ἀναλογιζόμενος, καὶ τῆς τιμῆς τῆς παρασχεθείσης αὐτῷ τὴν ὑπερβολήν, καὶ τῶν δωρεῶν τὰ μεγέθη, καὶ τὰς ἀφάτους εὐεργεσίας διηνεκῶς ἀνυμνεῖν τὸν παραγαγόντα, καὶ τὴν κατὰ δύναμιν δοξολογίαν ἀναφέρειν τῷ Δεσπότῃ. Ἐβουλόμην καὶ τοῖς ἑξῆς ἐπεξελθεῖν, ἀλλ' ἵνα μὴ τῷ πλήθει τῶν λεγομένων καταχώσωμεν τὴν μνήμην τῶν ἤδη λεχθέντων, ἀναγκαῖον ἐνταῦθα στῆσαι τὸν τῆς διδασκαλίας λόγον. Οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶν ἡμῖν τὸ σπουδαζόμενον ἁπλῶς πολλὰ εἰπεῖν· ἀλλὰ διὰ τοῦτο λέγομεν, ὥστε αὐτὰ διηνεκῶς ὑμᾶς ἔχειν ἐμπεπηγότα ταῖς διανοίαις ταῖς ὑμετέραις, ἵνα μὴ μόνον αὐτοὶ

αὐτὸν τὴν αἰτίαν τῆς ἀφαιρέσεως τῆς τιμῆς, ἀφοῦ μὲ τὴν ἁμαρτίαν ἀπέκοψε τὴν ἐξουσίαν. «Καὶ ἔδωσεν ὁ Ἀδάμ, λέγει, ὀνόματα εἰς ὅλα τὰ κατοικίδια ζῶα, εἰς ὅλα τὰ πτηνὰ τοῦ οὐρανοῦ καὶ εἰς ὅλα τὰ ἄγρια θηρία τῆς γῆς». Πρόσεξε ἀπὸ ἐδῶ ἀκόμη, ἀγαπητέ, τὴν ἐλευθερίαν τῆς προαιρέσεως καὶ τὴν ὑπερβολικήν του σύνεσιν, καὶ νὰ μὴ λέγῃς, ὅτι δὲν ἐγνώριζε ποῖον ἦτο τὸ καλὸν καὶ ποῖον τὸ κακόν. Διότι ἐκεῖνος ποὺ ἠμπόρεσε νὰ δώσῃ τὰ κατάλληλα ὀνόματα εἰς τὰ κατοικίδια ζῶα, εἰς τὰ πτηνὰ καὶ εἰς τὰ ἄγρια θηρία, καὶ χωρὶς νὰ κάμῃ σύγχυσιν εἰς τὴν τάξιν, οὔτε νὰ ἐπιθέσῃ τὰ κατάλληλα διὰ τὰ ἥμερα ζῶα ὀνόματα εἰς τὰ ἄγρια, οὔτε τὰ κατάλληλα διὰ τὰ ἄγρια νὰ τὰ προορίσῃ διὰ τὰ ἥμερα, ἀλλὰ νὰ δώσῃ εἰς ὅλα τὰ κατάλληλα ὀνόματα, πῶς δὲν ἦτο πλήρης κάθε σοφίας καὶ συνέσεως; Σκέψου ἀπὸ ἐδῶ λοιπὸν πόση ἦτο ἡ δύναμις ἐκείνου τοῦ φυσήματος καὶ πόση ἡ σοφία τῆς ἀΰλου ψυχῆς, ποὺ εἰς αὐτὴν ἔχει χαρίσει ὁ Θεός, ὁ ὁποῖος συνέστησεν ἀπὸ δύο οὐσίας τέτοιο ζῶον καὶ θαυμαστὸν καὶ λογικόν, καὶ συνέδεσε τὴν ἄυλον οὐσίαν τῆς ψυχῆς εἰς τὸ σῶμα, ὡσὰν εἰς κάποιο ὄργανον, ἄριστον τεχνίτην. Ὅταν λοιπὸν κατανοήσῃς τὴν τόσον μεγάλην σοφίαν τοῦ ζώου αὐτοῦ, θὰ θαυμάζῃς τὴν δύναμιν τοῦ δημιουργοῦ. Διότι ἐὰν ἡ ὀμορφιὰ τοῦ οὐρανοῦ παρακινῇ τὸν εὐγνώμονα θεατὴν νὰ δοξολογῇ τὸν δημιουργόν, πολὺ περισσότερον τὸ λογικὸν αὐτὸ ζῶον, ὁ ἄνθρωπος, ἀναλογιζόμενος τὸν τρόπον τῆς ἰδικῆς του δημιουργίας καὶ τὸ μέγεθος τῆς τιμῆς ποὺ τοῦ ἐδόθη καὶ τὰς μεγάλας δωρεὰς καὶ τὰς ἀπείρους εὐεργεσίας, θὰ ἠμπορέσῃ νὰ ἀνυμνῇ συνεχῶς τὸν δημιουργὸν καὶ νὰ ἀναπέμπῃ σύμφωνα μὲ τὰς δυνάμεις του τὴν δοξολογίαν εἰς τὸν Θεόν. Ἤθελα καὶ τὰ ἑπόμενα νὰ ἀναπτύξω, ἀλλὰ διὰ νὰ μὴ λησμονήσωμεν μὲ τὸ πλῆθος τῶν λεγομένων αὐτὰ ποὺ τώρα ἐλέχθησαν, εἶναι ἀνάγκη νὰ σταματήσω ἐδῶ τὴν διδασκαλίαν. Οὔτε βέβαια ἡ μόνη μας φροντίδα εἶναι αὐτό, δηλαδὴ νὰ λέγωμεν ἁπλῶς πολλά, ἀλλὰ δι᾿ αὐτὸ λέγομεν, ὥστε νὰ ἔχετε αὐτὰ συνεχῶς τυπωμένα εἰς τὰς ἰδικάς σας διανοίας, διὰ νὰ μὴ γνωρίζετε

εἰδῆτε τὰ ἐν ταῖς θείαις Γραφαῖς ἐγκείμενα, ἀλλὰ καὶ ἑτέροις διδάσκαλοι γίνησθε δυνάμενοι καὶ ἄλλους νουθετεῖν. Ἕκαστος τοίνυν ὑμῶν, παρακαλῶ, ἐντεῦθεν ἐξιών, μετὰ τοῦ πλησίον ἀναλαμβανέτω τῶν εἰρημένων τὴν μνήμην, καὶ τὰ παρ' ἑαυτοῦ εἰσφέρων, δεχέσθω καὶ τὰ παρ' ἑτέρου μνημονευθέντα. Καὶ οὕτω συλλέγοντες ἅπαντα, καὶ ἔναυλον αὐτῶν ἔχοντες τὴν μνήμην, οἴκαδε ἀναχωρεῖτε, καὶ καθ' ἑαυτοὺς ἀναμηρυκώμενοι τὰ θεῖα ταῦτα διδάγματα· ἵνα ἐν τούτοις ἔχοντες τὴν μέριμναν ἅπασαν, καὶ ἀσχολοῦντες ὑμῶν τὴν διάνοιαν, δύνησθε μετ' εὐκολίας περιγενέσθαι καὶ τῶν παθῶν τῶν ἐνοχλούντων, καὶ τὰς τοῦ διαβόλου μηχανὰς διαφυγεῖν. Ἔνθα γὰρ ἂν ἴδῃ ὁ πονηρὸς δαίμων ἐκεῖνος ψυχὴν τὰ τοῦ Θεοῦ μεριμνῶσαν, καὶ διηνεκῶς ἐκεῖνα φανταζομένην, καὶ ταῦτα περιστρέφουσαν, οὐδὲ προσεγγίσαι τολμᾷ, ἀλλὰ ταχέως ἀποπηδᾷ, καθάπερ ἀπὸ πυρός τινος, ὑπὸ τῆς τοῦ Πνεύματος ἐνεργείας φυγαδευόμενος. Ἵν' οὖν καὶ αὐτοὶ τὰ μέγιστα κερδαίνωμεν, κἀκείνου περιγενέσθαι δυνηθῶμεν, καὶ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν μειζόνως ἐπισπασώμεθα, ἐν τούτοις ἀσχολῶμεν ἡμῶν τὴν διάνοιαν. Οὕτω γὰρ ἡμῖν καὶ τὰ ἐν χερσὶ πάντα ἐξευμαρισθήσεται, καὶ τὰ δύσκολα εὔκολα γενήσεται, καὶ τὰ δοκοῦντα εἶναι λυπηρὰ χρηστὸν λήψεται τέλος, καὶ οὐδὲν ἡμᾶς τῶν παρόντων λυπῆσαι δυνήσεται. Ἐὰν γὰρ τὰ τοῦ Θεοῦ μεριμνῶμεν, τὰ ἡμέτερα αὐτὸς μεριμνήσει καὶ μετὰ πολλῆς ἀδείας τὸ πέλαγος τοῦ παρόντος βίου διαπλεύσομεν, καὶ ὑπὸ τοῦ μεγάλου κυβερνήτου τοῦ ἐπὶ πάντων Θεοῦ ὁδηγούμενοι, καταντήσομεν εἰς τὸν λιμένα τῆς τούτου φιλανθρωπίας· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μόνον σεῖς τὰ εὑρισκόμενα εἰς τὰς Ἁγίας Γραφάς, ἀλλὰ νὰ γίνεσθε καὶ διδάσκαλοι εἰς ἄλλους, ἱκανοὶ νὰ συμβουλεύετε καὶ ἄλλους. Ὁ καθένας σας λοιπόν, παρακαλῶ, ἐξερχόμενος ἀπὸ ἐδῶ, μαζὶ μὲ τὸν πλησίον του ἂς ἐνθυμῆται τὰ λεχθέντα, προσφέρων καὶ τὰ ἰδικά του καὶ ἂς δέχεται ἐκεῖνα ποὺ ἀναφέρει ὁ ἄλλος. Καὶ ἔτσι συγκεντρώνοντες ὅλα καὶ διατηροῦντες αὐτὰ ζωηρὰ εἰς τὴν μνήμην σας, νὰ ἐπιστρέφετε εἰς τὰ σπίτια, ἐπαναλαμβάνοντες καὶ μόνοι σας τὰ θεῖα αὐτὰ διδάγματα, ὥστε ἔχοντες ὅλην σας τὴν φροντίδα εἰς αὐτὰ καὶ ἀπασχολοῦντες τὴν διάνοιάν σας, θὰ ἠμπορέσετε μὲ εὐκολίαν νὰ νικήσετε καὶ τὰ πάθη ποὺ σᾶς ἐνοχλοῦν καὶ τὰς παγίδας τοῦ διαβόλου νὰ ἀποφύγετε. Διότι ἐκεῖ ποὺ θὰ ἰδῇ ὁ πονηρὸς ἐκεῖνος δαίμων ψυχὴν νὰ φροντίζῃ τὰ τοῦ Θεοῦ, νὰ φαντάζεται διαρκῶς ἐκεῖνα καὶ αὐτὰ νὰ σκέπτεται, δὲν τολμᾷ οὔτε νὰ πλησιάσῃ, ἀλλὰ ἀμέσως ἀπομακρύνεται, διωκόμενος ἀπὸ τὴν δύναμιν τοῦ Πνεύματος, ὡσὰν ἀπὸ κάποιαν πυράν. Διὰ νὰ κερδίζωμεν, λοιπόν, καὶ ἡμεῖς οἱ ἴδιοι τὰ μέγιστα ἀγαθὰ καὶ νὰ ἠμπορέσωμεν καὶ ἐκεῖνον νὰ νικήσωμεν, καὶ νὰ προσελκύσωμεν πλουσίως τὴν χάριν τοῦ Θεοῦ, ἂς ἀπασχολοῦμεν εἰς αὐτὰ τὴν διάνοιάν μας. Διότι ἔτσι καὶ ὅλαι αἱ ὑποθέσεις μας θὰ ἀνακουφισθοῦν, καὶ τὰ δύσκολα θὰ γίνουν εὔκολα, καὶ τὰ νομιζόμενα ὅτι εἶναι λυπηρὰ θὰ λάβουν αἴσιον τέλος καὶ κανένα ἀπὸ τὰ παρόντα δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς προκαλέσῃ λύπην. Διότι ἐὰν φροντίζωμεν τὰ τοῦ Θεοῦ, θὰ φροντίσῃ αὐτὸς τὰ ἰδικά μας, καὶ θὰ διαπλεύσωμεν μὲ μεγάλην ἀσφάλειαν τὸ πέλαγος τῆς παρούσης ζωῆς καὶ καθοδηγούμενοι ἀπὸ τὸν μεγάλον κυβερνήτην, τὸν Θεὸν τῶν ὅλων, θὰ φθάσωμεν εἰς τό λιμάνι τῆς φιλανθρωπίας του, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΕ΄
(Γεν. 2, 20 - 25)

«*Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. Καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε. Καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς. Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα*».

1. Πολλὰς ὑμῖν ἔχω χάριτας, ὅτι μετὰ πολλῆς τῆς προθυμίας χθὲς ἐδέξασθε τὴν παρ' ἡμῶν παραίνεσιν, καὶ πρὸς τὸ μῆκος τῶν εἰρημένων οὐ μόνον οὐκ ἐδυσχεράνατε, ἀλλὰ καὶ μέχρι τοῦ τέλους οὕτω παρηκολουθήσατε, ὡς ἀκμάζοντα ὑμῖν ἐναπομεῖναι τὸν τῆς ἀκροάσεως πόθον· ὅθεν καὶ χρηστὰς ἡμῖν τὰς ἐλπίδας ὑπεφήνατε, ὡς διὰ τῶν ἔργων ἐπιδειξάμενοι τὰ τῆς ἡμετέρας συμβουλῆς. Ὁ γὰρ μετὰ τοσαύτης ἡδονῆς ἀκούων, δῆλος ἂν εἴη καὶ πρὸς τὴν διὰ τῶν ἔργων πρᾶξιν παρεσκευασμένος· ἄλλως δὲ καὶ ἡ νῦν ὑμῶν συνδρομὴ τεκμήριον ἂν γένοιτο τῆς κατὰ ψυχὴν ὑμῶν ὑγιείας. Ὥσπερ γὰρ τὸ πεινῆν σωματικῆς εὐεξίας σημεῖόν ἐστιν, οὕτω τὸ λογίων θείων ἐρᾶν ψυχικῆς ὑγιείας τεκμήριον ἂν γένοιτο μέγιστον. Ἐπεὶ οὖν ὁ καρπὸς τῆς ὑμετέρας σπουδῆς δείκνυσι τῆς ὑπακοῆς τὴν ἐκπλήρωσιν, φέρε καὶ ἡμεῖς τὸν μισθόν, ὃν ὑπεσχόμεθα χθές, καταβάλωμεν ὑμῶν τῇ ἀγάπῃ· τὴν πνευματικὴν ταύτην λέγω διδασκαλίαν τὸν μισθόν, καί μοι τῷ καταβάλλοντι δυνάμενον αὐξῆσαι τὴν περιουσίαν, καὶ ὑμᾶς τοὺς ὑποδεχομένους πλουσίους ἀπεργαζόμενον. Τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά· ὅπερ ἐπὶ τῶν

ΟΜΙΛΙΑ ΙΕ΄
(Γεν. 2, 20 - 25)

«Είς δὲ τὸν Ἀδὰμ δὲν εὑρέθη βοηθὸς ὅμοιος πρὸς αὐτόν. Καὶ ἐπέφερεν ὁ Θεὸς ἔκστασιν εἰς τὸν Ἀδάμ, καὶ ἐκοιμήθη. Καὶ ἔλαβε μίαν ἀπὸ τὰς πλευρὰς του καὶ ἀνεπλήρωσε σάρκα εἰς τὴν θέσιν της. Καὶ ἔκτισε Κύριος ὁ Θεὸς τὴν πλευράν, τὴν ὁποίαν ἔλαβεν ἀπὸ τὸν Ἀδάμ, εἰς γυναῖκα».

1. Σᾶς ὀφείλω μεγάλην εὐγνωμοσύνην, διότι ἠκούσατε χθὲς μὲ πολλὴν προθυμίαν τὴν συμβουλήν μου· καὶ μὲ τὴν ἔκτασιν τῆς ὁμιλίας ὄχι μόνον δὲν ἐδυσαρεστήθητε, ἀλλὰ καὶ τὴν παρηκολουθήσατε μέχρι τοῦ τέλους κατὰ τέτοιον τρόπον, ὥστε νὰ μείνῃ εἰς τὴν ψυχήν σας ἀκμαῖος ὁ πόθος τῆς ἀκροάσεως. Διὰ τοῦτο ἐδημιουργήσατε εἰς ἐμὲ ἐλπίδας καλάς, ὅτι θὰ ἐπιδείξετε διὰ τῶν ἔργων τὰ λόγια τῆς ἰδικῆς μου συμβουλῆς. Διότι εἶναι φανερόν, ὅτι θὰ εἶναι προετοιμασμένος καὶ διὰ τὴν ἐκτέλεσιν τῶν ἔργων ἐκεῖνος, ποὺ ἀκούει μὲ τόσον μεγάλην εὐχαρίστησιν· ἄλλωστε δὲ καὶ ἡ παροῦσα συγκέντρωσίς σας θὰ ἠμποροῦσε νὰ γίνῃ ἀπόδειξις τῆς ψυχικῆς σας ὑγείας. Διότι ὅπως ἡ πεῖνα εἶναι σημεῖον τῆς εὐεξίας τοῦ σώματος, ἔτσι καὶ ἡ ἀγάπη τοῦ λόγου τοῦ Θεοῦ θὰ ἠμπορέσῃ νὰ γίνῃ ἀπόδειξις τῆς ὑγείας τῆς ψυχῆς. Ἐπειδὴ λοιπὸν ὁ καρπὸς τῆς ἰδικῆς σας προθυμίας ἀποδεικνύει τὴν ἐκπλήρωσιν τῆς ὑπακοῆς, ἐμπρὸς νὰ καταβάλωμεν καὶ ἡμεῖς εἰς τὴν ἀγάπην σας τὸν μισθόν, τὸν ὁποῖον ὑπεσχέθημεν χθές· ὀνομάζω μισθὸν τὴν πνευματικὴν αὐτὴν διδασκαλίαν, ἡ ὁποία ἠμπορεῖ καὶ εἰς ἐμέ, ποὺ τὴν προσφέρω, νὰ αὐξήσῃ τὴν περιουσίαν καὶ σᾶς, ποὺ τὴν δέχεσθε, νὰ κάμῃ πλουσίους. Τέτοια βέβαια εἶναι ὅλα τὰ πνευματικὰ ἀγαθά, πρᾶγμα τὸ

αἰσθητῶν πραγμάτων οὐκ ἔνι. Ἐκεῖ μὲν γὰρ ὁ καταβαλὼν ἠλάττωσεν αὐτοῦ τὴν οὐσίαν, καὶ τὸν ὑποδεχόμενον εὐπορώτερον κατέστησεν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ὁ καταβαλὼν ταύτῃ μᾶλλον τὸν οἰκεῖον πλοῦτον αὔξει, καὶ τοῖς ὑποδεχομένοις μείζων ἡ περιουσία γίνεται. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἕτοιμοι πρὸς εὐγνωμοσύνην, καὶ ὑμεῖς οἱ ὑποδέχεσθαι μέλλοντες τὸν πλοῦτον τοῦτον τὸν πνευματικόν, εὐτρεπισμένους ἔχετε τοὺς κόλπους τῆς διανοίας· φέρε τὴν ὑπόσχεσιν πληρώσωμεν, καὶ τῆς ἀκολουθίας πάλιν τῶν παρὰ τοῦ μακαρίου Μωϋσέως ἀνεγνωσμένων ἁψάμενοι, ἐντεῦθεν ὑμῖν τὸν μισθὸν καταβάλωμεν. Τίνα οὖν ἐστὶ τὰ σήμερον ἀνεγνωσμένα ἀναγκαῖον εἰς μέσον προθεῖναι, ἵν' οὕτω μετὰ ἀκριβείας διερευνώμενοι τὸν τοῖς ῥήμασι ἐναποκεκρυμμένον πλοῦτον τῶν νοημάτων, προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης. Ἠκούσατε γὰρ ἀρτίως τῆς θείας Γραφῆς λεγούσης· «Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ». Τί βούλεται ἡ βραχεῖα αὕτη λέξις, «Τῷ δὲ Ἀδάμ»; τίνος ἕνεκεν προσέθηκε τὸν σύνδεσμον; οὐ γὰρ ἤρκει εἰπεῖν τῷ Ἀδάμ; Οὐχ ἁπλῶς ταῦτα διερευνᾶσθαι σπουδάζομεν, φιλοτιμίας ἕνεκεν περιττῆς, ἀλλ' ἵνα μετὰ ἀκριβείας ὑμῖν ἅπαντα ἑρμηνεύοντες παιδεύσωμεν ὑμᾶς μηδὲ βραχεῖαν λέξιν, μηδὲ συλλαβὴν μίαν παρατρέχειν τῶν ἐν ταῖς θείαις Γραφαῖς κειμένων. Οὐ γὰρ ῥήματά ἐστιν ἁπλῶς, ἀλλὰ τοῦ Πνεύματος τοῦ ἁγίου ῥήματα, καὶ διὰ τοῦτο πολὺν ἔστι τὸν θησαυρὸν εὑρεῖν καὶ ἐν μιᾷ συλλαβῇ. Προσέχετε οὖν, παρακαλῶ, μετὰ ἀκριβείας· μηδεὶς νωθής, μηδεὶς ὑπνηλός, πάντες διεγηγερμένην μοι τὴν διάνοιαν παρέχετε· μηδεὶς ἔξω ῥεμβέσθω τὸν λογισμόν, μηδὲ φροντίδας βιωτικὰς ἐπιουρόμενος ἐνταῦθα στηκέτω, ἀλλ' ἐννοῶν τῆς πνευματικῆς ταύτης συνόδου τὸ ἀξίωμα, καὶ ὅτι διὰ τῆς τῶν προφητῶν γλώττης τοῦ Θεοῦ πρὸς ἡμᾶς διαλε-

---

1. Δηλ. εἰς τὰ ὑλικὰ πράγματα.
2. Δηλ. εἰς τὰ πνευματικὰ ἀγαθά.
3. Πρβλ. Ματθ. 5, 18.

ὁποῖον δὲν ὑπάρχει εἰς τὰ αἰσθητὰ πράγματα. Διότι ἐκεῖ μὲν[1], ἐκεῖνος ποὺ προσφέρει, ἐλαττώνει τὴν περιουσίαν του, καὶ κάνει πλουσιώτερον αὐτὸν ποὺ δέχεται. Ἐδῶ ὅμως[2] δὲν συμβαίνει ἔτσι· ἀλλὰ καὶ ἐκεῖνος ποὺ προσφέρει θὰ αὐξήσῃ ἔτσι ἀκόμη περισσότερον τὸν πλοῦτον του, καὶ εἰς αὐτοὺς ποὺ τὸν δέχονται, γίνεται μεγαλυτέρα ἡ περιουσία των. Ἐπειδὴ λοιπὸν καὶ ἡμεῖς εἴμεθα ἕτοιμοι νὰ ἐκφράσωμεν τὴν εὐγνωμοσύνην μας, καὶ σεῖς, ποὺ πρόκειται νὰ δεχθῆτε τὸν πνευματικὸν αὐτὸν πλοῦτον, ἔχετε προετοιμάσει καταλλήλως τὴν διάνοιάν σας, ἐμπρὸς ἂς ἐκπληρώσωμεν τὴν ὑπόσχεσιν, καὶ ἀφοῦ καταπιασθοῦμεν πάλιν μὲ τὴν συνέχειαν τῶν λόγων τοῦ μακαρίου Μωυσέως, ποὺ ἀνεγνώσθησαν, ἀπὸ ἐκεῖ θὰ σᾶς καταβάλωμεν τὸν μισθόν. Ποῖα λοιπὸν εἶναι τὰ λόγια ποὺ ἀνεγνώσθησαν σήμερον, εἶναι ἀναγκαῖον νὰ νὰ παρουσιάσωμεν ἐνώπιόν σας, ὥστε, ἐρευνῶντες ἔτσι μὲ ἀκρίβειαν τὸ πλῆθος τῶν διδαγμάτων, ποὺ εἶναι κρυμμένον μέσα εἰς τὰ λόγια, νὰ τὸ προσφέρωμεν εἰς τὴν ἀγάπην σας. Ἠκούσατε λοιπὸν πρὸ ὀλίγου τὴν Ἁγίαν Γραφὴν νὰ λέγῃ· «Εἰς δὲ τὸν Ἀδὰμ δὲν εὑρέθη βοηθὸς ὅμοιος πρὸς αὐτόν». Τί θέλει νὰ εἰπῇ ἡ μικρὰ αὐτὴ λέξις, «Εἰς δὲ τὸν Ἀδάμ»; διὰ ποῖον λόγον ἐπρόσθεσε τὸν σύνδεσμον; δὲν ἦτο ἀρκετὸν νὰ εἰπῇ, «εἰς τὸν Ἀδάμ»; Δὲν προσπαθοῦμεν νὰ διερευνήσωμεν ἁπλῶς αὐτά, ἐξ αἰτίας περιττῆς φιλοτιμίας, ἀλλὰ διὰ νὰ σᾶς διδάξωμεν, ἑρμηνεύοντες εἰς σᾶς ὅλα μὲ λεπτομέρειαν, νὰ μὴ περιφρονῆτε οὔτε τὴν μικρὰν λέξιν, οὔτε μίαν συλλαβὴν ἀπὸ τὰ κείμενα τῆ» Ἁγίας Γραφῆς[3]. Διότι δὲν εἶναι ἁπλῶς λόγια, ἀλλὰ λόγια τοῦ Ἁγίου Πνεύματος· διὰ τοῦτο εἶναι δυνατὸν νὰ εὑροῦμεν καὶ εἰς μίαν συλλαβὴν μέγαν θησαυρόν. Προσέχετε λοιπόν, παρακαλῶ, μὲ ἀκρίβειαν· κανεὶς νὰ μὴ εἶναι βραδύνους, κανεὶς νυσταγμένος, ὅλοι δώσατέ μου τὴν διάνοιάν σας ξυπνητήν. Κανεὶς νὰ μὴ ρεμβάζῃ ἔξω, οὔτε νὰ στέκεται μεταφέρων ἐδῶ τὰς βιωτικάς του φροντίδας, ἀλλὰ νὰ ἀντιλαμβάνεται τὴν ἀξίαν τῆς πνευματικῆς αὐτῆς συγκεντρώσεως, καὶ ὅτι διὰ μέσου τῆς γλώσσης τῶν προφητῶν ἀκούομεν τὸν Θεὸν νὰ ὁμιλῇ

γομένου ἀκούομεν· οὕτω τὴν ἀκοὴν ὑπεχέτω, καὶ συντεταμένον ἐχέτω τὸν νοῦν, ἵνα μηδὲν τῶν παρ' ἡμῶν καταβαλλομένων σπερμάτων εἰς πέτραν κατενεχθῇ, ἢ παρὰ τὴν ὁδὸν ἢ παρὰ τὰς ἀκάνθας, ἀλλ' ὁλόκληρον τὸ σπέρμα εἰς τὴν γῆν τὴν καλὴν καταβληθέν, τὸ πλάτος λέγω τῆς διανοίας τῆς ὑμετέρας, δαψιλῆ τὸν καρπὸν ὑμῖν ἐνέγκαι δυνηθῇ, καὶ πολυπλασιάσῃ τὰ παρ' ἡμῶν καταβαλλόμενα. Ἀλλ' ἴδωμεν λοιπὸν τί βούλεται ἡμῖν αὕτη ἡ τοῦ συνδέσμου συμπλοκή. «Τῷ δὲ Ἀδάμ», φησίν, «οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ». Θέα μοι τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν. Εἰποῦσα, «Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθός», οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν, «Ὅμοιος αὐτῷ», τῇ προσθήκῃ παραδηλοῦσα ἡμῖν τὴν αἰτίαν, δι' ἣν τοῦ συνδέσμου τὴν συμπλοκὴν ἐποιήσατο. Οἶμαι λοιπὸν τοὺς ὀξύτερον ἐπιβάλλειν δυναμένους ἤδη προορᾶν τὸ μέλλον ὑφ' ἡμῶν ῥηθήσεσθαι. Ἀλλ' ἐπειδὴ προσήκει ἡμᾶς κοινὴν πρὸς ἅπαντας ποιουμένους τὴν διδασκαλίαν, πᾶσι σαφῆ ποιεῖν τὰ παρ' ἡμῶν λεγόμενα, φέρε διδάξωμεν ὑμᾶς τίνος ἕνεκεν οὕτως εἴρηκεν· ἀλλὰ μικρὸν ἀνάσχεσθε. Ἐπειδὴ γὰρ ἐν τοῖς πρῴην ῥηθεῖσι, καθάπερ μνημονεύετε, εἰποῦσα ἡ θεία Γραφή, ὅτι «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν», εὐθέως ἐδίδαξεν ἡμᾶς τὴν τῶν θηρίων, καὶ τῶν ἑρπετῶν, καὶ τῶν ἀλόγων ἁπάντων δημιουργίαν· φησὶ γάρ, «Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά». Καὶ καθάπερ δεσπότης πᾶσιν ἐπέθηκε τὰ ὀνόματα, καὶ τὴν οἰκείαν προσηγορίαν ἑκάστῳ γένει τῶν θηρίων, καὶ τῶν πετεινῶν, καὶ πάντων τῶν ἀλόγων κατὰ τὴν παρασχεθεῖσαν αὐτῷ σοφίαν ἀπένειμεν· ἵνα εἰδέναι ἔχωμεν λοιπόν, ὅτι ἐκεῖνα μὲν ἅπαντα τά γε γενημένα, εἰ καὶ ὑπηρεσίαν τινὰ πληροῖ καὶ συνεφάπτεται τῶν καμάτων αὐτῷ, ἀλλ' ὅμως ἄλογά ἐστι, καὶ πολλῷ τῷ μέτρῳ λειπό-

4. Βλ.παραβολὴν τοῦ σπορέως Ματθ. 13, 4 - 23· Μάρκ. 4, 1 - 9· Λουκᾶ 8, - 15.
5. Γεν. 2, 18.
6. Γεν. 2, 19.

πρὸς ἡμᾶς. Ἔτσι νὰ ὑποτάξῃς τὴν ἀκοήν σου, καὶ νὰ ἔχῃς συγκεντρωμένον τὸν νοῦν σου, διὰ νὰ μὴ πέσῃ κανένα ἀπὸ τὰ σπέρματα, ποὺ θὰ ρίπτωμεν ἡμεῖς, εἰς τὴν πέτραν ἢ κοντὰ εἰς τὴν ὁδὸν ἢ εἰς τὰ ἀγκάθια, ἀλλ' ὁλόκληρον τὸ σπέρμα, ἀφοῦ πέσῃ εἰς τὴν καλὴν γῆν[4], καὶ ἐννοῶ τὸ πλάτος τῆς διανοίας σας, νὰ ἠμπορέσῃ νὰ φέρῃ ἄφθονον καρπὸν εἰς σᾶς καὶ νὰ πολλαπλασιάσῃ τὰ ριπτόμενα ἀπὸ ἡμᾶς σπέρματα. Ἀλλὰ ἂς ἐξετάσωμεν λοιπὸν τί θέλει νὰ μᾶς εἰπῇ ἡ πλοκὴ αὐτὴ τοῦ συνδέσμου. «Εἰς δὲ τὸν Ἀδάμ, λέγει ἡ Γραφή, δὲν εὑρέθη βοηθὸς ὅμοιος πρὸς αὐτόν». Πρόσεχε, παρακαλῶ, τὴν ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς. Ἀφοῦ εἶπε, «Εἰς δὲ τὸν Ἀδὰμ δὲν εὑρέθη βοηθός», δὲν ἐσταμάτησε μέχρι τοῦτο, ἀλλὰ ἐπρόσθεσεν «ὅμοιος πρὸς αὐτόν»· μὲ τὴν προσθήκην καθιστᾷ εἰς ἡμᾶς φανερὰν τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἐχρησιμοποίησε τὴν πλοκὴν τοῦ συνδέσμου. Νομίζω λοιπόν, ὅτι προβλέπουν πλέον ἐκεῖνο, ποὺ πρόκειται νὰ εἰπῶ, ὅσοι ἠμποροῦν νὰ ἀντιλαμβάνωνται ὀξύτερον. Ἀλλ' ἐπειδὴ πρέπει νὰ κάνωμεν κοινὴν τὴν διδασκαλίαν πρὸς ὅλους καὶ νὰ καταστήσωμεν σαφῆ τὰ λεγόμενά μας πρὸς ὅλους, ἐμπρὸς ἂς ἐκθέσωμεν εἰς σᾶς, διὰ ποῖον λόγον ὡμίλησεν ἔτσι ἡ Γραφή. Ἔχετε ὅμως ὀλίγην ὑπομονήν. Εἰς τὰ λεχθέντα προηγουμένως, καθὼς ἐνθυμεῖσθε, ἀφοῦ εἶπεν ἡ Ἁγία Γραφή, «Ἂς κάνωμεν δι' αὐτὸν ἕνα βοηθὸν ὅμοιον πρὸς αὐτόν»[5], ἀμέσως μᾶς περιέγραψε τὴν δημιουργίαν τῶν θηρίων, τῶν ἑρπετῶν καὶ ὅλων τῶν ἀλόγων ζώων. Λέγει δηλαδή· «Καὶ ἔπλασεν ὁ Θεὸς ἀκόμη ἀπὸ τὴν γῆν ὅλα τὰ θηρία, καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ, καὶ ἔφερεν αὐτὰ εἰς τὸν Ἀδάμ, διὰ νὰ ἴδῃ πῶς θὰ ὀνομάσῃ αὐτά»[6]. Καὶ ὡσὰν κυρίαρχος ἔδωσεν εἰς ὅλα ὀνόματα, καί, σύμφωνα μὲ τὴν δοθεῖσαν εἰς αὐτὸν σοφίαν, προσέφερε τὴν κατάλληλον ὀνομασίαν εἰς κάθε γένος τῶν θηρίων καὶ τῶν πτηνῶν καὶ ὅλων τῶν ἀλόγων ζώων. Τοῦτο ἔκαμε διὰ νὰ ἠμποροῦμεν εἰς τὸ ἑξῆς νὰ γνωρίζωμεν, ὅτι ὅλα ἐκεῖνα τὰ δημιουργήματα, ἂν καὶ προσφέρουν κάποιαν ὑπηρεσίαν καὶ βοηθοῦν τὸν ἄνθρωπον εἰς τὰς ἐργασίας του, εἶναι ὅμως ἄλογα καὶ

μενα τοῦ ἀνθρώπου· καὶ ἵνα μὴ νομίζωμεν ὅτι περὶ τούτων εἶπε, «Ποιήσωμεν αὐτῷ βοηθόν». Εἰ γὰρ καὶ βοηθεῖ, καὶ πρὸς πολλὰ χρήσιμα καθέστηκε τῇ τοῦ ἀνθρώπου ὑπηρεσίᾳ, ἀλλ' ὅμως ἄλογά ἐστιν. Ὅτι μὲν γὰρ βοηθεῖ, δείκνυσιν αὐτὴ ἡ πεῖρα τῶν πραγμάτων. Καὶ γὰρ τὰ μὲν πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν ἡμῖν ἐστιν ἐπιτήδεια, τὰ δὲ πρὸς τὴν τῆς γῆς ἐργασίαν. Βοῦς μὲν γὰρ ἄροτρον ἕλκει, καὶ αὔλακας ἀνατέμνει, καὶ πολλὴν ἑτέραν χρείαν πρὸς τὴν γεωργίαν ἡμῖν εἰσφέρει· ὄνος δὲ πάλιν πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν πολλὴν παρέχει τὴν χρείαν, καὶ ἕτερα δὲ πολλὰ τῶν ἀλόγων ἡμῖν ὑπηρετεῖται πρὸς τὰς τοῦ σώματος χρείας. Καὶ γὰρ τὰ πρόβατα τὴν ἐκ τοῦ ἐρίου ἡμῖν χρείαν παρέχει πρὸς τὴν τῶν ἐνδυμάτων κατασκευήν καὶ αἱ αἶγες πάλιν ὡσαύτως καὶ τὴν ἀπὸ τῶν τριχῶν ἡμῖν λειτουργίαν εἰσφέρουσι, καὶ τὴν ἀπὸ τοῦ γάλακτος, καὶ ἕτερα πρὸς τροφὴν ἡμῖν ἐπιτήδεια. Ἵν' οὖν μὴ περὶ τούτων εἶναι νομίσῃς τὸ ἀνωτέρω εἰρημένον, ὅτι «Ποιήσωμεν αὐτῷ βοηθόν», διὰ τοῦτο νῦν ἀρχόμενος τοῦ λόγου, φησί, «Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ»· μονονουχὶ διδάσκων ἡμᾶς ὁ μακάριος Μωϋσῆς, καὶ ταῦτα λέγων τὰ ῥήματα, ὅτι ταῦτα μὲν ἅπαντα παρήχθη, καὶ τὰς τῶν ὀνομάτων προσηγορίας ἔλαβε παρὰ τοῦ Ἀδάμ, ἀλλ' ὅμως οὐδὲν ἄξιον τούτων αὐτοῦ πρὸς βοήθειαν ηὑρέθη. Διὸ βούλεται ἡμᾶς διδάξαι τοῦ μέλλοντος ζώου παράγεσθαι τὴν διάπλασιν, καὶ ὅτι τοῦτο τὸ μέλλον δημιουργεῖσθαι ζῶον τοῦτό ἐστι περὶ οὗ ἔλεγε, «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν», ὅμοιον αὐτῷ φησι, τῆς αὐτῆς αὐτῷ οὐσίας, ἄξιον αὐτοῦ, μηδὲν αὐτοῦ λειπόμενον· διὰ τοῦτο ἔλεγε, «Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ· δεικνὺς ἡμῖν ὁ μακάριος οὗτος, ὅτι ὅσην ἂν παρέχηται χρείαν ἡμῖν πρὸς ὑπηρεσίαν ταυτὶ τὰ ἄλογα, ἑτέρα τίς ἐστι βοήθεια

ὑπολείπονται κατὰ πολὺ ἀπ' αὐτὸν· ἀκόμη δὲ διὰ νὰ μὴ νομίζωμεν ὅτι δι' αὐτὰ εἶπε, «"Ας κάνωμεν βοηθὸν δι' αὐτόν». "Αν καὶ βοηθοῦν, καὶ εἶναι πολλαπλῶς χρήσιμα εἰς τὴν ὑπηρεσίαν τοῦ ἀνθρώπου, ἀλλ' ὅμως εἶναι ἄλογα. "Οτι μὲν βέβαια βοηθοῦν, τὸ ἀποδεικνύει ἡ ἰδία ἡ πεῖρα τῶν πραγμάτων. Καὶ πράγματι, ἄλλα μὲν εἶναι χρήσιμα διὰ τὴν μεταφορὰν τῶν πραγμάτων, ἄλλα δὲ διὰ τὴν καλλιέργειαν τῆς γῆς. Διότι τὸ μὲν βόδι σύρει τὸ ἄροτρον, καὶ ἀνοίγει αὐλάκια, καὶ μᾶς προσφέρει καὶ ἄλλην μεγάλην ὠφέλειαν διὰ τὴν γεωργίαν· ὁ ὄνος δὲ πάλιν παρέχει μεγάλην ὠφέλειαν διὰ τὴν μεταφορὰν τῶν πραγμάτων· καὶ ἄλλα δὲ πολλὰ ἄλογα ζῶα μᾶς προσφέρουν ὑπηρεσίας διὰ τὰς ἀνάγκας τοῦ σώματος. Πράγματι τὰ πρόβατα παρέχουν εἰς ἡμᾶς τὴν ἐξυπηρέτησιν τοῦ ἐρίου, διὰ τὴν κατασκευὴν τῶν ἐνδυμάτων· καὶ τὰ γίδια πάλιν ὁμοίως μᾶς προσφέρουν καὶ τὴν ἐξυπηρέτησιν τῶν τριχῶν καὶ τοῦ γάλακτος καὶ ἄλλα, ποὺ εἶναι ἀπαραίτητα διὰ τὴν διατροφήν μας. Διὰ νὰ μὴ νομίσης λοιπόν, ὅτι περὶ τούτων ἔχει λεχθῆ τὸ ἀνωτέρω, ὅτι «"Ας κάνωμεν βοηθὸν εἰς αὐτόν», διὰ τοῦτο τώρα ποὺ ἀρχίζει τὸν λόγον, λέγει, «Εἰς τὸν Ἀδὰμ δὲ δὲν εὑρέθη βοηθὸς ὅμοιος πρὸς αὐτόν»· σχεδὸν μᾶς διδάσκει ὁ μακάριος Μωυσῆς, καὶ ὅταν λέγῃ αὐτὰ τὰ λόγια, ὅτι αὐτὰ μὲν ὅλα ἐδημιουργήθησαν καὶ ἔλαβαν ἀπὸ τὸν Ἀδὰμ τὰς ἐκφωνήσεις τῶν ὀνομάτων των, πλὴν ὅμως κανένα δὲν εὑρέθη ἄξιον ἀπὸ αὐτὰ διὰ βοήθειαν αὐτοῦ. Διὰ τοῦτο θέλει νὰ μᾶς διδάξῃ τὴν διάπλασιν τοῦ ὄντος, ποὺ ἐπρόκειτο νὰ δημιουργήσῃ, καὶ ὅτι τοῦτο τὸ ὄν, ποὺ ἐπρόκειτο νὰ δημιουργήσῃ, εἶναι ἀκριβῶς τοῦτο, διὰ τὸ ὁποῖον ἔλεγεν, «"Ας κάνωμεν εἰς αὐτὸν βοηθὸν ὅμοιον πρὸς αὐτόν». "Ομοιον πρὸς αὐτόν, λέγει, τῆς ἰδίας οὐσίας μὲ αὐτόν, ἄξιον αὐτοῦ, χωρὶς νὰ ὑπολείπεται καθόλου ἀπ' αὐτόν. Διὰ τοῦτο ἔλεγεν», «Εἰς δὲ τὸν Ἀδὰμ δὲν εὑρέθη βοηθὸς ὅμοιος πρὸς αὐτόν», ἀποδεικνύων εἰς ἡμᾶς ὁ μακάριος Μωυσῆς, ὅτι ὅσην ὠφέλειαν ἂν προσφέρουν πρὸς ἐξυπηρέτησίν μας τὰ ἄλογα αὐτὰ ζῶα, εἶναι ἐντελῶς διαφορετικὴ καὶ κατὰ

καὶ πολλῷ τῷ μέτρῳ ὑπερακοντίζουσα τῷ Ἀδὰμ παρεχομένη παρὰ τῆς γυναικός.

2. Ἐπεὶ οὖν πάντων παραχθέντων τῶν ζώων, καὶ τὰς προσηγορίας δεξαμένων παρὰ τοῦ πρωτοπλάστου, ἐπεζήτει τὸν ὅμοιον αὐτῷ βοηθὸν ὁ φιλάνθρωπος Δεσπότης παραγαγεῖν, ὁ πάντα διὰ τὸν δημιουργηθέντα ὑπ' αὐτοῦ οἰκονομῶν, καὶ πᾶσαν τὴν κτίσιν ταύτην τὴν ὁρωμένην διὰ τοῦτον παραγαγών, μετὰ τῶν ἄλλων ἁπάντων καὶ τὴν γυναῖκα δημιουργεῖ. Καὶ ὅρα πῶς μετὰ ἀκριβείας ἡμᾶς διδάσκει καὶ τῆς δημιουργίας αὐτῆς τὴν διάπλασιν. Ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς, ὅτι βούλεται βοηθὸν αὐτῷ παραγαγεῖν ὅμοιον αὐτῷ· καὶ γὰρ ἀνωτέρω ἔλεγε, «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν», καὶ ἐνταῦθά φησιν, «Οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ»· διὰ τοῦτο ἐκ τῆς οὐσίας αὐτοῦ ταύτης τὴν διάπλασιν ἐργάζεται, καί φησι· «Καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε. Καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς. Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ». Μεγάλη τῶν εἰρημένων ἡ δύναμις, καὶ πάντα λογισμὸν ἀνθρώπινον ὑπερβαίνουσα. Οὐδὲ γὰρ δυνατὸν ἑτέρως τούτων συνιέναι τὸ μέγεθος, μὴ τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἅπαντα κατοπτεύσαντα. «Καὶ ἐπέβαλεν ὁ Θεός», φησίν, «ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν». Ὅρα τὴν ἀκρίβειαν τῆς διδασκαλίας. Ἀμφότερα τέθεικεν ὁ μακάριος οὗτος προφήτης μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου γλώττης, παιδεῦον ἡμᾶς τῶν γεγενημένων τὴν ἀκολουθίαν. «Ἐπέβαλε», φησίν, «ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν». Οὔτε ἔκστασις μόνον ἦν τὸ συμβάν, οὔτε ὕπνος ὁ συνήθης· ἀλλ' ἐπειδὴ ὁ σοφὸς καὶ εὐμήχανος τῆς ἡμετέρας φύσεως δημιουργὸς ἔμελλεν ἐκ τῆς πλευρᾶς αὐτοῦ μίαν ἀφαιρεῖσθαι, ἵνα μὴ ἡ αἴσθησις ὀδύνην αὐτῷ ἐργάσηται, καὶ μετὰ ταῦτα πρὸς τὴν ἐξ ἐκείνης τῆς πλευρᾶς διαπλαττο-

πολύ μεγαλυτέρα ή βοήθεια, πού παρέχει είς τόν 'Αδάμ ή γυναῖκα.

2. 'Αφοῦ λοιπόν ἐδημιουργήθησαν ὅλα τὰ ζῶα καὶ ἔλαβαν τὰ ὀνόματά των ἀπὸ τόν πρωτόπλαστον, καὶ ἀφοῦ ἐπεζητοῦσεν νὰ κατασκευάση τόν ὅμοιον πρός αὐτὸν βοηθόν του ὁ φιλάνθρωπος Κύριος, ὁ ὁποῖος οἰκονομεῖ τὰ πάντα διὰ τὸν ἄνθρωπον, πού ἐδημιούργησε, καὶ ὁ ὁποῖος παρήγαγε δι' αὐτόν ὅλην τήν ὁρατήν αὐτήν κτίσιν, μαζὶ μὲ ὅλα τὰ ἄλλα δημιουργεῖ καὶ τήν γυναῖκα. Καὶ πρόσεξε μέ πόσην ἀκρίβειαν μᾶς διδάσκει καὶ τήν διάπλασιν αὐτῆς τῆς δημιουργίας. 'Επειδή λοιπὸν μᾶς ἐδίδαξεν, ὅτι θέλει νὰ δημιουργήση δι αὐτὸν βοηθόν ὅμοιον πρός αὐτόν, διότι ἔλεγεν ἀνωτέρω, «"Ας κάνωμεν δι' αὐτόν βοηθόν ὅμοιον πρός αὐτόν», καὶ ἐδῶ λέγει, «Δέν εὑρέθη βοηθός ὅμοιος πρός αὐτόν»· διὰ τοῦτο πραγματοποιεῖ τήν διάπλασιν αὐτῆς ἀπὸ τήν οὐσίαν αὐτοῦ, καὶ λέγει· «Καὶ ἐπέφερεν ὁ Θεός ἔκστασιν εἰς τόν 'Αδάμ, καὶ ἐκοιμήθη. Καὶ ἐνῷ ἐκοιμᾶτο ἔλαβε μίαν ἀπό τάς πλευρὰς αὐτοῦ καὶ ἀνεπλήρωσεν εἰς τήν θέσιν της σάρκα. Καὶ ἔκτισε Κύριος ὁ Θεός τὴν πλευράν, τήν ὁποίαν ἔλαβεν ἀπὸ τὸν 'Αδάμ, εἰς γυναῖκα καὶ τὴν ὡδήγησε πρός τὸν 'Αδάμ». Μεγάλη εἶναι ἡ δύναμις τῶν λόγων αὐτῶν καὶ ὑπερβαίνει κάθε ἀνθρωπίνην λογικήν. Δὲν εἶναι δυνατόν νά κατανοήσω τήν δύναμιν αὐτῶν κατ' ἄλλον τρόπον, ἐάν δὲν παρατηρήσω αὐτὰ μὲ τὰ μάτια τῆς πίστεως. «Καὶ ἐπέφερεν ὁ Θεός, λέγει, ἔκστασιν εἰς τόν 'Αδάμ καὶ ἐκοιμήθη». Πρόσεχε τήν ἀκρίβειαν τῆς διδασκαλίας. 'Αναφέρει καὶ τάς δύο ἐνεργείας ὁ μακάριος προφήτης, μᾶλλον δέ τό "Αγιον Πνεῦμα μέ τὴν γλῶσσαν αὐτοῦ, διὰ νὰ μᾶς διδάξη τήν συνέχειαν τῶν γεγονότων. «'Επέφερε, λέγει, ἔκστασιν εἰς τόν 'Αδὰμ καὶ ἐκοιμήθη». Οὔτε μόνον ἔκστασις ἦτο τό γεγονός, οὔτε συνηθισμένος ὕπνος. 'Αλλ' ἐπειδή ἐπρόκειτο ὁ πάνσοφος καὶ ἐπινοητικὸς δημιουργός τῆς φύσεώς μας νά ἀφαιρέση μίαν ἀπὸ τὰς πλευρὰς αὐτοῦ, διά νὰ μὴ δημιουργήση πόνον εἰς αὐτόν ἡ ἀντίληψις τοῦ γεγονότος καὶ διάκειται ἐχθρικῶς μετά ταῦτα πρός αὐτὴν πού θὰ διεπλάσσετο ἀπό

μένην ἀπεχθῶς ἔχῃ διακεῖσθαι, καὶ μισήσῃ τὸ πλαττόμενον ζῶον τῆς ὀδύνης μεμνημένος, διὰ τοῦτο τοσοῦτον αὐτῷ ὕπνον ἐπήγαγεν, ἔκστασιν ἐπιβαλών, καὶ ὥσπερ κάρῳ τινὶ κατασχεθῆναι προστάξας, ἵνα μηδεμίαν αἴσθησιν δέξηται τοῦ γινομένου, ἀλλὰ καθάπερ τεχνίτης ἄριστος καὶ ἀφέληται τὸ δοκοῦν, καὶ ἀναπληρώσῃ τὸ λεῖπον, καὶ οὕτω τὸ ληφθὲν δημιουργήσῃ κατὰ τὴν οἰκείαν φιλανθρωπίαν. «Ἐπέβαλε γάρ», φησίν, «ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε. Καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς»· ἵνα μὴ ἔχῃ μετὰ τὴν τοῦ ὕπνου ἀπαλλαγὴν ἐκ τοῦ λείποντος αἰσθάνεσθαι τοῦ γεγενημένου. Εἰ γὰρ καὶ ἐν τῷ τῆς ἀφαιρέσεως καιρῷ ἠγνόησεν, ἀλλ' ὅμως ἔμελλε μετὰ ταῦτα ἐπιγινώσκειν τὸ γεγονός. Ἵν' οὖν μήτε ἐν τῷ ἀφαιρεῖσθαι ὀδύνην αὐτῷ ἐμποιήσῃ, μήτε ταῦτα ἡ ἔλλειψις ἀθυμίαν ἐργάσηται, ἀμφότερα οὕτως ᾠκοδόμησε, καὶ ἀφελόμενος ἀνωδύνως, καὶ πληρώσας τὸ λεῖπον, καὶ μὴ συγχωρήσας μηδενὸς αὐτὸν τῶν γεγενημένων αἴσθησιν δέξασθαι. Λαβὼν οὖν, φησί, ταύτην τὴν πλευράν, ᾠκοδόμησε Κύριος ὁ Θεὸς εἰς γυναῖκα. Παράδοξον τὸ εἰρημένον, καὶ νικῶν μετὰ πολλῆς τῆς ὑπερβολῆς τὸν ἡμέτερον λογισμόν. Τοιαῦτα γὰρ ἅπαντα τὰ παρὰ τοῦ Δεσπότου. Τοῦ γὰρ ἀπὸ τοῦ χοὸς πλασθῆναι τὸν ἄνθρωπον οὐκ ἔλαττον τοῦτο. Καὶ ὅρα τὴν συγκατάβασιν τῆς θείας Γραφῆς, ὅσοις ῥήμασι κέχρηται διὰ τὴν ἡμετέραν ἀσθένειαν. «Καὶ ἔλαβε» φησί, «μίαν τῶν πλευρῶν αὐτοῦ». Μὴ ἀνθρωπίνως δέχου τὰ λεγόμενα, ἀλλὰ τὴν παχύτητα τῶν λέξεων τῇ ἀσθενείᾳ λογίζου τῇ ἀνθρωπίνῃ. Εἰ γὰρ μὴ τούτοις τοῖς ῥήμασιν ἐχρήσατο, πῶς ἂν μαθεῖν ἠδυνήθημεν ταῦτα τὰ ἀπόρρητα μυστήρια; Μὴ τοῖς ῥήμασιν οὖν μόνοις ἐναπομείνωμεν, ἀλλὰ θεοπρεπῶς ἅπαντα νοῶμεν ὡς ἐπὶ Θεοῦ. Τὸ γάρ, «Ἔλαβε», καὶ ὅσα τοιαῦτα, διὰ τὴν ἀ-

τὴν πλευρὰν ἐκείνην, καὶ νὰ μὴ μισήσῃ τὸ ὄν, ποὺ θὰ ἐδημιουργεῖτο, ἐνθυμούμνος τὸν ἰσχυρὸν πόνον, διὰ τοῦτο ἐπέφερεν εἰς αὐτὸν τόσον ὕπνον, ὅταν ἐπέβαλεν ἔκστασιν, καὶ ἀφοῦ ἐπρόσταξε νὰ καταληφθῇ ἀπὸ ἕνα εἶδος ναρκώσεως, ὥστε νὰ μὴ ἀντιληφθῇ καθόλου αὐτὸ ποὺ θὰ ἐγίνετο, ἀλλὰ ὡσὰν τεχνίτης ἄριστος καὶ νὰ ἀφαιρέσῃ αὐτὸ ποὺ ἐνόμιζε καὶ νὰ ἀναπληρώσῃ τὸ κενόν, καὶ κατ᾽ αὐτὸν τὸν τρόπον νὰ δημιουργήσῃ αὐτὸ ποὺ ἔλαβε σύμφωνα μὲ τὸ σχέδιον τῆς φιλανθρωπίας του. «Ἐπέβαλε», λέγει, «ἔκστασιν εἰς τὸν Ἀδὰμ καὶ ἐκοιμήθη. Καὶ ἔλαβε μίαν ἀπὸ τὰς πλευρὰς αὐτοῦ καὶ ἀντικατέστησεν αὐτὴν μὲ σάρκα», διὰ νὰ μὴ αἰίσθάνεται αὐτὸ ποὺ εἶχε συμβῇ ἐξ αἰτίας τοῦ ἐλλείποντος μετὰ τὴν ἀπαλλαγὴν ἐκ τοῦ ὕπνου. Διότι, ἐὰν καὶ κατὰ τὸν χρόνον τῆς ἀφαιρέσεως δὲν ἀντελαμβάνετο, ἐπρόκειτο ὅμως νὰ γνωρίσῃ καλὰ τὸ γεγονὸς ἀργότερον. Διὰ νὰ μὴ προκαλέσῃ λοιπὸν πόνον εἰς αὐτὸν κατὰ τὴν ἀφαίρεσιν, οὔτε ἀργότερον ἡ ἔλλειψις νὰ δημιουργήσῃ θλῖψιν, καὶ τὰ δύο ἔτσι ἐτακτοποίησεν, ὥστε καὶ νὰ ἀφαιρέσῃ ἀνώδυνα, καὶ νὰ ἀναπληρώσῃ τὸ ἐλλεῖπον, καὶ νὰ μὴ ἐπιτρέψῃ νὰ λάβῃ αὐτὸς γνῶσιν κανενός, ἀπὸ ὅσα εἶχαν συμβῇ. «Ἀφοῦ ἔλαβε λοιπὸν τὴν πλευρὰν αὐτήν, Κύριος ὁ Θεός, λέγει, τὴν μετεσκευαύσεν εἰς γυναῖκα». Παράδοξα τὰ λόγια αὐτὰ καὶ ὑπερβαίνουν κατὰ πολὺ τὸ ἰδικόν μας λογικόν. Τέτοια βεβαίως εἶναι ὅλα τὰ ἔργα τοῦ Κυρίου. Τοῦτο δὲν εἶναι μικρότερον ἀπὸ τὴν δημιουργίαν τοῦ ἀνθρώπου ἀπὸ χῶμα. Καὶ πρόσεξε τὴν συγκατάβασιν τῆς Ἁγίας Γραφῆς, πόσα λόγια χρησιμοποιεῖ ἐξ αἰτίας τῆς ἰδικῆς μας ἀσθενείας. «Καὶ ἔλαβε, λέγει, μίαν ἀπὸ τὰς πλευρὰς αὐτοῦ». Νὰ μὴ δέχεσαι τὰ λεγόμενα κατὰ τρόπον ἀνθρώπινον, ἀλλὰ νὰ καταλογίζῃς τὴν ἁπλοϊκὴν ἔκφρασιν τῶν λέξεων εἰς τὴν ἀνθρωπίνην ἀδυναμίαν. Διότι ἐὰν δὲν ἐχρησιμοποιοῦσε τὰ λόγια αὐτά, πῶς θὰ ἠμπορούσαμεν νὰ μάθωμεν αὐτὰ τὰ ἀπόρρητα μυστήρια; Ἂς μὴ σταθοῦμεν λοιπὸν εἰς τὰ λόγια μόνον, ἀλλὰ νὰ κατανοοῦμεν τὰ πάντα πνευματικῶς ὅπως περὶ τοῦ Θεοῦ. Διότι τὸ «Ἔλαβε» καὶ τὰ παρόμοια, ἔχουν λεχθῇ ἐξ αἰτίας τῆς ἰδικῆς μας

σθένειαν τὴν ἡμετέραν εἴρηται. Σκόπει δὲ πῶς καὶ ἐνταῦθα πάλιν τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο, ἣ καὶ ἐπὶ τοῦ Ἀδάμ. Ὥσπερ γὰρ ἐκεῖ καὶ ἅπαξ, καὶ δεύτερον, καὶ πολλάκις εἶπε, «Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε»· καὶ πάλιν, «Καὶ εἶπε Κύριος ὁ Θεός, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν»· οὕτω καὶ νῦν φησι, «Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα»· καὶ ἀνωτέρω, «Καὶ ἐπέβαλε Κύριος ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ»· ἵνα μάθῃς ὡς οὐδεμία διαφορά ἐστι Πατρὸς καὶ Υἱοῦ ἐν ταῖς λέξεσιν, ἀλλὰ διὰ τὸ μίαν εἶναι τὴν οὐσίαν ἀμφοτέρων, ἀδιαφόρως ἡ Γραφὴ κέχρηται τοῖς ὀνόμασιν. Ἰδοὺ γοῦν καὶ ἐπὶ τῆς διαπλάσεως τῆς γυναικὸς τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο εἰποῦσα, «Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα». Τί ἂν εἴποιεν ἐνταῦθα οἱ αἱρετικοί, οἱ πάντα περιεργάζεσθαι βουλόμενοι, καὶ τοῦ δημιουργοῦ τῶν ὅλων τὴν γέννησιν κατειληφέναι οἰόμενοι; Ποῖος λόγος τοῦτο ἑρμηνεῦσαι δύναται; ποῖος νοῦς καταλαβεῖν; Μίαν πλευράν, φησίν, ἔλαβε· καὶ πῶς ἐκ ταύτης τῆς μιᾶς τὸ ὅλον ζῶον διέπλασε; Τί δὲ λέγω, πῶς ἐκ ταύτης τῆς μιᾶς τὸ ζῶον διέπλασεν; Εἰπέ μοι πῶς ἡ ἀφαίρεσις γέγονε; πῶς αἴσθησιν οὐκ ἔλαβε τῆς ἀφαιρέσεως; Ἀλλ' οὐδὲν τούτων δυνήσῃ εἰπεῖν· μόνος γὰρ ἐκεῖνος οἶδεν ὁ τὴν δημιουργίαν ἐργασάμενος. Εἰ τοίνυν ταῦτα τὰ ἐν χερσί, καὶ τὰ τῆς διαπλάσεως τοῦ ὁμογενοῦς ἡμῖν εὑρεῖν ζῴου οὐ καταλαμβάνομεν, πόσης ἂν εἴη μανίας καὶ παραφροσύνης τὰ κατὰ τὸν δημιουργὸν περιεργάζεσθαι, καὶ ἐκεῖνα φάσκειν κατειληφέναι, ὧν οὔτε αἱ ἀσώματοι καὶ θεῖαι δυνάμεις τὴν ἀκριβῆ γνῶσιν ἔχουσιν, ἀλλὰ μετὰ φόβου καὶ τρόμου δοξολογοῦσαι διηνεκῶς διατελοῦσι;

ἀδυναμίας. Πρόσεξε δὲ πῶς καὶ ἐδῶ πάλιν ἐχρησιμοποίησε τὴν αὐτὴν τακτικήν, τὴν ὁποίαν ἐχρησιμοποίησε καὶ εἰς τὴν δημιουργίαν τοῦ Ἀδάμ. Διότι ὅπως ἐκεῖ εἶπε καὶ μίαν καὶ δύο καὶ πολλὰς φορὰς τό· «Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ὁποῖον ἐδημιούργησε». Καὶ πάλιν· «Καὶ ἔδωσεν ἐντολὴν ὁ Κύριος ὁ Θεὸς εἰς τὸν Ἀδάμ». Καὶ πάλιν· «Καὶ εἶπε Κύριος ὁ Θεός, ἂς κάνωμεν εἰς αὐτὸν βοηθὸν ὅμοιον πρὸς αὐτόν». Ἔτσι καὶ τώρα λέγει· «Καὶ μετεσκεύασε Κύριος ὁ Θεὸς τὴν πλευράν, τὴν ὁποίαν ἔλαβεν ἀπὸ τὸν Ἀδάμ, εἰς γυναῖκα» καὶ παραπάνω· «Καὶ ἐπέφερε Κύριος ὁ Θεὸς ἔκστασιν εἰς τὸν Ἀδάμ». Διὰ νὰ μάθῃς, ὅτι δὲν ὑπάρχει καμμία διαφορὰ εἰς τὰς λέξεις μεταξὺ Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ἐπειδὴ καὶ οἱ δύο ἔχουν μίαν οὐσίαν, ἡ Ἁγία Γραφὴ χρησιμοποιεῖ ἀδιάφορα τὰ ὀνόματα. Ἰδοὺ λοιπὸν καὶ εἰς τὴν περίπτωσιν τῆς διαπλάσεως τῆς γυναικὸς ἠκολούθησε τὴν ἰδίαν τακτικήν, ὅταν εἶπε· «Καὶ μετεσκεύασε Κύριος ὁ Θεὸς τὴν πλευράν, τὴν ὁποίαν ἔλαβεν ἀπὸ τὸν Ἀδάμ, εἰς γυναῖκα». Τί θὰ ἠμποροῦσαν νὰ εἰποῦν ἐδῶ οἱ αἱρετικοί, οἱ ὁποῖοι θέλουν ὅλα νὰ τὰ περιεργάζωνται καὶ οἱ ὁποῖοι νομίζουν ὅτι ἔχουν καταλάβει τὴν γέννησιν τοῦ Δημιουργοῦ τῶν πάντων; Ποία λογικὴ ἠμπορεῖ νὰ ἑρμηνεύσῃ αὐτό; ποῖος νοῦς ἠμπορεῖ νὰ τὸ ἐννοήσῃ; Μίαν πλευράν, θὰ εἰπῇ κάποιος, ἔλαβε· καὶ πῶς ἀπὸ αὐτὴν τὴν μίαν ἐδημιούργησεν ὁλόκληρον τὸ ὄν; Καὶ τί λέγω, πῶς ἐδημιούργησεν ἀπὸ τὴν μίαν αὐτὴν πλευρὰν τὸ ὄν; Εἰπέ μου, πῶς ἔχει γίνει ἡ ἀφαίρεσις τῆς πλευρᾶς; πῶς δὲν ἀντελήφθη τὴν ἀφαίρεσιν; Ἀλλὰ τίποτε δὲν θὰ ἠμπορέσῃς νὰ εἰπῇς δι' αὐτά, διότι αὐτὰ γνωρίζει μόνον ἐκεῖνος, ὁ ὁποῖος ἔκαμε τὴν δημιουργίαν. Ἐὰν λοιπὸν δὲν ἀντιλαμβανώμεθα αὐτὰ τὰ ἁπλᾶ, καὶ τὰ σχετικὰ μὲ τὴν δημιουργίαν τοῦ ὄντος, ποὺ εἶναι τῆς αὐτῆς καταγωγῆς μὲ ἡμᾶς, πόση τρέλλα καὶ παραφροσύνη θὰ ἦτο νὰ περιεργαζώμεθα τὰ ἀφοροῦντα εἰς τὸν Δημιουργόν, καὶ νὰ λέγωμεν ὅτι ἔχομεν κατανοήσει ἐκεῖνα, διὰ τάα ὁποῖα δὲν ἔχουν τὴν ἀκριβῆ γνῶσιν οὔτε αἱ ἀσώματοι καὶ ἀγγελικαὶ δυνάμεις, ἀλλὰ συνεχῶς δοξολογοῦν μὲ φόβον καὶ τρόμον;

3. «Καὶ ᾠκοδόμησε», φησί, «Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα». Ὅρα τῆς Γραφῆς τὴν ἀκρίβειαν. Οὐκέτι γὰρ εἶπεν, ἔπλασεν, ἀλλ' «Ὠκοδόμησεν»· ἐπειδὴ ἐκ τοῦ ἤδη πλασθέντος τὸ μέρος ἔλαβε, καὶ ὡς ἂν εἴποι τις, τὸ λεῖπον ἐχαρίσατο. Διὰ τοῦτό φησι, «Καὶ ᾠκοδόμησεν»· οὐκ ἄλλην πλάσιν εἰργάσατο, ἀλλ' ἐκ τῆς ἤδη γενομένης πλάσεως βραχύ τι μέρος λαβών, τοῦτο τὸ μέρος ᾠκοδόμησε, καὶ τέλειον εἰργάσατο τὸ ζῶον. Πόση τοῦ ἀριστοτέχνου Θεοῦ ἡ δύναμις, ἀπὸ τοῦ βραχυτάτου μέρους ἐκείνου τοσούτων μελῶν ἀναλογίαν ἐργάσασθαι, καὶ τοσαύτας αἰσθήσεις δημιουργῆσαι, καὶ τέλειον καὶ ὁλόκληρον καὶ ἀπηρτισμένον ζῶον κατασκευάσαι, τὸ δυνάμενον καὶ προσδιαλέγεσθαι, καὶ τῇ τῆς οὐσίας κοινωνίᾳ πολλὴν αὐτῷ τὴν παραμυθίαν εἰσφέρειν. Διὰ γὰρ τὴν τούτου παράκλησιν τοῦτο τὸ ζῶον ἐδημιουργήθη. Διὸ καὶ Παῦλος ἔλεγεν· «Οὐ γὰρ ἐκτίσθη ὁ ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα». Ὁρᾷς πῶς ἅπαντα δι' αὐτὸν γίνεται; Μετὰ γὰρ τὴν δημιουργίαν τῆς κτίσεως, μετὰ τὸ παραχθῆναι τὰ ἄλογα, τὰ πρὸς βρῶσιν ἐπιτήδεια, τὰ πρὸς ὑπηρεσίαν χρησιμεύειν δυνάμενα, ἐπειδὴ ἐδεῖτο ὁ πλασθεὶς ἄνθρωπός τινος τοῦ προσδιαλεγομένου, καὶ δυναμένου τῇ κοινωνίᾳ τῆς οὐσίας πολλὴν αὐτῷ παρέχειν τὴν παραμυθίαν, διὰ τοῦτο ἐκ τῆς πλευρᾶς αὐτοῦ δημιουργεῖται τὸ ζῶον τοῦτο τὸ λογικόν, καὶ κατὰ τὴν εὐμήχανον αὐτοῦ σοφίαν τέλειον καὶ ἀπηρτισμένον αὐτὸ εἰργάσατο, κατὰ πάντα τῷ ἀνθρώπῳ ὅμοιον, ἀντὶ τοῦ, λογικόν, δυνάμενον ἐν τοῖς καιρίοις αὐτῷ καὶ τοῖς ἀναγκαίοις καὶ συνέχουσι τὴν ζωὴν τὰ τῆς βοηθείας εἰσφέρειν. Θεὸς γὰρ ἦν ὁ τὰ πάντα σοφίᾳ τινὶ καὶ δημιουργίᾳ οἰκονομῶν. Εἰ γὰρ καὶ ἡμεῖς διὰ τὴν τῶν λογισμῶν ἀσθένειαν καταλαμβάνειν μὴ δυνάμεθα τὸν τρόπον τῶν γεγενημένων, ἀλλ' ὅμως πιστεύομεν, ὅτι

7. Α' Κορ. 11, 9.

3. «Καὶ ἔκτισε», λέγει ἡ Γραφή, «Κύριος ὁ Θεὸς τὴν πλευράν, τὴν ὁποίαν ἔλαβεν ἀπὸ τὸν Ἀδάμ, εἰς γυναῖκα». Πρόσεξε τὴν ἀκριβολογίαν τῆς Γραφῆς. Δὲν εἶπε βέβαια, ἔπλασεν, ἀλλὰ «ἔκτισε», διότι ἔλαβε τὸ μέρος ἀπὸ τὸ ἤδη πλασθέν, καὶ ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ἐχάρισεν ἐκεῖνο ποὺ ἔλειπε. Διὰ τοῦτο λέγει· «Καὶ ἔκτισε» δὲν ἔκαμεν ἄλλην πλάσιν, ἀλλ' ἀφοῦ ἔλαβεν ἕνα μικρὸν μέρος ἀπὸ τὴν πλάσιν, ποὺ εἶχεν ἤδη δημιουργηθῆ, τοῦτο τὸ μέρος ἔκτισε καὶ ἐδημιούργησε τὸ τέλειον ὄν. Πόσον μεγάλη εἶναι ἡ δύναμις τοῦ ἀριστοτέχνου Θεοῦ! Ἀπὸ τὸ μικρότατον ἐκεῖνο μέρος νὰ κατασκευάσῃ τὴν ἀναλογίαν τόσων μελῶν καὶ νὰ δημιουργήσῃ τόσας αἰσθήσεις, καὶ νὰ κατασκευάσῃ τέλειον καὶ ὁλόκληρον καὶ ἄρτιον τὸ ὄν, ὥστε νὰ ἠμπορῇ καὶ νὰ συζητῇ καὶ νὰ προσφέρῃ εἰς αὐτὸν μεγάλην παρηγορίαν διὰ τῆς ἐπικοινωνίας τῆς οὐσίας. Διὰ τὴν παρηγορίαν βέβαια τούτου ἐδημιουργήθη τὸ ὂν αὐτό. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Δὲν ἐκτίσθη ὁ ἄνδρας διὰ νὰ βοηθῇ τὴν γυναῖκα, ἀλλ' ἡ γυναῖκα ἐπλάσθη πρὸς χάριν καὶ βοήθειαν τοῦ ἀνδρός»[7]. Βλέπεις πῶς τὰ πάντα γίνονται πρὸς χάριν αὐτοῦ; Μετὰ δὲ τὴν δημιουργίαν τῆς κτίσεως, μετὰ τὴν δημιουργίαν τῶν ἀλόγων ζώων, ἐκείνων ποὺ εἶναι ἀπαραίτητα πρὸς διατροφὴν καὶ ἐκείνων ποὺ ἠμποροῦν νὰ προσφέρουν ὑπηρεσίας πρὸς αὐτόν, ἐπειδὴ ὁ δημιουργηθεὶς ἄνθρωπος ἐχρειάζετο κάποιον νὰ συζητῇ μαζί του καὶ νὰ ἠμπορῇ νὰ προσφέρῃ εἰς αὐτὸν μεγάλην παρηγορίαν διὰ τῆς συμμετοχῆς εἰς τὴν οὐσίαν αὐτοῦ, διὰ τοῦτο δημιουργεῖται ἀπὸ τὴν πλευρὰν αὐτοῦ τὸ λογικὸν τοῦτο ὄν· ἐδημιούργησε δὲ τοῦτο τέλειον καὶ ὁλοκληρωμένον σύμφωνα μὲ τὴν ἐπινοητικήν του σοφίαν, ὅμοιον εἰς ὅλα μὲ τὸν ἄνθρωπον, ἐφ' ὅσον ἦτο λογικόν, διὰ νὰ ἠμπορῇ νὰ προσφέρῃ βοήθειαν εἰς τὰ καίρια καὶ τὰ ἀναγκαῖα καὶ εἰς ἐκεῖνα ποὺ στενοχωροῦν τὴν ζωήν του. Διότι ὁ Θεὸς ἦτο ἐκεῖνος ποὺ ἐρύθμιζε τὰ πάντα μὲ τὴν δημιουργικήν του πανσοφίαν. Ἐὰν λοιπὸν καὶ ἡμεῖς δὲν ἠμποροῦμεν νὰ κατανοήσωμεν, ἐξαιτίας τῆς ἀδυναμίας τῶν σκέψεων, τὸν τρόπον μὲ τὸν ὁποῖον ἔχουν γίνει αὐ-

τῷ βουλήματι αὐτοῦ πάντα εἴκει, καὶ ὅπερ ἂν προστάξῃ, τοῦτο εἰς μέσον παράγεται. «Καὶ ᾠκοδόμησε», φησί, «Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ»· δεικνύς, ὅτι δι' αὐτὸν αὐτὴν παρήγαγεν.

«Ἤγαγεν αὐτήν», φησί, «πρὸς τὸν Ἀδάμ. Ἐπειδὴ γὰρ οὐδεὶς εὑρέθη, φησίν, ἐν πᾶσι τοῖς ἄλλοις ὅμοιός σοι βοηθός, ἰδοὺ ὅπερ ὑπεσχόμην (ἐπηγγειλάμην γὰρ βοηθὸν ὅμοιόν σοι κατασκευάζειν), τοῦτο πληρώσας παραδίδωμί σοι. «Ἤγαγε γὰρ αὐτήν», φησί, «πρὸς τὸν Ἀδάμ. Καὶ εἶπεν Ἀδάμ, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῶν σαρκῶν μου». Θέα μοι ἐνταῦθα ἀγαπητέ, πῶς μετὰ τῆς σοφίας ἐκείνης τῆς ἀφάτου, τῆς παρὰ τοῦ Θεοῦ αὐτῷ χορηγηθείσης, τὰ δείγματα ἡμῖν ἐδείκνυ διὰ τῆς τῶν ὀνομάτων θέσεως, ἅπερ ἐπέθηκε τοσούτοις τοῖς γένεσι τῶν ἀλόγων ζώων, καὶ προφητικῆς ἠξίωτο χάριτος. Διὰ γὰρ τοῦτο ἐν τοῖς ἀνωτέρω ἐδίδαξεν ἡμᾶς ὁ μακάριος οὗτος προφήτης, ὅτι μετὰ τοῦ ὕπνου καὶ ἔκστασις αὐτὸν ἔλαβεν, ὡς μηδὲ ὅλως αἴσθησιν δέξασθαι τοῦ γενομένου, ἵν' ἐπειδὰν μάθῃς νῦν, ὅτι μετὰ τὴν θέαν τῆς γυναικὸς μετὰ ἀκριβείας ἀπαγγέλλει τὸ γεγονός, πεισθῇς ἀκριβῶς, ὅτι προφητικῇ χάριτι ταῦτα φθέγγεται, καὶ ἐνηχούμενος ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος διδασκαλίας. Ὁ γὰρ μηδὲν τῶν γεγενημένων εἰδώς, ἐπειδὴ ἤγαγεν αὐτὴν πρὸς αὐτόν, φησί· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου». Ἕτερος δέ τις ἑρμηνευτής φησιν, ἀντὶ τοῦ «Νῦν», «Τοῦτο ἅπαξ», δηλῶν ὅτι νῦν τοῦτο μόνον γέγονε, καὶ οὐκέτι οὕτως ἔσται τῆς γυναικὸς ἡ διάπλασις. Νῦν, φησίν, ἐξ ἀνδρὸς γέγονεν ἡ γυνή, μετὰ δὲ ταῦτα οὐχ οὕτως, ἀλλ' ἐκ τῆς γυναικὸς ὁ ἀνήρ· μᾶλλον δὲ οὐκ ἐκ τῆς γυναικός, ἀλλ' ἐκ τῆς ἀμ-

τά, ἀλλ' ὅμως πιστεύομεν, ὅτι τὰ πάντα ὑποχωροῦν εἰς τὴν θέλησιν αὐτοῦ, καὶ ἐκεῖνο ποὺ θὰ προστάξῃ, αὐτὸ πραγματοποιεῖται. Καὶ ἔκτισε, λέγει, Κύριος ὁ Θεὸς τὴν πλευράν, τὴν ὁποίαν ἔλαβεν ἀπὸ τὸν Ἀδάμ, εἰς γυναῖκα, καὶ ὡδήγησεν αὐτὴν πρὸς τὸν Ἀδάμ». Ἀποδεικνύων, ὅτι δι' αὐτὸν ἐδημιούργησε τὴν γυναῖκα, λέγει· «ὡδήγησεν αὐτὴν πρὸς τὸν Ἀδάμ». Ἐπειδὴ δέ, λέγει, δὲν εὑρέθη κανεὶς ἀνάμεσα εἰς τὰ ἄλλα δημιουργήματα βοηθὸς ὅμοιός σου, ἰδοὺ παραδίδω αὐτὸ εἰς σέ, ἀφοῦ ἐξεπλήρωσα ἐκεῖνο, τὸ ὁποῖον εἶχα ὑποσχεθῆ (διότι εἶχα ὑποσχεθῆ νὰ κατασκευάσω ἕνα βοηθὸν ὅμοιόν σου).

«Ὡδήγησεν αὐτήν», λέγει, «πρὸς τὸν Ἀδάμ. Καὶ εἶπεν ὁ Ἀδάμ, τοῦτο εἶναι πλέον ὀστοῦν ἀπὸ τὰ ὀστᾶ μου, καὶ σάρκα ἀπὸ τὴν σάρκα μου». Παρακαλῶ, πρόσεξε ἐδῶ, ἀγαπητέ, πῶς ἠξιώθη καὶ τοῦ προφητικοῦ χαρίσματος, μαζὶ μὲ τὴν ἀνέκφραστον ἐκείνην σοφίαν, ἡ ὁποία ἐχορηγήθη εἰς αὐτὸν ἀπὸ τὸν Θεόν, τὰ δείγματα τῆς ὁποίας ἔδειξεν εἰς ἡμᾶς διὰ τῆς θέσεως τῶν ὀνομάτων, τὰ ὁποῖα ἔδωσεν εἰς τὰ τόσα γένη τῶν ἀλόγων ζώων. Διὰ τοῦτο λοιπὸν μᾶς ἐδίδαξεν εἰς τὰ προηγούμενα ὁ μακάριος αὐτὸς προφήτης, ὅτι μαζὶ μὲ τὸν ὕπνον κατέλαβε τὸν Ἀδὰμ καὶ ἔκστασις, διὰ νὰ μὴ λάβῃ καθόλου γνῶσιν τοῦ γεγονότος, ὥστε, ὅταν μάθῃς τώρα, ὅτι διηγεῖται τὸ γεγονὸς μὲ ἀκρίβειαν μετὰ τὴν θέαν τῆς γυναικός, νὰ πεισθῇς ἀκριβῶς, ὅτι λέγει αὐτὰ διὰ τοῦ προφητικοῦ του χαρίσματος καὶ ἀκούων τὴν διδασκαλίαν τοῦ Ἁγίου Πνεύματος. Διότι, ἐκεῖνος ποὺ δὲν γνωρίζει τίποτε ἀπὸ αὐτὰ ποὺ ἔχουν γίνει, ὅταν ὡδήγησε τὴν γυναῖκα πρὸς αὐτόν, λέγει· «Τοῦτο πλέον εἶναι ὀστοῦν ἀπὸ τὰ ὀστᾶ μου, καὶ σάρκα ἀπὸ τὴν σάρκα μου». Κάποιος ἄλλος δὲ ἑρμηνευτὴς λέγει, ἀντὶ τοῦ «νῦν», «τοῦτο ἅπαξ», ἐπειδὴ ἤθελε νὰ δηλώσῃ ὅτι τοῦτο τώρα μόνον ἔχει συμβῆ, καὶ ὄχι ὅτι θὰ εἶναι ἔτσι εἰς τὸ ἑξῆς ἡ προέλευσις τῆς γυναικός. Τώρα, λέγει, ἡ γυναῖκα ἔχει γίνει ἀπὸ τὸν ἄνδρα, εἰς τὸ ἑξῆς ὅμως δὲν θὰ γίνεται ἔτσι, ἀλλ' ὁ ἄνδρας θὰ προέρχεται ἀπὸ τὴν γυναῖκα· μᾶλλον δὲ ὄχι ἀπὸ τὴν γυναῖκα, ἀλλὰ ἀπὸ τὴν συνεργασίαν

*φοτέρων συνεργίας· ὡς καὶ ὁ **Παῦλός** φησιν· «Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός· καὶ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα· Ναί· ἀλλὰ ταῦτα, φησί, τὰ εἰρημένα δείκνυσιν, ὅτι ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς ἐγένετο. Ἀλλ' ἀνάμεινον, καὶ ὄψει διὰ τοῦ ἐπαγομένου τὴν ἀκριβῆ διδασκαλίαν. Φησὶ γάρ, «Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρός, «διδάσκων ἡμᾶς, ὅτι λοιπὸν διὰ τῆς ἀμφοτέρων συνουσίας ἡ σύστασις ἔσται καὶ ἀνδρὸς καὶ γυναικός. Διὰ τοῦτο καὶ ὁ Ἀδὰμ ἔλεγε, «Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου».*

4. Εἶτα ἵνα μάθῃς αὐτοῦ τῆς προφητείας τὴν ἀκρίβειαν, καὶ ὅπως μέχρι τοῦ νῦν, καὶ μέχρι τῆς συντελείας αὐτῆς διαλάμπει τὸ ὑπ' αὐτοῦ εἰρημένον, ἄκουε καὶ τῶν ἑξῆς. «Αὕτη κληθήσεται γυνή», φησίν, «ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὐτή. Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Εἶδες πῶς ἅπαντα ἡμῖν παρήνοιξε, διὰ τῆς οἰκείας προφητείας ἕκαστον μετὰ ἀκριβείας δηλώσας; «Αὕτη», φησί, «κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη». Πάλιν ἡμῖν τὴν ἀφαίρεσιν τῆς πλευρᾶς αἰνίττεται· εἶτα δηλῶν τὰ μέλλοντα συμβήσεσθαι, φησίν, «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Πόθεν, εἰπέ μοι, ταῦτα ἐπῆλθεν αὐτῷ φθέγξασθαι; πόθεν ᾔδει τὰ μέλλοντα, καὶ ὅτι εἰς πλῆθος ἐπιδώσει τὸ τῶν ἀνθρώπων γένος; ὅτι γὰρ συνουσία ἔσται ἀνδρὸς καὶ γυναικὸς πόθεν ἠπίστατο; Μετὰ γὰρ τὴν παράβασιν τὰ τῆς συνουσίας γέγονεν· ἐπεὶ μέχρις ἐκείνου καθάπερ ἄγγελοι οὕτω διῃτῶντο ἐν τῷ παραδείσῳ, οὐχ ὑπὸ ἐπιθυμίας φλεγόμενοι, οὐχ ὑπὸ ἑτέρων παθῶν πολιορκούμενοι, οὐ ταῖς ἀνάγκαις τῆς φύσε-

8. Α΄ Κορ. 11, 8-9.
9. Α΄ Κορ. 11, 11.

καὶ τῶν δύο· ὅπως καὶ ὁ Παῦλος λέγει· «Δὲν ἔγινεν ὁ ἄνδρας ἀπὸ τὴν γυναῖκα, ἀλλὰ ἡ γυναῖκα ἀπὸ τὸν ἄνδρα· καὶ δὲν ἐκτίσθη ὁ ἄνδρας διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυναῖκα διὰ τὸν ἄνδρα»[8]. Ναί, ἀλλὰ αὐτὰ ποὺ ἔχουν λεχθῆ, θὰ εἰπῇ κάποιος, ἀποδεικνύουν, ὅτι ἡ γυναῖκα ἔγινεν ἀπὸ τὸν ἄνδρα. Περίμενε ὅμως καὶ θὰ ἰδῇς μὲ τὸ ἑπόμενον χωρίον τὴν ἀκριβῆ διδασκαλίαν. Διότι λέγει· «Πλὴν ὅμως οὔτε ἄνδρας γεννᾶται χωρὶς γυναῖκα, οὔτε γυναῖκα χωρὶς ἄνδρα»[9], διὰ νὰ μᾶς διδάξῃ, ὅτι εἰς τὸ μέλλον ἡ δημιουργία καὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς θὰ γίνεται διὰ τῆς σαρκικῆς μίξεως καὶ τῶν δύο. Διὰ τοῦτο καὶ ὁ Ἀδὰμ ἔλεγε, «Τοῦτο εἶναι τώρα ὀστοῦν ἀπὸ τὰ ὀστᾶ μου, καὶ σάρκα ἀπὸ τὴν σάρκα μου».

4. Ἔπειτα, διὰ νὰ μάθῃς τὴν ἀκρίβειαν τῆς προφητείας τοῦ Ἀδὰμ καὶ πῶς αὐτὴ πραγματοποιεῖται καὶ ἕως σήμερον καὶ μέχρι τῆς συντελείας της, ἄκουε καὶ τὰ ἀκόλουθα. «Αὐτὴ θὰ ὀνομασθῇ γυναῖκα, λέγει, διότι ἐλήφθη ἀπὸ τὸν ἄνδρα της. Ἐξ αἰτίας τούτου θὰ ἐγκαταλείψῃ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα καὶ θὰ προσκολληθῇ πρὸς τὴν γυναῖκα του, καὶ θὰ εἶναι ἑνωμένοι οἱ δύο εἰς ἕνα σῶμα». Εἶδες πῶς μᾶς ἐφανέρωσε τὰ πάντα, ἀφοῦ μὲ τὴν προφητείαν του ἐδήλωσε τὸ κάθε ἕνα μὲ ἀκρίβειαν; «Αὐτή, λέγει, θὰ ὀνομασθῇ γυναῖκα, διότι ἐλήφθη ἀπὸ τὸν ἄνδρα της». Πάλιν ὑπαινίσσεται εἰς ἡμᾶς τὴν ἀφαίρεσιν τῆς πλευρᾶς. Ἔπειτα, διὰ νὰ δηλώσῃ αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν, λέγει· «Ἐξ αἰτίας τούτου θὰ ἐγκαταλείψῃ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα καὶ θὰ προσκολληθῇ πρὸς τὴν γυναῖκα του, καὶ θὰ εἶναι οἱ δύο ἑνωμένοι εἰς ἕνα σῶμα». Ἀπὸ ποῦ, εἰπέ μου, τοῦ ἦλθεν ἡ σκέψις νὰ εἰπῇ αὐτά; ἀπὸ ποῦ ἐγνώριζε τὰ μέλλοντα καὶ ὅτι τὸ ἀνθρώπινον γένος θὰ αὐξηθῇ εἰς μεγάλον ἀριθμόν; ἀπὸ ποῦ ἐγνώριζεν ὅτι θὰ γίνεται συνουσία ἀνδρὸς καὶ γυναικός; Διότι τὰ τῆς συνουσίας ἔγιναν μετὰ τὴν παράβασιν· μέχρι τὴν παράβασιν ἔζουσαν, ὡσὰν ἄγγελοι, μέσα εἰς τὸν παράδεισον, χωρὶς νὰ φλέγωνται ἀπὸ τὴν ἐπιθυμίαν τῆς σαρκός, οὔτε νὰ πολιορκοῦνται ἀπὸ ἄλλα πάθη, οὔτε νὰ ὑπό-

ως ὑποκείμενοι, ἀλλὰ δι' ὅλου ἄφθαρτοι κτισθέντες καὶ ἀθάνατοι, ὅπουγε οὐδὲ τῆς τῶν ἱματίων περιβολῆς ἐδέοντο. «Ἦσαν γάρ», φησίν, «οἱ δύο γυμνοί, καὶ οὐκ ᾐσχύνοντο». Οὐδέπω γὰρ τῆς ἁμαρτίας ὑπεισελθούσης, καὶ τῆς παρακοῆς, τῇ ἄνωθεν ἦσαν δόξῃ ἠμφιεσμένοι, δι' ὃ οὐδὲν ᾐσχύνοντο· μετὰ δὲ τὴν παράβασιν τῆς ἐντολῆς, τότε καὶ ἡ αἰσχύνη ἐπεισῆλθε, καὶ ἡ γνῶσις τῆς γυμνότητος. Πόθεν οὖν, εἰπέ μοι, ταῦτα αὐτῷ ἐπῆλθε φθέγγεσθαι; ἢ δῆλον ὅτι προφητικοῦ χαρίσματος μετέχων πρὸ τῆς παρακοῆς, ἅπαντα ταῦτα ἑώρα τοῖς πνευματικοῖς ὀφθαλμοῖς; Ταῦτα δὲ οὐχ ἁπλῶς νῦν μηνύω, ἀλλ' ἵνα ἐντεῦθεν ἤδη καὶ τὴν ὑπερβάλλουσαν τοῦ Θεοῦ φιλανθρωπίαν καταμάθητε, ἣν περὶ τὸν ἄνθρωπον ἐπεδείξατο ἀγγελικὸν αὐτῷ βίον ἐξ ἀρχῆς χαρισάμενος, καὶ μυρίας εἰς αὐτὸν εὐεργεσίας παραθέμενος, καὶ μετὰ τῶν ἄλλων ἁπάντων καὶ προφητικοῦ χαρίσματος αὐτὸν ἀξιώσας, καὶ τοῦ ἀνθρώπου δὲ τὴν μετὰ τοσαύτας εὐεργεσίας ῥαθυμίαν ἰδόντες, μηκέτι ἐπὶ τὸν Θεὸν τὴν αἰτίαν μετάγητε, ἀλλὰ οὕτω τὸ πᾶν λογίζησθε. Αὐτὸς γὰρ ἑαυτῷ πάντων αἴτιος γέγονε τῶν κακῶν, ὡς καὶ μετὰ ταῦτα μαθήσεσθε, καὶ τῆς ἐκπτώσεως τῶν τοσούτων ἀγαθῶν καὶ τῆς καταδίκης, ἣν διὰ τὴν παρακοὴν ὑπέμεινεν. Ὅταν γὰρ ἐννοήσω τῆς διαγωγῆς αὐτοῦ τὴν κατάστασιν, ἣν ὁ Δεσπότης αὐτῷ ἐχαρίσατο, οὕτω δαψιλεῖς εἰς αὐτὸν εὐεργεσίας ἐπιδειξάμενος· καὶ πρῶτον μέν, ὅτι, καὶ πρὸ τῆς αὐτοῦ διαπλάσεως, τοῦτον ὅλον τῆς κτίσεως κόσμον δι' αὐτὸν παρήγαγε, καὶ τότε αὐτὸν ἐδημιούργησεν, ἵνα γενόμενος ἀπολαύσῃ πάντων τῶν ὁρωμένων· εἶτα τὸν παράδεισον γενέσθαι προστάξας, ἐκεῖ αὐτὸν ἐνδιαιτᾶσθαι ἐβουλήθη, χωρίσας τῶν ἀλόγων ζώων, καὶ πάντων αὐτῷ τὴν ἐξουσίαν δεδωκώς, καθάπερ δεσπότην τινὰ δούλοις καὶ ὑπηκόοις τὰ ὀνόματα θεῖναι πᾶσιν ἐπέταξεν· εἶτα

κεινται εἰς τὰς φυσικὰς ἀνάγκας, ἀλλ' ἀφοῦ ἐδημιουργήθησαν ἐντελῶς ἄφθαρτοι καὶ ἀθάνατοι, δὲν εἶχαν ἀνάγκην οὔτε ἀπὸ τὴν περιβολὴν τῶν ἐνδυμάτων. «Διότι ἦσαν, λέγει, καὶ οἱ δύο γυμνοὶ καὶ δὲν ἠσθάνοντο ἐντροπήν». Ὅσον δὲν εἶχεν εἰσέλθει ἀκόμη ἡ ἁμαρτία καὶ ἡ παρακοὴ εἰς τὴν ζωήν των, ἦσαν ἐνδεδυμένοι μὲ τὴν θεϊκὴν δόξαν, διὰ τοῦτο δὲν ἐντρέποντο· μετὰ τὴν παράβασιν ὅμως τῆς ἐντολῆς, τότε εἰσεχώρησε καὶ ἡ ἐντροπὴ καὶ ἡ γνῶσις τῆς γυμνότητος. Ἀπὸ ποῦ λοιπόν, εἰπέ μου, τοῦ ἦλθεν εἰς τὸν νοῦν νὰ εἰπῇ αὐτά; ἢ δὲν εἶναι φανερόν, ὅτι ὅλα αὐτὰ τὰ ἔβλεπε μὲ τὰ πνευματικά του μάτια, ἀφοῦ μετεῖχε τοῦ προφητικοῦ χαρίσματος πρὶν ἀπὸ τὴν παρακοήν; Αὐτὰ ὅμως δὲν σᾶς τὰ ἀναφέρω τώρα ἁπλῶς, ἀλλὰ διὰ νὰ γνωρίσετε καλὰ ἀπὸ αὐτὰ τώρα πλέον καὶ τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Θεοῦ, τὴν ὁποίαν ἔδειξε πρὸς τὸν ἄνθρωπον ὅταν ἐχάρισεν ἀπὸ τὴν ἀρχὴν ἀγγελικὸν βίον εἰς αὐτὸν καὶ ὅταν ἔδωσεν εἰς αὐτὸν πολλὰς εὐεργεσίας καὶ μαζὶ μὲ ὅλα τὰ ἄλλα ὅταν ἔκρινεν ἄξιον αὐτὸν καὶ τοῦ προφητικοῦ χαρίσματος, καὶ ἀφοῦ ἰδῆτε τὴν ἀδιαφορίαν τοῦ ἀνθρώπου ὕστερα ἀπὸ τὰς τόσας εὐεργεσίας, νὰ μὴ ἀποδίδετε πλέον τὴν αἰτίαν εἰς τὸν Θεόν, ἀλλὰ νὰ καταλογίζετε τὸ πᾶν εἰς τὸν ἄνθρωπον. Διότι αὐτὸς ἔχει γίνει ἡ αἰτία ὅλων τῶν κακῶν διὰ τὸν ἑαυτόν του, ὅπως θὰ μάθετε καὶ ἀργότερα, καθὼς καὶ διὰ τὴν ἔκπτωσιν τῶν τόσων ἀγαθῶν καὶ διὰ τὴν καταδίκην, τὴν ὁποίαν ἐδέχθη ἐξ αἰτίας τῆς παρακοῆς του. Ὅταν δὲ σκέπτωμαι τὸν τρόπον τῆς ζωῆς του, ποὺ ἐχάρισεν εἰς αὐτὸν ὁ Κύριος, ἀφοῦ τοῦ ἐχορήγησε τόσον πολλὰς εὐεργεσίας· καὶ πρῶτον μέν, ὅτι ὅλον αὐτὸν τὸν κόσμον τῆς κτίσεως ἐδημιούργησε πρὸς χάριν του, πρὶν ἀπὸ τὴν διάπλασιν αὐτοῦ· καὶ τότε τὸν ἐδημιούργησε, ὥστε ἀμέσως μετὰ τὴν δημιουργίαν του νὰ ἀπολαύσῃ ὅλα αὐτὰ ποὺ φαίνονται· ἔπειτα, ἀφοῦ ἐπρόσταξε νὰ γίνῃ ὁ παράδεισος, ἠθέλησε ἐκεῖ νὰ παραμένῃ αὐτός, ἀφοῦ τὸν ἐχώρισεν ἀπὸ τὰ ἄλογα ζῶα καὶ τοῦ ἔδωσεν ἐξουσίαν ἐπάνω εἰς ὅλα, καὶ τὸν διέταξε νὰ δώσῃ εἰς ὅλα ὀνόματα, ὡσὰν κάποιος κύριος εἰς τοὺς δούλους καὶ τοὺς ὑπηκόους

ἐπειδὴ μόνος ὢν ἐδεῖτό τινος τῆς αὐτῆς αὐτῷ κοινωνοῦντος οὐσίας βοηθοῦ, οὐδὲ τοῦτο παρέλιπεν, ἀλλὰ τὴν γυναῖκα παραγαγών, καθ' ὃν αὐτὸς ἐβουλήθη τρόπον, ἐνεχείρισεν αὐτῷ ταύτην, καὶ μετὰ τούτων ἁπάντων καὶ προφητείας αὐτῷ ἀξίωμα χαρισάμενος· καὶ μετὰ τὰς ἀφάτους ταύτας εὐεργεσίας καὶ τὸ κεφάλαιον ἁπάντων ἐδωρήσατο, πάντων αὐτὸν ἐλευθερώσας τῶν τοῦ σώματος φροντίδων, καὶ μήτε ἱματίων περιβολῆς, μήτε ἑτέρας τινὸς χρείας δεῖσθαι συγχωρήσας, ἀλλά, καθάπερ ἔφθην εἰπών, ὡς ἄγγελον ἐπίγειον, οὕτως αὐτὸν ἐπὶ τῆς γῆς διάγειν βουληθείς· ὅταν τοίνυν πάντα ταῦτα λογίσωμαι, καὶ τοῦ Δεσπότου ἐκπλήττομαι τὴν περὶ τὸ γένος τὸ ἡμέτερον φιλανθρωπίαν, καὶ τοῦ ἀνθρώπου τὴν ῥαθυμίαν, καὶ τοῦ διαβόλου τὴν βασκανίαν· οὐ γὰρ ἤνεγκεν ὁ πονηρὸς δαίμων ὁρῶν ἐν σώματι ἀνθρωπίνῳ ἀγγελικὴν διαγωγήν.

5. Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνωμεν, εἰ δοκεῖ, τὰ κατὰ τὴν τοῦ πονηροῦ δαίμονος ἐπιβουλὴν εἰς τὴν ἑξῆς ταμιευσάμενοι, ἐνταῦθα καταπαύσωμεν τὸν λόγον, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, μεμνῆσθαι τῶν εἰρημένων μετὰ ἀκριβείας, καὶ καθ' ἑαυτοὺς ἅπαντα ἀναλογίζεσθαι, ἵνα ἔχητε αὐτὰ ἐνιδρυμένα ταῖς διανοίαις ταῖς ὑμετέραις. Ἐὰν γὰρ συνεχῶς ἀναμιμνησκώμεθα τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ὧν εἰς τὴν ἡμετέραν φύσιν κατέθετο, αὐτοί τε εὐγνώμονες ἐσόμεθα, καὶ πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν προτροπὴ ἡμῖν μεγίστη τοῦτο γενήσεται. Ὁ γὰρ τῶν εὐεργεσιῶν μεμνημένος τοῦ Θεοῦ, δηλονότι σπουδάσει μὴ ἀνάξιον ἑαυτὸν ἀποφῆναι, ἀλλὰ τοσαύτην ἐπιδείξασθαι τὴν σπουδήν, καὶ τὴν εὐγνωμοσύνην, ὡς καὶ ἑτέρων πάλιν ἀξιωθῆναι. Φιλότιμος γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος, καὶ ἐπειδὰν ἴδῃ περὶ τὰ ἤδη ἡμῖν ὑπάρξαντα παρ' αὐτοῦ εὐγνώμονας γενομένους, πολλὴν ἐπιδαψιλεύεται τὴν χάριν, καὶ μειζόνων ἡμᾶς πάλιν ἀξιοῖ

του' έπειτα, έπειδή ήτο μόνος, είχεν άνάγκην κάποιου βοηθοῦ, ποὺ νὰ μετέχῃ τῆς ἰδίας οὐσίας μὲ αὐτόν, οὔτε τοῦτο παρέλειψεν ὁ Θεός, ἀλλ' ἀφοῦ ἐδημιούργησε τὴν γυναῖκα, κατὰ τὸν τρόπον μὲ τὸν ὁποῖον αὐτὸς ἠθέλησε, παρέδωσεν αὐτὴν εἰς αὐτόν, καὶ μαζὶ μὲ ὅλα αὐτὰ ἐχάρισεν εἰς αὐτὸν τὸν προφητικὸν ἀξίωμα' καὶ ὕστερα ἀπὸ ὅλας αὐτὰς τὰς μεγάλας εὐεργεσίας ἐδώρησε τὸ μεγαλύτερον ἀπὸ ὅλα, δηλαδὴ ἀφοῦ ἀπήλλαξεν αὐτὸν ἀπὸ ὅλας τὰς φροντίδας τοῦ σώματος καὶ ἀφοῦ δὲν ἐπέτρεψε νὰ ἔχῃ ἀνάγκην οὔτε ἀπὸ τὴν περιβολὴν τῶν ἐνδυμάτων οὔτε ἀπὸ κάποιαν ἄλλην βοήθειαν, ἀλλὰ ἠθέλησε νὰ ζῇ ὁ ἄνθρωπος ἐπάνω εἰς τὴν γῆν ὡσὰν ἐπίγειος ἄγγελος, ὅπως ἀκριβῶς εἶπα πρὸ ὀλίγου' ὅταν λοιπὸν θὰ σκεφθῶ ὅλα αὐτά, ἐκπλήσσομαι καὶ διὰ τὴν φιλανθρωπίαν τοῦ Κυρίου, ποὺ ἐπέδειξε πρὸς τὸ ἰδικόν μας γένος, καὶ διὰ τὴν ἀδιαφορίαν τοῦ ἀνθρώπου καὶ διὰ τὸν φθόνον τοῦ διαβόλου, διότι δὲν ἠμποροῦσε νὰ ἀνεχθῇ ὁ πονηρὸς δαίμων νὰ βλέπῃ ἀγγελικὴν διαγωγὴν εἰς ἀνθρώπινον σῶμα.

5. Ἀλλὰ διὰ νὰ μὴ παρατείνωμεν τὸν λόγον εἰς μέγα μῆκος, ἐὰν θέλετε, θὰ σταματήσωμεν ἐδῶ τὸν λόγον, ἀφοῦ καθορίσωμεν νὰ ἀσχοληθοῦμεν μὲ τὴν ἐπιβουλὴν τοῦ πονηροῦ δαίμονος εἰς τὴν ἑπομένην ὁμιλίαν. Ἐκεῖνο μόνον παρακαλῶ τὴν ἀγάπην σας, νὰ ἐνθυμῆσθε τὰ λεχθέντα μὲ ἀκρίβειαν, καὶ καθένας μόνος του νὰ τὰ σκέπτεται ὅλα, διὰ νὰ ἔχετε αὐτὰ τοποθετημένα εἰς τὰς διανοίας σας. Διότι ἐὰν ἐνθυμούμεθα συνεχῶς τὰς εὐεργεσίας τοῦ Θεοῦ, τὰς ὁποίας ἐπρόσφερεν εἰς τὴν ἰδικήν μας φύσιν, καὶ ἡμεῖς οἱ ἴδιοι θὰ εἴμεθα εὐγνώμονες καὶ αὐτὸ θὰ μᾶς προτρέψῃ πολὺ πρὸς τὸν δρόμον τῆς ἀρετῆς. Ἐκεῖνος ποὺ ἐνθυμεῖται τὰς εὐεργεσίας τοῦ Θεοῦ, εἶναι φανερὸν ὅτι θὰ φροντίσῃ νὰ μὴ καταστήσῃ ἀνάξιον τὸν ἑαυτόν του, ἀλλὰ θὰ ἐπιδείξῃ τόσον μεγάλην φροντίδα καθὼς καὶ τὴν εὐγνωμοσύνην, ὥστε νὰ ἀξιωθῇ πάλιν καὶ ἄλλας εὐεργεσίας. Διότι ὁ Κύριός μας εἶναι φιλότιμος, καὶ ὅταν θὰ ἴδῃ νὰ γινώμεθα εὐγνώμονες διὰ τὰ ἀγαθά, τὰ ὁποῖα ἤδη ἐλάβαμεν, χορηγεῖ μὲ ἀφθονίαν τὴν χάριν του καὶ μᾶς καθιστᾷ

τῶν δωρεῶν· μόνον ἐὰν ἡμεῖς τῆς ἑαυτῶν σωτηρίας φροντίζοντες μὴ ἁπλῶς τὸν χρόνον παρατρέχωμεν, μηδὲ τοῦτο σκοπῶμεν, εἰ τὸ ἥμισυ τῆς ἁγίας τεσσαρακοστῆς παρέδραμεν, ἀλλ' εἴ τινα ἡμῖν κατώρθωται ἐν τούτῳ τῷ χρόνῳ, καὶ εἴ τι τῶν ἐνοχλούντων ἡμῖν παθῶν διωρθώσαμεν. Εἰ γὰρ μέλλοιμεν καθ' ἑκάστην ἡμέραν τῆς πνευματικῆς διδασκαλίας ἀπολαύοντες οἱ αὐτοὶ διαμένειν, καὶ μὴ ἐπιδιδόναι πρὸς ἀρετήν, μηδὲ τὰ τῆς κακίας εἴδη ἐξορίζειν τῆς ἑαυτῶν ψυχῆς, οὐ μόνον ἡμῖν οὐδὲν ὄφελος ἔσται, ἀλλὰ καὶ πλείων ἡ βλάβη. Ὅταν γάρ τις καὶ ἐπιμελείας τοσαύτης ἀπολαύων μηδὲν κερδαίνῃ, μεῖζον ἑαυτῷ ἐπισωρεύει τὸ τῆς γεέννης πῦρ. Διό, παρακαλῶ, κἂν τῷ ὑπολειπομένῳ χρόνῳ τῆς νηστείας εἰς δέον χρησώμεθα, καὶ καθ' ἑκάστην ἑβδομάδα, μᾶλλον δὲ καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς περισκοπῶμεν, καὶ τὰ μὲν ἐλαττώματα ἡμῶν ἐξορίζωμεν τῆς ἑαυτῶν ψυχῆς, κατορθωμάτων δὲ κτῆσιν προσλαμβάνωμεν, καθάπερ ὁ προφήτης παρῄνεσεν, καὶ ἐκκλίνωμεν ἀπὸ τῶν κακῶν, καὶ μετέλθωμεν ἐπὶ τὴν ἀρετήν· αὕτη γὰρ ἡ ἀληθὴς νηστεία. Ὁ θυμώδης τὸ μὲν πάθος τὸ ἐνοχλοῦν εὐσεβεῖ λογισμῷ ἐξοριζέτω τῆς ψυχῆς, πρᾳότητα δὲ καὶ ἐπιείκειαν ἀσπαζέσθω. Ὁ ῥάθυμος καὶ ἀκόλαστος, καὶ μετὰ ἀδείας πρὸς τὰ κάλλη τῶν σωμάτων ἐπτοημένος, χαλινώσας αὐτοῦ τὸν λογισμόν, καὶ τὸν νόμον τοῦ Χριστοῦ εἰς τὸ πλάτος αὐτοῦ τῆς διανοίας ἐγγράψας τὸν λέγοντα, «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», τὸ μὲν τῆς ἀκολασίας πάθος φυγαδευέτω, τὴν δὲ σωφροσύνην κατορθούτω. Ὁ προπετὴς ἐν γλώσσῃ καὶ ἁπλῶς τὰ ἐπιόντα φθεγγόμενος μιμείσθω πάλιν τὸν μακάριον προφήτην καὶ λεγέτω· «Θοῦ, Κύριε, φυλακὴν ἐν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου»· καὶ μηδέποτε ἁπλῶς καὶ ὡς ἔτυχε τὰ ῥήματα, ἀλλ'

10. Ψαλμ. 36, 27.
11. Ματθ. 5, 28.
12. Ψαλμ. 140, 3.

ἀξίους πάλιν διὰ μεγαλυτέρας δωρεάς· μόνον ἐὰν ἡμεῖς φροντίζωμεν διὰ τὴν σωτηρίαν μας καὶ δὲν σπαταλοῦμεν ἁπλῶς τὸν καιρόν μας· οὔτε νὰ προσέχωμεν τοῦτο μόνον, ἐὰν δηλαδὴ ἐπέρασεν ὁ μισὸς καιρὸς τῆς ἁγίας τεσσαρακοστῆς, ἀλλ' ἐὰν ἔχωμεν κατορθώσει κάτι εἰς αὐτὸν τὸν χρόνον καὶ ἐὰν διωρθώσαμεν κάποιο ἀπὸ τὰ ἐνοχλοῦντα ἡμᾶς πάθη. Ἐὰν βέβαια πρόκειται νὰ παραμένωμεν οἱ ἴδιοι, μολονότι ἀπολαμβάνομεν καθημερινὰ τὴν πνευματικὴν διδασκαλίαν, καὶ νὰ μὴ προοδεύωμεν εἰς τὴν ἀρετήν, οὔτε νὰ ἀπομακρύνωμεν τὰ εἴδη τῆς κακίας ἀπὸ τὴν ἀδικήν μας ψυχήν, ὄχι μόνον δὲν θὰ εἶναι εἰς ἡμᾶς κανένα τὸ ὄφελος, ἀλλὰ καὶ μεγαλυτέρα θὰ εἶναι ἡ βλάβη. Διότι, ὅταν κάποιος δὲν κερδίζῃ τίποτε, ἐνῷ ἀπολαμβάνει τόσον μεγάλην φροντίδα, ἐπισωρεύει διὰ τὸν ἑαυτόν του μεγαλύτερον τὸ πῦρ τῆς γεέννης. Διὰ τοῦτο, παρακαλῶ, τουλάχιστον τὸν ὑπόλοιπον χρόνον τῆς νηστείας ἂς τὸν χρησιμοποιήσωμεν ὅπως πρέπει, καὶ κάθε ἑβδομάδα, μᾶλλον δὲ καθημερινῶς ἂς ἐξετάζωμεν τὸν ἑαυτόν μας· καὶ τὰ μὲν ἐλαττώματά μας νὰ τὰ ἐκριζώνωμεν ἀπὸ τὴν ψυχήν μας, νὰ ἐπιδιώκωμεν δὲ τὴν δημιουργίαν κατορθωμάτων, καθὼς προέτρεψεν ὁ προφήτης Δαυΐδ[10], καὶ νὰ ἀπομακρυνώμεθα ἀπὸ τὰ κακὰ καὶ νὰ φθάσωμεν εἰς τὴν ἀρετήν, διότι αὐτὴ εἶναι ἡ ἀληθινὴ νηστεία. Ἐκεῖνος ποὺ θυμώνει, ἂς διώξῃ ἀπὸ τὴν ψυχήν του τὸ πάθος ποὺ ἐνοχλεῖ τὸν εὐσεβῆ λογισμὸν καὶ ἂς ἀγαπήσῃ τὴν πραότητα καὶ τὴν ἐπιείκειαν. Ὁ ὀκνηρὸς καὶ ὁ ἀκόλαστος, ὁ ὁποῖος ἄγεται συνεχῶς πρὸς τὰ κάλλη τῶν σωμάτων, ἀφοῦ θέσῃ χαλινὸν εἰς τὰς σκέψεις του καὶ ἀφοῦ ἀναγράψῃ εἰς τὸ πλάτος τῆς διανοίας του τὸν νόμον τοῦ Χριστοῦ, ὁ ὁποῖος λέγει, «Καθένας ποὺ βλέπει γυναῖκα διὰ νὰ τὴν ἐπιθυμήσῃ, ἤδη ἐμοίχευσεν αὐτὴν μέσα εἰς τὴν καρδίαν του»[11], νὰ διώξῃ τὸ πάθος τῆς ἀκολασίας καὶ νὰ κατορθώσῃ τὴν σωφροσύνην. Ὁ αὐθάδης εἰς τὴν γλῶσσαν, καὶ ὅταν ἁπλῶς λέγῃ τὰ ἀκόλουθα, νὰ μιμῆται πάλιν τὸν μακάριον προφήτην καὶ νὰ λέγῃ· «Τοποθέτησε, Κύριε, φρουρὰν εἰς τὸ στόμα μου καὶ φραγμὸν γύρω ἀπὸ τὰ χείλη μου»[12]. Καὶ ποτὲ νὰ μὴ

ἀκουέτω Παύλου λέγοντος, «Πᾶσα κραυγή, καὶ θυμός, καὶ βλασφημία, καὶ αἰσχρολογία, καὶ εὐτραπελία ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ»· καὶ πάλιν, «Εἴ τις λόγος ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι».

6. Καὶ τοὺς ὅρκους δὲ παντελῶς φευγέτω, ἀκούων τῆς ἀποφάσεως τοῦ Χριστοῦ τῆς λεγούσης, ὅτι «Ἐρρήθη τοῖς ἀρχαίοις, οὐκ ἐπιορκήσεις· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως». Μὴ τοίνυν μοι λέγε, ὅτι ἐπὶ δικαίῳ ὄμνυμι· οὐκ ἔξεστι γὰρ οὔτε ἐπὶ δικαίῳ οὔτε ἐπὶ ἀδίκῳ ὀμνύναι. Καθαρὸν τοίνυν τηρῶμεν ὅρκῳ τὸ στόμα, καὶ τούτοις ἅπασι τειχίζωμεν ἡμῶν καὶ τὴν γλῶτταν, καὶ τὰ χείλη, καὶ τὴν διάνοιαν, ὥστε μὴ ἔνδοθεν τίκτεσθαί τι τῶν πονηρῶν λογισμῶν, μήτε διὰ γλώττης προφέρεσθαι. Καὶ τὰς ἀκοὰς δὲ ἀσφαλῶς ἀποφράττωμεν, ὥστε μήτε ἀκοὴν ματαίαν παραδέχεσθαι, καθάπερ ὁ μακάριος Μωϋσῆς παρήγγειλε λέγων, «Ἀκοὴν ματαίαν μὴ παραδέξῃ»· καὶ πάλιν ὁ μακάριος Δαυῒδ ἔλεγε, «Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον». Εἶδες, ἀγαπητέ, ὅσης ἡμῖν ἀγρυπνίας χρεία, ὅσου πόνου πρὸς τὴν ἀρετήν, πῶς καὶ βραχὺ μέρος ἀμεληθὲν ὁλόκληρον ἡμῖν ἐπάγει τὸν κίνδυνον; Διὰ τοῦτο καὶ ἑτέρωθι ἐβόα ὁ μακάριος Δαυῒδ ἐγκαλῶν τῷ τοῦτο ποιοῦντι· «Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον». Ἐὰν οὕτως ἡμῶν ἅπαντα τὰ μέλη τειχίσωμεν, δυνησόμεθα καὶ πρὸς τὰ τῆς ἀρετῆς ἔργα διεγερθῆναι, καὶ τὴν μὲν γλῶτταν πρὸς δοξολογίαν καὶ ὕμνους τοὺς εἰς τὸν τῶν ὅλων Θεὸν ἀπασχολεῖν, τὴν δὲ ἀκοὴν πρὸς ἀκρόασιν καὶ μάθησιν τῶν θείων λογίων, καὶ τὴν διάνοιαν πρὸς τὴν κατανόησιν τῶν πνευματικῶν διδαγμάτων, καὶ τὰς χεῖρας μὴ πρὸς ἁρπαγὴν καὶ πλεονεξίαν, ἀλλὰ πρὸς

13. Ἐφ. 4, 31. 29.
14. Ματθ. 5, 33 - 34.
15. Ἐξ. 23, 1.
16. Ψαλμ. 100, 5.
17. Ψαλμ. 49, 20.

προφέρῃ τὰ λόγια αὐτὰ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ νὰ ἀκούῃ τὸν Παῦλον, ὁ ὁποῖος λέγῃ· «Κάθε κραυγὴ καὶ θυμὸς καὶ βλασφημία καὶ αἰσχρολογία καὶ ἀπρεπὴς ἀστειότης ἂς σηκωθῇ μακρὰν ἀπὸ σᾶς, καθὼς καὶ κάθε κακία», καὶ πάλιν· «Ἐὰν ὑπάρχῃ κάποιος λόγος ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς ἀνάγκης, ἂς λέγεται, διὰ νὰ μεταδίδῃ χάριν εἰς τοὺς ἀκούοντας»[13].

6. Καὶ τοὺς ὅρκους δὲ νὰ ἀποφεύγῃς ἐντελῶς, ὑπακούων εἰς τὴν ἐντολὴν τοῦ Χριστοῦ, ποὺ λέγει ὅτι «Ἐλέχθη εἰς τοὺς προγόνους σας, δὲν θὰ ἀθετήσῃς τὸν ὅρκον σου· ἐγὼ ὅμως σᾶς λέγω, νὰ μὴ ὁρκισθῆτε καθόλου»[14]. Μὴ μοῦ εἰπῇς λοιπόν, ὅτι ὁρκίζομαι ἐπειδὴ ἔχω δίκαιον, διότι δὲν ἐπιτρέπεται νὰ ὁρκίζεσαι οὔτε ὅταν ἔχῃς δίκαιον, οὔτε ὅταν ἔχῃς ἄδικον. Ἂς διατηροῦμεν λοιπὸν καθαρὸν τὸ στόμα ἀπὸ τὸν ὅρκον, καὶ ἂς περιτειχίζωμεν μὲ ὅλα αὐτὰ καὶ τὴν γλῶσσαν καὶ τὰ χείλη καὶ τὴν διάνοιάν μας, ὥστε νὰ μὴ γεννᾶται καμμία πονηρὰ σκέψις μέσα μας, οὔτε νὰ προφέρεται μὲ τὴν γλῶσσαν. Καὶ τὰ αὐτιά μας ἂς τὰ κλείνωμεν καλῶς, ὥστε νὰ μὴ δέχωνται τὸ μάταιον ἄκουσμα, καθὼς παρήγγειλεν ὁ μακάριος Μωυσῆς λέγων, «Νὰ μὴ δεχθῇς ματαίαν ἀκοήν»[15]· καὶ πάλιν ὁ μακάριος Δαυὶδ ἔλεγεν, «Ἐκεῖνον ποὺ κατηγοροῦσε τὸν πλησίον του κρυφά, αὐτὸν τὸν ἐξεδίωκαν»[16]. Εἶδες, ἀγαπητέ, πόσον εἶναι ἀνάγκη νὰ ἀγρυπνοῦμεν, πόσον πρέπει νὰ κοπιάζωμεν διὰ τὴν ἀρετήν; πῶς καὶ ἡ παραμικρὰ ἀμέλεια ἐπιφέρει ὁλόκληρον τὸν κίνδυνον εἰς ἡμᾶς; Διὰ τοῦτο καὶ εἰς ἄλλο σημεῖον ἐφώναζεν ὁ μακάριος Δαυὶδ ὅταν ἐκατηγοροῦσε ἐκεῖνον ποὺ ἔπραττεν αὐτό· «Κάθεσαι καὶ καταφέρεσαι κατὰ τοῦ ἀδελφοῦ σου, καὶ θέτεις σκάνδαλα εἰς τοὺς υἱοὺς τῆς μητρός σου»[17]. Ἐὰν περιτειχίσωμεν κατ' αὐτὸν τὸν τρόπον ὅλα τὰ μέλη μας, θὰ ἠμπορέσωμεν νὰ προχωρήσωμεν καὶ πρὸς τὰ ἔργα τῆς ἀρετῆς, καὶ τὴν μὲν γλῶσσαν νὰ χρησιμοποιοῦμεν πρὸς δοξολογίαν καὶ ὕμνους, ποὺ ἀναφέρονται εἰς τὸν Θεὸν τῶν πάντων, τὴν δὲ ἀκοὴν πρὸς ἀκρόασιν καὶ μάθησιν τοῦ θείου λόγου, καὶ τὴν διάνοιαν πρὸς κατανόησιν τῶν πνευματικῶν διδαγμάτων, καὶ τὰ χέρια ὄχι

ἐλεημοσύνην καὶ τὴν τῶν ἀγαθῶν πράξεων ἐργασίαν, καὶ τοὺς πόδας μὴ εἰς θέατρα καὶ ἱπποδρομίας, καὶ τὰς ἐπιβλαβεῖς θεωρίας, ἀλλ' εἰς ἐκκλησίαν καὶ εἰς εὐκτηρίους οἴκους, καὶ πρὸς τὰς τῶν ἁγίων μαρτύρων θήκας, ἵνα τὴν παρ' αὐτῶν εὐλογίαν καρπούμενοι, ἀχειρώτους ἑαυτοὺς καταστήσωμεν ταῖς τοῦ διαβόλου παγίσιν. Ἐὰν οὕτως ὦμεν μεμεριμνημένοι, καὶ τῆς ἑαυτῶν σωτηρίας φροντίζοντες, δυνησόμεθα καὶ τὸ ἀπὸ τῆς νηστείας κέρδος καρπώσασθαι, καὶ τὰς τοῦ πονηροῦ μηχανὰς διαφυγεῖν, καὶ πολλὴν τὴν ἄνωθεν ῥοπὴν ἐπισπάσασθαι· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πρὸς ἁρπαγὴν καὶ πλεονεξίαν, ἀλλὰ πρὸς ἐλεημοσύνην καὶ ἀγαθοεργίαν, καὶ τὰ πόδια διὰ νὰ πηγαίνωμεν ὄχι εἰς τὰ θέατρα καὶ τὰς ἱπποδρομίας καὶ εἰς τὰ ἐπιβλαβῆ θεάματα, ἀλλ᾽ εἰς τὴν ἐκκλησίαν καὶ εἰς τοὺς οἴκους προσευχῆς, καὶ πρὸς τὰς λειψανοθήκας τῶν ἁγίων μαρτύρων, ὥστε, ἀφοῦ λάβωμεν τὴν εὐλογίαν αὐτῶν, νὰ καταστήσωμεν τοὺς ἑαυτούς μας ἀκαταβλήτους εἰς τὰς παγίδας τοῦ διαβόλου. Ἐὰν θὰ ἔχωμεν ἔτσι μεριμνήσει, ὥστε νὰ φροντίζωμεν διὰ τὴν σωτηρίαν μας, θὰ ἠμπορέσωμεν νὰ ὠφεληθῶμεν καὶ τὸ κέρδος ἀπὸ τὴν νηστείαν, καὶ νὰ διαφύγωμεν τὰς παγίδας τοῦ διαβόλου καὶ νὰ προκαλέσωμεν πλουσίαν τὴν θείαν χάριν. Εἴθε νὰ τὴν ἀπολαύσωμεν ὅλοι μας, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΣΤ΄
(Γεν. 2, 25 - 3, 7)

Εἰς παράβασιν τῶν πρωτοπλάστων. «Καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Ἀδάμ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ἠσχύνοντο».

1. Βούλομαι σήμερον, ἀγαπητοί, θησαυρὸν ὑμῖν πνευματικὸν ὑπανοῖξαι μεριζόμενον καὶ μηδέποτε δαπανώμενον· πάντας πλουτίζοντα, καὶ ἐν μηδενὶ ἐλαττούμενον, ἀλλὰ καὶ προστιθέμενον. Καθάπερ γὰρ ἐπὶ τοῦ αἰσθητοῦ θησαυροῦ κἂν μικρόν τι ψῆγμα λαβεῖν τις δυνηθείη, πολὺν ἑαυτῷ τὸν πλοῦτον ἐργάζεται· οὕτω δὴ καὶ ἐπὶ τῆς θείας Γραφῆς, καὶ ἐν βραχείᾳ λέξει πολλήν ἐστιν εὑρεῖν τῶν νοημάτων τὴν δύναμιν, καὶ ἄφατον τὸν πλοῦτον. Τοιαύτη γὰρ ἡ φύσις τοῦ θησαυροῦ τούτου· ὑποδεχομένους εὐπόρους ἐργαζόμενος οὐδέποτε ἐλλείπει· πηγὴ γὰρ τοῦτον ἀναβλύζει τοῦ Πνεύματος τοῦ ἁγίου. Ὑμέτερον δ' ἂν εἴη λοιπὸν μετὰ ἀκριβείας φυλάττειν τὰ παρακατατιθέμενα, καὶ τὴν μνήμην ἀδιάπτωτον διασώζειν, ἵνα μετ' εὐκολίας δύνησθε παρακολουθεῖν τοῖς λεγομένοις, μόνον μετὰ σπουδῆς τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν. Ἡ γὰρ χάρις ἕτοιμός ἐστιν ἐπιζητοῦσα τοὺς μετὰ δαψιλείας ταύτην ὑποδεχομένους. Ἀκούσωμεν δὲ καὶ τῶν σήμερον ἀνεγνωσμένων, ἵνα μάθωμεν τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν καὶ ὅση συγκαταβάσει κέχρηται διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. «Καὶ

ΟΜΙΛΙΑ ΙΣΤ΄
(Γεν. 2, 25 - 3, 7)

Εἰς τὴν παράβασιν τῶν πρωτοπλάστων. «Καὶ ἦσαν καὶ οἱ δύο γυμνοί, καὶ ὁ Ἀδάμ, καὶ ἡ γυναῖκα αὐτοῦ, καὶ δὲν ἐντρέποντο».

1. Σήμερον ἐπιθυμῶ, ἀγαπητοί, νὰ ἀνοίξω ἐνώπιόν σας πνευματικὸν θησαυρόν, ὁ ὁποῖος διαμοιράζεται εἰς τοὺς ἀνθρώπους καὶ ποτὲ δὲν τελειώνει· ὅλους τοὺς κάνει πλουσίους καὶ καθόλου δὲν ἐλαττώνεται, ἀντίθετα δὲ αὐξάνει. Ὅπως ἀκριβῶς συμβαίνει μὲ τὸν ὑλικὸν θησαυρόν, ὅταν θὰ ἠμπορέσῃ νὰ ἀποκτήσῃ κάποιος ἕνα μικρὸν μέρος αὐτοῦ, δημιουργεῖ διὰ τὸν ἑαυτόν του μεγάλην περιουσίαν· ἔτσι λοιπὸν συμβαίνει καὶ μὲ τὴν Ἁγίαν Γραφήν, δηλαδὴ εἶναι δυνατὸν νὰ εὕρωμεν καὶ εἰς τὴν μικροτέραν λέξιν μεγάλα διδάγματα καὶ ἀνέκφραστον πλοῦτον. Τέτοια λοιπὸν εἶναι ἡ φύσις τοῦ θησαυροῦ αὐτοῦ· ἐνῷ κάνει πλουσίους ἐκείνους ποὺ τὸν δέχονται, οὐδέποτε τελειώνει, διότι ἀναβλύζει ἀπὸ τὴν πηγὴν τοῦ Ἁγίου Πνεύματος. Ἰδικόν σας δὲ ἔργον θὰ εἶναι εἰς τὸ ἑξῆς νὰ φυλάσσετε μὲ ἀκρίβειαν ἐκεῖνα, ποὺ σᾶς ἔχουν παραδοθῆ πρὸς φύλαξιν, νὰ τὰ ἐνθυμῆσθε συνεχῶς, ὥστε νὰ ἠμπορῆτε νὰ παρακολουθῆτε μὲ εὐκολίαν τὰ λεγόμενα, μὲ τὰ ὁποῖα θέλομεν νὰ φέρωμεν βιαστικὰ μέσα σας ἐκεῖνα ποὺ αἰσθανόμεθα ἡμεῖς. Βεβαίως ἡ χάρις τοῦ Θεοῦ, ἡ ὁποία ἐπιζητεῖ τοὺς ἀνθρώπους, εἶναι ἕτοιμος νὰ φωτίσῃ ἐκείνους, ποὺ τὴν ὑποδέχονται μὲ ἐνδιαφέρον. Ἂς ἀκούσωμεν δὲ καὶ τὰς περικοπάς, ποὺ ἀνεγνώσθησαν σήμερον, διὰ νὰ μάθωμεν τὴν ἀνέκφραστον φιλανθρωπίαν τοῦ Θεοῦ καὶ πόσην συγκατάβασιν ἔχει δείξει διὰ τὴν ἰδικήν μας σωτηρίαν. «Ἠ-

ἦσαν οἱ δύο γυμνοί, ὅτε Ἀδάμ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο». Ἐννόησόν μοι μακαριότητος ὑπερβολήν, πῶς ἀνώτεροι ἦσαν τῶν σωματικῶν ἁπάντων, πῶς καθάπερ τὸν οὐρανόν, οὕτω τὴν γῆν ᾤκουν, καὶ ἐν σώματι τυγχάνοντες τὰ τῶν σωμάτων οὐχ ὑπέμενον· οὔτε γὰρ στέγης, οὔτε ὀρόφου, οὔτε ἱματίου, οὔτε ἄλλου οὐδενὸς τῶν τοιούτων ἐδέοντο. Καὶ οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ τοῦτο ἡμῖν ἐπεσημήνατο ἡ θεία Γραφή, ἀλλ' ἵνα μαθόντες τὴν ἄλυπον αὐτῶν ταύτην διαγωγήν, καὶ τὸν ἀνώδυνον βίον, καὶ τὴν ἀγγελικήν, ὡς εἰπεῖν, κατάστασιν, ἐπειδὰν ἴδωμεν μετὰ ταῦτα τούτων ἁπάντων ἐρήμους αὐτοὺς γενομένους, καὶ καθάπερ ἀπὸ πολλῆς πλούτου περιουσίας εἰς ἐλαχίστην πενίαν κατενεχθέντας, τῇ ῥαθυμίᾳ αὐτῶν τὸ πᾶν ἐπιγράψωμεν. Ἀναγκαῖον δὲ ἀκοῦσαι τῶν ἀνεγνωσμένων. Εἰπὼν γὰρ ὁ μακάριος Μωϋσῆς, ὅτι γυμνοὶ ἦσαν, καὶ οὐκ ᾐσχύνοντο (οὐδὲ γὰρ ᾔδεισαν ὅτι γυμνοὶ ἦσαν, τῆς δόξης τῆς ἀφάτου περιστελλούσης αὐτούς, καὶ παντὸς ἱματίου μᾶλλον αὐτοὺς κοσμούσης), φησίν, «Ὁ δὲ ὄφις ἦν φρονιμώτατος τῶν θηρίων πάντων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε Κύριος ὁ Θεός. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; Ὅρα πονηροῦ δαίμονος βασκανίαν, καὶ πολύπλοκον μηχανήν. Ἐπειδὴ γὰρ εἶδεν ἐν τῇ ἀνωτάτῳ τιμῇ τυγχάνοντα τὸν δημιουργηθέντα ἄνθρωπον, καὶ οὐδὲν σχεδὸν ἔλαττον ἔχοντα τῶν ἀγγέλων καθάπερ καὶ ὁ μακάριος Δαυὶδ φησιν, «Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους»· καὶ τοῦτο δὲ αὐτὸ τὸ Βραχὺ ἡ τῆς παρακοῆς ἁμαρτία εἰσήγαγε· μετὰ γὰρ τὴν παρακοὴν τοῦτο ἐφθέγξατο ὁ προφήτης· ὁρῶν τοίνυν ἄγγελον ἐπίγειον ἐπὶ γῆς τυγχάνοντα, καὶ ὑπὸ τῆς βασκανίας τηκόμενος ὁ ἀρχέκακος δαίμων, ἐπειδὴ αὐτὸς ἐν ταῖς ἄνω δυνάμεσι τελῶν, διὰ μοχθηρίαν προαιρέσεως καὶ κακίας ὑπερβολὴν ἐκ τοῦ ὕψους ἐκείνου ἐρρίφη κάτω, πολλῇ κέχρηται

---

1. Ψαλμ. 8, 6.
2. Δηλ. ὁ ἄνθρωπος.

σαν καὶ οἱ δύο γυμνοί, καὶ ὁ Ἀδὰμ, καὶ ἡ γυναῖκα αὐτοῦ, καὶ δὲν ἐντρέποντο». Κατανόησε, παρακαλῶ, τὸ ὑπερβολικὸν μέγεθος τῆς εὐτυχίας· πῶς ἦσαν ἀνώτεροι ὅλων τῶν σωματικῶν πραγμάτων· πῶς ἐκατοικοῦσαν εἰς τὴν γῆν, ὅπως εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ ἐνῷ εἶχαν σώματα δὲν ὑπέφεραν τὰ σωματικὰ πάθη, διότι δὲν εἶχαν ἀνάγκην οὔτε ἀπὸ σπίτι, οὔτε ἀπὸ ὀροφήν, οὔτε ἀπὸ ἐνδύματα, οὔτε ἀπὸ κανένα ἄλλο παρόμοιον. Καὶ δὲν ἐδήλωσε τοῦτο εἰς ἡμᾶς ἡ Ἁγία Γραφὴ ἁπλῶς καὶ χωρὶς σκοπόν, ἀλλὰ ἀφοῦ μάθωμεν τὴν ἀπαθῆ καὶ ἀνώδυνον ζωὴν αὐτῶν, καὶ τὴν ἀγγελικήν, κατὰ κάποιον τρόπον, κατάστασίν των, ὅταν θὰ τοὺς ἰδοῦμεν ἔπειτα νὰ ἔχουν στερηθῆ ὅλα αὐτὰ καὶ ὡσὰν νὰ περιέπεσαν ἀπὸ τὸν ὑπερβολικὸν πλοῦτον εἰς τὴν ἐσχάτην πτωχείαν, νὰ ἀποδώσωμεν τὴν αἰτίαν ὅλων αὐτῶν εἰς τὴν ἀδιαφορίαν των. Εἶναι ὅμως ἀνάγκη νὰ ἀκούσωμεν ἐκεῖνα, ποὺ ἔχουν ἀναγνωρισθῆ. Ἀφοῦ εἶπεν ὁ μακάριος Μωυσῆς, ὅτι ἦσαν γυμνοὶ καὶ δὲν ἐντρέποντο (οὔτε βέβαια ἐγνώριζαν ὅτι ἦσαν γυμνοί, διότι ἡ ἀνέκφραστος δόξα τοῦ Θεοῦ περιέβαλλεν αὐτοὺς καὶ ἐστόλιζεν αὐτοὺς καλύτερα ἀπὸ κάθε ἔνδυμα), λέγει· «Ὁ δὲ ὄφις ἦτο ἡ εὐφυέστερος ἀπὸ ὅλα τὰ ἄγρια θηρία τῆς γῆς, τὰ ὁποῖα ἔπλασε Κύριος ὁ Θεός. Καὶ εἶπεν ὁ ὄφις πρὸς τὴν γυναῖκα· εἶπε πράγματι ὁ Θεός, νὰ μὴ φάγετε ἀπὸ κάθε δένδρον τοῦ παραδείσου;». Πρόσεξε τὴν συκοφαντίαν καὶ τὴν δολίαν ἐπινόησιν τοῦ πονηροῦ δαίμονος. Ἐπειδὴ λοιπὸν εἶδε τὸν δημιουργηθέντα ἄνθρωπον νὰ εὑρίσκεται εἰς τὴν ὑψίστην τιμὴν καὶ νὰ μὴ ἔχῃ τίποτε σχεδὸν κατώτερον ἀπὸ τοὺς ἀγγέλους, ὅπως καὶ ὁ μακάριος Δαυῒδ λέγει, «Ἐδημιούργησες αὐτὸν ὀλίγον κατώτερον ἀπὸ τοὺς ἀγγέλους»[1] καὶ αὐτὸ δὲ τὸ «ὀλίγον» τὸ ἔφερεν ἡ ἁμαρτία τῆς παρακοῆς, διότι μετὰ τὴν παρακοὴν ὁ προφήτης εἶπεν αὐτό. Ἐπειδή, λοιπόν, ὁ ἄρχων τοῦ κακοῦ διάβολος ἔβλεπε νὰ εὑρίσκεται ἐπάνω εἰς τὴν γῆν ὁ ἐπίγειος ἄγγελος[2] καὶ ἔλειωνεν ἀπὸ τὸν φθόνον του, ἐπειδὴ αὐτός, ἐνῷ ἀνῆκεν εἰς τὰς οὐρανίους δυνάμεις, ἐρρίφθη κάτω ἀπὸ τὸ ὕψος τοῦ ἀξιώματος ἐξ αἰτίας τῆς πονηρᾶς θελήσεως καὶ ὑπερβολικῆς κακίας

τῇ μηχανῇ, ὥστε τῆς εὐνοίας τοῦ Θεοῦ ἀποστερῆσαι τὸν ἄνθρωπον, καὶ ἀγνώμονα αὐτὸν ἀπεργασάμενος γυμνῶσαι τῶν τοσούτων ἀγαθῶν τῶν διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν παρασχεθέντων αὐτῷ. Καὶ τί ποιεῖ; Εὑρὼν τὸ θηρίον τοῦτο, τὸν ὄφιν λέγω, τὰ ἄλλα θηρία τῇ φρονήσει νικῶντα, καθάπερ καὶ ὁ μακάριος Μωϋσῆς ἐμαρτύρησεν εἰπών, «Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν Κύριος ὁ Θεός»· τούτῳ ὥσπερ ὀργάνῳ τινὶ χρώμενος, δι' αὐτοῦ τὸ ἄπλαστον καὶ ἀσθενέστερον σκεῦος, τὴν γυναῖκα λέγω, διὰ τῆς ὁμιλίας εἰς τὴν ἑαυτοῦ ἀπάτην ἐκκαλεῖται. «Καὶ εἶπε», φησίν, «ὁ ὄφις τῇ γυναικί». Λογίζου, ἀγαπητέ, ἐκ τούτου, πῶς οὐδὲν ἦν ἐν προοιμίοις φοβερὸν τῶν θηρίων τῶν γεγενημένων, οὔτε τῷ ἀνδρί, οὔτε τῇ γυναικί, ἀλλὰ τὴν ὑποταγὴν καὶ τὴν δεσποτείαν ἐπεγίνωσκον, καὶ καθάπερ νῦν τὰ ἥμερα, οὕτω καὶ τὰ ἄγρια καὶ ἀτίθασσα τότε χειροήθη ἐτύγχανεν.

2. Ἀλλ' ἴσως ἐνταῦθα διαπορήσειεν ἄν τις, καὶ μαθεῖν ζητήσειεν, εἰ καὶ τὸ θηρίον λόγου μετεῖχεν. Οὐ τοῦτο· μὴ γένοιτο· ἀλλ' ἀεὶ ἀκολουθοῦντας τῇ Γραφῇ τοῦτο λογίζεσθαι χρή, ὅτι τὰ μὲν ῥήματα ἦν τοῦ διαβόλου τοῦ διὰ τὸν οἰκεῖον φθόνου πρὸς τὴν ἀπάτην ταύτην διεγερθέντος, τῷ δὲ θηρίῳ τούτῳ ὥσπερ ἐπιτηδείῳ ὀργάνῳ ἐχρήσατο, ἵνα δυνηθῇ τὸ δέλεαρ τῆς οἰκείας ἀπάτης ἐνιείς, ὑποσκελίσαι πρότερον μὲν τὴν γυναῖκα, ἅτε ἀεὶ εὐκολώτερον δυναμένην ἀπατηθῆναι, ἔπειτα δὲ δι' αὐτῆς καὶ τὸν πρωτόπλαστον. Τῷ οὖν ἀλόγῳ τούτῳ χρησάμενος πρὸς τὴν τῆς ἐπιβουλῆς κατασκευήν, δι' αὐτοῦ τῇ γυναικὶ διαλέγεται, καί φησι· «Τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου;». Σκοπεῖτε ἐνταῦθα κακουργίας

του, χρησιμοποιεῖ μεγάλην πανουργίαν, διὰ νὰ στερήσῃ τὸν ἄνθρωπον ἀπὸ τὴν εὐμένειαν τοῦ Θεοῦ καί, ἀφοῦ τὸν καταστήσῃ ἀγνώμονα, νὰ τὸν ἀπογυμνώσῃ ἀπὸ τὰ τόσον μεγάλα ἀγαθά, ποὺ ἐδόθησαν εἰς αὐτὸν ἕνεκα τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Καὶ τί κάνει; Ἀφοῦ διεπίστωσε τὸ θηρίον αὐτό, ἐννοῶ τὸν ὄφιν, νὰ νικᾷ κατὰ τὴν φρόνησιν τὰ ἄλλα θηρία, καθὼς καὶ ὁ μακάριος Μωυσῆς ἐβεβαίωσε λέγων, «Ὁ δὲ ὄφις ἦτο ὁ εὐφυέστερος ἀπὸ ὅλα τὰ θηρία τῆς γῆς, τὰ ὁποῖα ἐδημιούργησε Κύριος ὁ Θεός»· μὲ αὐτό, ποὺ τὸ ἐχρησιμοποιοῦσε ὡσὰν κάποιο ὄργανον, καὶ μὲ τὴν ὁμιλίαν παρασύρει εἰς τὴν ἰδικήν του ἀπάτην τὸ ἀπλοϊκὸν καὶ ἀσθενέστερον δημιούργημα, δηλαδὴ τὴν γυναῖκα. «Καὶ εἶπε, λέγει ἡ Γραφή, ὁ ὄφις εἰς τὴν γυναῖκα». Νὰ σκέπτεσαι, ἀγαπητέ, ἀπὸ τοῦτο τὸ γεγονός, πῶς κανένα ἀπὸ τὰ θηρία, ποὺ εἶχαν δημιουργηθῆ, δὲν ἦτο εἰς τὴν ἀρχὴν φοβερὸν οὔτε εἰς τὸν ἄνδρα, οὔτε εἰς τὴν γυναῖκα, ἀλλὰ ἐγνώριζαν καλὰ τὴν ὑποταγὴν καὶ τὴν κυρίαρχον θέσιν τοῦ ἀνθρώπου, καὶ ὅπως ἀκριβῶς συμβαίνει σήμερον μὲ τὰ ἥμερα ζῶα, ἔτσι τότε τὰ ἄγρια καὶ ἀνυπότακτα ἦσαν εὐκολομεταχείριστα.

2. Ἀλλ' ἴσως εἰς τὸ σημεῖον αὐτὸ θὰ προβάλῃ κανεὶς τὴν ἀπορίαν καὶ θὰ ζητήσῃ νὰ μάθῃ, ἐὰν καὶ τὸ θηρίον ὡμιλοῦσε. Ὄχι, δὲν συνέβαινε τοῦτο· μὴ γένοιτο. Ἀλλὰ πάντοτε, ὅταν παρακολουθοῦμεν τὴν Ἁγίαν Γραφήν, τοῦτο πρέπει νὰ ἔχωμεν ὑπ' ὄψιν μας, ὅτι τὰ μὲν λόγια ἦσαν τοῦ διαβόλου, ὁ ὁποῖος ἐξηγέρθη πρὸς τὴν ἀπάτην αὐτὴν ἐξ αἰτίας τοῦ ἰδικοῦ του φθόνου· ἐχρησιμοποίησεν ὅμως τὸ ζῶον τοῦτο, ὡσὰν κατάλληλον ὄργανον, διὰ νὰ ἠμπορέσῃ, ρίπτων τὸ δόλωμα τῆς ἰδικῆς του ἀπάτης, νὰ ἀνατρέψῃ κατὰ πρῶτον μὲν τὴν γυναῖκα, ἐπειδὴ πάντοτε ἦτο εὐκολώτερον νὰ ἀπατηθῇ, ἔπειτα δὲ δι' αὐτῆς καὶ τὸν πρωτόπλαστον. Ἀφοῦ λοιπὸν ἐχρησιμοποίησε τὸ ἄλογον τοῦτο ζῶον διὰ τὴν κατασκευὴν τῆς σκευωρίας, διὰ μέσου αὐτοῦ συζητῇ μὲ τὴν γυναῖκα καὶ λέγει, «Εἶπε πράγματι ὁ Θεός, νὰ μὴ φάγετε ἀπὸ κάθε δένδρον τοῦ παραδείσου»; Παρατηρήσατε ἐδῶ τὸ μέγεθος καὶ τὴν λεπτότητα τοῦ κακουρ-

ὑπερβολὴν λεπτοτάτην. Τὸ μὴ ῥηθὲν ὑπὸ τοῦ Θεοῦ ἐν τάξει συμβουλῆς καὶ ἐρωτήσεως εἰσάγει, καὶ ὡσανεὶ τὴν ὑπὲρ αὐτῶν κηδεμονίαν ποιούμενος· τοῦτο γάρ ἐστιν ἐνδεικνυμένου, τὸ λέγειν, «Τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου;» μονονουχὶ λέγων ὁ πονηρὸς οὗτος δαίμων, τίνος ἕνεκεν ἀπεστέρησεν ὑμᾶς τῆς τοσαύτης ἀπολαύσεως; διὰ τί οὐ συγχωρεῖ μετέχειν τῶν ἐν τῷ παραδείσῳ ἀγαθῶν, ἀλλὰ τῆς μὲν θέας τὴν ἀπόλαυσιν ἐδωρήσατο, οὐκ ἀφίησι δὲ μεταλαβεῖν, καὶ πλείονα καρπώσασθαι τὴν ἡδονήν; «Τί ὅτι εἶπεν ὁ Θεός;». Διὰ τί, φησί, τοῦτο; τί τὸ ὄφελος τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς, ὅταν μὴ ἐξῇ τῶν ἐν αὐτῷ ἀπολαύειν, ἀλλὰ ταύτῃ μάλιστα πλείονα ὀδύνην ἔχειν, ὅταν θέα μὲν ᾖ, ἀπόλαυσις δὲ ἡ ἀπὸ τῆς μεταλήψεως μὴ γίνηται; Εἶδες πῶς, καθάπερ δέλεαρ, διὰ τῶν ῥημάτων ἐνίησιν αὐτοῦ τὸν ἰόν; Δέον τὴν γυναῖκα ἐξ αὐτῆς τῆς ἐπιχειρήσεως κατανοῆσαι τῆς μανίας τὴν ὑπερβολήν, καὶ ὅτι τὰ μὴ ὄντα ἐπίτηδες λέγει, καὶ ἐν τάξει δῆθεν κηδεμονίας, ἵνα μαθεῖν δυνηθῇ τὰ παρὰ τοῦ Θεοῦ αὐτοῖς ἐνταλθέντα, καὶ οὕτω πρὸς τὴν παῤῥησίαν αὐτοὺς ἑλκύσῃ. Δυναμένη τοίνυν εὐθέως συνιδεῖν αὐτοῦ τὴν ἀπάτην, καὶ ἀποστραφῆναι λοιπὸν τὴν πρὸς αὐτὸν διάλεξιν ὡς περιττὰ λέγοντα, καὶ μὴ ἑαυτὴν εἰς τοσαύτην ταπεινότητα καταγαγεῖν, οὐκ ἠθέλησεν. Ἔδει μὲν γὰρ μηδὲ ἐξ ἀρχῆς ἀνασχέσθαι τῆς πρὸς αὐτὸν διαλέξεως, ἀλλ' ἐκείνῳ μόνῳ διαλέγεσθαι, δι' ὃν παρήχθη, καὶ κοινωνὸς κατὰ τὴν ἀξίαν γέγονε, καὶ εἰς βοήθειαν ἐδημιουργήθη. Ἐπειδὴ δὲ οὐκ οἶδ' ὅπως παρασυρεῖσα ἠνέσχετο τῆς ὁμιλίας τῆς πρὸς τὸν ὄφιν, καὶ ἐδέχετο τὰ ὀλέθρια ῥήματα τοῦ διαβόλου διὰ τούτου ὡς δι' ὀργάνου, ἀκόλουθον ἦν εὐθέως μαθοῦσαν ἐκ τῶν παρ' αὐτοῦ λεχθέντων τὴν ἐναντίωσιν τῶν ῥημάτων, καὶ ὅτι ἕτερα μὲν ὁ δημιουργήσας προσέταξεν, ἕτερα δὲ οὗτος, καὶ ἀπεναντίας τῷ δημιουργῷ ἔλεγεν, ἀποστραφῆναι καὶ φυγεῖν

---

3. Δηλ. μὲ τὸν Ἀδάμ.

γήματος. Ἐκεῖνο τὸ ὁποῖον δὲν εἶπεν ὁ Θεός, φέρει εἰς τὴν συζήτησιν ὑπὸ μορφὴν συμβουλῆς καὶ ἐρωτήσεως, καὶ ὡσάν νὰ ἀναλαμβάνῃ τὴν κηδεμονίαν αὐτῶν· αὐτὴν ἀκριβῶς τὴν σημασίαν ἔχουν τὰ λόγια, «Εἶπε πράγματι ὁ Θεός, νὰ μὴ φάγετε ἀπὸ κάθε δένδρον τοῦ παραδείσου;» σχεδὸν λέγει ὁ πονηρὸς αὐτὸς δαίμων, διὰ ποῖον λόγον σᾶς ἐστέρησεν ἀπὸ τόσον μεγάλην ἀπόλαυσιν; διατί δὲν ἐπιτρέπει νὰ συμμετέχετε εἰς ὅλα τὰ ἀγαθὰ τοῦ παραδείσου, ἀλλὰ σᾶς ἐδώρησε μὲν τὴν ἀπόλαυσιν τῆς θέας, δὲν ἀφήνει ὅμως νὰ μετέχετε εἰς τὰ ἀγαθὰ καὶ νὰ ἀπολαύσετε μεγαλυτέραν εὐχαρίστησιν; Εἶπε πράγματι ὁ Θεός; Διατί, λέγει, αὐτό; Ποῖον τὸ ὄφελος τῆς παραμονῆς μέσα εἰς τὸν παράδεισον, ὅταν δὲν ἐπιτρέπεται νὰ ἀπολαμβάνῃ τὰ ἀγαθά, ποὺ εὑρίσκονται μέσα εἰς αὐτόν, ἀλλὰ ἀπ' αὐτὸ κυρίως νὰ αἰσθάνεται μεγαλυτέραν θλῖψιν, ὅταν μὲν ὑπάρχει ἡ θέα, ἡ ἀπόλαυσις ὅμως ἀπὸ τὴν μετάληψιν δὲν πραγματοποιεῖται; Εἶδες πῶς χύνει μὲ τὰ λόγια τὸ δηλητήριον αὐτοῦ, ὅπως συμβαίνει εἰς τὸ δόλωμα; Ἔπρεπεν ἀπὸ τὴν προσπάθειαν αὐτὴν νὰ κατανοήσῃ ἡ γυναῖκα τὸ μέγεθος τῆς τρέλλας καὶ ὅτι σκόπιμα λέγει ἀνύπαρκτα πράγματα, καὶ ὅτι ἐμφανίζεται δῆθεν ὡς κηδεμών, διὰ νὰ ἠμπορέσῃ νὰ μάθῃ τὰς ἐντολάς, ποὺ ἔδωσεν ὁ Θεὸς πρὸς αὐτούς, καὶ ἔτσι νὰ τὸν παρασύρῃ εἰς τὴν παράβασιν. Ἐνῷ ἠμποροῦσε, λοιπόν, νὰ ἀντιληφθῇ ἡ γυναῖκα ἀμέσως τὴν ἀπάτην του καὶ νὰ ἀποφύγῃ εἰς τὸ ἑξῆς τὴν συζήτησιν μαζί του, ἐπειδὴ ἔλεγε περιττὰ πράγματα, καὶ νὰ μὴ κατεβάσῃ τὸν ἑαυτόν της εἰς τόσον μεγάλην ταπείνωσιν, δὲν ἠθέλησεν. Ἔπρεπε βεβαίως ἀπὸ τὴν ἀρχὴν νὰ μὴ ἀνεχθῇ νὰ συζητῇ μαζί του, ἀλλὰ νὰ συζητῇ μόνον μὲ ἐκεῖνον, διὰ τὸν ὁποῖον ἐδημιουργήθη καὶ εἶχε γίνει μέτοχος τῆς ἀξίας αὐτοῦ καὶ βοηθός του[3]. Ἐπειδὴ ὅμως, δὲν γνωρίζω πῶς, παρασυρθεῖσα ἠνέχθη τὴν συζήτησιν μὲ τὸν ὄφιν καὶ διὰ μέσου αὐτοῦ ἐδέχετο τὰ καταστρεπτικὰ λόγια τοῦ διαβόλου, ἦτο ἑπόμενον ἀμέσως, ὅταν ἔμαθεν ἀπὸ τὰ λόγια του τὴν ἀντίθεσιν τῶν λόγων, καὶ ὅτι ἄλλα μὲν ἐπρόσταξεν ὁ Δημιουργός, ἄλλα δὲ ἔλεγεν αὐτός, ἀντίθετα πρὸς τὸν Δη-

λοιπὸν τὴν πρὸς αὐτὸν ὁμιλίαν, καὶ βδελύξασθαι τὸν τολμήσαντα τὴν οἰκείαν γλῶσσαν ἀκονῆσαι κατὰ τῆς δοθείσης αὐτοῖς ἐντολῆς. Ἀλλὰ διὰ τὴν πολλὴν ἀπροσεξίαν οὐ μόνον οὐκ ἀπεστράφη, ἀλλὰ καὶ τὴν ἐντολὴν ἅπασαν αὐτῷ ἐκκαλύπτει, καὶ τοὺς μαργαρίτας τῷ χοίρῳ προτίθησι, καὶ πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· «Μὴ βάλητε γάρ», φησί, «τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς»· ὃ δὴ καὶ νῦν γέγονε. Παρέθηκε γὰρ τῷ χοίρῳ, τῷ πονηρῷ τούτῳ θηρίῳ, ἤτοι τῷ δαίμονι τῷ δι' αὐτοῦ ἐνεργοῦντι, τοὺς θείους μαργαρίτας, καὶ οὐ μόνον αὐτοὺς κατεπάτησε, καὶ ἀντετάξατο τοῖς ῥηθεῖσιν, ἀλλὰ καὶ στραφεὶς οὐκ αὐτὴν μόνον, ἀλλὰ μετ' αὐτῆς καὶ τὸν πρωτόπλαστον εἰς τὸ τῆς παρακοῆς ῥῆγμα κατήγαγε. Τοσοῦτόν ἐστι κακὸν ἁπλῶς καὶ ὡς ἔτυχε πᾶσιν ἐκκαλύπτειν τὰ θεῖα μυστήρια. Ἀκουέτωσαν οἱ ἁπλῶς καὶ ἀδιαφόρως πρὸς ἅπαντας διαλεγόμενοι. Οὐδὲ γὰρ ἐκεῖ περὶ χοίρου αἰσθητοῦ ὁ Χριστὸς λέγει, ἀλλὰ τοὺς χοιρώδεις τῶν ἀνθρώπων αἰνιττόμενος, καὶ ὁμοίως τοῖς ἀλόγοις ἐγκυλινδουμένους τῷ τῆς ἁμαρτίας βορβόρῳ, παιδεύων ἡμᾶς εἰδέναι καὶ προσώπων διαφοράν, καὶ πολιτείας ἐπιζητεῖν ἀκρίβειαν, ἡνίκα ἂν δέῃ τι τῶν θείων λογίων ἐκκαλύπτειν, ἵνα μὴ κἀκείνους καὶ ἑαυτοὺς λυμαινώμεθα. Οἱ γὰρ τοιοῦτοι οὐ μόνον οὐδὲν κερδαίνουσιν ἀπὸ τῶν λεγομένων, ἀλλὰ καὶ τους ἀνεξετάστως παραθέντας τοὺς καλοὺς τούτους μαργαρίτας, εἰς τὸ αὐτὸ αὐτοῖς βάραθρον τῆς ἀπωλείας πολλάκις κατήγαγον. Διὸ χρὴ μετὰ ἀκριβείας ταῦτα παραφυλάττεσθαι, ἵνα μὴ τὰ αὐτὰ τοῖς νῦν ἀπατηθεῖσιν ὑπομένωμεν. Εἰ γὰρ καὶ νῦν ἡ

4. Ματθ. 7, 6.

μιουργόν, νὰ ἀπομακρυνθῇ καὶ νὰ ἀποφύγῃ τὴν συζήτησιν μαζί του, καὶ νὰ συχαθῇ ἐκεῖνον, ποὺ ἐτόλμησε νὰ ἀκονήσῃ τὴν γλῶσσαν του ἐναντίον τῆς ἐντολῆς, ποὺ ἐδόθη εἰς αὐτούς. Ἀλλ' ἐξ αἰτίας τῆς μεγάλης ἀπροσεξίας της ὄχι μόνον δὲν ἀπεμακρύνθη, ἀλλὰ καὶ τὴν ἐντολὴν ὁλόκληρον ἀποκαλύπτει εἰς αὐτὸν καὶ παραθέτει τοὺς μαργαρίτας ἐμπρὸς εἰς τὸν χοῖρον καὶ πραγματοποιεῖται ὁ λόγος τοῦ Χριστοῦ· «Νὰ μὴ βάλετε, λέγει, τοὺς μαργαρίτας σας ἐμπρὸς εἰς τοὺς χοίρους, μήπως καταπατήσουν αὐτοὺς μὲ τὰ πόδια των καὶ στραφοῦν νὰ σᾶς κατασπαράξουν»[4]· πρᾶγμα τὸ ὁποῖον βεβαίως καὶ τώρα ἔχει συμβῆ. Παρέθεσε λοιπὸν τοὺς θείους μαργαρίτας εἰς τὸν χοῖρον, εἰς τὸ πονηρὸν τοῦτο θηρίον, δηλαδὴ εἰς τὸν δαίμονα, ὁ ὁποῖος ἐνεργοῦσε δι' αὐτοῦ, καὶ ὄχι μόνον κατεπάτησεν αὐτοὺς καὶ ἀντετάχθη εἰς τὴν ἐντολὴν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἀφοῦ ἐπετέθη ὄχι μόνον αὐτήν, ἀλλὰ καὶ τὸν πρωτόπλαστον μαζὶ μὲ αὐτὴν κατέβασεν εἰς τὸ βάραθρον τῆς παρακοῆς. Τόσον μέγα κακὸν εἶναι τὸ νὰ ἀποκαλύπτῃ κανεὶς τὰ μυστήρια τοῦ Θεοῦ ἁπλῶς καὶ τυχαίως εἰς ὅλους. Ἂς ἀκούσουν ἐκεῖνοι ποὺ συζητοῦν μὲ ὅλους ἁπλῶς καὶ ἀδιακρίτως. Βεβαίως οὔτε ὁ Χριστὸς ἀναφέρεται ἐκεῖ εἰς χοῖρον αἰσθητόν, ἀλλὰ ὑπονοῶν τοὺς ἀνθρώπους, ποὺ ὁμοιάζουν μὲ χοίρους καὶ ὡσὰν ἄλογα ζῶα κυλίονται μέσα εἰς τὸν βόρβορον τῆς ἁμαρτίας, μᾶς διδάσκει νὰ γνωρίζωμεν καὶ τὴν διαφορὰν τῶν προσώπων καὶ νὰ ἐπιζητοῦμεν τὴν ἀκρίβειαν τοῦ τρόπου ζωῆς των, ὅταν θὰ χρειασθῇ νὰ ἀποκαλύπτωμεν κάτι ἀπὸ τὰς ἐντολὰς τοῦ Θεοῦ, ὥστε νὰ μὴ καταστρέφωμεν καὶ ἐκείνους καὶ τοὺς ἑαυτούς μας. Διότι οἱ ἄνθρωποι αὐτοὶ ὄχι μόνον δὲν κερδίζουν τίποτε ἀπὸ τὰ λεγόμενα, ἀλλὰ ἐκρήμνισαν πολλὰς φορὰς εἰς τὸ ἴδιον βάραθρον τῆς καταστροφῆς μαζὶ μὲ τοὺς ἑαυτούς των καὶ ἐκείνους, οἱ ὁποῖοι χωρὶς κανένα ἔλεγχον παρέθεσαν ἐνώπιόν των τοὺς καλοὺς αὐτοὺς μαργαρίτας. Διὰ τοῦτο πρέπει νὰ φυλάττωμεν αὐτὰ μὲ ἀκρίβειαν, διὰ νὰ μὴ ὑπομένωμεν τὰ ἴδια μὲ ἐκείνους ποὺ ἠπατήθησαν μέχρι τώρα. Διότι ἐὰν καὶ τότε ἡ γυναῖκα ἐπεθυμοῦσε νὰ μὴ παραθέσῃ

γυνὴ ἐβουλήθη τοὺς θείους μαργαρίτας μὴ προθεῖναι τῷ χοίρῳ, οὐκ ἂν οὔτε αὐτὴ εἰς τὸν κρημνὸν τοῦτον κατηνέχθη, οὔτε τὸν ἄνδρα συγκατέσπασεν.

3. Ἀλλ' ἀκούσωμεν τί πρὸς αὐτὸν ἀποκρίνεται. Εἰπόντος γὰρ ἐκείνου, «Τί ὅτι εἶπεν ὁ Θεός, ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου οὐ μὴ φάγητε;» φησὶν ἡ γυνὴ τῷ ὄφει· «Ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγόμεθα· ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός, οὐ φάγησθε, οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε». Εἶδες κακουργίαν; Εἶπε τὸ μὴ ὄν, ἵνα ἐκκαλεσάμενος αὐτὴν εἰς διάλεξιν μάθῃ τὸ ὄν. Ἡ γὰρ γυνὴ λοιπόν, ὡς εὐνοϊκῶς περὶ αὐτὴν διακειμένου, θαρρήσασα πᾶσαν ἐκκαλύπτει τὴν ἐντολήν, καὶ λέγει πάντα μετὰ ἀκριβείας, καὶ δι' ὧν ἀπεκρίνατο πάσης ἑαυτὴν ἀποστερεῖ ἀπολογίας. Τί γὰρ ἂν ἔχοις εἰπεῖν, ὦ γύναι; «Εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου». Δέον σε ὡς ἐναντία εἰρηκότα ἀποστραφῆναι καὶ εἰπεῖν πρὸς αὐτόν· ἄπαγε, ἀπατεὼν εἶ σύ, οὐκ οἶσθα οὐδὲ τῆς ἐντολῆς τῆς δεδομένης ἡμῖν τὴν δύναμιν, οὐδὲ τῆς ἀπολαύσεως τὸ μέγεθος, οὐδὲ τὴν δαψίλειαν τῆς χορηγίας. Σὺ μὲν γὰρ ἔφης εἰρηκέναι τὸν Θεόν, ἀπὸ μηδενὸς ξύλου ἡμᾶς ἀπογεύσασθαι, ὁ δὲ Δεσπότης καὶ δημιουργὸς διὰ πολλὴν ἀγαθότητα πάντων ἡμῖν ἀνεὶς τὴν ἀπόλαυσιν καὶ τὴν ἐξουσίαν, ἑνὸς μόνου ἀποσχέσθαι ἐκέλευσε, καὶ τοῦτο πάλιν διὰ τὴν περὶ ἡμᾶς κηδεμονίαν, ὥστε μὴ μετασχόντας ἁλῶναι θανάτῳ. Δέον, εἴπερ εὐγνώμων ἦν, ταῦτα πρὸς αὐτὸν εἰποῦσα τὰ ῥήματα, πάντη ἀποστραφῆναι, καὶ μηκέτι μήτε διαλεχθῆναι, μήτε ἀκοῦσαί τι τῶν παρ' αὐτοῦ λεγομένων· ἀλλὰ τὴν ἐντολὴν ἐκκαλύψασα καὶ εἰποῦσα τὰ παρὰ τοῦ Θεοῦ αὐτοῖς ῥηθέντα, ἄλλην δέχεται παρ' αὐτοῦ συμβουλὴν ὀλεθρίαν καὶ θανάσιμον.

τούς θείους μαργαρίτας ἐνώπιον τοῦ χοίρου, δὲν θὰ ἔφθανεν οὔτε ἡ ἰδία εἰς αὐτὸν τὸν κρημνόν, οὔτε τὸν ἄνδρα θὰ κατέστρεφε μαζί της.

3. Ἀλλ' ἂς ἀκούσωμεν τί ἀπαντᾶ ἡ γυναῖκα εἰς τὸν ὄφιν. Ὅταν ἐκεῖνος εἶπε, «Πράγματι εἶπεν ὁ Θεός, νὰ μὴ φάγετε ἀπὸ κάθε δένδρον τοῦ παραδείσου;», ἡ γυναῖκα ἀπαντᾷ εἰς τὸν ὄφιν· «Ἀπὸ κάθε δένδρον τοῦ παραδείσου ἠμποροῦμεν νὰ φάγωμεν· ἀπὸ τὸν καρπὸν ὅμως τοῦ δένδρου, ποὺ εὑρίσκεται εἰς τὸ μέσον τοῦ παραδείσου, εἶπεν ὁ Θεός, νὰ μὴ φάγετε, οὔτε νὰ τὸν ἐγγίσετε, διὰ νὰ μὴ ἀποθάνετε». Εἶδες τὸ κακούργημα; Εἶπε τὸ ἀνύπαρκτον, διὰ νὰ μάθῃ τὴν πραγματικότητα, ἀφοῦ παρεκίνησεν αὐτὴν εἰς συζήτησιν. Διότι ἡ γυναῖκα εἰς τὸ ἑξῆς, ἐπειδὴ ἐφαίνετο ὅτι διέκειτο φιλικὰ πρὸς αὐτήν, ἀφοῦ ἔλαβε θάρρος ἀποκαλύπτει ὁλόκληρον τὴν ἐντολήν, καὶ λέγει τὰ πάντα μὲ ἀκρίβειαν, καὶ μὲ ὅσα ἀπήντησε στερεῖ τὸν ἑαυτόν της ἀπὸ κάθε δικαιολογίαν. Καὶ τί θὰ ἠμποροῦσες νὰ εἰπῇς, γυναῖκα; Εἶπεν ὁ Θεός, «νὰ μὴ φάγετε ἀπὸ κάθε δένδρον τοῦ παραδείσου». Ἔπρεπε σὺ νὰ ἀποστραφῇς τὸν ὄφιν, ἐπειδὴ εἶχεν εἰπῆ τὰ ἀντίθετα, καὶ νὰ εἰπῇς πρὸς αὐτόν· «Φῦγε μακρυά, σὺ εἶσαι ἀπατεών, δὲν γνωρίζεις οὔτε τὴν δύναμιν τῆς ἐντολῆς, ποὺ μᾶς ἔχει δοθῆ, οὔτε τὸ μέγεθος τῆς ἀπολαύσεως, οὔτε τὴν ἀφθονίαν τῆς προσφορᾶς. Σὺ μὲν εἶπες ὅτι ὁ Θεὸς ἔχει δώσει ἐντολήν, νὰ μὴ δοκιμάσωμεν ἀπὸ τοὺς καρποὺς κανενὸς δένδρου, ὁ Κύριος ὅμως καὶ Δημιουργός, ἕνεκα τῆς μεγάλης ἀγαθότητός του, ἀφοῦ ἐπέτρεψεν εἰς ἡμᾶς τὴν ἀπόλαυσιν καὶ τὴν ἐξουσίαν, διέταξε νὰ ἀπέχωμεν ἀπὸ ἕνα μόνον δένδρον, καὶ τοῦτο πάλιν ἕνεκα τῆς φροντίδος του δι' ἡμᾶς, ὥστε νὰ μὴ κυριευθοῦμεν ἀπὸ τὸν θάνατον μὲ τὴν συμμετοχήν μας». Ἔπρεπεν, ἐὰν βέβαια ἡ γυναῖκα ἦτο εὐγνώμων, ἀφοῦ ἔλεγεν αὐτὰ τὰ λόγια πρὸς τὸν διάβολον, νὰ τὸν ἀποστραφῇ ἐξ ὁλοκλήρου καὶ οὔτε νὰ συζητήσῃ πλέον, οὔτε νὰ ἀκούσῃ κάτι ἀπὸ τὰ ἰδικά του λόγια. Ἀλλά, ἀφοῦ ἀποκάλυψε τὴν ἐντολὴν καὶ ἀφοῦ εἶπεν ὅσα εἶχεν εἰπῆ ὁ Θεὸς πρὸς αὐτούς, δέχεται ἀπὸ τὸν διάβολον μίαν ἄλλην συμ-

Ἐπειδὴ γὰρ εἶπεν ἡ γυνή, ὅτι «Ἀπὸ παντὸς τοῦ ξύλου τοῦ παραδείσου φαγόμεθα, ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός, οὐ φάγητε ἀπ' αὐτοῦ, οὐδ' οὐ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε»· πάλιν ὁ πονηρὸς καὶ ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας ἐναντίαν τῷ Δεσπότῃ τὴν συμβουλὴν εἰσάγει. Τοῦ γὰρ φιλανθρώπου Θεοῦ διὰ πολλὴν κηδεμονίαν τὴν μετάληψιν κωλύσαντος, ἵνα μὴ διὰ τῆς παρακοῆς θνητοὶ γένωνται, οὗτός φησι τῇ γυναικί, «Οὐ θανάτῳ ἀποθανεῖσθε». Ποίας ἂν τις ἀξιώσειε συγγνώμης τὴν γυναῖκα, ὅτι ὅλως κἂν ὑποσχεῖν ἠνέσχετο τὰς ἀκοὰς τῷ οὕτω τολμηρὰ φθεγγομένῳ; Εἰπόντος γὰρ τοῦ Θεοῦ, «Μὴ ἅψησθε, ἵνα μὴ ἀποθάνητε», οὗτός φησιν, «Οὐ θανάτῳ ἀποθανεῖσθε». Εἶτα οὐκ ἀρκεσθεὶς τῷ ἀντιφθέγξασθαι τοῖς παρὰ τοῦ Θεοῦ ῥηθεῖσι, καὶ ὡς φθονερὸν διαβάλλει τὸν δημιουργόν, ἵν' οὕτω τὴν ἀπάτην εἰσαγαγεῖν δυνηθείη, καὶ τὴν γυναῖκα ὑποσκελίσας τὸν οἰκεῖον σκοπὸν ἀποπληρώσῃ. «Οὐ θανάτῳ», φησιν, ἀποθανεῖσθε. Ἤδει γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν». Ἰδοὺ τὸ δέλεαρ ἅπαν. Πληρώσας γὰρ τὴν κύλικα δηλητηρίου φαρμάκου, ἐπέδωκε τῇ γυναικί, ἡ δὲ τὸ θανάσιμον ἰδεῖν οὐ βουληθεῖσα· ἐδύνατο γάρ, εἴπερ ἐβούλετο, ἐκ προοιμίων τοῦτο γνῶναι· ἀλλ' ἀκούσασα παρ' αὐτοῦ, ὅτι διὰ τοῦτο τὴν μετάληψιν ἐκώλυσεν ὁ Θεός, ἐπειδὴ «Ἤδει ὅτι διανοιγήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν», τῇ ἐλπίδι τῆς ἰσοθεΐας φυσηθεῖσα, μεγάλα ἦν λοιπὸν φανταζομένη. Τοιαῦτα γὰρ τὰ παρὰ τοῦ ἐχθροῦ μηχανήματα· ὅταν εἰς πολὺ ὕψος διὰ τῆς ἀπάτης ἀναγάγῃ, τὸ τηνικαῦτα εἰς τὸν βαθὺν κρημνὸν καταγάγει. Φαντασθεῖσα γὰρ ἰσοθεΐαν ἐπὶ τὴν

βουλὴν καταστρεπτικὴν καὶ θανάσιμον. Ὅταν λοιπὸν εἶπεν ἡ γυναῖκα, ὅτι «Ἀπὸ κάθε δένδρον τοῦ παραδείσου ἠμποροῦμεν νὰ φάγωμεν, ἀπὸ δὲ τὸν καρπὸν τοῦ δένδρου, ποὺ εὑρίσκεται εἰς τὸ μέσον τοῦ παραδείσου, νὰ μὴ φάγετε ἀπ' αὐτόν, οὔτε νὰ τὸν ἐγγίσετε, διὰ νὰ μὴ ἀποθάνετε» πάλιν ὁ πονηρὸς ἐχθρὸς τῆς ἰδικῆς μας σωτηρίας συμβουλεύει ἀντίθετα πρὸς τὸν Κύριον. Διότι, ὅταν ὁ φιλάνθρωπος Θεὸς ἕνεκα τοῦ μεγάλου ἐνδιαφέροντός του, ἀπηγόρευσε τὴν μετάληψιν, διὰ νὰ μὴ γίνουν θνητοὶ ἐξ αἰτίας τῆς παρακοῆς, αὐτὸς λέγει εἰς τὴν γυναῖκα, «Δὲν θὰ ἀποθάνετε καθόλου». Ποίαν συγγνώμην ἠμπορεῖ νὰ ἀξιώσῃ κανεὶς διὰ τὴν γυναῖκα, διότι ἠνέχθη νὰ ἀκούῃ μὲ προσοχὴν ἐκεῖνον, ὁ ὁποῖος ἔλεγε τόσον τλμηρὰ λόγια; Διότι ὅταν εἶπεν ὁ Θεός, «Νὰ μὴ ἐγγίσετε, διὰ νὰ μὴ ἀποθάνετε», αὐτὸς λέγει, «Δὲν θὰ ἀποθάνετε καθόλου». Ἔπειτα, μὴ ἀρκεσθεὶς νὰ ἀντιταχθῇ μόνον εἰς τὰ λόγια τοῦ Θεοῦ, καὶ ὡς φθονερὸν συκοφαντεῖ τὸν Δημιουργόν, διὰ νὰ ἠμπορέσῃ ἔτσι νὰ φέρῃ εἰς τὸ μέσον τὴν ἀπάτην καί, ἀφοῦ ἀνατρέψῃ τὴν γυναῖκα, νὰ ἐκπληρώσῃ τὸν ἰδικόν του σκοπόν. «Δὲν θὰ ἀποθάνετε καθόλου», λέγει. Διότι γνωρίζει ὁ Θεός, ὅτι τὴν ἡμέραν ἀκριβῶς κατὰ τὴν ὁποίαν θὰ φάγετε ἀπ' αὐτόν, θὰ διανοιγοῦν τὰ μάτια σας καὶ θὰ εἶσθε ὡς θεοί, γνωρίζοντες τὸ καλὸν καὶ τὸ κακόν». Ἰδοὺ ὁλόκληρον τὸ δόλωμα. Ἀφοῦ ἐγέμισε λοιπὸν τὸ ποτήρι μὲ δηλητήριον φάρμακον, τὸ ἐπρόσφερεν εἰς τὴν γυναῖκα· ἐκείνη δὲ δὲν ἠθέλησε νὰ ἰδῇ τὸ θανάσιμον περιεχόμενον, διότι ἠμποροῦσε, ἐὰν βέβαια ἤθελε, νὰ γνωρίζῃ αὐτὸ ἀπὸ τὴν ἀρχήν. Ἀλλὰ ἀφοῦ ἤκουσεν ἀπ' αὐτόν, ὅτι διὰ τοῦτο ἐμπόδισεν ὁ Θεὸς τὴν μετάληψιν, ἐπειδὴ «γνωρίζει ὅτι θὰ διανοιγοῦν τὰ μάτια σας καὶ θὰ εἶσθε ὡς θεοί, γνωρίζοντες τὸ καλὸν καὶ τὸ κακόν», ἀφοῦ ὑπερηφανεύθη μὲ τὴν ἐλπίδα τῆς ἰσοθεΐας, ἐφαντάζετο εἰς τὸ ἑξῆς μεγάλα πράγματα διὰ τὸν ἑαυτόν της. Τέτοια εἶναι τὰ σχέδια τοῦ ἐχθροῦ· ὅταν ἀνεβάσῃ κάποιον μὲ τὴν ἀπάτην εἰς μέγα ὕψος, τότε ρίπτει αὐτὸν μὲ ὁρμὴν εἰς τὸν βαθὺν κρημνόν. Ὅταν λοιπὸν ἐφαντάσθη τὴν ἰσοθεΐαν της, ἔσπευδε

μετάληψιν ἔσπευδε, καὶ ἐκεῖ λοιπὸν ἔτεινε καὶ τὸν λογισμὸν καὶ τὴν διάνοιαν, καὶ οὐδὲν ἕτερον περιεσκόπει, ἢ πῶς τὴν κύλικα ἐκπίῃ, τὴν παρὰ τοῦ πονηροῦ δαίμονος κερασθεῖσαν. Μετὰ γὰρ τὸ δέξασθαι τὸν ὀλέθριον ἐκεῖνον ἰὸν διὰ τῆς συμβουλῆς τοῦ ὄφεως, ἵνα μάθῃς ὅτι περὶ τούτων τὴν σπουδὴν εἶχεν, ἄκουε τῆς Γραφῆς λεγούσης· «Καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι· καὶ ἔλαβεν ἀπὸ τοῦ καρποῦ αὐτοῦ, καὶ ἔφαγεν». Ἀληθῶς «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί». Διὰ τί γὰρ πρὸ τῆς συμβουλῆς τοῦ πονηροῦ δαίμονος ἐκείνου μηδὲν τοιοῦτον ἔπαθε, μηδὲ κατενόησε τὸ ξύλον, μηδὲ εἶδεν αὐτοῦ τὴν ὡραιότητα; Ἐπειδὴ ἐδεδοίκει τοῦ Θεοῦ τὴν ἐντολήν, καὶ μέλλον ἐπιτίμιον ἔσεσθαι ἐκ τῆς μεταλήψεως· νυνὶ δὲ ἐπειδὴ ἠπατήθη παρὰ τοῦ πονηροῦ θηρίου τούτου, ὅτι οὐ μόνον τοῦτο πείσονται, ἀλλὰ καὶ ἰσόθεοι ἔσονται, τότε λοιπὸν ἡ ἐλπὶς τῆς ὑποσχέσεως ἐπὶ τὴν μετάληψιν αὐτὴν παρώρμησε, καὶ οὐκ ἀνασχομένη μεῖναι ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλὰ τὸν ἐχθρὸν καὶ πολέμιον τῆς σωτηρίας τῆς ἡμετέρας ἀξιοπιστότερον εἶναι νομίσασα τῶν παρὰ τοῦ Θεοῦ ρημάτων, ἐμάνθανε διὰ τῆς πείρας αὐτῆς μετ' οὐ πολὺ τῆς συμβουλῆς τὸ ὀλέθριον, καὶ τὴν ἐκ τῆς μεταλήψεως καταληψομένην αὐτοὺς συμφοράν. Ἰδοῦσα γάρ, φησίν, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ τοῖς ὀφθαλμοῖς ἀρεστὸν ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, λογισαμένη πρὸς ἑαυτήν, ἴσως ἐκ τῆς παρὰ τοῦ διαβόλου ἀπάτης, ἣν διὰ τοῦ ὄφεως αὐτῇ προσήγαγεν· εἰ καὶ εἰς βρῶσιν καλὸν τὸν ξύλον, καὶ τοὺς ὀφθαλμοὺς οὕτω τέρπειν δύναται, καὶ ὡραιότης τίς ἐστιν ἄφατος ἐν αὐτῷ, παρέχει δὲ ἡμῖν ἡ τούτου μετάληψις καὶ τὴν ἀνωτάτω τιμήν, καὶ τὴν αὐτὴν ἀξίαν τῷ δημιουργῷ ἕξομεν; τίνος ἕνεκεν οὐ μεταληψόμεθα τούτου;

---

5. Α΄ Κορ. 15, 33.

πρὸς τὴν μετάληψιν καὶ εἰς τὸ ἑξῆς ἐκεῖ κατηύθυνε καὶ τὸ λογικὸν καὶ τὴν διάνοιάν της, καὶ τίποτε ἄλλο δὲν ἐσκέπτετο, παρὰ πῶς θὰ πιῇ ἐντελῶς τὸ ποτήρι, ποὺ τῆς ἐπρόσφερεν ὁ πονηρὸς δαίμων. Ἀφοῦ λοιπὸν ἐδέχθη τὸ καταστρεπτικὸν ἐκεῖνο δηλητήριον διὰ μέσου τῆς συμβουλῆς τοῦ ὄφεως, διὰ νὰ μάθῃς ὅτι ἔσπευδε νὰ πραγματοποιήσῃ τὰ λόγια αὐτοῦ, ἄκουε τὴν Ἁγίαν Γραφήν, ἡ ὁποία λέγει˙ «Καὶ εἶδεν ἡ γυναῖκα ὅτι τὸ δένδρον ἦτο καλὸν πρὸς βρῶσιν καὶ εὐχάριστον νὰ τὸ βλέπουν τὰ μάτια καὶ ἦτο ἐπιθυμητὸν τὸ νὰ γνωρίσῃ τὸ καλὸν καὶ τὸ κακὸν˙ καὶ ἔλαβεν ἀπὸ τὸν καρπὸν αὐτόν, καὶ ἔφαγε». Πράγματι «αἱ κακαὶ συναναστροφαὶ φθείρουν τὰ καλὰ ἤθη»[5]. Διατί λοιπὸν δὲν ἔπαθε τίποτε ἀπ' αὐτά, πρὶν ἀπὸ τὴν συμβουλὴν τοῦ πονηροῦ δαίμονος, οὔτε κατενόησε τὸ δένδρον, οὔτε εἶδεν τὴν ὡραιότητα αὐτοῦ; Ἐπειδὴ εἶχε φοβηθῆ τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ τὴν τιμωρίαν, ποὺ θὰ ἀκολουθοῦσε τὴν μετάληψιν˙ τώρα ὅμως ἐπειδὴ ἠπατήθη ἀπὸ τὸν πονηρὸν τοῦτο θηρίον, ὅτι δηλαδὴ ὄχι μόνον δὲν θὰ πάθουν αὐτό, ἀλλὰ καὶ θὰ γίνουν ἴσοι μὲ τὸν Θεόν˙ τότε λοιπὸν ἡ ἐλπίδα τῆς ὑποσχέσεως παρεκίνησεν αὐτὴν πρὸς τὴν μετάληψιν, καὶ δὲν ἠνείχετο νὰ παραμείνῃ ἐντὸς τῶν ὁρίων τῆς ἰδικῆς της ἀποστολῆς, ἀλλ' ἀφοῦ ἐνόμισε τὸν ἐχθρὸν καὶ πολέμιον τῆς σωτηρίας μας περισσότερον ἀξιόπιστον ἀπὸ τά λόγια τοῦ Θεοῦ, μετὰ ἀπὸ ὀλίγον ἡ πεῖρα τὴν ἐδίδασκε τὴν καταστρεπτικότητα τῆς συμβουλῆς καὶ τὴν συμφοράν, ποὺ θὰ καταλάβῃ αὐτοὺς ἐξ αἰτίας τῆς μεταλήψεως. Ἀφοῦ λοιπὸν εἶδε, λέγει ἡ Γραφή, «ὅτι τὸ δένδρον ἦτο καλὸν πρὸς βρῶσιν καὶ εὐχάριστον νὰ τὸ βλέπουν τὰ μάτια καὶ ἦτο ἐπιθυμητὸν τὸ νὰ κατανοήσῃ», ἐσυλλογίσθη, ἴσως καὶ ἐξ αἰτίας τῆς ἀπάτης τοῦ διαβόλου, τὴν ὁποίαν ἐπαρουσίασε πρὸς αὐτὴν διὰ τοῦ ὄφεως˙ ἐὰν τὸ δένδρον εἶναι καλὸν πρὸς βρῶσιν καὶ ἠμπορεῖ ἔτσι νὰ εὐχαριστῇ τὰ μάτια καὶ ὑπάρχει εἰς αὐτὸ μία ἀνέκφραστος ὀμορφιά, ἡ μετάληψις δὲ τούτου παρέχει εἰς ἡμᾶς καὶ τὴν ὑψίστην τιμήν, καὶ θὰ ἔχωμεν τὴν ἰδίαν ἀξίαν μὲ τὸν Δημιουργόν, διὰ ποῖον λόγον νὰ μὴ φάγωμεν ἀπ' αὐτό;

4. Εἶδες πῶς αὐτὴν αἰχμάλωτον ὁ διάβολος ἀπήγαγε, καὶ ὑπέσυρε τὸν λογισμόν, καὶ παρεσκεύασε μείζονα τῆς οἰκείας ἀξίας φρονῆσαι, ἵνα κεναῖς ἐλπίσι φυσωμένη ἐκπέσῃ καὶ τῶν ἤδη παρασχεθέντων; «Καὶ ἔλαβε», φησίν, ἀπὸ τοῦ καρποῦ αὐτοῦ, καὶ ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον· καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν». Τί πεποίηκας, ὦ γύναι; Οὐ μόνον αὐτὴν τὴν ὀλεθρίαν συμβουλὴν δεξαμένη τὸν παρὰ τοῦ Θεοῦ δεδομένον νόμον κατεπάτησας, καὶ ἐξύβρισας εἰς τὴν ἐντολήν, καὶ τοσαύτῃ ἐχρήσω τῇ ἀκρασίᾳ, ὡς μὴ ἀρκεσθῆναι τῇ τοιαύτῃ ἀπολαύσει, ἀλλὰ καὶ τοῦ ἑνὸς ξύλου, οὗ προσέταξεν ὁ Δεσπότης μὴ ἐφάψασθαι, ἐτόλμησας ἐπιλαβέσθαι, καὶ ἐπίστευσας τοῖς παρὰ τοῦ ὄφεως εἰρημένοις, καὶ ἀξιοπιστοτέραν τὴν τούτου συμβουλὴν ἐνόμισας τῆς παρὰ τοῦ δημιουργήσαντος δοθείσης ἐντολῆς, καὶ τοσαύτην ἀπατηθεῖσα ἀπάτην, ὡς μηδὲ συγγνώμης εἶναι ἀξίαν; Μὴ γὰρ ὁμογενής σοι ἦν ὁ τὴν συμβουλὴν εἰσαγαγών; Τῶν ὑποτεταγμένων ἐτύγχανε, τῶν δούλων τῶν ὑπὸ τὴν σὴν ἐξουσίαν τυγχανόντων. Τίνος ἕνεκεν οὕτω κατῄσχυνας, καὶ ἐκεῖνον καταλιποῦσα, δι' ὃν ἐδημιουργήθης, ᾧ πρὸς βοήθειαν παρήχθης, ᾧ κοινωνὸς τῆς ἀξίας ἐγένου, καὶ ὁμοούσιος, καὶ ὁμόφωνος, τῷ ὄφει εἰς ὁμιλίαν ἐλθεῖν κατεδέξω, καὶ διὰ τοῦ θηρίου τούτου τὴν παρὰ τοῦ διαβόλου δέξασθαι συμβουλήν, καὶ φανερῶς ἀπεναντίας οὖσαν τῆς τοῦ δημιουργήσαντος νομοθεσίας, οὐδὲ οὕτως ἀπεστράφης, ἀλλὰ τῇ ἐλπίδι τῆς ὑποσχέσεως κατετόλμησας τῆς μεταλήψεως; Ἔστω τοίνυν· σαυτὴν εἰς τοσοῦτον κρημνὸν κατήγαγες, καὶ τῆς τιμῆς τῆς ὑπερβαλλούσης ἀπεστέρησας· τίνος ἕνεκεν καὶ τὸν ἄνδρα κοινωνὸν λαμβάνεις τοῦ χαλεποῦ τούτου πταίσματος, καὶ ᾧ βοηθὸς εἶναι ἐτάχθης, τούτου ἐπίβουλος γίνῃ, καὶ διὰ μικρᾶς βρώσεως τῆς εὐνοίας τῆς παρὰ τοῦ Θεοῦ ἀλλοτριοῖς κἀκεῖ-

4. Εἶδες πῶς ἠχμαλώτισε τὴν γυναῖκα ὁ διάβολος καὶ παρέσυρε σιγά-σιγά τὴν σκέψιν της, καὶ τὴν προητοίμασε νὰ ἐπιθυμήσῃ μεγαλυτέραν ἀξίαν ἀπὸ τὴν ἰδικήν της, ὥστε, φαντασμένη ἀπὸ ματαιοδοξίαν, νὰ ἐκπέσῃ καὶ ἀπὸ τὰ ἀγαθά, ποὺ τῆς εἶχαν ἤδη δοθῆ; «Καὶ ἔλαβε, συνεχίζει ἡ Γραφή, ἀπὸ τὸν καρπὸν τοῦ δένδρου καὶ ἔφαγεν, ἔδωσε δὲ καὶ εἰς τὸν ἄνδρα της, καὶ ἔφαγαν. Τότε ἤνοιξαν τὰ μάτια καὶ τῶν δύο, καὶ ἀντελήφθησαν ὅτι ἦσαν γυμνοί». Τί ἔχεις κάνει, γυναῖκα; Ὄχι μόνον κατεπάτησες τὸν νόμον, ποὺ σοῦ ἔχει δοθῆ ἀπὸ τὸν Θεόν, ἐπειδὴ ἐδέχθης τὴν καταστρεπτικὴν αὐτὴν συμβουλήν, ἀλλὰ καὶ ἐξύβρισες τὴν ἐντολήν· καὶ ἔδειξες τόσην ἀκράτειαν, ὥστε νὰ μὴ ἀρκεσθῇς εἰς τόσον μεγάλην ἀπόλαυσιν, ἀλλὰ ἐτόλμησες νὰ ἐπωφεληθῇς καὶ ἀπὸ τὸ ἕνα δένδρον, τὸ ὁποῖον ἐπρόσταξεν ὁ Κύριος νὰ μὴ ἐγγίσετε, καὶ ἐπίστευσες εἰς τὰ λόγια τοῦ ὄφεως καὶ ἐθεώρησες περισσότερον ἀξιόπιστον τὴν συμβουλήν του παρὰ τὴν δοθεῖσαν ἐντολὴν τοῦ δημιουργοῦ καὶ παρεσύρθης εἰς τόσον μεγάλην ἀπάτην, ὥστε νὰ μὴ εἶσαι ἀξία οὔτε τῆς συγγνώμης; Μήπως λοιπὸν ἦτο τοῦ αὐτοῦ γένους μὲ σὲ ἐκεῖνος, ποὺ σοῦ ἔδωσε τὴν συμβουλήν; Ἦτο κατώτερός σου καὶ ἀνῆκεν εἰς τοὺς δούλους, ποὺ ἦσαν κάτω ἀπὸ τὴν ἐξουσίαν σου. Διὰ ποῖον λόγον ἐπρόσβαλες ἔτσι τὸν ἑαυτόν σου, καὶ ἀφοῦ ἐγκατέλειψες ἐκεῖνον, διὰ τὸν ὁποῖον ἐδημιουργήθης, εἰς τὸν ὁποῖον ἐπλάσθης βοηθός, μὲ τὸν ὁποῖον ἔχεις τὴν ἰδίαν ἀξίαν καὶ εἶσαι ὁμοούσιος καὶ ὁμιλεῖς τὴν ἰδίαν γλῶσσαν, κατεδέχθης νὰ συζητῇς μὲ τὸν ὄφιν καὶ νὰ δεχθῇς διὰ τοῦ ζώου αὐτοῦ τὴν συμβουλὴν τοῦ διαβόλου, ποὺ ἐνῷ ἦτο φανερὰ ἀντίθετος πρὸς τὴν νομοθεσίαν τοῦ δημιουργοῦ, οὔτε ἔτσι τὴν ἀπεστράφης, ἀλλά, μὲ τὴν ἐλπίδα τῆς ὑποσχέσεως, ἐτόλμησες τὴν μετάληψιν; Ἔστω λοιπόν· ὡδήγησες τὸν ἑαυτόν σου εἰς μεγάλην πτῶσιν καὶ ἐστερήθης τῆς μεγαλυτέρας τιμῆς· διὰ ποῖον λόγον κάνεις καὶ τὸν ἄνδρα σου συνένοχον τοῦ φοβεροῦ αὐτοῦ σφάλματος, καὶ ἐμελέτησες τὸ κακὸν ἐκείνου, διὰ τὸν ὁποῖον ὡρίσθης βοηθός, καὶ ἀποξενώνεις μὲ τὴν μικρὰν βρῶσιν μαζὶ μὲ τὸν ἑαυτόν

νον μετὰ σαυτῆς; Ποία μανίας ὑπερβολὴ ἤρκει σοι τὸν ἀταλαίπωρον ζῆν βίον, τὸ σῶμα μὲν περικεῖσθαι, μηδενὸς δὲ δεῖσθαι τῶν σωματικῶν; τὸ πάντων τῶν ἐν τῷ παραδείσῳ ἀπολαύειν πλὴν ἑνὸς ξύλου; τὸ πάντα τὰ ὁρώμενα ὑπὸ τὴν ἐξουσίαν εἶναι τὴν ὑμετέραν, καὶ τὴν κατὰ πάντων ἀρχὴν κεκτῆσθαι; ἀλλ' ἀπατηθεῖσα ταῖς ἐλπίσι προσεδόκησας καὶ εἰς αὐτὴν τὴν ἀνωτάτω κορυφὴν ἥξειν; Διὰ τοῦτο μαθήσῃ δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ μόνον ἐκείνων οὐκ ἐπιτεύξῃ, ἀλλὰ καὶ πάντων τῶν ἤδη δεδομένων ἀποστερήσεις καὶ σαυτήν, καὶ τὸν ἄνδρα, καὶ εἰς τοσαύτην ἥξετε μεταμέλειαν ὡς ὑμᾶς μὲν ἄπρακτα μεταγινώσκειν, τὸν δὲ πονηρὸν δαίμονα τὸν τὴν ὀλεθρίαν ταύτην συμβουλὴν εἰσαγαγόντα ἐπιγελᾶν. καὶ ἐπεμβαίνειν, ἅτε δὴ λοιπὸν κειμένοις, καὶ τὰ αὐτὰ ἐκείνῳ πεπονθόσι. Καθάπερ γὰρ ἐκεῖνος τὰ ὑπὲρ τὴν ἀξίαν φρονήσας, καὶ τῆς παρασχεθείσης ἀξίας ἐξεβλήθη, καὶ ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν κατηνέχθη· τὸ αὐτὸ δὴ καὶ ὑμᾶς ἐργάσασθαι ἠβουλήθη, καὶ διὰ τῆς παραβάσεως τῆς ἐντολῆς εἰς τὸ τοῦ θανάτου ἐπιτίμιον ἀγαγεῖν, καὶ τὸν οἰκεῖον φθόνον πληρῶσαι, καθὼς καὶ σοφός τις ἔλεγε· «Φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε». «Καὶ ἔδωκε», φησί, «καὶ τῷ ἀνδρὶ αὐτῆς· καὶ ἔφαγον, καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί». Πολλὴ καὶ τοῦ ἀνδρὸς ἡ ῥαθυμία. Εἰ γὰρ καὶ ὁμογενὴς ἦν, καὶ γυνὴ ἦν, ἀλλ' ἐχρῆν ἔναυλον ἔχοντα τοῦ Θεοῦ τὴν ἐντολήν, προτιμοτέραν ταύτην ποιήσασθαι τῆς ἀκαίρου ἐπιθυμίας ἐκείνης, καὶ μὴ κοινωνῆσαι τῆς παραβάσεως, μηδὲ διὰ βραχεῖαν ἡδονὴν τῶν τοσούτων ἀγαθῶν ἑαυτὸν ἀποστερῆσαι, καὶ προσκροῦσαι τῷ οὕτως εὐεργέτῃ, καὶ τοσαύτην φιλανθρωπίαν ἐπιδειξαμένῳ, καὶ οὕτως ἀνώδυνον καὶ μόχθου παντὸς

6. Σοφ. Σολ. 2, 24.

σου καὶ ἐκεῖνον ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ; Ποία ὑπερβολικὴ τρέλλα σὲ ὡδήγησεν εἰς αὐτὴν τὴν μεγάλην τόλμην; Δὲν ἦτο ἀρκετὸν διὰ σὲ τὸ νὰ ζῇς χωρὶς ταλαιπωρίας, νὰ περιβάλλεσαι μὲν μὲ τὸ σῶμα, χωρὶς ὅμως νὰ χρειάζεσαι τίποτε ἀπὸ τὰ σωματικά; τὸ νὰ ἀπολαμβάνῃς ὅλα τὰ ἀγαθὰ τοῦ παραδείσου ἐκτὸς ἀπὸ ἕνα δένδρον; τὸ νὰ ὑποτάσσωνται εἰς σᾶς ὅλα τὰ ὁρατὰ πράγματα καὶ νὰ ἔχετε τὴν ἐξουσίαν ἐπάνω εἰς ὅλα τὰ δημιουργήματα; ἀλλὰ ἤλπισες ὅτι θὰ φθάσῃς καὶ εἰς τὴν ὑψίστην κορυφὴν μὲ τὰς ἀπατηλὰς ἐλπίδας; Διὰ τοῦτο θὰ μάθῃς ἀπὸ τὰ ἴδια τὰ πράγματα, ὅτι ὄχι μόνον δὲν θὰ κατορθώσῃς ἐκεῖνα, ἀλλὰ θὰ στερήσῃς καὶ τὸν ἑαυτόν σου καὶ τὸν ἄνδρα σου ἀπὸ ὅλα τὰ ἀγαθά, ποὺ σᾶς εἶχαν δοθῆ μέχρι τώρα· καὶ θὰ φθάσετε εἰς τέτοιαν μετάνοιαν, ὥστε σεῖς μὲν μετανοεῖτε ἄσκοπα, ὁ δὲ πονηρὸς δαίμων, ποὺ σᾶς ἔδωσε τὴν καταστρεπτικὴν αὐτὴν συμβουλήν, νὰ γελᾷ καὶ νὰ σᾶς καταπατῇ, ἐπειδὴ εἰς τὸ ἑξῆς θὰ εὑρίσκεσθε εἰς κατάστασιν πτώσεως καὶ ἔχετε πάθει τὰ ἴδια μὲ ἐκεῖνον. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ἐξεδιώχθη ἀπὸ τὴν τιμήν, ποὺ τοῦ εἶχε δοθῆ, καὶ ἐρρίφθη ἀπὸ τοὺς οὐρανοὺς εἰς τὴν γῆν, ὅταν ὑπερηφανεύθη· τοῦτο ἠθέλησε νὰ κάμῃ καὶ εἰς σᾶς, καὶ μὲ τὴν παράβασιν τῆς ἐντολῆς ἠθέλησε νὰ σᾶς ὁδηγήσῃ εἰς τὴν τιμωρίαν τοῦ θανάτου καὶ νὰ ἱκανοποιήσῃ τὸν φθόνον του, καθὼς ἔλεγε καὶ κάποιος σοφός· «Ἐξ αἰτίας τοῦ φθόνου τοῦ διαβόλου, ὁ θάνατος εἰσῆλθεν εἰς τόν κόσμον»*. «Καὶ ἔδωσε, λέγει ἡ Γραφή, καὶ εἰς τὸν ἄνδρα της· καὶ ἔφαγαν καὶ ἤνοιξαν τὰ μάτια των». Μεγάλη εἶναι καὶ ἡ ἀδιαφορία τοῦ ἀνδρός. Καὶ ἂν βέβαια ἦτο ἀπὸ τὸ ἴδιον γένος, καὶ ἂν ἦτο γυναῖκα του, ἔπρεπεν ὅμως νὰ ἠχῇ συνεχῶς εἰς τὰ αὐτιά του ἡ ἐντολὴ τοῦ Θεοῦ, νὰ προτιμᾷ περισσότερον νὰ ἐφαρμόζῃ αὐτήν, παρὰ τὴν ἄκαιρον ἐπιθυμίαν τῆς γυναικός· καὶ νὰ μὴ γίνῃ συμμέτοχος εἰς τὴν παράβασιν, οὔτε ἐξ αἰτίας μιᾶς συντόμου ἀπολαύσεως νὰ στερήσῃ τὸν ἑαυτόν του ἀπὸ τόσα ἀγαθά, καὶ νὰ μὴ ἔλθῃ εἰς σύγκρουσιν μὲ τὸν μεγάλον εὐεργέτην του, ὁ ὁποῖος ἐπέδειξε καὶ τόσον μεγάλην φιλανθρωπίαν καὶ ἐχάρισεν εἰς αὐτὸν ζωὴν

ἀπηλλαγμένον βίον χαρισαμένῳ. Μὴ γὰρ οὐκ ἐξῆν τῶν ἄλλων ἁπάντων τῶν ἐν τῷ παραδείσῳ μετὰ δαψιλείας ἀπολαύειν; τίνος ἕνεκεν οὕτως εὔκολον οὖσαν τὴν ἐντολὴν φυλάξαι οὐδὲ αὐτὸς ἠβουλήθης; Ἀλλ' ἴσως ἀκούσας παρὰ τῆς γυναικὸς τῆς ὀλεθρίου συμβουλῆς τὴν ὑπόσχεσιν, καὶ τῇ ἐλπίδι καὶ αὐτὸς φυσηθείς, ἑτοίμως ἐκοινώνησας τῆς βρώσεως. Διὰ τοῦτο καὶ τὸ ἐπιτίμιον ἀμφοτέρους διαδέχεται, καὶ τῶν πραγμάτων ἡ πεῖρα διδάξει ὑμᾶς, μὴ τοῦ Θεοῦ ἀξιοπιστοτέραν ἡγεῖσθαι τὴν τοῦ πονηροῦ δαίμονος συμβουλήν. «Καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς· καὶ ἔφαγον, καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν».

5. Ζήτημα μέγιστον ἡμῖν ἐντεῦθεν τίκτεται, ὅπερ πρώην ὑπεσχόμην τῇ ὑμετέρᾳ ἀγάπῃ. Δικαίως γὰρ ἄν τις ἔροιτο, τίνα ἰσχὺν εἶχε τὸ ξύλον ἐκεῖνο, ὥστε τὴν ἐξ αὐτοῦ βρῶσιν τοὺς ὀφθαλμοὺς αὐτῶν διανοῖξαι, καὶ διὰ τί γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται. Καὶ εἰ βούλεσθε, ἀνάσχεσθε· μικρὰ γὰρ ὑμῖν καὶ περὶ τούτου διαλεχθῆναι βούλομαι, καὶ διδάξαι τὴν ὑμετέραν ἀγάπην, ὅτι εἰ βουληθείημεν εὐγνωμόνως δέχεσθαι τὰ ἐν τῇ θείᾳ Γραφῇ λεγόμενα, οὐδὲν ἡμῖν τῶν ἰρημένω δυσχερὲς φανεῖται. Οὐδὲ γὰρ ἡ ἐκ τοῦ ξύλου βρῶσις αὐτῶν τοὺς ὀφθαλμοὺς διήνοιξε· καὶ γὰρ καὶ πρὸ τῆς βρώσεως ἔβλεπον· ἀλλ' ἐπειδὴ ἡ τούτου βρῶσις παρακοῆς ἦν ὑπόθεσις, καὶ τῆς παρὰ τοῦ Θεοῦ δοθείσης ἐντολῆς παράβασις, δι' ἣν αἰτίαν λοιπὸν καὶ τὴν δόξαν τὴν περιστέλλουσαν αὐτοὺς ἀφῃρέθησαν, ἀναξίους ἑαυτοὺς τῆς τιμῆς τῆς τοσαύτης καταστήσαντες· διὰ τοῦτο τῇ οἰκείᾳ συνηθείᾳ κατακολουθοῦσα ἡ Γραφή φησιν· «Ἔφαγον, καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν»· διὰ τὴν παράβασιν τῆς ἐντολῆς γυμνωθέντες τῆς ἄνωθεν ῥοπῆς, αἴσθησιν λαμβάνουσα καὶ τῆς αἰσθητῆς γυμνότητος, ἵνα διὰ τῆς καταλαβούσης αὐτοὺς αἰσχύνης γνῶ-

ἀπηλλαγμένην ἐντελῶς ἀπὸ κάθε θλῖψιν καὶ κόπον. Μήπως δὲν ἐπετρέπετο νὰ ἀπολαμβάνης μὲ ἀφθονίαν ὅλα τὰ ἄλλα ἀγαθὰ τοῦ παραδείσου; Διὰ ποῖον λόγον οὔτε σὺ ἠθέλησες νὰ τηρήσης τὴν ἐντολήν, ἐνῷ ἦτο τόσον εὔκολος; Ἀλλ' ἴσως, ἐπειδὴ ἤκουσες ἀπὸ τὴν γυναῖκα τὴν ὑπόσχεσιν τῆς καταστρεπτικῆς συμβουλῆς καὶ ὑπερηφανεύθης καὶ σὺ ὁ ἴδιος ἐξ αἰτίας τῆς ἐλπίδος, ἀμέσως ἔγινες συμμέτοχος τῆς βρώσεως τοῦ καρποῦ. Διὰ τοῦτο καὶ ἡ τιμωρία ἔρχεται καὶ εἰς τοὺς δύο, ἡ δὲ πεῖρα τῶν πραγμάτων θὰ σᾶς διδάξη, νὰ μὴ θεωρῆτε τὴν συμβουλὴν τοῦ πονηροῦ δαίμονος περισσότερον ἀξιόπιστον ἀπὸ τὸν Θεόν. «Ἔδωσε δὲ καὶ εἰς τὸν ἄνδρα της· καὶ ἔφαγαν, καὶ ἤνοιξαν τὰ μάτια καὶ τῶν δύο, καὶ ἀντελήφθησαν ὅτι ἦσαν γυμνοί».

5. Ἀπ' ἐδῶ γεννᾶται δι' ἡμᾶς μέγα ζήτημα, τὸ ὁποῖον εἶχα ὑποσχεθῆ προηγουμένως εἰς τὴν ἀγάπην σας. Δικαίως λοιπὸν θὰ ἠμποροῦσε νὰ ἐρωτήση κανείς· ποίαν δύναμιν εἶχε τὸ δένδρον ἐκεῖνο, ὥστε ἡ βρῶσις ἀπ' αὐτὸ νὰ ἀνοίξη τὰ μάτια των καὶ διατί ὀνομάζεται δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Ἐὰν δὲ θέλετε, κάνετε ὑπομονήν· διότι ἐπιθυμῶ νὰ σᾶς ὁμιλήσω ὀλίγον καὶ περὶ τοῦ θέματος αὐτοῦ καὶ νὰ διδάξω τὴν ἀγάπην σας, ὅτι, ἐὰν θὰ θελήσωμεν νὰ δεχθοῦμεν μὲ ἀγαθὴν διάθεσιν τὰ λόγια τῆς Ἁγίας Γραφῆς, τίποτε δὲν θὰ φανῆ δύσκολον εἰς ἡμᾶς ἀπὸ ὅσα ἐλέχθησαν. Βέβαια δὲν ἤνοιξε τὰ μάτια αὐτῶν ἡ βρῶσις ἀπὸ τὸ δένδρον, διότι καὶ πρὶν ἀπὸ τὴν βρῶσιν ἔβλεπαν· ἀλλ' ἐπειδὴ ἡ βρῶσις ἀπ' αὐτὸ ἦτο ὑπόθεσις παρακοῆς καὶ παράβασις τῆς ἐντολῆς, ποὺ ἐδόθη ἀπὸ τὸν Θεόν, ἐξ αἰτίας τῆς ὁποίας ἔχασαν εἰς τὸ μέλλον καὶ τὴν δόξαν, ἡ ὁποία περιέβαλλεν αὐτούς, ἐπειδὴ κατέστησαν τοὺς ἑαυτοὺς των ἀναξίους τῆς τόσον μεγάλης τιμῆς· διὰ τοῦτο κατὰ τὴν ἰδικήν της συνήθειαν ἡ Γραφὴ λέγει· «Ἔφαγαν καὶ ἤνοιξαν τὰ μάτια των, καὶ ἀντελήφθησαν ὅτι ἦσαν γυμνοί». Ἐξ αἰτίας τῆς παραβάσεως τῆς ἐντολῆς, ἀφοῦ ἐγυμνώθησαν ἀπὸ τὴν χάριν τοῦ Θεοῦ, ἀντιλαμβάνονται καὶ τὴν αἰσθητὴν των γυμνότητα, διὰ νὰ γνωρίσουν ἀκριβῶς, εἰς ποῖον μέγα σφάλμα ὡδήγησεν αὐτοὺς

σιν ἀκριβῶς, εἰς οἷον αὐτοὺς ὄλισθον ἤγαγε τὸ παραβῆναι τὴν ἐντολὴν τοῦ Δεσπότου. Οἱ γὰρ πρὸ τούτου τοσαύτης παρρησίας ἀπολαύσαντες, καὶ οὐδὲ εἰδότες ὅτι γυμνοὶ τυγχάνουσιν· οὐδὲ γὰρ ἦσαν γυμνοί· ἡ γὰρ ἄνωθεν δόξα παντὸς ἱματίου μᾶλλον αὐτοὺς περιέσκεπε· μετὰ δὲ τὴν βρῶσιν, τοῦτ' ἔστι, μετὰ τὴν παράβασιν τῶν προσταχθέντων, εἰς τοσαύτην ταπεινότητα κατηνέχθησαν, ὡς σκέπην λοιπὸν ἐπιζητεῖν διὰ τὸ μὴ φέρειν τὴν αἰσχύνην. Ἡ γὰρ παράβασις τῆς ἐντολῆς ἐπεισελθοῦσα, τὸ ἱμάτιον ἐκεῖνο τὸ καινὸν καὶ παράδοξον, τὸ τῆς δόξης λέγω, καὶ τῆς ἄνωθεν εὐνοίας, ὅπερ ἦσαν ἠμφιεσμένοι, περιελοῦσα, καὶ τῆς γυμνότητος αἴσθησιν παρέσχε, καὶ αἰσχύνῃ ἀφάτῳ περιέβαλε. «Καὶ ἔρραψαν», φησί, «φύλλα συκῆς, καὶ ἐποίησαν αὐτοῖς περιζώματα». Ἐννόησόν μοι, ἀγαπητέ, ἀπὸ ποταποῦ ὕψους πῶς εἰς βαθὺν κρημνὸν αὐτοὺς κατήγαγεν ἡ παρὰ τοῦ διαβόλου συμβουλή. Οἱ γὰρ τοσαύτῃ δόξῃ περιεσταλμένοι, νῦν φύλλα συκῆς ῥάπτουσι, καὶ ποιοῦσιν ἑαυτοῖς περιζώματα. Τοῦτο τῆς τοῦ διαβόλου ἀπάτης τὸ κέρδος· αὕτη τῆς συμβουλῆς ἐκείνου ἡ μηχανή, τὸ μὴ μόνον τὰ μείζονα μὴ προξενῆσαι, ἀλλὰ καὶ τῶν ὄντων γυμνὸν καὶ ἔρημον ἀποφῆναι. Ἐπεὶ οὖν ἡ τοιαύτη πρόφασις τῆς βρώσεως τὴν παρακοὴν εἰργάσατο, διὰ τοῦτό φησιν ἡ Γραφή, «Καὶ ἔφαγον, καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί», οὐ περὶ τῶν αἰσθητῶν ὀφθαλμῶν φάσκουσα, ἀλλὰ περὶ τῆς κατὰ διάνοιαν αἰσθήσεως. Ἐπειδὴ γὰρ παρέβησαν τὰ προστεταγμένα αἰσθάνεται αὐτοὺς λοιπὸν ἐποίησεν, ὧν πρότερον οὐκ ἐλάμβανον αἴσθησιν διὰ τὴν εὔνοιαν, ἣν περὶ αὐτοὺς ὁ Δεσπότης ἐπεδείκνυτο. Ὅταν οὖν ἀκούσῃς, ὅτι «Διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί», τοῦτο νόει, ὅτι παρεσκεύασεν αὐτοὺς αἴσθησιν λαβεῖν λοιπὸν τῆς γυμνότητος, καὶ τῆς ἐκπτώσεως τῆς δόξης, ἧς πρὸ τῆς βρώσεως ἀπήλαυον. Ὅτι δὲ τοῦτο τῆς Γραφῆς ἐστι τὸ

ἡ παράβασις τῆς ἐντολῆς τοῦ Κυρίου, διὰ τῆς ἐντροπῆς ποὺ τοὺς κατέλαβεν. Ἐκεῖνοι πρὶν ἀπὸ τὸ γεγονὸς αὐτὸ εἶχαν τόσην μεγάλην παρρησίαν καὶ δὲν ἐγνώριζαν ὅτι ἦσαν γυμνοί. Καὶ πράγματι δὲν ἦσαν, διότι ἡ θεϊκὴ δόξα ἐσκέπαζεν αὐτοὺς καλύτερα ἀπὸ ὁποιοδήποτε ἔνδυμα. Ὕστερα ὅμως ἀπὸ τὴν βρῶσιν, δηλαδὴ μετὰ τὴν παράβασιν τῆς ἐντολῆς, ὡδηγήθησαν εἰς τόσον μεγάλην ταπείνωσιν, ὥστε νὰ ἐπιζητοῦν εἰς τὸ ἑξῆς καλύμματα, ἐπειδὴ δὲν ἠμποροῦσαν νὰ ὑποφέρουν τὴν ἐντολὴν τῆς γυμνότητος. Διότι ὅταν εἰσῆλθεν ἀνάμεσα εἰς αὐτοὺς καὶ τὸν Θεὸν ἡ παράβασις τῆς ἐντολῆς, ἀφοῦ τοὺς ἀφήρεσεν ἐκεῖνο τὸ νέον καὶ παράδοξον ἔνδυμα, δηλαδὴ τὸ ἔνδυμα τῆς δόξης καὶ τῆς ἀγάπης τοῦ Θεοῦ, τὸ ὁποῖον ἦσαν ἐνδεδυμένοι, τοὺς ἔκαμε νὰ αἰσθανθοῦν τὴν γυμνότητά των καὶ τοὺς περιέβαλε μὲ ἀπερίγραπτον ἐντροπήν. «Καὶ ἔρραψαν, λέγει ἡ Γραφή, φύλλα συκιᾶς καὶ ἔκαμαν διὰ τοὺς ἑαυτούς των ζώνας». Κατανόησε, παρακαλῶ ἀγαπητέ, πῶς ἡ συμβουλὴ τοῦ διαβόλου ἔρριψεν αὐτοὺς ἀπὸ ὑπερβολικὸν ὕψος εἰς βαθὺν κρημνόν. Ἐκεῖνοι ποὺ περιεβάλλοντο μὲ τόσην δόξαν, τώρα ράπτουν φύλλα συκιᾶς καὶ κάνουν διὰ τὸν ἑαυτόν των ζώνας. Αὐτὸ εἶναι τὸ κέρδος τῆς ἀπάτης τοῦ διαβόλου· αὐτὸ εἶναι τὸ τέχνασμα τῆς συμβουλῆς του, δηλαδὴ τὸ μὴ προξενήσῃ μόνον μεγαλύτερον κέρδος, ἀλλὰ καὶ νὰ παραστήσῃ τὸν ἄνθρωπον γυμνὸν καὶ ἔρημον, ἀπὸ ὅσα κατέχει. Ἐπειδὴ λοιπὸν ἡ πρόφασις αὐτὴ τῆς βρώσεως ἐπροξένησε τὴν παρακοήν, διὰ τοῦτο λέγει ἡ Γραφή, «Καὶ ἔφαγαν, καὶ ἤνοιξαν τὰ μάτια των», ὁμιλοῦσα ὄχι διὰ τὰ αἰσθητὰ μάτια, ἀλλὰ διὰ τὴν αἴσθησιν τῆς διανοίας των. Ἐπειδὴ λοιπὸν παρέβησαν τὴν προσταγὴν τοῦ Θεοῦ, τοὺς ἔκαμε νά αἰσθάνωνται εἰς τό ἑξῆς, ὅσα προηγουμένως δὲν ᾐσθάνοντο ἐξ αἰτίας τῆς ἀγάπης, ποὺ ἐδείκνυε πρὸς αὐτοὺς ὁ Κύριος. Ὅταν λοιπὸν θὰ ἀκούσῃς, ὅτι «ἠνοίγησαν τὰ μάτια αὐτῶν», τοῦτο νὰ ἐννοῇς, ὅτι ἔκαμεν αὐτούς νὰ ἀντιληφθοῦν εἰς τὸ μέλλον τὴν γυμνότητά των καὶ τὴν πτῶσιν των ἀπὸ τὴν δόξαν, τὴν ὁποίαν ἀπελάμβαναν πρὶν ἀπὸ τὴν βρῶσιν. Ὅτι τοῦτο συνηθίζε-

ἔθος ἄκουε αὐτῆς καὶ ἀλλαχοῦ λεγούσης· ἡνίκα γὰρ ἡ παιδίσκη τῆς Σάρρας ἀποδιδράσκουσα τὴν δεσποτείαν ἐπλανᾶτο, ρίψασα τὸ παιδίον πλησίον μιᾶς ἐλάτης, ἀπὸ διαστήματος περιεσκόπει τούτου τὴν τελευτήν, καί φησι· «Διήνοιξεν ὁ Θεὸς τοὺς ὀφθαλμοὺς τῆς Ἄγαρ», οὐκ ἐπειδὴ πρὸ τούτου οὐκ ἔβλεπεν, ἀλλ' ὅτι τὴν διάνοιαν αὐτῆς διήγειρεν. Ὁρᾷς ὅτι τὸ «Διήνοιξεν», οὐ περὶ τῶν σωματικῶν ὀφθαλμῶν λέγει, ἀλλὰ περὶ τῆς αἰσθήσεως τῆς κατὰ διάνοιαν; Τὸ αὐτὸ ἂν εἴποιμεν καὶ περὶ τοῦ ἑτέρου ζητήματος τοῦ ἐντεῦθεν ἀνακύπτοντος. Φασὶ γάρ· διὰ τί τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται; Καὶ γὰρ πολλοὶ τῶν φιλονείκως διακειμένων λέγειν ἐπιχειροῦσιν, ὅτι μετὰ τὴν βρῶσιν τοῦ ξύλου τὴν γνῶσιν ἔσχεν ὁ Ἀδὰμ τοῦ διακρίνειν τὸ καλὸν καὶ τὸ χεῖρον· τοῦτο δὲ τῆς ἐσχάτης ἂν εἴη ἀνοίας. Διὰ τοῦτο γὰρ πρώην ταῦτα προορῶντες, τοσαῦτα περὶ τῆς σοφίας τῆς παρὰ τοῦ Θεοῦ παρασχεθείσης τῷ ἀνθρώπῳ διεξήλθομεν, δεικνύντες ταύτην ἐκ τῆς τῶν ὀνομάτων θέσεως, ἣν τοῖς θηρίοις πᾶσι, καὶ τοῖς πετεινοῖς, καὶ τοῖς ἀλόγοις ἐπέθηκεν, καὶ ὅτι μετὰ τῆς ἀφάτου ταύτης σοφίας καὶ προφητικοῦ χαρίσματος ἦν ἠξιωμένος, ἵνα μηδενὶ ἐξῇ τοῦτο λέγειν. Ὁ τοίνυν καὶ τὰς προσηγορίας ἐπιθείς, καὶ προφητεύσας τὴν οὕτω θαυμαστὴν προφητείαν περὶ τῆς γυναικός, καθάπερ ἤδη εἰρήκαμεν, πῶς ἂν ἠγνόει τί μὲν καλόν, τί δὲ πονηρόν; Εἰ γὰρ δὴ τοῦτο καταδεξώμεθα (ὃ μὴ γένοιτο), πάλιν εἰς τὸν δημιουργὸν τὰ τῆς βλασφημίας μετενεχθήσεται. Πῶς γὰρ καὶ ἐνετέλλετο ἀγνοοῦντι, ὅτι κακὸν ἡ παράβασις; Ἀλλ' οὐκ ἔστι τοῦτο, μὴ γένοιτο· ἀλλ' ᾔδει σαφῶς. Διὰ γὰρ τοῦτο ἐξ ἀρχῆς αὐτεξούσιον τουτὶ τὸ ζῶον κατεσκεύασεν. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὔτε παραβάντα τὴν ἐντολὴν κολασθῆναι ἔδει, οὔτε φυλάξαντα ἀποδοχῆς ἀξιωθῆναι. Ὅτι γὰρ διὰ τὴν παράβασιν θνητὸς γέ-

7. Πρόκειται διὰ τὴν ἔρημον Βηρσαβεέ.
8. Γεν. 21, 19. Ἡ Ἄγαρ ἦτο δούλη τοῦ Ἀβραὰμ μὲ τὴν ὁποίαν ἀπέκτησαν υἱόν, τὸν Ἰσμαήλ. Διὰ τὸ ἀναφερόμενον περιστατικὸν βλ. Γεν. 21, 8 - 21.

ται εἰς τὴν Ἁγίαν Γραφήν, ἄκουσέ την νὰ λέγη εἰς ἄλλο σημεῖον· ὅταν ἡ δούλη τῆς Σάρρας ἐπλανᾶτο εἰς τὴν ἔρημον[7], διωγμένη ἀπὸ τὸν οἶκον τοῦ Ἀβραάμ, καὶ παρετηροῦσε ἀπὸ μακρὰν τὸν θάνατον τοῦ τέκνου της, ποὺ ἐγκατέλειψε πλησίον μιᾶς ἐλάτης, λέγει: «Ἤνοιξεν ὁ Θεὸς τὰ μάτια τῆς Ἄγαρ»[8], ὄχι ἐπειδὴ δὲν ἔβλεπε προηγουμένως, ἀλλὰ διότι ἐφώτισε τὴν διάνοιαν αὐτῆς. Βλέπεις, ὅτι τὸ «Ἤνοιξε», δὲν τὸ ἀναφέρει εἰς τὰ μάτια τοῦ σώματος, ἀλλὰ εἰς τὰ μάτια τῆς διανοίας; Τὸ αὐτὸ ἠμποροῦμεν νὰ εἰποῦμεν καὶ διὰ τὸ ἄλλο ζήτημα, ποὺ προκύπτει ἀπ' ἐδῶ. Λέγουν λοιπὸν μερικοί· διατί τὸ δένδρον ὀνομάζεται τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ; Διότι πράγματι πολλοί, ἀπὸ ἐκείνους ποὺ φιλονεικοῦν δι' αὐτά, προσπαθοῦν νὰ ἑρμηνεύσουν τὰ λόγια αὐτὰ λέγοντες, ὅτι ὁ Ἀδὰμ ἀπέκτησε τὴν γνῶσιν νὰ διακρίνῃ τὸ καλὸν καὶ τὸ κακὸν μετὰ τὴν βρῶσιν ἀπὸ τὸ δένδρον· τοῦτο ὅμως θὰ εἶναι χαρακτηριστικὸν τῆς ὑπερβολικῆς ἀνοησίας. Διὰ τοῦτο ἀκριβῶς, ἐπειδὴ προεβλέπαμεν αὐτὰ εἰς προηγουμένας ὁμιλίας, ὡμιλήσαμεν λεπτομερῶς περὶ τῆς σοφίας, ποὺ ἐδόθη ἀπὸ τὸν Θεὸν εἰς τὸν ἄνθρωπον, ἀποδεικνύοντες αὐτὴν ἀπὸ τὰ ὀνόματα, τὰ ὁποῖα ἔθεσεν εἰς ὅλα τὰ θηρία καὶ τὰ πτηνὰ καὶ τὰ ἄλογα ζῶα· καὶ ὅτι μαζὶ μὲ τὴν ἀνείπωτην αὐτὴν σοφίαν εἶχεν ἀξιωθῆ καὶ τὸ προφητικὸν χάρισμα, ὥστε νὰ μὴ ἐπιτρέπεται εἰς κανένα νὰ λέγῃ αὐτό. Ἐκεῖνος λοιπὸν ποὺ ἔδωσε τὰ ὀνόματα καὶ ἔκαμε μίαν θαυμαστὴν προφητείαν διὰ τὴν γυναῖκα, ὅπως ἔχομεν ἤδη εἰπῆ, πῶς θὰ ἦτο δυνατὸν νὰ ἀγνοῇ τί εἶναι καλὸν καὶ τί πονηρόν; Ἐὰν βέβαια θὰ δεχθοῦμεν αὐτὸ (πρᾶγμα τὸ ὁποῖον εὐχόμεθα νὰ μὴ γίνῃ ποτέ), πάλιν εἰς τὸν Δημιουργὸν θὰ ἀποδοθῇ ἡ αἰτία τῆς βλασφημίας. Διότι πῶς θὰ τοῦ ἔδιδεν ἐντολήν, ἐὰν δὲν ἐγνώριζεν, ὅτι ἡ παράβασις εἶναι κακόν; Ἀλλὰ δὲν συμβαίνῃ αὐτό· μὴ γένοιτο. Ἀντίθετα ἐγνώριζε πολὺ καλά. Διότι τοῦτο, ἀπὸ τὴν ἀρχὴν ἐδημιούργησε τὸν ἄνθρωπον αὐτεξούσιον. Ἐὰν λοιπὸν δὲν ἦτο αὐτεξούσιος, οὔτε ἔπρεπε νὰ τιμωρηθῇ, ὅταν παρέβη τὴν ἐντολήν, οὔτε νὰ θεωρηθῇ ἄξιος ἀμοιβῆς, ἐὰν τὴν ἐφύλασσεν. Ὅτι ἔχει

γονε, δῆλον καὶ ἐξ αὐτῆς τῆς ἐντολῆς, καὶ ἐκ τῶν μετὰ ταῦτα συμβάντων. Ἄκουε γὰρ αὐτῆς τῆς γυναικὸς λαλούσης τῷ ὄφει, «Ἀπὸ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός, οὐ μὴ φάγεσθε ἀπ' αὐτοῦ, ἵνα μὴ ἀποθάνητε». Ὥστε πρὸ τῆς βρώσεως ἀθάνατοι ἐτύγχανον· εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν μετὰ τὴν βρῶσιν ἐν τάξει τιμωρίας αὐτοῖς ἐπήγαγε τὸν θάνατον.

6. Τίς ἂν οὖν ἀνάσχοιτο τῶν λέγειν βουλομένων, ὅτι μετὰ τὴν ἀπὸ τοῦ ξύλου βρῶσιν ἔσχε τὴν γνῶσιν τοῦ τε καλοῦ καὶ τοῦ πονηροῦ ὁ ἄνθρωπος, ὁπότε καὶ πρὸ τῆς βρώσεως τοσαύτης ἦν σοφίας πεπληρωμένος, καὶ μετὰ τῆς σοφίας καὶ προφητικοῦ χαρίσματος ἠξιωμένος; Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον, αἶγας μὲν καὶ πρόβατα, καὶ πᾶσαν τὴν τῶν ἀλόγων φύσιν εἰδέναι, ποία μὲν βοτάνη πρὸς τροφὴν ἐπιτηδεία, ποία δὲ ὀλεθρία, καὶ τῶν μὲν ἀπέχεσθαι μετὰ πολλῆς τῆς σπουδῆς, ταῖς δὲ ἐπιτρέχειν· τὸν δὲ ἄνθρωπον, τὸ λογικὸν ζῶον, ἀγνοεῖν τί μὲν καλόν, τί δὲ πονηρόν; Ἀλλ' ἰδού, φησί, ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ αὐτὸ ἐκάλεσεν ἡ Γραφή. Οἶδα κἀγὼ· ἀλλ' ἐὰν τὰ ἰδιώματα τῆς θείας Γραφῆς μαθεῖν βουληθῆς, εἴσῃ τίνος ἕνεκεν τὴν ὀνομασίαν ταύτην ἐπέθηκε τῷ ξύλῳ. Οὐ γὰρ ἐπειδὴ αὐτὸ τὴν γνῶσιν παρεῖχεν, οὕτως ἐκαλεῖτο· ἀλλ' ἐπειδὴ περὶ αὐτὸ γέγονεν ἡ παράβασις τῆς ἐντολῆς, καὶ ἐξ ἐκείνου λοιπὸν τῆς ἁμαρτίας ἐπεισῆλθεν ἡ γνῶσις, καὶ ἡ αἰσχύνη, διὰ τοῦτο οὕτως ἐκέκλητο. Ἔθος γὰρ τῇ θείᾳ Γραφῇ ἀπὸ τῶν συμβαινόντων πραγμάτων τὴν ὀνομασίαν τοῖς τόποις ἐπιτιθέναι, ἔνθα ἂν συμβαίνῃ τὰ πράγματα. Διὰ τοῦτο οὖν καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ ὠνόμασεν ἡ θεία Γραφή, ἐπειδὴ περὶ αὐτὸ ἦν ἡ παράβασις καὶ ἡ φυλακὴ τῆς ἐντολῆς. Ὁ γὰρ φιλάνθρωπος Δεσπότης ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων παιδεύων τὸν ἄνθρωπον, καὶ διδάξαι βουλόμενος αὐτόν, ὅτι ἔχει δημιουργὸν καὶ ποιητὴν τὸν τὰ ὁρώμενα πάν-

γίνει θνητὸς ἐξ αἰτίας τῆς παραβάσεως, εἶναι φανερὸν καὶ ἀπὸ τὴν ἰδίαν τὴν ἐντολὴν καὶ ἀπὸ ὅσα συνέβησαν ὕστερα ἀπ' αὐτά. Ἄκουε τὴν γυναῖκα τὴν ἰδίαν, ὅταν ὁμιλῇ πρὸς τὸν ὄφιν· «Ἀπὸ τὸν καρπὸν τοῦ δένδρου, ποὺ εὑρίσκεται εἰς τὸ μέσον τοῦ παραδείσου, εἶπεν ὁ Θεός, νὰ μὴ φάγετε ἀπ' αὐτό, διὰ νὰ μὴ ἀποθάνετε». Συνεπῶς πρὶν ἀπὸ τὴν βρῶσιν ἦσαν ἀθάνατοι· διότι ἐὰν δὲν ἦσαν, δὲν θὰ ἔδιδεν εἰς αὐτοὺς ὡς τιμωρίαν τὸν θάνατον μετὰ τὴν βρῶσιν.

6. Ποῖος λοιπὸν θὰ ἠμποροῦσε νὰ ἀνεχθῇ ἐκείνους ποὺ θέλουν νὰ λέγουν, ὅτι ὁ ἄνθρωπος ἀπέκτησε τὴν γνῶσιν τοῦ καλοῦ καὶ τοῦ κακοῦ μετὰ τὴν βρῶσιν ἀπὸ τὸ δένδρον, ὅταν καὶ πρὶν ἀπὸ τὴν βρῶσιν ἦτο πλήρης τόσης σοφίας καὶ ἦτο προικισμένος μαζὶ μὲ τὴν σοφίαν καὶ μὲ τὸ προφητικὸν χάρισμα; Καὶ πῶς θὰ ἦτο δυνατὸν νὰ εἶναι λογικόν, αἱ μὲν γίδες καὶ τὰ πρόβατα, καθὼς καὶ ὅλα τὰ ἄλογα ζῶα νὰ γνωρίζουν, ποῖα χόρτα εἶναι κατάλληλα πρὸς διατροφὴν καὶ ποῖα ἐπιβλαβῆ, καὶ μὲ μεγάλην προσοχὴν νὰ ἀπομακρύνωνται ἀπὸ τὰ δεύτερα, ἐνῷ νὰ τρέχουν μὲ ὁρμὴν πρὸς τὰ πρῶτα· ὁ δὲ ἄνθρωπος, τὸ λογικὸν ζῶον, νὰ ἀγνοῇ τί εἶναι καλὸν καὶ τί πονηρόν; Καὶ ὅμως, θὰ εἴπῃ κάποιος, ἡ Γραφὴ ὠνόμασεν αὐτὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Γνωρίζω καὶ ἐγώ· ἀλλ' ἐὰν θελήσῃς νὰ μάθῃς τὰ ἰδιαίτερα χαρακτηριστικὰ τῆς Ἁγίας Γραφῆς, θὰ γνωρίσῃς διὰ ποῖον λόγον ἔδωσε τὴν ὀνομασίαν αὐτὴν εἰς τὸ δένδρον. Βέβαια δὲν ὠνομάζετο ἔτσι, ἐπειδὴ αὐτὸ παρεῖχε τὴν γνῶσιν· ἀλλ' ἐπειδὴ γύρω ἀπ' αὐτὸ ἔγινεν ἡ παράβασις τῆς ἐντολῆς, καὶ ἀπὸ ἐκεῖνο προῆλθεν εἰς τὸ ἑξῆς ἡ γνῶσις τῆς ἁμαρτίας καὶ ἡ ἐντροπή, διὰ τοῦτο ὠνομάσθη ἔτσι. Εἶναι συνήθεια τῆς Ἁγίας Γραφῆς νὰ δίδῃ ὀνόματα εἰς τοὺς τόπους, ἀπὸ τὰ συμβαίνοντα γεγονότα εἰς αὐτούς. Διὰ τοῦτο λοιπὸν ἡ Ἁγία Γραφὴ ὠνόμασε καὶ τὸ δένδρον αὐτὸ τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἐπειδὴ μὲ αὐτὸ ἐσυνδέετο ἡ παράβασις καὶ ἡ φύλαξις τῆς ἐντολῆς. Ὁ φιλάνθρωπος Κύριος ἐπιθυμῶν ἀμέσως ἀπὸ τὴν ἀρχὴν νὰ παιδαγωγήσῃ καὶ νὰ διδάξῃ τὸν ἄνθρωπον, ὅτι ἔχει δημιουργὸν καὶ κτίστην ἐκεῖνον, ποὺ ἐδημιούργησε

τα παραγαγόντα, καὶ αὐτὸν διαπλάσαντα, διὰ τῆς μικρᾶς ταύτης ἐντολῆς τὴν οἰκείαν αὐτὸ δεσποτείαν δεικνύναι ἐβούλετο· καὶ ὡσανεὶ δεσπότης φιλότιμος οἶκον μέγαν καὶ θαυμαστόν τινι παρεσχηκὼς πρὸς ἀπόλαυσιν, οὐ τὴν ἀξίαν τιμήν, ἀλλὰ βραχύ τι μέρος λαμβάνειν βούλεται, ὥστε καὶ αὐτῷ τὰ τῆς δεσποτείας φυλάττεσθαι, κἀκεῖνον ἀκριβῶς εἰδέναι, ὡς οὐ τῆς κτήσεως δεσπότης ἐστίν, ἀλλὰ χάριτι καὶ φιλοτιμίᾳ τῆς χρήσεως ἀπολαύει· οὕτω καὶ ὁ Δεσπότης ὁ ἡμέτερος πάντα τὰ ὁρώμενα ἐμπιστεύσας τῷ ἀνθρώπῳ, καὶ τὴν ἐν τῷ παραδείσῳ διαγωγήν, καὶ πάντων τῶν ἐν αὐτῷ παρεσχηκὼς τὴν ἀπόλαυσιν, ἵνα μὴ κατὰ μικρὸν ὑποσυρεὶς τὴν διάνοιαν, νομίσῃ αὐτόματα εἶναι τὰ ὁρώμενα, καὶ πλέον τι τῆς οἰκείας ἀξίας φαντασθῇ, κελεύει τοῦ ἑνὸς ἀπέχεσθαι ξύλου, σφοδρὸν τὸ ἐπιτίμιον ὁρίσας, εἰ παραβαίη, ἵνα εἰδέναι ἔχῃ, ὡς ὑπὸ δεσπότην ἐστί, καὶ ὅτι καὶ τῶν λοιπῶν μετέχει διὰ τὴν τοῦ Δεσπότου φιλοτιμίαν. Ἀλλ' ἐπειδὴ πολλῇ τῇ ἀπροσεξίᾳ χρησάμενος, ἅμα τῇ γυναικὶ εἰς τὸν ὄλισθον τοῦτον κατέπεσεν ἐκ τοῦ παραβῆναι τὴν δοθεῖσαν ἐντολήν, καὶ τοῦ ξύλου ἀπογεύσασθαι, διὰ τοῦτο ξύλον αὐτὸ γνωστὸν καλοῦ καὶ πονηροῦ ὠνόμασεν. Οὐκ ἐπειδὴ πρὸ τούτου ἠγνόει τὸ καλὸν καὶ πονηρόν· οὕτω γὰρ οὐκ ἠγνόει, ὡς τὴν γυναῖκα πρὸς τὸν ὄφιν διαλεγομένην εἰπεῖν, «Εἶπεν ὁ Θεός, οὐ φάγεσθε ἀπ' αὐτοῦ, ἵνα μὴ ἀποθάνητε»· ὥστε ᾔδει ὅτι ἡ τιμωρία ὁ θάνατος ἦν, εἰ παραβῶσι τὴν ἐντολήν· ἀλλ' ἐπειδὴ μετὰ τὴν τούτου βρῶσιν καὶ τῆς ἄνωθεν ἐγυμνώθησαν δόξης, καὶ τῆς αἰσθητῆς γυμνώσεως πεῖραν ἔλαβον, διὰ τοῦτο γνωστὸν αὐτὸ καλοῦ καὶ πονηροῦ ὠνόμασεν, ἐπειδὴ περὶ αὐτό, ὡς ἂν εἴποι τις, ἡ γυμνασία ἦν τῆς ὑπακοῆς καὶ τῆς παρακοῆς. Ἐμάθετε τίνος ἕνεκεν εἶπεν, ὅτι «Διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἔ-

πάντα τὰ ὁρατὰ πράγματα καὶ ἔπλασε καὶ αὐτὸν τὸν ἴδιον, ἤθελε μὲ τὴν μικρὰν αὐτὴν ἐντολὴν νὰ φανερώσῃ τὴν κυριαρχίαν του ἐπάνω εἰς αὐτόν. Ὡσὰν ὁ φιλότιμος οἰκοδεσπότης, ποὺ ἔχει παραχωρήσει εἰς κάποιον μεγάλην καὶ θαυμαστὴν κατοικίαν διὰ νὰ τὴν ἀπολαύσῃ, δὲν ἐπιθυμεῖ νὰ λαμβάνῃ τὴν πραγματικήν της ἀξίαν, ἀλλὰ ἕνα ἐλάχιστον μέρος αὐτῆς, ὥστε καὶ νὰ φυλάττῃ εἰς τὸν ἑαυτόν του τὰ κυριαρχικά του δικαιώματα, καὶ ἐκεῖνος νὰ γνωρίζῃ καλά, ὅτι δὲν εἶναι κυρίαρχος αὐτοῦ ποὺ κατέχει, ἀλλὰ ἀπολαμβάνει καὶ τὸ χρησιμοποιεῖ κατὰ χάριν καὶ φιλοτιμίαν· ἔτσι καὶ ὁ ἰδικός μας Κύριος, ἀφοῦ ἐνεπιστεύθη εἰς τὸν ἄνθρωπον πάντα τὰ ὁρατὰ πράγματα, καὶ τοῦ ἐπέτρεψε νὰ ζῇ μέσα εἰς τὸν παράδεισον καὶ νὰ ἀπολαμβάνῃ ὅλα τὰ ἀγαθά του, διὰ νὰ μὴ νομίσῃ, παρασυρθεὶς σιγὰ - σιγὰ κατὰ τὴν διάνοιάν του, ὅτι ἐδημιουργήθησαν αὐτομάτως ἐκεῖνα ποὺ ἔβλεπε, καὶ διὰ νὰ μὴ φαντασθῇ κάτι ὑπεράνω τῆς ἀξίας του, προστάζει νὰ ἀπέχῃ ἀπὸ τὸ ἕνα δένδρον, ὁρίσας αὐστηρὰν τιμωρίαν, ἐὰν ἤθελε νὰ παραβιάσῃ τὴν ἐντολήν, διὰ νὰ ἠμπορῇ νὰ γνωρίζῃ ὁ ἄνθρωπος, ὅτι εὑρίσκεται κάτω ἀπὸ τὴν ἐξουσίαν τοῦ Κυρίου καὶ ὅτι ἐξ αἰτίας τῆς φιλοτιμίας Αὐτοῦ συμμετέχει εἰς τὰ ὑπόλοιπα δημιουργήματα. Ἐπειδὴ ὅμως ὁ Ἀδάμ, ἀφοῦ ἔδειξε μεγάλην ἀπροσεξίαν, ὑπέπεσεν εἰς τὸ παράπτωμα αὐτὸ μαζὶ μὲ τὴν γυναῖκα του ἐξ αἰτίας τῆς παραβάσεως τῆς δοθείσης ἐντολῆς καὶ τῆς βρώσεως ἀπὸ τὸ δένδρον, διὰ τοῦτο ὠνόμασε τὸ δένδρον αὐτὸ τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Ὄχι ἐπειδὴ δὲν ἐγνώριζε τὸ καλὸν καὶ τὸ κακὸν πρὶν ἀπὸ τὴν παράβασιν· διότι τόσον καλὰ ἐγνώριζε, ὥστε ἡ γυναῖκα, ὅταν ἐσυζητοῦσε μὲ τὸν ὄφιν, εἶπε· «Ὁ Θεὸς εἶπε, νὰ μὴ φάγετε ἀπ' αὐτό, διὰ νὰ μὴ ἀποθάνετε». Ὥστε ἐγνώριζεν, ὅτι ὁ θάνατος θὰ εἶναι ἡ τιμωρία, ἐὰν παραβοῦν τὴν ἐντολήν. Ἐπειδὴ ὅμως, μετὰ τὴν βρῶσιν ἀπὸ τὸ δένδρον, ἐγυμνώθησαν ἀπὸ τὴν θεϊκὴν δόξαν καὶ ἔλαβαν πεῖραν τῆς γυμνότητος τοῦ σώματός των, διὰ τοῦτο ὠνόμασεν αὐτὸ τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἐπειδὴ γύρω ἀπὸ αὐτό, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ἐ-

γνωσαν ὅτι γυμνοὶ ἦσαν». Ἔγνωτε τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον; Ἐννόησον γὰρ ὅσης αἰσχύνης πλήρεις γεγόνασι λοιπόν, μετὰ τὴν τούτου βρῶσιν παραβάντες τὴν ἐντολὴν τοῦ Δεσπότου· «Ἔρραψαν γὰρ φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα». Ὅρα ἀφ' οἵας δόξης εἰς οἵαν εὐτέλειαν κατηνέχθησαν. Οἱ πρὸ τούτου καθάπερ ἐπίγειοι ἄγγελοι διάγοντες, τὴν ἀπὸ τῶν φύλλων σκέπην ἑαυτοῖς ἐπινοοῦσι. Τοσοῦτόν ἐστιν ἁμαρτία κακόν. Οὐ μόνον γὰρ τῆς ἄνωθεν εὐνοίας ἡμᾶς ἀφίστησιν, ἀλλὰ καὶ εἰς πολλὴν ἡμᾶς αἰσχύνην καὶ ταπεινότητα κατάγει, καὶ τῶν ἤδη ὑπηργμένων ἀγαθῶν ἀποστερήσασα, πᾶσαν ἡμῶν ἀφαιρεῖται τὴν παρρησίαν. Ἀλλ' ἵνα μὴ δι' ὅλου σκυθρωπὸν ποιῶμεν τὸν λόγον, τὴν ἁμαρτίαν περιστρέφοντες, τὴν ἀπὸ τῆς τοῦ ξύλου βρώσεως καὶ τῆς παρακοῆς καταλαβούσης τὸν ἄνθρωπον, φέρε, εἰ δοκεῖ, ἀπὸ τοῦ ξύλου τούτου ἐφ' ἕτερον μεταγάγωμεν τὸν λόγον, ἀπὸ τοῦ ξύλου τούτου ἐπὶ τὸ ξύλον τοῦ σταυροῦ, καὶ ἴδωμεν τίνα μὲν τοῦτο εἰσήγαγε τὰ κακά, τίνα δὲ ἐκεῖνο προεξένησεν τὰ ἀγαθά· μᾶλλον δὲ οὐδὲ τὸ ξύλον εἰσήγαγε τὰ κακά, ἀλλ' ἡ προαίρεσις ἡ ῥάθυμος καὶ ἡ καταφρόνησις, ἣν περὶ τὴν ἐντολὴν ἐπεδείξατο. Ἐκεῖνο τὸ ξύλον θάνατον ἐπεισήγαγε· μετὰ γὰρ τὴν παράβασιν ὁ θάνατος ἐπεισῆλθεν· ἀλλὰ τοῦτο τὴν ἀθανασίαν ἐχαρίσατο· ἐκεῖνο παραδείσου ἐξέβαλε, τοῦτο εἰς οὐρανοὺς ἡμᾶς ἀνήγαγεν· ἐκεῖνο διὰ μίαν παράβασιν τοσαύτῃ τιμωρίᾳ ὑπεύθυνον τὸν Ἀδὰμ κατέστησε, τοῦτο τὰ μυρία ἡμῶν φορτία τῶν ἁμαρτημάτων ἀφανίσαν, τὴν πρὸς τὸν Δεσπότην ἡμῶν παρρησίαν δεδώρηται. Εἴδετε ξύλου καὶ ξύλου διαφοράν; εἴδετε διαβόλου κακουργίαν, καὶ ἀνθρώπου ῥαθυμίαν, καὶ Δεσπότου φιλανθρωπίαν; Καθοπλίσωμεν τοίνυν, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, ἐὰν

πραγματοποιεῖτο ἡ ἄσκησις τῆς ὑπακοῆς καὶ τῆς παρακοῆς. Ἐμάθατε διὰ ποῖον λόγον εἶπεν, ὅτι «Ἤνοιξαν τὰ μάτια των καὶ ἀντελήφθησαν ὅτι ἦσαν γυμνοί»; Ἐγνωρίσατε διατί ὀνομάζεται τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ; Κατανόησε λοιπόν, πόσον ἐγέμισαν ἀπὸ ἐντροπὴν μετὰ τὴν βρῶσιν ἀπ' αὐτό, ἀφοῦ παρέβησαν τὴν ἐντολὴν τοῦ Κυρίου, διότι «Ἔρραψαν φύλλα συκιᾶς καὶ ἔκαμαν διὰ τοὺς ἑαυτούς των ζώνας». Πρόσεχε ἀπὸ ποίαν δόξαν, εἰς ποίαν ταπείνωσιν περιέπεσαν. Ἐκεῖνοι ποὺ προηγουμένως ἐζοῦσαν καθὼς ἐπίγειοι ἄγγελοι, ἐπινοοῦν νὰ σκεπάσουν μὲ τὰ φύλλα τοὺς ἑαυτούς των. Τόσον μέγα κακὸν εἶναι ἡ ἁμαρτία. Δὲν μᾶς ἀπομακρύνει μόνον ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, ἀλλὰ μᾶς ὁδηγεῖ καὶ εἰς μεγάλην ἐντροπὴν καὶ ταπείνωσιν, καὶ μᾶς ἀφαιρεῖ ὅλην τὴν παρρησίαν, ἀφοῦ μᾶς στερήσῃ τὰ ὑπάρχοντα ἀγαθά. Ἀλλὰ διὰ νὰ μὴ κάνωμεν τὸν λόγον ἐξ ὁλοκλήρου δυσάρεστον, στριφογυρίζοντες τὸν λόγον γύρω ἀπὸ τὴν ἁμαρτίαν, ἡ ὁποία ἐκυρίευσε τὸν ἄνθρωπον ἐξ αἰτίας τῆς βρώσεως ἀπὸ τὸ δένδρον καὶ τῆς παρακοῆς, ἐμπρός, ἐὰν θέλετε, νὰ μεταφέρωμεν τὸν λόγον ἀπὸ τὸ δένδρον αὐτὸ εἰς ἄλλο, ἀπὸ τὸ δένδρον τῆς γνώσεως εἰς τὸ ξύλον τοῦ σταυροῦ καὶ νὰ ἰδοῦμεν ποῖα κακὰ ἔφερε τὸ πρῶτον καὶ ποῖα ἀγαθὰ ἐπροξένησε τὸ ἄλλο· μᾶλλον δὲ τὸ δένδρον δὲν ἔφερε τὰ κακά, ἀλλὰ ἡ νωθρὰ προαίρεσις καὶ περιφρόνησις, τὴν ὁποίαν ἔδειξαν οἱ ἄνθρωποι πρὸς τὴν ἐντολὴν τοῦ Θεοῦ. Ἐκεῖνο τὸ δένδρον ἔφερε τὸν θάνατον, διότι μετὰ τὴν παράβασιν εἰσῆλθεν εἰς τὴν ζωὴν ὁ θάνατος· τοῦτο ὅμως ἐχάρισε τὴν ἀθανασίαν. Ἐκεῖνο μᾶς ἐδίωξεν ἀπὸ τὸν παράδεισον, τοῦτο μᾶς ἀνέβασεν εἰς τοὺς οὐρανούς. Ἐκεῖνο ἔκαμε τὸν Ἀδὰμ ὑπεύθυνον τόσον μεγάλης τιμωρίας, ἐξ αἰτίας μιᾶς παραβάσεως, τοῦτο ἀφοῦ ἐξηφάνισε τὰ ἀμέτρητα φορτία τῶν ἁμαρτημάτων, μᾶς ἐδώρησε τὴν πρὸς τὸν Κύριον παρρησίαν. Εἴδατε τὴν διαφορὰν μεταξὺ τοῦ δένδρου τῆς γνώσεως καὶ τοῦ σταυροῦ; Εἴδατε τὴν κακουργίαν τοῦ διαβόλου, τὴν ἀδιαφορίαν τοῦ ἀνθρώπου καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ; Ἂς ὁπλίσωμεν λοιπὸν καλῶς

τοὺς τῷ ὅπλῳ τοῦ ζωοποιοῦ τούτου ξύλου, καὶ νεκρώσωμεν τὰ ψυχοφθόρα πάθη τῇ τούτου δυνάμει, καθὼς καὶ ὁ ἀπόστολος Παῦλος οὕτω πώς φησιν· «Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οἱ ὁλικῶς ἀναθέντες ἑαυτοὺς τῷ Χριστῷ, ἀπενέκρωσαν πᾶσαν ἐπιθυμίαν ἄτοπον ἐπιγινομένην τῇ σαρκί, πρὸς τὸ λυμήνασθαι πάσας τὰς τῆς ψυχῆς ἐνεργείας. Τούτοις οὖν καὶ ἡμεῖς κατακολουθοῦντες, ἀνενέργητα ἡμῶν κατασκευάσωμεν τὰ μέλη πρὸς τὴν τυραννίδα τὴν ἐκ διαβολικῆς ἐνεργείας ἡμῖν ἐπανισταμένην, ἵνα καὶ ἐν τῷ παρόντι βίῳ ἀταράχως διαπλεύσωμεν τὸ ζαλῶδες τοῦτο καὶ ἐπικίνδυνον πέλαγος, καὶ εἰς τοὺς γαληνοὺς λιμένας καταντήσαντες τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἐπιτυχεῖν ἀξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

9. Γαλ. 5. 24.

τούς ἑαυτούς μας, παρακαλῶ τὴν ἀγάπην σας, μὲ τὸ ὅπλον τοῦ ζωοποιοῦ αὐτοῦ ξύλου καὶ ἂς νεκρώσωμεν τὰ πάθη, ποὺ καταστρέφουν τὴν ψυχήν μας, μὲ τὴν δύναμιν αὐτοῦ, καθὼς καὶ ὁ ἀπόστολος Παῦλος ἔτσι περίπου λέγει· «Ὅσοι δὲ ἀνήκουν πράγματι εἰς τὸν Χριστόν, ἐνέκρωσαν τὸν σαρκικὸν ἄνθρωπον μὲ τὰ πάθη καὶ τὰς ἐπιθυμίας του»[•]. Ἐκεῖνο ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· ὅσοι ἀφιέρωσαν ἐξ ὁλοκλήρου τοὺς ἑαυτούς των εἰς τὸν Χριστόν, ἐνέκρωσαν τελείως κάθε κακὴν ἐπιθυμίαν, ποὺ ἐγεννᾶτο εἰς τὴν σάρκα, διὰ νὰ καταστρέψῃ ὅλας τὰς ἐνεργείας τῆς ψυχῆς. Ἀκολουθοῦντες λοιπὸν καὶ ἡμεῖς τὸ παράδειγμά των, ἂς καταστήσωμεν τὰ μέλη μας ἀδρανῆ πρὸς τὴν τυραννίαν τῆς διαβολικῆς ἐνεργείας, ποὺ ἐπαναστατεῖ ἐναντίον μας, ὥστε καὶ εἰς τὴν παροῦσαν ζωὴν νὰ διαπλεύσωμεν μὲ ἀσφάλειαν τὸ τρικυμιῶδες καὶ ἐπικίνδυνον πέλαγος καί, ἀφοῦ φθάσωμεν εἰς τὰ γαλήνια λιμάνια τῆς φιλανθρωπίας τοῦ Θεοῦ, νὰ ἀξιωθοῦμεν νὰ ἐπιτύχωμεν τὰ ἀγαθά, ποὺ ἔχει ὑποσχεθῆ ὁ Θεὸς εἰς αὐτοὺς ποὺ τὸν ἀγαποῦν, μὲ τὴν δύναμιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΖ΄
(Γεν. 3, 8 - 19)

«*Καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν*».

1. Ἱκανῶς, οἶμαι, κατὰ δύναμιν τὴν ἡμετέραν πρώην τὴν διὰ τοῦ ξύλου ἑρμηνείαν διεξήλθομεν, διδάξαντες τὴν ὑμετέραν ἀγάπην, τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ πονηροῦ αὐτὸ ἐκάλεσεν ἡ θεία Γραφή· διὸ βούλομαι σήμερον τοῖς ἑξῆς ἐπεξελθεῖν, ἵνα μάθητε τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, καὶ ὅση κέχρηται συγκαταβάσει διὰ τὴν περὶ τὸ γένος τὸ ἡμέτερον κηδεμονίαν. Πάντα γὰρ ἐποίησε καὶ ἐπραγματεύσατο, ὥστε τὸ ζῶον τοῦτο τὸ λογικὸν τὸ ὑπ' αὐτοῦ δημιουργηθὲν ἐν πάσῃ τιμῇ τυγχάνειν, καὶ κατὰ μηδὲν ἐλαττοῦσθαι τῆς τῶν ἀγγέλων διαγωγῆς, ἀλλὰ καὶ ἐν σώματι τὴν ἐκείνων ἀπάθειαν κεκτῆσθαι. Ἐπειδὴ δὲ διὰ ῥᾳθυμίαν εἶδε παραβάντας ἀμφοτέρους τὰ ὑπ' αὐτοῦ προστεταγμένα, καὶ ταῦτα προαναστείλαντος αὐτοῦ διὰ τῆς ἀπειλῆς, καὶ ἀσφαλεστέρους ἐργασαμένου, οὐδὲ οὕτως ἵσταται τῆς φιλανθρωπίας τῆς ἑαυτοῦ, ἀλλὰ τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, καθάπερ πατὴρ φιλόστοργος τὸν ἑαυτοῦ παῖδα ὁρῶν διὰ ῥᾳθυμίαν ἀνάξια τῆς ἑαυτοῦ εὐγενείας διαπραττόμενον, καὶ ἀπὸ τῆς ἀνωτάτω τιμῆς εἰς ἐσχάτην εὐτέλειαν κατενεχθέντα, τοῖς πατρικοῖς σπλάγχνοις διαθερμαινόμενος, οὐδὲ οὕτως αὐτὸν περιιδεῖν ἀνέχεται, ἀλλὰ πάλιν τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυται, βουλόμενος κατὰ μικρὸν τῆς εὐτελείας ἐκείνης ἀπαλλάξαι, καὶ εἰς τὴν ἀρχαίαν ἀναγαγεῖν τιμήν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς Θεὸς οἰκτείρας τὸν ἄνθρωπον τῆς ἐπιβουλῆς, ἧς ὑπέμεινε

ΟΜΙΛΙΑ ΙΖ΄
(Γεν. 3, 8 - 19)

«Καὶ ἤκουσαν τὴν φωνὴν τοῦ Κυρίου τοῦ Θεοῦ, ποὺ ἐπεριπατοῦσεν εἰς τὸν παράδεισον κατὰ τὸ δειλινόν».

1. Νομίζω, ὅτι ἀνεπτύξαμεν ἱκανοποιητικά, κατὰ τὴν δύναμίν μας, τὴν ἑρμηνείαν τοῦ δένδρου εἰς τὴν προηγουμένην ὁμιλίαν, διδάξαντες τὴν ἀγάπην σας, διὰ ποῖον λόγον ὠνόμασεν ἡ Ἁγία Γραφὴ αὐτὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Διὰ τοῦτο ἐπιθυμῶ νὰ ἀσχοληθῶ σήμερον μὲ τὰ ἑπόμενα, διὰ νὰ μάθετε τὴν ἀνείπωτον φιλανθρωπίαν τοῦ Θεοῦ καὶ πόσην συγκατάβασιν ἔδειξε διὰ τὴν φροντίδα τοῦ ἰδικοῦ μας γένους. Διότι ἔπραξε τὰ πάντα καὶ ἐφρόντισεν, ὥστε τὸ λογικὸν αὐτὸ ζῶον, ποὺ ἐδημιουργήθη ἀπ᾽ αὐτόν, νὰ ἀπολαμβάνῃ κάθε τιμὴν καὶ ἡ ζωή του νὰ μὴ εἶναι καθόλου κατωτέρα ἀπὸ τὴν ζωὴν τῶν ἀγγέλων, ἀλλὰ καὶ νὰ ἔχῃ ἀποκτήσει τὴν ἀπάθειαν ἐκείνων, μολονότι φέρει σῶμα. Ὅταν εἶδε νὰ παραβαίνουν καὶ οἱ δύο ἐξ αἰτίας τῆς ἀδιαφορίας των τὴν ἐντολήν του, ἔστω καὶ ἂν τοὺς παρημπόδισεν ἐκ τῶν προτέρων μὲ τὴν ἀπειλὴν καὶ τοὺς ἔκαμε περισσότερον ἀσφαλεῖς, οὔτε ἔτσι ἐσταμάτησε τὴν φιλανθρωπίαν του· ἀλλὰ ἐνεργῶν κατὰ μίμησιν τῆς ἀγάπης του, ὅπως ἀκριβῶς ὁ φιλόστοργος πατέρας ποὺ βλέπει τὸ παιδί του νὰ πράττῃ ἔργα ἀνάξια τῆς εὐγενοῦς καταγωγῆς του καὶ νὰ ἔχῃ πέσει ἀπὸ τὴν ὑψίστην τιμὴν εἰς τὴν ἐσχάτην ταπείνωσιν, φλογιζόμενος εἰς τὰ πατρικά του σπλάγχνα, δὲν ἀνέχεται νὰ τὸν παρατηρῇ εἰς αὐτὴν τὴν κατάστασιν· ἐπιδεικνύει πάλιν τὰ ἀγαθὰ ποὺ προέρχονται ἀπ᾽ αὐτόν, ἐπειδὴ ἐπιθυμεῖ νὰ τὸν ἀπαλλάξῃ σιγὰ - σιγὰ ἀπὸ τὴν ταπείνωσιν ἐκείνην καὶ νὰ τὸν ἐπαναφέρῃ εἰς τὴν πρώτην τιμήν. Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ πανάγαθος Θεός, ἀφοῦ ἐλυπήθη τὸν ἄνθρωπον

συναπατηθεὶς τῇ γυναικί, καὶ δεξάμενος τὴν τοῦ διαβόλου συμβουλὴν τὴν διὰ τοῦ ὄφεως, καθάπερ ἰατρὸς πρὸς ἀρρωστοῦντα καὶ κάμνοντα καὶ κείμενον, καὶ δεόμενον πολλῆς τῆς θεραπείας καὶ τῶν τοῦ ἰατροῦ χειρῶν, παραγίνεται εὐθέως πρὸς αὐτόν. Ἀλλ' ἵνα καὶ ἐξ αὐτῶν τῶν ρημάτων μάθητε τὴν ἄφατον τοῦ Θεοῦ συγκατάβασιν, ἀναγκαῖον ἀκοῦσαι τῶν ἀνεγνωσμένων. «Καὶ ἤκουσαν», φησί, τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου». Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα παρὰ τῆς θείας Γραφῆς, μηδὲ ταῖς λέξεσιν ἐναπομείνωμεν, ἀλλ' ἐννοῶμεν, ὅτι διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν ἡ ταπεινότης τῶν λέξεων ἔγκειται, καὶ θεοπρεπῶς ἅπαντα γίνεται διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. Εἰπὲ γάρ μοι, εἰ βουληθείημεν τῇ προφορᾷ τῶν ρημάτων κατακολουθῆσαι, καὶ μὴ θεοπρεπῶς ἐκλαβεῖν τὰ λεγόμενα, πῶς οὐ πολλὰ ἕψεται τὰ ἄτοπα; Ἰδοὺ γὰρ ἐξ αὐτοῦ τοῦ προοιμίου τῶν ἀνεγνωσμένων σκοπήσωμεν. «Καὶ ἤκουσαν», φησί, «τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν». Τί λέγεις; ὁ Θεὸς περιπατεῖ; καὶ πόδας αὐτῷ περιάψομεν; καὶ οὐδὲν ὑψηλὸν ἐκ τούτου ἐννοήσομεν; Οὐ περιπατεῖ ὁ Θεός· μὴ γένοιτο. Πῶς γὰρ ἄν, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; οὗ ὁ οὐρανὸς θρόνος, ἡ δὲ γῆ ὑποπόδιον, οὗτος τῷ παραδείσῳ ἐμπεριέχεται; Καὶ τίς ταῦτα ἂν εἴποι τῶν νοῦν ἐχόντων; Τί οὖν ἐστι τό, «Ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν»; Αἴσθησιν αὐτοῖς ταύτην ἠβουλήθη παρασχεῖν, ἵνα εἰς ἀγωνίαν αὐτοὺς ἐμβάλῃ· ὃ δὴ

τῆς ἐπιβουλῆς, τὴν ὁποίαν ὑπέμεινεν ἀπατηθεὶς μαζὶ μὲ τὴν γυναῖκα του καὶ ἀφοῦ ἐδέχθη τὴν συμβουλὴν τοῦ διαβόλου διὰ μέσου τοῦ ὄφεως, ἔσπευσεν ἀμέσως πρὸς αὐτόν, ὅπως σπεύδει ὁ ἰατρὸς πρὸς ἀσθενῆ καταβεβλημένον καὶ κατάκοιτον καὶ ποὺ ἔχει ἀνάγκην μεγάλην ἀπὸ θεραπείαν καὶ βοήθειαν ἰατροῦ. Ἀλλὰ καὶ διὰ νὰ μάθετε ἀπὸ τὰ ἴδια τὰ λόγια τῆς Γραφῆς τὴν ἀνέκφραστον συγκατάβασιν τοῦ Θεοῦ, εἶναι ἀνάγκη νὰ ἀκούσωμεν αὐτά, ποὺ ἀνεγνώσθησαν. «Καὶ ἤκουσαν, λέγει ἡ Γραφή, τὴν φωνὴν τοῦ Κυρίου τοῦ Θεοῦ, ποὺ ἐπεριπατοῦσεν εἰς τὸν παράδεισον κατὰ τὸ δειλινόν, καὶ ἐκρύβησαν καὶ ὁ Ἀδὰμ καὶ ἡ γυναῖκα του ἀπὸ τὴν παρουσίαν τοῦ Κυρίου ἀνάμεσα εἰς τὰ δένδρα τοῦ παραδείσου». Ἂς μὴ παρατρέξωμεν ἁπλᾶ, ἀγαπητοί, αὐτὰ ποὺ λέγει ἡ Ἁγία Γραφή, οὔτε νὰ προσκολληθοῦμεν εἰς τὰς λέξεις, ἀλλ' ἂς κατανοήσωμεν, ὅτι ἐξ αἰτίας τῆς ἰδικῆς μας ἀτελείας ὑπάρχουν αἱ ἁπλοϊκαὶ ἐκφράσεις καὶ ὅτι ὅλα γίνονται θεοπρεπῶς διὰ τὴν σωτηρίαν μας. Διότι εἰπέ μου, ἐὰν θὰ θελήσωμεν νὰ περιορισθοῦμεν εἰς τὴν μορφὴν τῶν λέξεων καὶ δὲν ἑρμηνεύσωμεν τὰ λεγόμενα κατὰ θεοπρεπῆ τρόπον, πῶς δὲν θὰ ἀκολουθήσουν πολλὰ παράδοξα; Ἰδοὺ λοιπόν, ἂς ἐξετάσωμεν τοῦτο ἀπὸ τὸν πρόλογον τοῦ ἀναγνώσματος. «Καὶ ἤκουσαν, λέγει ἡ Γραφή, τὴν φωνὴν τοῦ Κυρίου τοῦ Θεοῦ, ποὺ ἐπεριπατοῦσεν εἰς τὸν παράδεισον κατὰ τὸ δειλινόν, καὶ ἐκρύβησαν». Τί λέγεις; Περιπατεῖ ὁ Θεός; θὰ ἀποδώσωμεν εἰς αὐτὸν καὶ πόδια; καὶ δὲν θὰ ἐννοήσωμεν ἀπ' αὐτὸ τίποτε τὸ ὑψηλόν; Δὲν περιπατεῖ ὁ Θεός· μὴ γένοιτο νὰ εἰποῦμεν κάτι τέτοιο. Διότι πῶς θὰ ἦτο δυνατὸν νὰ περιπατῇ ἐκεῖνος, ποὺ εἶναι πανταχοῦ παρὼν καὶ γεμίζει ὅλον τὸ σύμπαν; ἐκεῖνος, ποὺ ἔχει θρόνον τὸν οὐρανὸν καὶ ὑποπόδιον τὴν γῆν, αὐτὸς περιέχεται μέσα εἰς τὸν παράδεισον; Καὶ ποῖος ἀπὸ τοὺς λογικοὺς ἀνθρώπους θὰ ἠμποροῦσε νὰ εἰπῇ αὐτά; Τί σημαίνει λοιπὸν τό, «Ἤκουσαν τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ, ποὺ ἐπεριπατοῦσεν εἰς τὸν παράδεισον κατὰ τὸ δειλινόν»; Ἠθέλησε νὰ δώσῃ εἰς αὐτοὺς τέτοιαν αἴσθησιν, ὥστε νὰ τοὺς βάλῃ εἰς ἀγωνίαν· πρᾶγμα τὸ ὁποῖον καὶ

καὶ γέγονε. Τοσαύτην γὰρ ἔσχον τὴν αἴσθησιν, ὡς τοῦ Θεοῦ παραγενομένου κρύπτεσθαι ἐπιχειρεῖν. Ἐπεισῆλθε γὰρ ἡ ἁμαρτία καὶ ἡ παράβασις, καὶ κατεσκεδάσθη αὐτοῖς ἡ αἰσχύνη. Ὁ γὰρ ἀδέκαστος δικαστής, τὸ συνειδὸς λέγω, κατεξανιστάμενος λαμπρᾷ τῇ φωνῇ ἐβόα, καὶ κατηγόρει καὶ ἐδείκνυ, καὶ ὡσανεὶ πρὸ τῶν ὀφθαλμῶν ὑπέγραφεν αὐτοῖς τῶν ἁμαρτημάτων τὸ μέγεθος. Διὰ τοῦτο γὰρ ὁ φιλάνθρωπος Δεσπότης ἄνωθεν καὶ ἐκ προοιμίων διαπλάττων τὸν ἄνθρωπον, τὸ συνειδὸς αὐτῷ ἐνέθετο κατήγορον ἀδιάλειπτον, παραλογισθῆναι μὴ δυνάμενον, μηδὲ ἀπάτην ὑπομεῖναί ποτε. Ἀλλὰ κἂν πάντας ἀνθρώπους λαθεῖν τις δυνηθείη τὴν ἁμαρτίαν ἐργασάμενος, καὶ τὴν ἄτοπον πρᾶξιν ἐπιτελέσας, ἐκεῖνον τὸν κατήγορον λαθεῖν οὐ δύναται, ἀλλὰ περιέρχεται διηνεκῶς αὐτὸν ἔνδον ἔχων ἐνοχλοῦντα, καταξαίνοντα, μαστίζοντα, οὐδέποτε ἠρεμοῦντα, ἀλλὰ καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν συλλόγοις, καὶ ἐν τραπέζῃ, καὶ καθεύδοντι, καὶ διανισταμένῳ ἐπιτιθέμενον, καὶ δίκην ἀπαιτοῦντα τῶν πεπλημμελημένων, καὶ ὑπ᾽ ὄψιν ἄγοντα καὶ τῶν ἡμαρτημένων τὴν ἀτοπίαν, καὶ τὴν ἑπομένην αὐτῷ κόλασιν, καὶ καθάπερ ἰατρὸς ἄριστος οὐ παύεται τὰ παρ᾽ ἑαυτοῦ φάρμακα ἐπιτιθείς· κἂν ἴδῃ διακρουόμενον, οὐδὲ οὕτως ἀφίσταται, ἀλλὰ διηνεκῆ τὴν ἐπιμέλειαν ποιεῖται.

2. Τοῦτο γὰρ αὐτοῦ ἔργον, ἀδιάλειπτον ὑπόμνησιν εἰσάγειν, καὶ μὴ συγχωρεῖν αὐτῷ λήθην ποτὲ ποιήσασθαι τῶν εἰργασμένων, ἀλλ᾽ ὑπ᾽ ὄψιν αὐτῷ τιθέναι, ἵνα κἂν ταύτῃ ὀκνηροτέρους ἡμᾶς ἐργάσηται πρὸς τὸ τοῖς αὐτοῖς περιπεσεῖν. Εἰ γὰρ καὶ τὴν ἐντεῦθεν ἔχοντες συμμαχίαν, καὶ τὴν ἀπὸ τοῦ συνειδότος βοήθειαν, καὶ τὸν σφοδρὸν τοῦτον κατήγορον ἐπι-

έγινε. Εἶχαν λοιπόν τόσον ἀνεπτυγμένην τὴν αἴσθησιν αὐτήν, ὥστε ἐπιχειροῦν νὰ κρυφθοῦν μόλις ὁ Θεὸς ἦλθε κοντὰ εἰς αὐτούς. Τοῦτο συμβαίνει, διότι εἰσῆλθεν εἰς τὴν ζωήν των ἡ ἁμαρτία καὶ ἡ παράβασις, καὶ ἐδιείσδυσεν εἰς αὐτοὺς ἡ ἐντροπή. Ὁ ἀδέκαστος βέβαια δικαστής, ἐννοῶ τὴν συνείδησιν, ὅταν ἐπανεστάτησεν ἐναντίον των, ἐφώναζε δυνατὰ μὲ καθαρὰν φωνὴν καὶ ἐκατηγοροῦσεν αὐτοὺς καὶ τοὺς ἔδειχνεν, καὶ ὑπογράμμιζεν εἰς αὐτοὺς τὸ μέγεθος τῶν ἁμαρτημάτων, ὡσὰν νὰ ἦσαν ἐνώπιόν των. Διὰ τοῦτο λοιπὸν ὁ φιλάνθρωπος Κύριος, ὅταν ἐδημιουργοῦσε τὸν ἄνθρωπον, ἀπὸ τὴν ἀρχὴν ἐτοποθέτησε μέσα του τὴν συνείδησιν νὰ εἶναι διαρκὴς κατήγορος, διὰ νὰ μὴ ἠμπορῇ νὰ σφάλῃ, οὔτε νὰ ἐξαπατηθῇ ποτέ. Ἀλλὰ καὶ ἂν ἀκόμη θὰ κατορθώσῃ κάποιος, ποὺ διέπραξε τὴν ἁμαρτίαν καὶ ἔκαμε τὴν παράλογον πρᾶξιν, νὰ διαφύγῃ τὴν προσοχὴν ὅλων τῶν ἀνθρώπων, δὲν ἠμπορεῖ νὰ διαφύγῃ τὴν προσοχὴν τοῦ κατηγόρου ἐκείνου, ἀλλὰ περιφέρεται, ἔχων συνεχῶς αὐτὸν μέσα του νὰ τὸν ἐνοχλῇ, νὰ τὸν σπαράσσῃ, νὰ τὸν μαστιγώνῃ, ποτὲ νὰ μὴ ἡσυχάζῃ, ἀλλὰ καὶ εἰς τὸ σπίτι, καὶ εἰς τὴν ἀγοράν, καὶ εἰς τὰς συγκεντρώσεις, καὶ ὅταν τρώγῃ, καὶ ὅταν κοιμᾶται, καὶ ὅταν σηκώνεται νὰ τοῦ ἐπιτίθεται, καὶ νὰ ἀπαιτῇ τὴν τιμωρίαν τῶν σφαλμάτων ποὺ ἔχει διαπράξει, καὶ νὰ θέτῃ ὑπ' ὄψιν του καὶ τῶν σφαλμάτων τὸν παραλογισμὸν καὶ τὴν τιμωρίαν, ποὺ ἀκολουθεῖ δι' αὐτόν, καὶ ὡσὰν ἰατρὸς ἄριστος δὲν σταματᾷ νὰ ἐπιθέτῃ τὰ φάρμακά του· καὶ ἂν θὰ διαπιστώσῃ ὅτι τὸν ἀποκρούει, οὔτε τότε ἀπομακρύνεται, ἀλλὰ τὸν φροντίζει συνεχῶς.

2. Αὐτὸ λοιπὸν εἶναι τὸ ἔργον τῆς συνειδήσεως, δηλαδὴ νὰ ὑπενθυμίζῃ συνεχῶς καὶ νὰ μὴ ἐπιτρέπῃ ποτὲ εἰς τὸν ἄνθρωπον νὰ λησμονήσῃ αὐτά, ποὺ ἔχει πράξει, ἀλλὰ νὰ τὰ θέτῃ ὑπ' ὄψιν αὐτοῦ, ὥστε νὰ μᾶς κάμῃ περισσότερον ὀκνηροὺς εἰς τὸ νὰ ἐπαναλαμβάνωμεν τὰ αὐτὰ σφάλματα, ἔστω καὶ μὲ αὐτὸν τὸν τρόπον. Ἂν καὶ ἀπὸ τὴν πλευρὰν αὐτὴν ἔχωμεν τὴν συμμαχίαν καὶ τὴν βοήθειαν τῆς συνειδήσεως, καὶ τὸν φοβερὸν αὐτὸν κατήγορον νὰ

κείμενον, καὶ μαστίζοντα ἡμῶν τὸ συνειδός, καὶ καταξαίνοντα τὴν καρδίαν, καὶ δημίου παντὸς βαρύτερον ἐπικείμενον, οὐδὲ οὕτως οἱ πολλοὶ τῆς ῥαθυμίας περιγινόμεθα· εἰ μὴ ταύτην εἴχομεν τὴν βοήθειαν, ποῦ οὐκ ἂν ταχέως ἐξωκείλαμεν; Διά τοι τοῦτο καὶ ὁ πρωτόπλαστος νῦν αἴσθησιν λαβὼν τοιαύτην, καὶ τὴν παρουσίαν τοῦ Δεσπότου ἐννοήσας, εὐθέως κρύπτεται. Τίνος ἕνεκεν, εἰπέ μοι; Ἐπειδὴ ἑώρα σφοδρὸν αὐτῷ τὸν κατήγορον ἐφεστῶτα, τὸ συνειδὸς λέγω. Οὐδένα γὰρ ἕτερον εἶχε τὸν διελέγχοντα καὶ μάρτυρα ὄντα τῶν ἐπταισμένων, ἀλλ' ἐκεῖνον μόνον, ὃν ἔνδοθεν περιέφερεν. Ἄλλως δὲ μετὰ τῆς τοῦ συνειδότος κατηγορίας καὶ ἡ ἀφαίρεσις τῆς δόξης τῆς πρότερον αὐτοὺς καθάπερ ἱμάτιον λαμπρὸν περιστελλούσης ἐδίδασκεν αὐτοὺς διὰ τῆς γυμνότητος τῆς ἁμαρτίας ἧς εἰργάσαντο τὸ μέγεθος. Ἐπεὶ οὖν μετὰ τὴν ἁμαρτίαν ἐκείνην τὴν χαλεπὴν αἰσχύνῃ περιεβλήθησαν κρύπτεσθαι ἐπεχείρουν. «Ἤκουσαν γάρ», φησί, «τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ παραδείσου». Οὐδὲν ἁμαρτίας χεῖρον, ἀγαπητέ· αὕτη γὰρ ἐπεισελθοῦσα οὐ μόνον αἰσχύνης ἡμᾶς πληροῖ, ἀλλὰ καὶ ἀνοήτους ἐργάζεται τοὺς πρότερον συνετούς, καὶ σοφίας πολλῆς πεπληρωμένους. Ἐννόησον γάρ μοι πόσῃ τῇ ἀνοίᾳ λοιπὸν κέχρηται ὁ τοσαύτης μετέχων σοφίας πρὸ τούτου, ὁ διὰ τῶν πραγμάτων ἡμῖν τὴν παρασχεθεῖσαν αὐτῷ σοφίαν ἐπιδεικνύμενος, ὁ τοιαῦτα προφητεύσας. «Ἀκούσας», φησί, «τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, ἐκρύβη αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου». Πόσης οὐκ ἂν εἴη τοῦτο ἀνοίας, τὸν Θεὸν τὸν πανταχοῦ παρόντα, τὸν δημιουργόν,

ἐπιτίθεται καὶ νὰ μαστιγώνῃ τὴν συναίσθησιν καὶ νὰ σπαράσσῃ τὴν καρδίαν μας, καὶ νὰ ἐπιτίθεται σκληρότερον ἀπὸ κάθε δήμιον, οὔτε ἔται καταβάλλομεν οἱ περισσότεροι τὴν ἀδιαφορίαν. Ἐὰν δὲν εἴχαμεν τὴν βοήθειαν αὐτήν, ποῦ δὲν θὰ εἴχαμεν γρήγορα παρασυρθῆ; Διὰ τοῦτο βεβαίως καὶ ὁ πρωτόπλαστος ἀμέσως κρύπτεται, ὅταν ἔλαβε τέτοιαν αἴσθησιν καὶ ἀντελήφθη τὴν παρουσίαν τοῦ Κυρίου. Εἰπέ μου, διὰ ποῖον λόγον κρύπτεται; Ἐπειδὴ ἔβλεπε τὸν φοβερὸν κατήγορον, ἐννοῶ τὴν συνείδησιν, νὰ παρίσταται καὶ νὰ ἐλέγχῃ αὐτόν. Διότι δὲν εἶχε κανένα ἄλλον νὰ τὸν ἐλέγχῃ καὶ νὰ εἶναι μάρτυς τῶν σφαλμάτων του, παρὰ μόνον ἐκεῖνον, τὸν ὁποῖον ἔφερε μέσα του. Ἄλλωστε μαζὶ μὲ τὴν κατηγορίαν τῆς συνειδήσεως καὶ ἡ ἀφαίρεσις τῆς δόξης, ἡ ὁποία περιέβαλλεν αὐτοὺς προηγουμένως ὡσὰν λαμπρὸν ἔνδυμα, ἐδίδασκεν αὐτοὺς διὰ τῆς γυμνότητος τὸ μέγεθος τῆς ἁμαρτίας, τὴν ὁποίαν εἶχαν διαπράξει. Ἐπειδὴ λοιπὸν μετὰ τὴν φοβερὰν ἐκείνην ἁμαρτίαν περιεβλήθησαν μὲ ἐντροπήν, ἐπροσπαθοῦσαν νὰ κρυφθοῦν. «Ἤκουσαν, λέγει ἡ Γραφή, τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ, ποὺ ἐπεριπατοῦσεν εἰς τὸν παράδεισον κατὰ τὸ δειλινόν, καὶ ἐκρύβησαν καὶ ὁ Ἀδὰμ καὶ ἡ γυναῖκα του ἀπὸ τὴν παρουσίαν τοῦ Κυρίου τοῦ Θεοῦ ἀνάμεσα εἰς τὰ δένδρα τοῦ παραδείσου». Τίποτε δὲν εἶναι χειρότερον ἀπὸ τὴν ἁμαρτίαν, ἀγαπητέ· διότι, ὅταν αὐτὴ εἰσέλθῃ εἰς τὴν ζωήν μας, ὄχι μόνον μᾶς γεμίζει ἀπὸ ἐντροπήν, ἀλλὰ κάμνει καὶ ἀνοήτους ἐκείνους, ποὺ προηγουμένως ἦσαν συνετοὶ καὶ πλήρεις μεγάλης σοφίας. Κατανόησε λοιπόν, παρακαλῶ, μὲ πόσην ἀνοησίαν συμπεριφέρεται εἰς τὸ ἑξῆς αὐτὸς ποὺ εἶχε πρὶν τόσην σοφίαν, αὐτὸς ποὺ μὲ τὰ πράγματα ἐπέδειξεν εἰς ἡμᾶς τὴν σοφίαν, ποὺ τοῦ ἐδόθη, καὶ ποὺ ἐπροφήτευσε τόσον μεγάλα πράγματα. «Ὅταν ἤκουσε, λέγει, τὴν φωνὴν τοῦ Κυρίου τοῦ Θεοῦ, ποὺ ἐπεριπατοῦσεν εἰς τὸν παράδεισον κατὰ τὸ δειλινόν, ἐκρύβη αὐτὸς καὶ ἡ γυναῖκα του ἀπὸ τὴν παρουσίαν τοῦ Κυρίου τοῦ Θεοῦ ἀνάμεσα εἰς τὰ δένδρα τοῦ παραδείσου». Πῶς δὲν θὰ ἦτο τοῦτο δεῖγμα μεγάλης ἀνοησίας, τὸ νὰ ἐπιχειροῦν

τὸν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγόντα, τὸν τὰ λανθάνοντα ἐπιστάμενον, τὸν πλάσαντα καταμόνας τὰς καρδίας τῶν ἀνθρώπων, καὶ συνιέντα εἰς πάντα τὰ ἔργα αὐτῶν, τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, τὸν αὐτὰ τὰ κινήματα τῆς καρδίας ἡμῶν ἐπιστάμενον, τοῦτον κρύπτεσθαι ἐπεχείρουν; Ἀλλὰ μὴ θαυμάσῃς, ἀγαπητέ· τοιοῦτον γὰρ τῶν ἁμαρτανόντων τὸ ἔθος· κἂν μὴ δύνωνται λανθάνειν, ὅμως σπουδάζουσι λανθάνειν. Ὅτι γὰρ οὐ φέροντες τὴν αἰσχύνην ἣν μετὰ τὴν ἁμαρτίαν ἑαυτοὺς περιέβαλεν, γυμνώσαντες ἑαυτοὺς τῆς ἀφθάρτου δόξης ἐκείνης, τοῦτο ἐποίουν, ἐννόει καὶ ποῦ κρύπτονται· ἐν μέσῳ τοῦ παραδείσου. Καθάπερ γὰρ μαστιγίαι τινὲς καὶ οἰκέται ἀγνώμονες, οὐ δυνάμενοι λαθεῖν τὸν οἰκεῖον δεσπότην, ὧδε κἀκεῖσε περὶ τὰς γωνίας τοῦ οἴκου περιτρέχειν ἐπιχειροῦσι, τοῦ φόβου κατασείοντος αὐτῶν τὴν διάνοιαν· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι οὐδεμίαν εὑρίσκοντες ἀποφυγήν, ἐν αὐτῷ τῷ οἴκῳ περιστρέφονται, τοῦτ' ἔστιν, ἐν τῷ παραδείσῳ. Οὐ ἁπλῶς δὲ πρόσκειται ὁ καιρός· «Ἤκουσαν γάρ», φησί, «τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν»· ἀλλ' ἵνα μάθῃς τοῦ Δεσπότου τὴν φιλανθρωπίαν, ὅτι οὐδὲ τὸ τυχὸν ἀνεβάλετο, ἀλλ' εὐθέως εἶδε τὸ γεγονός, καὶ τοῦ ἕλκους τὸ μέγεθος, καὶ ἐπὶ τὴν ἰατρείαν ἔσπευσεν, ἵνα μὴ νομὴν ἐργασάμενον τὸ ἕλκος ἀνίατον τὸ τραῦμα κατασκευάσῃ· διὰ τοῦτο προκαταλαμβάνειν ἐπείγεται, καὶ εὐθέως πρὸς τὴν νομὴν τοῦ ἕλκους ἵσταται, καὶ οὐδὲ πρὸς βραχὺ κατέλιπεν ἀπρονόητον τὴν οἰκείαν ἀγαθότητα μιμούμενος. Καὶ γὰρ τοσαύτην ἀπεδείξατο τὴν μανίαν ὁ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας, ὁ ἀεὶ βασκαίνων τοῖς ἡμετέροις ἀγαθοῖς, ὡς ἐξ αὐτῶν τῶν προοιμίων τὴν ἐπιβουλὴν ἐργά-

δηλαδή νά κρυφθοῦν ἀπό τόν Θεόν, πού εἶναι πανταχοῦ παρών, ἀπό τόν δημιουργόν, πού ἔφερε τά πάντα ἀπό τήν ἀνυπαρξίαν εἰς τήν ὕπαρξιν, ἀπό αὐτόν πού γνωρίζει καλά τά ἀπόκρυφα, ἀπό αὐτόν πού ἔπλασε κάθε μίαν χωριστά τάς καρδίας τῶν ἀνθρώπων καί συμπορεύεται εἰς ὅλα τά ἔργα των, ἀπό αὐτόν πού ἐξετάζει τάς καρδίας καί τούς νεφρούς, καί πού γνωρίζει καλά καί αὐτάς τάς κινήσεις τῆς καρδίας; Ἀλλά μή θαυμάσης, ἀγαπητέ, διότι τέτοια εἶναι ἡ συνήθεια ἐκείνων πού ἁμαρτάνουν· καί ἄν ἀκόμη δέν ἠμποροῦν νά κρυφθοῦν, ὅμως προσπαθοῦν νά κρυφθοῦν. Ὅτι βεβαίως ἔπραττον αὐτό, διότι δέν ὑπέφεραν τήν ἐντροπήν, μέ τήν ὁποίαν περιέβαλαν τούς ἑαυτούς των μετά τήν ἁμαρτίαν, ἀφοῦ ἐγύμνωσαν τούς ἑαυτούς των ἀπό τήν ἄφθαρτον ἐκείνην δόξαν, ἐνθυμήσου καί ποῦ κρύπτονται· «εἰς τό μέσον τοῦ παραδείσου». Ὅπως μερικοί ἐλεεινοί καί ἀγνώμονες δοῦλοι προσπαθοῦν νά τρέχουν ἀπό ἐδῶ καί ἀπό ἐκεῖ εἰς τάς γωνίας τῆς οἰκίας, ὅταν ὁ φόβος διαταράσσῃ τήν διάνοιάν των, χωρίς ὅμως νά κατορθώσουν νά κρυφθοῦν ἀπό τόν κύριόν των· κατά τόν ἴδιον δέ τρόπον καί αὐτοί, ἐπειδή δέν εὑρίσκουν κανένα καταφύγιον, περιστρέφονται μέσα εἰς τήν ἰδίαν οἰκίαν, δηλαδή μέσα εἰς τόν παράδεισον. Δέν προστίθεται δέ χωρίς σημασίαν ἡ ὥρα· «Ἤκουσαν, λέγει, τήν φωνήν τοῦ Κυρίου τοῦ Θεοῦ ὅταν ἐπεριπατοῦσεν εἰς τόν παράδεισον κατά τό δειλινόν». Ἀλλά διά νά μάθῃς τήν φιλανθρωπίαν τοῦ Κυρίου, ὅτι δέν ἀνέβαλε καθόλου τήν παρουσίαν του, ἀλλά ἀμέσως εἶδε τήν πτῶσιν καί τό μέγεθος τῆς πληγῆς, καί ἔσπευσε πρός τήν θεραπείαν, διά νά μή μετατρέψῃ ἡ πληγή, ἀφοῦ ἐξαπλωθῇ, ἀνίατον τό τραῦμα. Διά τοῦτο βιάζεται νά προλάβῃ, καί ἀμέσως ἐμφανίζεται εἰς τόν τόπον τῆς παραβάσεως καί οὔτε πρός στιγμήν ἔπαυσε νά φροντίζῃ τόν ἄνθρωπον, ὁδηγούμενος ἀπό τήν ἰδικήν του ἀγάπην. Διότι πράγματι τόσον μεγάλην κακίαν ἔδειξεν ὁ ἐχθρός τῆς σωτηρίας μας, ὁ ὁποῖος πάντοτε συκοφαντεῖ τά ἰδικά μας ἀγαθά, ὥστε ἀπό αὐτήν τήν ἀρχήν νά κατασκευάσῃ τήν σκευωρίαν του καί μέ τήν καταστρε-

σασθαι, καὶ διὰ τῆς ὀλεθρίου συμβουλῆς τῆς θαυμασιῆς ἐκείνης διαγωγῆς αὐτοὺς ἀποστερῆσαι. Ἀλλ' ὁ εὐμήχανος Θεός, ὁ κατὰ τὴν αὐτοῦ σοφίαν τὰ ἡμέτερα οἰκονομῶν, ὁρῶν μὲν καὶ τοῦ διαβόλου τὴν γεγενημένην κακουργίαν, καὶ τοῦ ἀνθρώπου δὲ τὴν ῥαθυμίαν, δι' ἧς εἰς τοσαύτην αἰσχύνην ἑαυτὸν περιέβαλε συναπατηθεὶς τῇ γυναικί, ἐφίσταται, καὶ καθάπερ δικαστὴς ἥμερος καὶ φιλάνθρωπος καθίζει δικαστήριον φόβου καὶ φρίκης γέμον, καὶ τὴν ἐξέτασιν μετὰ ἀκριβείας ποιεῖται· ἡμᾶς διὰ τούτου παιδεύων, μὴ πρότερον τοὺς ὁμογενεῖς καταδικάζειν, πρὶν ἂν ἀκριβῆ τὴν ἐξέτασιν ποιησόμεθα.

3. Ἀκούσωμεν τοίνυν, εἰ δοκεῖ, τίνα μὲν ὁ δικαστὴς ἐπερωτᾷ, τίνα δὲ οἱ κατάδικοι ἀποκρίνονται, καὶ ποίας τιμωρίας δέχονται, καὶ ποίᾳ καταδίκῃ ὑπεύθυνος γίνεται ὁ τὴν τοσαύτην ἐπιβουλὴν εἰς αὐτοὺς ἐργασάμενος. Ἀλλὰ συντείνατέ μοι, παρακαλῶ, τὴν διάνοιαν, καὶ μετὰ πολλοῦ τοῦ φόβου τοῖς λεγομένοις προσέχετε. Εἰ γὰρ δικαστὴν ὁρῶντες ἐπίγειον ἐφ' ὑψηλοῦ βήματος καθήμενον, καὶ τοὺς καταδίκους εἰς μέσον ἄγοντα, καὶ καταξαίνοντα, καὶ τιμωρούμενον, μετὰ πολλοῦ τοῦ δέους παρεστήκαμεν ἀκοῦσαι βουλόμενοι, τί μὲν ὁ δικαστὴς λέγει, τί δὲ ὁ ὑπεύθυνος ἀποκρίνεται· πολλῷ μᾶλλον νῦν τοῦτο ποιεῖν ἡμᾶς δίκαιον, ὁρῶντας τὸν δημιουργὸν τῆς φύσεως δίκην εἰσπραττόμενον τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων. Ἀλλ' ἐὰν προσέχητε μετὰ ἀκριβείας, ὄψεσθε πόσον τὸ μέσον τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τῆς τῶν ἀνθρώπων περὶ τοὺς ὁμογενεῖς αὐστηρότητος. «Καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς τὸν Ἀδάμ, καὶ εἶπεν αὐτῷ, Ἀδάμ, ποῦ εἶ;». Ἐξ αὐτῆς τῆς ἐρωτήσεως ἄξιον ἐκπλαγῆναι τοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, οὐχ ὅτι ἐκάλεσε μόνον, ἀλλ' ὅτι καὶ δι' ἑαυτοῦ ἐκάλεσεν· ὅπερ ἄνθρωποι οὐκ ἄν ποτε ἀνάσχοιντο ἐπὶ τῶν

πτικήν του συμβουλὴν νὰ στερήσῃ αὐτοὺς ἀπὸ τὸν θαυμάσιον ἐκεῖνον τρόπον ζωῆς. Ἀλλὰ ὁ ἐπινοητικὸς Θεός, ὁ ὁποῖος κυβερνᾷ τὰ ἰδικά μας πράγματα, σύμφωνα μὲ τὴν ἰδικήν του σοφίαν, ἀφοῦ εἶδεν ἀφ᾿ ἑνὸς μὲν τὸ συντελεσθὲν κακούργημα τοῦ διαβόλου καὶ ἀφ᾿ ἑτέρου τὴν ἀδιαφορίαν τοῦ ἀνθρώπου, ἐξ αἰτίας τῆς ὁποίας περιέβαλε τὸν ἑαυτόν του μὲ τόσην ἐντροπήν, ἀφοῦ ἠπατήθη μαζὶ μὲ τὴν γυναῖκα του, ἐμφανίζεται, καὶ ὡσὰν πρᾶος καὶ φιλάνθρωπος δικαστής, στήνει φοβερὸν καὶ τρομερὸν δικαστήριον καὶ κάνει μὲ ἀκρίβειαν τὴν ἐξέτασιν· μὲ τοῦτο μᾶς διδάσκει, νὰ μὴ καταδικάζωμεν προηγουμένως τοὺς συνανθρώπους μας, προτοῦ θὰ ἐξετάσωμεν μὲ ἀκρίβειαν τὰ πράγματα.

3. Ἂς ἀκούσωμεν λοιπόν, ἐὰν θέλετε, ποῖα μὲν ἐρωτᾷ ὁ δικαστής, ποῖα δὲ ἀπαντοῦν οἱ κατάδικοι καὶ ποίαν τιμωρίαν δέχονται καὶ διὰ ποίαν καταδίκην γίνεται ὑπεύθυνος ἐκεῖνος, ποὺ ἐπραγματοποίησεν εἰς αὐτοὺς τὴν μεγάλην αὐτὴν ἐπιβουλήν. Ἀλλὰ ἐντείνατε, παρακαλῶ, τὴν διάνοιάν σας καὶ προσέχετε μὲ πολὺν φόβον εἰς τὰ λεγόμενα. Βέβαια ὅταν βλέπωμεν ἐπίγειον δικαστὴν νὰ κάθεται εἰς ὑψηλὸν βῆμα καὶ τοὺς καταδίκους νὰ φέρῃ εἰς τὸ μέσον τοῦ δικαστηρίου, καὶ νὰ τοὺς βασανίζῃ καὶ τιμωρῇ, στεκόμεθα ἐπειδὴ θέλωμεν νὰ ἀκούσωμεν τί λέγει ὁ δικαστὴς καὶ τί ἀπαντᾷ ὁ κατηγορούμενος. Εἶναι δίκαιον νὰ κάνωμεν ἡμεῖς τώρα αὐτὸ κατὰ πολὺ περισσότερον, ὅταν βλέπωμεν τὸν δημιουργὸν τῆς φύσεως νὰ δικάζῃ τοὺς δημιουργηθέντας ἀπ᾿ αὐτόν. Ἀλλ᾿ ἐὰν προσέχετε μὲ ἀκρίβειαν, θὰ καταλάβετε πόσον μεγάλη εἶναι ἡ φιλανθρωπία τοῦ Θεοῦ καὶ πόση εἶναι ἡ αὐστηρότης τῶν ἀνθρώπων διὰ τοὺς συνανθρώπους των. «Καὶ ἐκάλεσεν ὁ Κύριος ὁ Θεὸς τὸν Ἀδάμ, καὶ εἶπε πρὸς αὐτόν· Ἀδάμ, ποῦ εἶσαι;». Ἀπὸ τὴν ἐρώτησιν αὐτὴν πρέπει νὰ ἐκπλαγοῦμεν διὰ τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ὄχι διότι ἐκάλεσε μόνον, ἀλλὰ διότι καὶ τὸν ἐκάλεσεν ὁ ἴδιος, πρᾶγμα ποὺ δὲν θὰ ἠνείχοντο οἱ ἄνθρωποι νὰ κάνουν εἰς τοὺς συνανθρώπους των, ἔστω καὶ ἂν εἶναι μέτοχοι τῆς ἰδίας μὲ αὐτοὺς φύσεως.

ὁμογενῶν, καὶ τῆς αὐτῆς αὐτοῖς φύσεως κοινωνούντων. Ἴστε γὰρ ὅτι, ἐπειδὰν ἐφ' ὑψηλοῦ τοῦ βήματος καθήμενοι δίκην εἰσπράττονται τοὺς τὰ φαῦλα ἐργασαμένους, οὐκ ἀξιοῦσιν αὐτοὺς τῆς οἰκείας ἀποκρίσεως, καὶ διὰ τοῦτο δεικνύντες αὐτοῖς, ὅση ἀτιμία ἑαυτοὺς περιέβαλον διὰ τῆς τῶν πονηρῶν πράξεων ἐργασίας· ἀλλ' ὁ μὲν δικαστὴς ἀποκρίνεται, ἕτερος δέ τις ἑστὼς διαβιβάζει τὰ παρὰ τοῦ δικαστοῦ τῷ ὑπευθύνῳ, καὶ τὰ παρ' ἐκείνου πάλιν διαπορθμεύει τῷ δικαστῇ· καὶ τοιοῦτον ἂν ἴδοι τις τῶν δικαζόντων πανταχοῦ τὸ ἔθος. Ἀλλ' ὁ Θεὸς οὐχ οὕτως, ἀλλὰ τί; Αὐτὸς δι' ἑαυτοῦ καλεῖ· «Καὶ ἐκάλεσε», φησί, «Κύριος ὁ Θεὸς τὸν Ἀδάμ, καὶ εἶπεν αὐτῷ, Ἀδὰμ ποῦ εἶ»; Ὅρα πόση δύναμις ἐναπόκειται ἐν τῇ βραχείᾳ ταύτῃ λέξει. Καὶ αὐτὸ μὲν γὰρ τὸ καλέσαι πολλῆς καὶ ἀφάτου φιλανθρωπίας καὶ τὸ τῷ καταισχυνομένῳ, καὶ μηδὲ ἆραι τὸ στόμα τολμῶντι, μηδὲ διανοῖξαι γλῶτταν, καὶ ἀφορμὴν δοῦναι διὰ τῆς ἐρωτήσεως, πολλῆς ἀγαθότητος· τὸ δὲ καὶ λέγειν, «Ποῦ εἶ;» πολλὴν ἔχει τὴν ἰσχὺν μετὰ τῆς φιλανθρωπίας. Μονονουχὶ γὰρ αἰνίττεται αὐτῷ διὰ τούτου λέγων πρὸς αὐτόν· τί γέγονεν; Ἑτέρωθί σε κατέλιπον, καὶ ἑτέρωθι νῦν εὑρίσκω· ἑτέρᾳ δόξῃ ἠμφιεσμένον καταλιπών, νῦν εὗρον ἐν γυμνότητι. Ποῦ εἶ; Πόθεν σοι συνέβη τοῦτο; Τίς σε εἰς τοσαύτην ἤγαγε μεταβολήν; Ποῖος λῃστὴς καὶ τοιχωρύχος οὕτως ἀθρόον ἅπασαν τοῦ πλούτου τὴν περιουσίαν ἀφελόμενος, ἐν τοσαύτῃ σε πενίᾳ κατέστησε; Πόθεν σοι τῆς γυμνώσεως ἡ αἴσθησις γέγονε; Τίς σοι αἴτιος τῆς ἀφαιρέσεως τοῦ θαυμαστοῦ ἐκείνου ἐνδύματος, ὃ περιβεβλημένος ἐτύγχανες; Τίς ἡ ἀθρόα αὕτη μεταβολή; Ποία καταιγὶς οὕτω σφοδρὰ ταχέως ἅπαντά σου τὸν φόρτον κατέδυσε; Τί γέγονεν, ὅτι τὸν τοσαῦτα εὐεργετήσαντα, καὶ εἰς τοσαύτην ἀναγαγόντα τιμὴν κρύπτεσθαι ἐπιχειρεῖς; Τίνα δεδοικὼς νῦν λανθάνειν σπου-

Διότι γνωρίζετε ὅτι, ὅταν δικάζουν ἐκείνους πού ἔπραξαν τά ἀδικήματα καθήμενοι εἰς τό ὑψηλόν βῆμα, δέν καταδέχονται νά τούς ἀπευθύνουν κατ' εὐθεῖαν τόν λόγον, καί διά τοῦτο ἀποδεικνύοντες εἰς αὐτούς, μέ πόσην ἀτιμίαν περιέβαλαν τούς ἑαυτούς των μέ τήν ἐκτέλεσιν τῶν πονηρῶν ἔργων· ἀλλά ὁ μέν δικαστής ἐρωτᾷ, κάποιος ἄλλος δέ, πού παρίσταται, διαβιβάζει τά λεγόμενα τοῦ δικαστοῦ εἰς τόν κατηγορούμενον καί μεταβιβάζει πάλιν πρός τόν δικαστήν τάς ἀπαντήσεις ἐκείνου· τήν συνήθειαν δέ αὐτήν τῶν δικαστῶν ἠμπορεῖ νά ἴδῃ κανείς παντοῦ. Ὁ Θεός ὅμως δέν συμπεριφέρεται ἔτσι· ἀλλά τί κάνει; Καλεῖ ὁ ἴδιος αὐτοπροσώπως. «Καί ἐκάλεσε, λέγει, Κύριος ὁ Θεός τόν Ἀδάμ καί εἶπε πρός αὐτόν· «Ἀδάμ, ποῦ εἶσαι;». Πρόσεχε πόση δύναμις ὑπάρχει μέσα εἰς τήν μικράν αὐτήν φράσιν. Καί αὐτή βεβαίως ἡ πρόσκλησις εἶναι δεῖγμα τῆς μεγάλης καί ἀπεριγράπτου φιλανθρωπίας, καί τό νά δώσῃ μέ τήν ἐρώτησιν ἀφορμήν ἀπολογίας εἰς ἐκεῖνον, πού ἦτο γεμᾶτος ἐντροπήν καί οὔτε τό στόμα του δέν ἐτολμοῦσε νά ἀνοίξῃ, εἶναι δεῖγμα μεγάλης ἀγάπης· καί τό νά εἰπῇ δέ, «Ποῦ εἶσαι;» ἔχει μεγάλην δύναμιν μαζί καί φιλανθρωπίαν. Σχεδόν, μέ τά λόγια αὐτά, ὑπαινίσσεται πρός αὐτόν τά ἑξῆς· τί ἔχει συμβῆ; Ἀλλοῦ σέ ἄφησα καί ἀλλοῦ τώρα σέ εὑρίσκω· ἐνῷ σέ εἶδα ἐνδεδυμένον μέ ἄλλην δόξαν, τώρα σέ εὑρίσκω γυμνόν. Ποῦ εἶσαι; Ἀπό ποῦ συνέβη εἰς σέ αὐτό; Ποῖος σέ ὡδήγησεν εἰς τόσον μεγάλην μεταβολήν; Ποῖος ληστής καί διαρρήκτης, ἀφοῦ σοῦ ἀφήρεσεν ἔτσι διά μιᾶς ὁλόκληρον τήν περιουσίαν, σέ ὡδήγησεν εἰς τόσον μεγάλην πτωχείαν; Ἀπό ποῦ ἔχει δημιουργηθῆ εἰς σέ ἡ αἴσθησις τῆς γυμνότητος; Ποῖος εἶναι ὁ αἴτιος τῆς ἀφαιρέσεως ἀπό σέ ἐκείνου τοῦ θαυμαστοῦ ἐνδύματος, μέ τό ὁποῖον ἦσο ἐνδεδυμένος; Τί εἶναι ἡ ἀπότομος αὐτή μεταβολή; Ποία καταιγίδα, τόσον δυνατή, κατεπόντισε γρήγορα ὅλον τό φορτίον σου; Τί ἔχει συμβῆ καί ἐπιχειρεῖς νά κρυφθῇς ἀπό ἐκεῖνον πού σέ εὐηργέτησε τόσον πολύ καί σέ ἐξύψωσεν εἰς τόσην τιμήν; Ποῖον τώρα προσπαθεῖς νά ξεφύγῃς, ἐνῷ εἶσαι φοβισμένος; Μήπως λοιπόν ἔχει

δάζεις; Μὴ γὰρ κατήγορος παρέστηκε; μὴ γὰρ μάρτυρες ἐφεστήκασι; Πόθεν σοι ἡ τοσαύτη δειλία καὶ ὁ φόβος κατεσκεδάσθη; «Τῆς φωνῆς σου ἤκουσα», φησί, περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην». Πόθεν σοι ἡ γνῶσις τῆς γυμνώσεως γέγονεν; εἰπέ μοι· τί τὸ καινὸν καὶ παράδοξον; Τίς ἂν τοῦτο ἠδυνήθη ποτὲ ἀναγγεῖλαί σοι, εἰ μὴ σὺ σαυτῷ ταύτης αἴτιος ἐγένου τῆς αἰσχύνης; εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; Ὅρα φιλανθρωπίαν Δεσπότου καὶ ἀνεξικακίας ὑπερβολήν. Δυνάμενος γὰρ εὐθέως μηδὲ ἀποκρίσεως ἀξιῶσαι τὸν τοσαῦτα ἡμαρτηκότα, ἀλλ' ὑπὸ τὸ ἐπιτίμιον ἀγαγεῖν, ὃ προλαβὼν ὥρισεν, εἰ παραβαίη, μακροθυμεῖ, καὶ ἀνέχεται, καὶ ἐρωτᾷ, καὶ ἀπόκρισιν δέχεται, καὶ πάλιν ἐρωτᾷ μονονουχὶ εἰς ἀπολογίαν αὐτὸν ἐκκαλούμενος, ἵνα ἀφορμὴν λαβών, τὴν οἰκείαν φιλανθρωπίαν καὶ μετὰ τὴν τοσαύτην παράβασιν περὶ αὐτὸν ἐπιδείξηται· παιδεύων ἡμᾶς καὶ διὰ τούτου, ἐπειδὰν δικάζωμεν τοῖς ὑπευθύνοις, μὴ ἀνημέρως αὐτοῖς προσφέρεσθαι, μηδὲ τὴν τῶν θηρίων ὠμότητα περὶ αὐτοὺς ἐπιδείκνυσθαι, ἀλλὰ πολλῇ τῇ μακροθυμίᾳ καὶ τῇ φειδοῖ κεχρῆσθαι, ἅτε δὴ ὡς οἰκείοις μέλεσι δικάζοντας, καὶ τὸ ὁμογενὲς ἐννοοῦντας φιλανθρωπίᾳ τὴν τιμωρίαν κεραννύναι. Οὐδὲ γὰρ ἁπλῶς τοσαύτῃ συγκαταβάσει ἡ θεία Γραφὴ κέχρηται, ἀλλὰ διὰ τῆς παχύτητος τῶν λέξεων διδάσκουσα ἡμᾶς τήν τε τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ εἰς ζῆλον ἄγουσα, ὥστε κατὰ δύναμιν ἀνθρωπίνην μιμεῖσθαι τοῦ Δεσπότου τὴν ἀγαθότητα. «Καὶ εἶπεν αὐτῷ, τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;». Πόθεν ἄν, φησίν, ἠδυνήθης τοῦτο γνῶναι, καὶ τοσαύτῃ αἰσχύνῃ περιβληθῆναι, εἰ μὴ πολλῇ τῇ ἀκρασίᾳ ἐχρήσω, καὶ κατεφρόνησάς μου τῆς ἐντολῆς;

παραστῇ ὁ κατήγορος; μήπως ἔχουν παραστῇ οἱ μάρτυρες; Ἀπὸ ποίαν αἰτίαν ἐξεχύθη εἰς σὲ τόση δειλία καὶ φόβος; «Ἤκουσα τὴν φωνήν σου, λέγει, καθὼς ἐπριπατοῦσες εἰς τὸν παράδεισον καὶ ἐφοβήθην διότι εἶμαι γυμνός, καὶ ἐκρύβην». Πῶς ἔγινε γνωστὴ εἰς σὲ ἡ γύμνωσις; εἰπέ μου τί τὸ νέον καὶ παράδοξον συνέβη; Ποῖος θὰ ἠμποροῦσε ποτὲ νὰ ἀναγγείλῃ τοῦτο εἰς σέ, ἐὰν σὺ δὲν ἐγίνεσο ὑπαίτιος αὐτῆς τῆς ἐντροπῆς διὰ τὸν ἑαυτόν σου; μήπως ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον σὲ διέταξε νὰ μὴ φάγῃς μόνον; Πρόσεξε τὴν φιλανθρωπίαν τοῦ Κυρίου καὶ τὴν ὑπερβολικὴν ἀνεξικακίαν του. Διότι ἂν καὶ ἠμποροῦσε νὰ μὴ κρίνῃ ἄξιον ἀπολογίας αὐτόν, ποὺ ἡμάρτησε τόσον πολύ, ἀλλὰ νὰ τοῦ ἐπιβάλῃ ἀμέσως τὴν τιμωρίαν, τὴν ὁποίαν ἐκ τῶν προτέρων ὥρισεν, ἂν θὰ παρέβαινε τὴν ἐντολήν, μακροθυμεῖ, καὶ ἀνέχεται, καὶ ἐρωτᾷ, καὶ δέχεται ἀπάντησιν καὶ πάλιν ἐρωτᾷ σχεδὸν προτρέπων αὐτὸν εἰς ἀπολογίαν, ὥστε, ἀφοῦ λάβῃ ἀφορμήν, νὰ ἐπιδείξῃ τὴν ἀγάπην του πρὸς αὐτὸν καὶ μετὰ τὴν μεγάλην παράβασιν ποὺ ἔκαμε. Διὰ τοῦ τρόπου αὐτοῦ μᾶς διδάσκει, ὅταν δικάζωμεν τοὺς ὑπευθύνους, νὰ μὴ συμπεριφερώμεθα πρὸς αὐτοὺς ἀγρίως, οὔτε νὰ ἐπιδεικνύωμεν πρὸς αὐτοὺς τὴν κληρότητα τῶν θηρίων, ἀλλὰ νὰ μεταχειριζώμεθα μεγάλην ἐπιείκειαν καὶ εὐσπλαγχνίαν, ὡσὰν νὰ δικάζωμεν ἰδικά μας μέλη, καὶ λαμβάνοντες ὑπ' ὄψιν τὴν κοινὴν καταγωγὴν νὰ ἀναμειγνύωμεν τὴν τιμωρίαν μὲ τὴν φιλανθρωπίαν. Διότι οὔτε ἡ Ἁγία Γραφὴ χρησιμοποιεῖ τυχαῖα τόσην συγκατάβασιν, ἀλλὰ μὲ τὰς ἁπλοϊκὰς ἐκφράσεις καὶ μᾶς διδάσκει τὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ μᾶς ὁδηγεῖ εἰς πρόθυμον ἅμιλλαν, ὥστε νὰ μιμούμεθα τὴν ἀγάπην τοῦ Θεοῦ κατὰ τὴν ἀνθρωπίνην δύναμιν. «Καὶ εἶπε πρὸς αὐτὸν ὁ Θεός· ποῖος σὲ ἐπληροφόρησεν, ὅτι εἶσαι γυμνός; μήπως ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγῃς μόνον;». Ἀπὸ ποῦ θὰ ἠμποροῦσες νὰ γνωρίσῃς τοῦτο, λέγει, καὶ νὰ περιβληθῇς μὲ τόσην ἐντροπήν, ἐὰν δὲν ἐσυμπεριφέρεσο μὲ μεγάλην ἀκράτειαν καὶ δὲν ἐπεριφρονοῦσες τὴν ἐντολήν μου;

4. Σκόπει, ἀγαπητέ, τῆς ἀγαθότητος τοῦ Θεοῦ τὴν ὑπερβολήν, ὅπως καθάπερ φίλος φίλῳ διαλεγόμενος, καὶ ἐγκαλῶν ὡς παραβάντι τὰ παρ' αὐτοῦ ἐνταλθέντα, οὕτω πρὸς αὐτὸν τὴν διάλεξιν ποιεῖται. «Τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ, ἔφαγες;». Οὐ μικρὰν ἔμφασιν ἔχει καὶ τὸ λέγειν, «Τούτου μόνου». Μὴ γὰρ ἐστενοχώρησά σου, φησί, τὴν ἀπόλαυσιν; Οὐχὶ πᾶσαν ἄδειάν σοι παρέσχον, καὶ πάντων τῶν ἐν τῷ παραδείσῳ τὴν ἐξουσίαν δεδωκώς, ἑνὸς τούτου μόνου ἀπέχεσθαι ἐνετειλάμην, ἵνα εἰδέναι ἔχῃς, ὅτι ὑπὸ δεσπότην εἶ, καὶ ὀφείλεις ὑπακοήν τινα ἐπιδεικνύναι; Τίς οὖν ἡ τοσαύτη ῥαθυμία, ὥστε τοσαύτην ἔχοντα ἀπόλαυσιν, μὴ ἀνασχέσθαι μηδὲ τούτου τοῦ ἑνὸς ἀποσχέσθαι, ἀλλ' οὕτω ταχέως εἰς τὴν παρ' ἐμοῦ δοθεῖσαν ἐντολὴν ἐξυβρίσαι, καὶ τοσούτοις κακοῖς ἑαυτὸν περιβαλεῖν; Τί σοι τὸ ὄφελος γέγονεν; Οὐ προλαβὼν ταῦτα εἶπον; οὐ τῷ φόβῳ τοῦ ἐπιτιμίου προανατεῖλαι ἠβουλήθην, καὶ ἀσφαλεστέρους ἐργάσασθαι; οὐκ εἶπον τὸ μέλλον ὑμῖν συμβήσεσθαι; οὐ διὰ τοῦτο τὴν βρῶσιν ἐκώλυσα, ἵνα μὴ τούτοις περιπέσητε; Τίς ἂν σε συγγνώμης ἀξιώσειε, τὸν μετὰ τοσαύτας παραγγελίας οὕτως ἀγνώμονα γενόμενον; Οὐ καθάπερ πατὴρ παιδὶ γνησίῳ, οὕτω πάντα διεστειλάμην, καὶ ἐδίδαξα τῶν μὲν ἄλλων ἀπογεύσασθαι, τούτου δὲ ἀποσχέσθαι, ἵνα μὴ πᾶσι σου τοῖς ἀγαθοῖς λυμαίνηται; Ἀλλ' ἴσως ἀγαθὴν καὶ ἀξιοπιστοτέραν ἡγησάμενος τῆς ἐμῆς ἐντολῆς τὴν ἑτέρου συμβουλήν, καὶ προσδοκήσας μειζόνων ἐφικέσθαι τοῦτο πεποίηκας, καὶ τὰς ἐμὰς ἐντολὰς παρωσάμενος κατετόλμησας τῆς τοῦ ξύλου βρώσεως. Ἰδοὺ διὰ τῆς πείρας ὧν πέπονθας, ἔμαθες ὅσον τῆς συμβουλῆς ἐκείνης τὸ ὀλέθριον. Εἴδετε δικαστοῦ φιλανθρωπίαν; εἴδετε ἡμερότητα καὶ ἀνεξικακίαν ἄφατον; εἴ-

4. Πρόσεχε, ἀγαπητέ, τὴν ὑπερβολικὴν ἀγάπην τοῦ Θεοῦ· ὅπως ἀκριβῶς συζητεῖ ὁ φίλος μὲ τὸν φίλον, ὅταν κατηγορῇ αὐτὸν ὡς παραβάτην τῶν ἐντολῶν του, ἔτσι συζητεῖ μὲ αὐτόν. «Ποῖος σὲ ἐπληροφόρησεν, ὅτι εἶσαι γυμνός; μήπως ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγῃς μόνον;». Δὲν ἔχουν μικρὰν σημασίαν καὶ τὰ λόγια, «ἀπ' αὐτὸ μόνον». Διότι, λέγει, μήπως σοῦ περιώρισα τὴν ἀπόλαυσιν; Δὲν σοῦ ἔδωσα ὅλην τὴν ἄδειαν, καὶ ἀφοῦ σοῦ ἔδωσα τὴν ἐξουσίαν ἐπάνω εἰς ὅλα, ποὺ ὑπάρχουν μέσα εἰς τὸν παράδεισον, δὲν σὲ διέταξα νὰ ἀπέχῃς μόνον ἀπὸ αὐτὸ τὸ ἕνα δένδρον, διὰ νὰ ἠμπορῇς νὰ γνωρίζῃς, ὅτι εὑρίσκεσαι κάτω ἀπὸ τὸν Κύριον, καὶ ὀφείλεις νὰ ἐπιδεικνύῃς κάποιαν ὑπακοήν; Διατί λοιπὸν ἡ τόσον μεγάλη ἀδιαφορία, ὥστε, ἂν καὶ εἶχες τόσην ἀπόλαυσιν, νὰ μὴ ἀνεχθῇς νὰ ἀπέχῃς οὔτε ἀπὸ τὸ ἕνα αὐτό, ἀλλὰ τόσον γρήγορα νὰ περιφρονήσῃς τὴν ἐντολήν, ποὺ σοῦ ἐδόθη ἀπὸ ἐμέ, καὶ νὰ περιβάλῃς μὲ τόσα κακὰ τὸν ἑαυτόν σου; Ποία ὠφέλεια ἔγινε διὰ σέ; Δὲν σοῦ τὰ εἶπα αὐτὰ ἀπὸ πρίν; δὲν ἠθέλησα νὰ σᾶς ἐμποδίσω ἐκ τῶν προτέρων μὲ τὸν φόβον τῆς τιμωρίας καὶ νὰ σᾶς κάνω περισσότερον ἀσφαλεῖς; δὲν εἶπα αὐτὰ ποὺ θὰ σᾶς συμβοῦν εἰς τὸ μέλλον; δὲν σᾶς ἠμπόδισα διὰ τοῦτο τὴν βρῶσιν, διὰ νὰ μὴ περιπέσετε εἰς αὐτά; Ποῖος θὰ ἠμποροῦσε νὰ κρίνῃ ἄξιον συγγνώμης ἐσέ, ποὺ ἔγινες τόσον ἀγνώμων ὕστερα ἀπὸ τόσας παραγγελίας; Δὲν σοῦ παρήγγειλα τὰ πάντα ἔτσι, ὅπως ἀκριβῶς ὁ πατέρας εἰς τὸ γνήσιον παιδί του, καὶ σὲ ἐδίδαξα ἀπὸ μὲν τὰ ἄλλα νὰ δοκιμάσῃς νὰ ἀπέχῃς δὲ ἀπὸ αὐτό, διὰ νὰ μὴ καταστρέψῃ ὅλα τὰ ἀγαθά σου; Ἀλλὰ ἴσως ἐπειδὴ ἐθεώρησες τὴν συμβουλὴν τοῦ ἄλλου περισσότερον ἀξιόπιστον ἀπὸ τὴν ἰδικήν μου καὶ ἐπροσδοκοῦσες νὰ ἐπιτύχῃς μεγαλύτερα ἔχεις πράξει αὐτό, καὶ ἀφοῦ ἐπεριφρόνησες τὰς ἰδικάς μου ἐντολὰς ἐτόλμησες νὰ φάγῃς ἀπὸ τὸ δένδρον αὐτό. Ἰδοὺ μὲ τὴν πεῖραν ἐκείνων, τὰ ὁποῖα ἔχεις πάθει, ἔμαθες πόσον καταστρεπτικὴ ἦτο ἡ συμβουλὴ ἐκείνη. Παρατηρήσατε τὴν φιλανθρωπίαν τοῦ δικαστοῦ; παρατηρήσατε ἀνέκφραστον

δετε συγκατάβασιν πάντα λόγον καὶ διάνοιαν ὑπερβαίνουσαν; εἴδετε πῶς διὰ τῆς ἐρωτήσεως καὶ τοῦ λέγειν, «Τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες», θύρας αὐτῷ ἀνοῖξαι βούλεται ἀπολογίας, ἵνα καὶ πρὸς τὸν οὕτως ἡμαρτηκότα τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται; Ἀκούσωμεν τοίνυν καὶ τοῦ καταδίκου, τί πρὸς ταῦτα ἀποκρίνεται. «Καὶ εἶπε», φησίν, «ὁ Ἀδάμ· ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου καὶ ἔφαγεν». Ἐλεεινὰ τὰ ῥήματα καὶ πολλοῦ τοῦ οἴκτου γέμοντα, καὶ ἱκανὰ πρὸς φιλανθρωπίαν ἐπισπάσασθαι τὸν Δεσπότην, τὸν οὕτως ἥμερον, καὶ ἀγαθότητι νικῶντα τὰ ἡμέτερα πλημμελήματα. Ἐπειδὴ γὰρ διὰ τῆς πολλῆς μακροθυμίας κατέσεισεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἔδειξεν αὐτῷ τοῦ ἁμαρτήματος τὸ μέγεθος, μονονουχὶ ἀπολογίαν Ἀδὰμ συντιθείς, φησὶ πρὸς αὐτόν, «Ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον». Οἶδα, φησίν, ἡμαρτηκώς, ἀλλ' ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ, περὶ ἧς αὐτὸς εἶπας, «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν», αὕτη μοι αἰτία τοῦ ὀλίσθου γέγονεν. «Ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ». Πότε γὰρ προσεδόκησα ταύτην τῇ αἰσχύνῃ με ταύτῃ περιβαλεῖν, τὴν διὰ τοῦτο δημιουργηθεῖσαν, ἵνα μοι τὴν παρ' ἑαυτῆς παραμυθίαν εἰσαγάγῃ; Σύ μοι αὐτὴν δέδωκας, σὺ αὐτὴν ἤγαγες πρός με. Αὕτη τοίνυν, οὐκ οἶδα πόθεν κινουμένη, ἔδωκέ μοι ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. Ταῦτα δοκεῖ μὲν ἀπολογίαν τινὰ ἔχειν, πάσης δὲ ἀπεστέρηται συγγνώμης. Ποίας γὰρ ἂν εἴης συγγνώμης ἄξιος, φησί, τῶν ἐμῶν ἐντολῶν ἐπιλαθόμενος, καὶ τῶν παρ' ἐμοῦ ῥηθέντων προτιμοτέραν ἡγησάμενος τὴν παρὰ τῆς γυναικὸς δόσιν; Εἰ γὰρ καὶ ἡ γυνὴ ἔδωκεν, ἀλλ' ἡ ἐντολὴ ἡ ἐμὴ καὶ ὁ φόβος τοῦ ἐπιτιμίου ἱκανὸς

1. Γεν. 2, 18.

πραότητα καὶ ἀνεξικακίαν; εἴδατε συγκατάβασιν ποὺ ὑπερβαίνει κάθε λογικὴν καὶ διάνοιαν; εἴδατε πῶς μὲ τὴν ἐρώτησιν καὶ τὰ λόγια, «Ποῖος σοῦ ἐπληροφόρησεν, ὅτι εἶσαι γυμνός, μήπως ἔφαγες ἀπὸ τὸ δένδρον ἀπὸ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγῃς μόνον», ἐπιθυμεῖ νὰ δώσῃ εἰς αὐτὸν τὴν εὐκαιρίαν τῆς ἀπολογίας, διὰ νὰ φανερώσῃ τὴν φιλανθρωπίαν του καὶ πρὸς ἐκεῖνον, ποὺ εἶχεν ἁμαρτήσει τόσον πολύ. Ἂς ἀκούσωμεν λοιπὸν καὶ τὸν ἔνοχον, τί ἀπαντᾷ πρὸς αὐτά. «Καὶ εἶπε, λέγει ἡ Γραφή, ὁ Ἀδάμ· ἡ γυναῖκα, τὴν ὁποίαν ἔδωσες εἰς ἐμέ, αὐτὴ μοῦ ἔδωσεν ἀπὸ τὸν καρπὸν τοῦ δένδρου, καὶ ἔφαγα». Τὰ λόγια εἶναι θλιβερὰ καὶ ἄξια μεγάλου οἴκτου καὶ ἱκανὰ νὰ παρακινήσουν πρὸς φιλανθρωπίαν τὸν Κύριον, ὁ ὁποῖος εἶναι τόσον πρᾶος καὶ μὲ τὴν ἀγάπην του νικᾷ τὰ ἰδικά μας σφάλματα. Ἐπειδὴ λοιπὸν μὲ τὴν μεγάλην του μακροθυμίαν ἐτάραξε τὴν διάνοιαν αὐτοῦ καὶ ἔδειξεν εἰς αὐτὸν τὸ μέγεθος τοῦ ἁμαρτήματος, ὁ Ἀδάμ, ἀφοῦ συνέθεσε σχεδὸν μίαν ἀπολογίαν, λέγει πρὸς αὐτόν· «Ἡ γυναῖκα, τὴν ὁποίαν ἔδωσες εἰς ἐμέ, αὐτὴ μοῦ ἔδωσεν ἀπὸ τὸν καρπὸν τοῦ δένδρου, καὶ ἔφαγα». Γνωρίζω, λέγει, ὅτι ἔχω ἁμαρτήσει, ἀλλὰ ἡ γυναῖκα, τὴν ὁποίαν ἔδωσες εἰς ἐμὲ καὶ διὰ τὴν ὁποίαν σὺ ὁ ἴδιος εἶπες, «Ἂς κάνωμεν δι᾽ αὐτὸν ἕνα βοηθὸν ὅμοιον πρὸς αὐτόν»[1], αὐτὴ ἔγινε δι᾽ ἐμὲ ἡ αἰτία τῆς πτώσεως. «Ἡ γυναῖκα τὴν ὁποίαν ἔδωσες εἰς ἐμέ». Πότε λοιπὸν ἐπερίμενα νὰ μὲ περιβάλῃ μὲ τόσην ἐντροπὴν ἐκείνη, ἡ ὁποία ἐδημιουργήθη διὰ τοῦτο, δηλαδὴ διὰ νὰ μοῦ προσφέρῃ τὴν παρηγορίαν της; Σὺ ἔδωσες αὐτὴν εἰς ἐμέ, σὺ ὡδήγησες αὐτὴν πρὸς ἐμέ. Αὐτὴ λοιπόν, δὲν γνωρίζω ἀπὸ ποίαν αἰτίαν κινουμένη, μοῦ ἔδωσεν ἀπὸ τὸν καρπὸν τοῦ δένδρου, καὶ ἔφαγα. Νομίζει ὅτι αὐτὰ μὲν ἀποτελοῦν κάποιαν δικαιολογίαν, ὅμως ἔχει στερηθῆ ἀπὸ οἱανδήποτε συγγνώμην. Διότι, λέγει, ποίας συγγνώμης θὰ ἠμποροῦσες νὰ θεωρηθῇς ἄξιος, ἀφοῦ ἐλησμόνησες τὰς ἐντολάς μου καὶ ἐθεώρησες προτιμοτέραν τὴν προσφορὰν τῆς γυναικὸς ἀπὸ τὰ ἰδικά μου λόγια; Ἂν καὶ πράγματι ἡ γυναῖκα σοῦ ἔδωσεν, ἡ ἐντολή μου ὅμως καὶ ὁ φόβος τῆς τιμωρίας ἦτο ἀρκε-

ἦν παρασκευάσασθαι φυγεῖν τὴν μετάληψιν. Μὴ γὰρ οὐκ ᾔδεις; μὴ γὰρ ἠγνόεις; Προλαβὼν διὰ τοῦτο εἶπον κηδόμενος ὑμῶν, ἵνα μὴ τούτοις περιπέσητε· ὥστε, εἰ καὶ ἡ γυνή σοι πρὸς τὴν παράβασιν τῆς ἐντολῆς ὑπηρετήσατο, ἀλλ' οὐδὲ οὕτως ἀνεύθυνος ἔσῃ. Ἀξιοπιστοτέραν γὰρ ἐχρῆν ἡγήσασθαι τὴν παρ' ἐμοῦ ἐντολήν, καὶ οὐ μόνον αὐτόν σε παραιτήσασθαι τὴν βρῶσιν, ἀλλὰ καὶ τῇ γυναικὶ δεῖξαι τῶν ἡμαρτημένων τὸ μέγεθος. Κεφαλὴ γὰρ εἶ τῆς γυναικός, καὶ διὰ σὲ ἐκείνη παρήχθη· σὺ δὲ τὴν τάξιν ἀνέστρεψας, καὶ οὐ μόνον ἐκείνην οὐ διώρθωσας, ἀλλὰ καὶ συγκατεσπάσθης καὶ δέον τὸ λοιπὸν σῶμα τῇ κεφαλῇ ἕπεσθαι, τὸ ἐναντίον γέγονε, καὶ ἡ κεφαλὴ τῷ λοιπῷ σώματι ἐξηκολούθησε, καὶ τὰ ἄνω κάτω γέγονε. Διὰ τοῦτο, ἐπειδὴ τὴν τάξιν ἅπασαν ἀνέστρεψας, ἐν τούτοις εἶ νῦν, ὁ πρὸ τούτου τοσαύτῃ δόξῃ περιβεβλημένος. Τίς σε οὖν καὶ ἀξίαν ὀδύρηται τῆς ἀφαιρέσεως τῶν τοσούτων ἀγαθῶν; Ἀλλ' ὅμως, εἰ καὶ ταῦτά σοι ἅπαντα συμβέβηκε, μηδενὶ ἑτέρῳ τὴν αἰτίαν ἐπίγραφε, ἀλλὰ σαυτῷ καὶ τῇ σῇ ῥαθυμίᾳ· οὐ γὰρ ἄν, εἰ μὴ ἠβουλήθης, ἡ γυνή σε ἠδύνατο εἰς τὸν ὄλισθον τοῦτον ἀγαγεῖν. Μὴ γὰρ παρεκάλεσε; μὴ γὰρ διελέχθη; μὴ γὰρ ἠπάτησεν; Ἔδωκε μόνον καὶ εὐθέως μετὰ τοσαύτης εὐκολίας ἐπὶ τὴν μετάληψιν ὑπήχθης, οὐδεμίαν μνήμην ποιησάμενος τῆς ἐμῆς ἐντολῆς, ἀλλ' ἐνόμισας ἠπατῆσθαι παρ' ἐμοῦ, καὶ διὰ τοῦτο μὴ συγχωρηθῆναι σοι τὴν βρῶσιν, ἵνα μὴ μειζόνων ἐπιτύχῃς. Καὶ πῶς ἂν ἔχοι λόγον παρ' ἐμοῦ ἠπατῆσθαί σε, τοῦ τοσαύτας εὐεργεσίας εἰς σὲ καταθεμένου; Καὶ τοῦτο δὲ αὐτὸ ὅσης ἦν εὐεργεσίας μέγεθος, τὸ προλαβεῖν καὶ διαστείλασθαι τὴν ἀποχήν, ὥστε μὴ τούτοις περιπεσεῖν, οἷς νῦν ἑαυτὸν περιέβαλες; Ἀλλὰ πάντα ταῦτα παρ' οὐδὲν

τὸς νὰ σὲ προπαρασκευάσουν νὰ ἀποφύγῃς τὴν βρῶσιν. Μήπως λοιπὸν δὲν ἐγνώριζες; μήπως πράγματι ἠγνοοῦσες; Ἐπειδὴ φροντίζω διὰ σᾶς, διὰ τοῦτο σᾶς εἶπα προκαταβολικῶς, διὰ νὰ μὴ περιπέσετε εἰς αὐτὰ τὰ σφάλματα· συνεπῶς ἂν καὶ ἡ γυναῖκα σοῦ ἐπρόσφερεν ὑπηρεσίαν διὰ τὴν παράβασιν τῆς ἐντολῆς, οὔτε ἔτσι ὅμως θὰ εἶσαι ἀνεύθυνος. Διότι ἔπρεπε νὰ θεωρήσῃς περισσότερον ἀξιόπιστον τὴν ἰδικήν μου ἐντολήν, καὶ ὄχι μόνον σὺ ὁ ἴδιος νὰ ἀποφύγῃς τὴν βρῶσιν, ἀλλὰ νὰ δείξῃς καὶ εἰς τὴν γυναῖκα τὸ μέγεθος τῶν σφαλμάτων. Διότι εἶσαι κεφαλὴ τῆς γυναικὸς καὶ πρὸς χάριν σου ἐδημιουργήθη ἐκείνη· σὺ ὅμως, ἀφοῦ ἀνέτρεψες τὴν τάξιν, ὄχι μόνον δὲν διώρθωσες ἐκείνην, ἀλλὰ καὶ συμπαρεσύρθης μαζί της· καὶ ἐνῷ ἔπρεπε τὸ ὑπόλοιπον σῶμα νὰ ἀκολουθῇ τὴν κεφαλήν, ἔχει γίνει τὸ ἀντίθετον, καὶ ἡ κεφαλὴ ἠκολούθησε τὸ ὑπόλοιπον σῶμα καὶ ἔχουν γίνει τὰ ἄνω κάτω. Διὰ τοῦτο, ἐπειδὴ ἀνέτρεψες ὅλην τὴν τάξιν, εὑρίσκεσαι τώρα εἰς αὐτὴν τὴν κατάστασιν, σύ, ὁ ὁποῖος εἶχες περιβληθῆ πρὶν ἀπὸ τὸ γεγονὸς αὐτὸ μὲ τόσην δόξαν. Ποῖος λοιπὸν νὰ σὲ κλαύσῃ ὅπως πρέπει, διὰ τὴν ἀπώλειαν τόσων ἀγαθῶν; Ἀλλ' ὅμως, ἂν καὶ ὅλα αὐτὰ ἔχουν συμβῆ εἰς σέ, νὰ μὴ ἀποδίδῃς τὴν αἰτίαν εἰς ἄλλον κανένα, παρὰ εἰς τὸν ἑαυτόν σου καὶ εἰς τὴν ἀδιαφορίαν σου· διότι, ἂν δὲν ἤθελες, δὲν θὰ ἠμποροῦσεν ἡ γυναῖκα νὰ σὲ ὁδηγήσῃ εἰς αὐτὸ τὸ σφάλμα. Μήπως λοιπὸν σὲ παρεκάλεσε; μήπως πράγματι ἐσυζήτησε μαζί μου; μήπως σὲ ἐξηπάτησεν; Ἐπρόσφερε μόνον, καὶ ἀμέσως μὲ τόσην εὐκολίαν ὡδηγήθης εἰς τὴν βρῶσιν, χωρὶς νὰ ἐνθυμηθῇς καθόλου τὴν ἐντολήν μου, ἀλλὰ ἐνόμισες ὅτι ἔχεις ἐξαπατηθῆ ἀπὸ ἐμέ, καὶ διὰ τοῦτο δὲν ἐπετράπη ἡ βρῶσις εἰς σέ, διὰ νὰ μὴ ἐπιτύχῃς μεγαλύτερα πράγματα. Καὶ πῶς θὰ ἦτο δυνατὸν νὰ εἶναι λογικόν, τὸ νὰ ἔχῃς ἐξαπατηθῆ ἀπὸ ἐμέ, ὁ ὁποῖος ἐπρόσφερα εἰς σὲ τόσας πολλὰς εὐεργεσίας; Καὶ αὐτὸ δὲ ἀκόμη, τὸ νὰ προλάβω δηλαδὴ καὶ νὰ διατάξω τὴν ἀποχήν, ὥστε νὰ μὴ περιπέσῃς εἰς αὐτά, μὲ τὰ ὁποῖα τώρα περιέβαλες τὸν ἑαυτόν σου, πόσον μεγάλη εὐεργεσία δὲν εἶναι; Ἀλλά, ἀ-

θέμενος, ἰδοὺ διὰ τῆς πείρας ἔμαθες τῶν ἡμαρτημένων σοι τὸ μέγεθος· λοιπὸν μηδὲ τῇ γυναικὶ μόνῃ τὴν αἰτίαν ἐπίγραφε, ἀλλὰ καὶ τῇ ῥᾳθυμίᾳ τῇ σαυτοῦ.

5. Ἐπειδὴ τοίνυν ἀρκούντως πρὸς τὸν Ἀδὰμ διελέχθη, καὶ τὴν ὁμολογίαν ἐκεῖνος ἐποιήσατο τῶν ἡμαρτημένων, ὡς ἐνόμισε τὴν αἰτίαν εἰς τὴν γυναῖκα μεταθείς· ὅρα τὸν ἀγαθὸν Δεσπότην, πόσῃ τῇ συγκαταβάσει πάλιν κέχρηται, καὶ ἀξιοῖ καὶ ταύτην τῆς παρ' αὐτοῦ ἀποκρίσεως. «Καὶ εἶπε», φησίν, ὁ Θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίησας;». Ἤκουσας, φησί, τοῦ ἀνδρὸς ἐπὶ σὲ τὴν αἰτίαν μεταφέροντος, καὶ τὸ πᾶν ἐπιγράφοντός σοι τῇ πρὸς βοήθειαν αὐτοῦ δεδομένῃ, καὶ διὰ τοῦτο παραχθείσῃ, ἵνα τὴν παρὰ σαυτῆς παραμυθίαν εἰσαγάγῃς αὐτῷ, οἷα δὴ ὁμογενὴς καὶ τῆς αὐτῆς αὐτῷ φύσεως κοινωνοῦσα. Τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησας, ὦ γύναι; καὶ διὰ τί καὶ σαυτῇ καὶ τῷ ἀνδρὶ τοσαύτης αἰσχύνης αἰτία κατέστης; Τί σοι τὸ ὄφελος γέγονεν ἀπὸ τῆς τοσαύτης ἀκρασίας; τί σοι τῆς ἀπάτης τὸ κέρδος, ἣν ἑκοῦσα ἠπατήθης, καὶ τὸν ἄνδρα κοινωνὸν τῆς ἀπάτης εἰργάσω; Τί οὖν ἡ γυνή; «Ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον». Ὅρα καὶ ταύτην ἐν πολλῇ δειλίᾳ καθεστῶσαν, καὶ ἀπολογουμένην ὑπὲρ τῶν ἡμαρτημένων. Καθάπερ γὰρ ὁ ἀνὴρ τὴν αἰτίαν ἐπὶ τὴν γυναῖκα ἔδοξε μετάγειν λέγων, ἡ γυνὴ ἥνεγκε, καὶ ἔδωκέ μοι, καὶ ἔφαγον· οὕτω καὶ αὐτὴ οὐδεμίαν εὑρίσκουσα ἀποφυγὴν ὁμολογεῖ τὸ γεγενημένον, καί φησιν, «Ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον». Τὸ πονηρὸν ἐκεῖνο, φησί, θηρίον τοῦτον ἡμῖν τὸν ὄλισθον προεξένησεν, ἐκείνου ἡ ὀλέθριος συμβουλὴ εἰς ταύτην ἡμᾶς τὴν αἰσχύνην ἤνεγκεν, ἐκεῖνός με ἠπάτησε, καὶ ἔφαγον. Μὴ ἁπλῶς παρατρέχωμεν ἀγαπητοί, τὰ λεγόμενα, ἀλλ' ἀκριβῶς διερευνώμενοι πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν ὠφέλειαν. Δικαστήριον γάρ ἐστι φοβερόν, καὶ φρίκης γέμον, καὶ δεῖ πάντα

φοῦ δὲν ἔδωσες καμμίαν σημασίαν εἰς ὅλα αὐτά, ἰδοὺ ἔμαθες διὰ τῆς πείρας τὸ μέγεθος τῶν σφαλμάτων σου· νὰ μὴ ἀποδίδῃς, λοιπόν, τὴν εὐθύνην μόνον εἰς τὴν γυναῖκα, ἀλλὰ καὶ εἰς τὴν ἰδικήν σου ἀδιαφορίαν.

5. Ἀφοῦ λοιπὸν εἶπεν ἀρκετὰ εἰς τὸν Ἀδάμ, καὶ ἐκεῖνος ὡμολόγησε τὰ σφάλματά του, ἀποδώσας καθὼς ἐνόμιζε τὴν εὐθύνην εἰς τὴν γυναῖκα, πρόσεχε μὲ πόσην συγκατάβασιν συμπεριφέρεται πάλιν ὁ πανάγαθος Κύριος καὶ ἀξιώνει καὶ ἀπ' αὐτὴν κάποιαν ἀπάντησιν. «Καὶ εἶπε, λέγει ἡ Γραφή, ὁ Θεὸς εἰς τὴν γυναῖκα· διατί ἔκαμες αὐτό;». Ἤκουσες, λέγει, τὸν ἄνδρα νὰ ἐπιρρίπτῃ τὴν εὐθύνην εἰς σέ, καὶ νὰ ἀποδίδῃ τὸ καθετὶ εἰς σέ, ἡ ὁποία ἔχεις δοθῆ ὡς βοηθὸς εἰς αὐτὸν καὶ διὰ τοῦτο ἐδημιουργήθης, διὰ νὰ προσφέρῃς τὴν παρηγορίαν σου εἰς αὐτόν, καθόσον εἶσαι ὁμογενὴς καὶ συμμετέχεις τῆς ἰδίας πρὸς αὐτὸν φύσεως. Διὰ ποῖον λοιπὸν λόγον ἔκαμες αὐτό, γυναῖκα; καὶ διατί ἔγινες ὑπεύθυνος τόσον μεγάλης ἐντροπῆς καὶ διὰ τὸν ἑαυτόν σου καὶ διὰ τὸν ἄνδρα; Ποία ὠφέλεια προέκυψε διὰ σὲ ἀπὸ τὴν τόσην ἀκράτειαν; ποῖον τὸ κέρδος σου ἀπὸ τὴν ἀπάτην, εἰς τὴν ὁποίαν μὲ τὴν θέλησίν σου παρεσύρθης, καὶ εἰς τὴν ὁποίαν ἔκαμες συμμέτοχον καὶ τὸν ἄνδρα; Τί λοιπὸν λέγει ἡ γυναῖκα; «Ὁ ὄφις μὲ ἠπάτησε καὶ ἔφαγα». Πρόσεχε καὶ αὐτὴν νὰ εὑρίσκεται εἰς κατάστασιν μεγάλης δειλίας καὶ νὰ ἀπολογῆται διὰ τὰ σφάλματά της. Διότι ὅπως ἀκριβῶς ἐνόμισεν ὁ ἄνδρας, ὅτι μετατοπίζει τὴν εὐθύνην εἰς τὴν γυναῖκα λέγων: ἡ γυναῖκα ἔφερε, καὶ μοῦ ἔδωσε καὶ ἔφαγα· ἔτσι καὶ αὐτή, ἐπειδὴ δὲν εὑρίσκει κανένα καταφύγιον, ὁμολογεῖ αὐτὸ ποὺ ἔγινε καὶ λέγει, «Ὁ ὄφις μὲ ἐξηπάτησε καὶ ἔφαγα». Τὸ πονηρὸν ἐκεῖνο θηρίον, λέγει, ἐπροξένησεν εἰς ἡμᾶς τὸ ὀλίσθημα αὐτό· ἡ καταστρεπτικὴ συμβουλὴ ἐκείνου μᾶς ἔφερεν εἰς αὐτὴν τὴν ἐντροπήν, ἐκεῖνος μὲ ἐξηπάτησε καὶ ἔφαγα. Ἂς μὴ ἐξετάζωμεν ἐπιπόλαια, ἀγαπητοί, αὐτὰ τὰ λόγια, ἀλλά, ἀφοῦ τὰ διερευνήσωμεν μὲ ἀκρίβειαν, ἂς καρποθοῦμεν ἀπ' αὐτὰ τὴν μεγάλην ὠφέλειαν. Διότι εἶναι φοβερὸν τὸ δικαστήριον καὶ τρομερόν, καὶ πρέπει, ἀφοῦ ἀκούσωμεν

μετὰ ἀσφαλείας ἀκούσαντας πολὺν τὸν ἀπὸ τῶν λεγομένων θησαυρὸν ἐναποτίθεσθαι τῇ διανοίᾳ. Σκόπει γὰρ καὶ τὸν ἄνδρα λέγοντα, ὅτι «Ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκε, καὶ ἔφαγον». Οὐδαμοῦ ἀνάγκη, οὐδαμοῦ βία, ἀλλὰ προαίρεσις καὶ γνώμη· ἔδωκε μόνον, οὐκ ἠνάγκασεν, οὐκ ἐβιάσατο. Καὶ αὐτὴ πάλιν ἀπολογίαν συντιθεῖσα, οὐκ εἶπεν, ὁ ὄφις ἠνάγκασέ με, καὶ ἔφαγον. Ἀλλὰ τί; «Ὁ ὄφις ἠπάτησέ με»· τοῦ δὲ ἀπατηθῆναι, καὶ μὴ ἀπατηθῆναι κυρία ἦν. «Ὁ ὄφις», φησίν,« «ἠπάτησέ με». Ὁ γὰρ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας ἐνεργήσας διὰ τοῦ πονηροῦ ἐκείνου θηρίου, καὶ τὴν συμβουλὴν εἰσαγαγὼν ἠπάτησεν, οὐκ ἠνάγκασεν, οὐδὲ ἐβιάσατο, ἀλλὰ διὰ τῆς ὀλεθρίας συμβουλῆς τὴν ἀπάτην εἰς ἔργον ἤγαγεν, ἐπειδὴ εὗρε τὴν γυναῖκα εὐκόλως δυναμένην δέξασθαι τὴν ἀπάτην τὴν πάσης συγγνώμης ἀπεστερημένην. «Ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον». Ὅρα τοίνυν τὸν ἀγαθὸν Δεσπότην ἀρκούμενον αὐτῶν τοῖς ῥήμασι, καὶ οὐδὲν περαιτέρω καταναγκάζοντα λέγειν. Ἐπειδὴ γὰρ οὐ ἀγνοῶν ταῦτα ἠρώτα, ἀλλ' εἰδώς, καὶ σφόδρα εἰδώς, ἵνα δὲ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, συγκαταβαίνει αὐτῶν τῇ ἀσθενείᾳ, καὶ ἐκκαλεῖται αὐτοὺς εἰς ὁμολογίαν τῶν ἐπταισμένων. Διὰ τοῦτο οὖν οὐδὲν πλέον ἐρωτᾷ. Ἐχρῆν γὰρ ἄρα μαθεῖν καὶ τὸ εἶδος τῆς ἀπάτης· ἀλλ' ἵνα ἡμῖν δείξῃ ὅτι οὐκ ἀγνοίας ἦν ἡ ἐρώτησις, ἀρκεῖται τοῖς ῥηθεῖσιν. Εἰποῦσα γάρ, «Ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον», ἐκείνην ᾐνίξατο τὴν ὀλεθρίαν συμβουλήν, ἣν ἐδέξατο παρὰ τοῦ διαβόλου διὰ τοῦ ὄφεως, ὅτι «Ἔσεσθε μετὰ τὴν βρῶσιν ὡς θεοί». Εἴδετε μεθ' ὅσης ἀκριβείας ἠρωτήθη ὁ Ἀδάμ; μεθ' ὅσης ἀνεξικακίας εἰσήχθη εἰς τὸ δικαστήριον καὶ ἡ γυνή; πῶς ἑκάτερος αὐτῶν τὴν ἀπολογίαν ἐποιήσατο; Βλέπετε λοιπὸν ἐνταῦθα τῆς ἀφάτου φιλανθρωπίας τοῦ δικαστοῦ τὴν ὑπερβολήν. Ἐπειδὴ γὰρ

---

2. Γεν. 3, 5.

τὰ πάντα μὲ προσοχὴν ἀπὸ τὰ λεγόμενα, νὰ ἐναποθέσωμεν πολὺν θησαυρὸν εἰς τὴν διάνοιάν μας. Πρόσεχε βέβαια καὶ τὸν ἄνδρα ποὺ λέγει, ὅτι «Ἡ γυναῖκα, τὴν ὁποίαν μοῦ ἔδωσες, αὐτὴ μοῦ ἔδωσε καὶ ἔφαγα». Πουθενὰ ἐξαναγκασμός, πουθενὰ βία, ἀλλὰ ἐλευθέρα ἐκλογὴ καὶ συγκατάθεσις· ἔδωσε μόνον, δὲν ἐξηνάγκασεν, οὔτε ἐξεβίασε. Καὶ ἡ γυναῖκα πάλιν, ὅταν ἀπελογήθη, δὲν εἶπεν· ὁ ὄφις μὲ ἐξηνάγκασε καὶ ἔφαγα. Ἀλλὰ τί εἶπεν; «Ὁ ὄφις μὲ ἐξηπάτησε»· τὸ νὰ ἀπατηθῇ δὲ ἢ νὰ μὴ ἀπατηθῇ ἦτο εἰς τὴν ἐξουσίαν της. «Ὁ ὄφις, λέγει, μὲ ἐξηπάτησεν». Διότι ὁ ἐχθρὸς τῆς σωτηρίας μας, ἀφοῦ ἐνήργησε διὰ τοῦ πονηροῦ ἐκείνου ζώου καὶ ἀφοῦ ἐπαρουσίασε τὴν συμβουλήν του, ἐξηπάτησε τὴν γυναῖκα, δὲν τὴν ἐξηνάγκασεν, οὔτε τὴν ἐξεβίασεν, ἀλλὰ μὲ τὴν καταστρεπτικὴν συμβουλὴν ἐπραγματοποίησε τὴν ἀπάτην, ἐπειδὴ εὗρε τὴν γυναῖκα, ἡ ὁποία ἠμποροῦσε εὔκολα νὰ δεχθῇ τὴν ἀπάτην καὶ ἡ ὁποία ἔχει στερηθῆ οἱανδήποτε συγγνώμην. «Ὁ ὄφις μὲ ἐξηπάτησε καὶ ἔφαγα». Πρόσεξε λοιπὸν τὸν πανάγαθον Κύριον, ὁ ὁποῖος ἀρκεῖται εἰς τὰ λόγια αὐτῶν καὶ δὲν τοὺς ἀναγκάζει νὰ λέγουν τίποτε περισσότερον. Ἐπειδὴ βέβαια ἐρωτοῦσεν αὐτά, ὄχι διότι ἠγνοοῦσεν, ἀλλ' ἐπειδὴ ἐγνώριζε, καὶ ἐγνώριζε πολὺ καλά, διὰ νὰ δείξῃ δὲ τὴν φιλανθρωπίαν του, συγκαταβαίνει εἰς τὴν ἀδυναμίαν αὐτῶν καὶ προτρέπει αὐτοὺς νὰ ὁμολογήσουν τὰ σφάλματά των. Διὰ τοῦτο λοιπὸν δὲν ἐρωτᾷ τίποτε περισσότερον. Ἔπρεπε λοιπὸν νὰ μάθουν καὶ τὸ εἶδος τῆς ἀπάτης· ἀλλὰ διὰ νὰ μᾶς δείξῃ, ὅτι ἡ ἐρώτησις δὲν εἶναι δεῖγμα ἀγνοίας, ἀρκεῖται εἰς αὐτὰ ποὺ εἶχαν λεχθῇ. Διότι ὅταν εἶπεν, «Ὁ ὄφις μὲ ἐξηπάτησε καὶ ἔφαγα», ὑπηνίχθη τὴν καταστρεπτικὴν ἐντολήν, τὴν ὁποίαν ἐδέχθη ἀπὸ τὸν διάβολον διὰ μέσου τοῦ ὄφεως, ὅτι «θὰ εἴσθε μετὰ τὴν βρῶσιν ὡς θεοί»[2]. Εἴδατε μὲ πόσην ἀκρίβειαν ἠρωτήθη ὁ Ἀδάμ; μὲ πόσην ἀνεξικακίαν ὡδηγήθη εἰς τὸ δικαστήριον καὶ ἡ γυναῖκα; πῶς ὁ καθένας ἀπὸ αὐτοὺς ἔκαμε τὴν ἀπολογίαν του; Βλέπετε λοιπὸν ἐδῶ τὴν ὑπερβολικὴν καὶ ἀνέκφραστον φιλανθρωπίαν τοῦ δικαστοῦ. Διότι ὅταν ἡ γυναῖκα εἶπεν,

εἶπεν ἡ γυνή, ὅτι «Ὄφις ἠπάτησέ με, καὶ ἔφαγον»· οὐκέτι λοιπὸν ἀποκρίσεως ἀξιοῖ τὸν ὄφιν, οὐδὲ ἀπολογίας χώραν αὐτῷ παρέχει, οὐδὲ ἐρωτᾷ καθάπερ τὸν ἄνδρα καὶ τὴν γυναῖκα· ἀλλὰ τὰς παρ' ἐκείνων ἀπολογίας δεξάμενος, ἐπὶ τοῦτον ὡς αἴτιον τῶν ὅλων κακῶν γεγενημένον ὁρμᾷ. Καὶ ἐπειδὴ ὡς Θεὸς καὶ τὰ ἀπόρρητα ἐπιστάμενος ᾔδει, ὅτι αὐτὸς ἦν ὁ ὑπηρετησάμενος τῇ τοῦ διαβόλου ἐπιβουλῇ, καὶ τῇ βασκανίᾳ, ἣν περὶ τὸν ἄνθρωπον ἐπεδείξατο, ἵνα μάθῃς αὐτοῦ τὴν ἀγαθότητα, πῶς ἐπ' ἐκείνων μὲν καὶ εἰδὼς τῷ μὲν ἔλεγε, «Ποῦ εἶ; Τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ;» τῇ δὲ ἔλεγε, «Τί τοῦτο ἐποίησας;» ἐπὶ τοῦ πονηροῦ τούτου θηρίου οὐδὲν τοιοῦτον ποιεῖ, ἀλλὰ τί; «Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ ὄφει, Ὅτι ἐποίησας τοῦτο». Εἶδες διαφοράν; Τῇ μὲν γυναικὶ ἔλεγε, «Τί τοῦτο ἐποίησας;» τῷ δὲ ὄφει, «Ὅτι ἐποίησας τοῦτο». Ὅτι τὸ κακόν, φησίν, τοῦτο εἰργάσω, ὅτι τὴν ὀλέθριον συμβουλὴν ταύτην εἰσήγαγες, ὅτι τοσαύτῃ βασκανίᾳ ὑπηρετήσω, ὅτι οὕτω τὸν φθόνον ἠκόνησας κατὰ τοῦ δημιουργηθέντος ὑπ' ἐμοῦ, «Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. Αὐτός σου τηρήσει τὴν κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν».

6. Σκόπει μοι ἐνταῦθα τάξιν καὶ ἀκολουθίαν φιλανθρωπίας πεπληρωμένην. Τὴν μὲν γὰρ ἐρώτησιν ποιούμενος ἀπὸ τοῦ ἀνδρὸς ἤρξατο, εἶτα μετῆλθεν ἐπὶ τὴν γυναῖκα. Καὶ ἐπειδὴ εἶπεν αὐτὴ τὸν αἴτιον αὐτῇ γεγενημένον, ἐλθὼν ἐπὶ τὸν ὄφιν, καὶ οὐκέτι αὐτὸν ἀποκρίσεως ἀξιώσας, τὴν τιμωρίαν ἐπάγει, καὶ τοιαύτην ὡς παντὶ τῷ χρόνῳ παρεκτείνε-

3. Δηλ. τοὺς ἀνθρώπους.

ὅτι «Ὁ ὄφις μὲ ἐξηπάτησε καὶ ἔφαγα», δὲν θεωρεῖ καθόλου τὸν ὄφιν ἄξιον ἀπαντήσεως, οὔτε δίδει εἰς αὐτὸν εὐκαιρίαν ἀπολογίας, οὔτε τὸν ἐρωτᾷ ὅπως τὸν ἄνδρα καὶ τὴν γυναῖκα· ἀλλὰ ἀφοῦ ἔλαβε τὰς ἀπολογίας ἐκείνων, σπεύδει πρὸς αὐτὸν, ἐπειδὴ ἔχει γίνει ὁ αἴτιος ὅλων τῶν κακῶν. Καὶ ἐπειδὴ ὡς Θεός, ὁ ὁποῖος καὶ τὰ ἀπόρρητα γνωρίζει καλῶς, ἐγνώριζεν ὅτι αὐτὸς ἔγινεν ὁ ὑπηρέτης τῆς σκευωρίας τοῦ διαβόλου καὶ τοῦ φθόνου, τὸν ὁποῖον ἐπέδειξε πρὸς τὸν ἄνθρωπον, διὰ νὰ μάθῃς τὴν καλωσύνην του, πῶς δι' ἐκείνους μέν[3], ἂν καὶ ἐγνώριζεν, εἰς τὸν μὲν Ἀδὰμ ἔλεγε, «Ποῦ εἶσαι; Ποῖος σὲ ἐπληροφόρησεν ὅτι εἶσαι γυμνός;» εἰς τὴν γυναῖκα δὲ ἔλεγε, «Διατί ἔκαμες αὐτό;» εἰς τὴν περίπτωσιν τοῦ πονηροῦ τούτου ζώου δὲν κάμνει τίποτε τὸ παρόμοιον, ἀλλὰ τί; «Καὶ εἶπε Κύριος ὁ Θεὸς εἰς τὸν ὄφιν, ἐπειδὴ ἔκαμες αὐτό». Εἶδες τὴν διαφοράν; Εἰς τὴν γυναῖκα μὲν ἔλεγε, «Διατί ἔκαμες αὐτό;» εἰς τὸν ὄφιν δέ, «ἐπειδὴ ἔκαμες αὐτό». Ἐπειδὴ ἔπραξες, λέγει, τὸ κακὸν αὐτό, ἐπειδὴ ἐπαρουσίασες τὴν καταστρεπτικὴν αὐτὴν συμβουλήν, ἐπειδὴ ἔγινες ὑπηρέτης τόσον μεγάλου φθόνου, ἐπειδὴ τόσον πολὺ ἐκέντρισες τὸν φθόνον κατὰ τοῦ δημιουργήματός μου, «Θὰ εἶσαι τὸ περισσότερον καταραμένον ἀπὸ ὅλα τὰ ζῶα καὶ ἀπὸ ὅλα τὰ θηρία τῆς γῆς. Θὰ περιπατῇς ἐπὶ τοῦ στήθους καὶ τῆς κοιλίας σου, καὶ θὰ τρώγῃς χῶμα εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ θὰ στήσω ἔχθραν μεταξὺ σοῦ καὶ τῆς γυναικός, καὶ μεταξὺ τῶν ἀπογόνων σου καὶ τῶν ἀπογόνων αὐτῆς. Ἐκεῖνος θὰ σοῦ συντρίψῃ τὸ κεφάλι καὶ σὺ θὰ κεντήσῃς τὴν πτέρναν του».

6. Πρόσεξε ἐδῶ, παρακαλῶ, σειρὰν καὶ τάξιν, ποὺ εἶναι πλήρης φιλανθρωπίας. Διότι ὅταν μὲν ἔκαμε τὴν ἐρώτησιν, ἤρχισεν ἀπὸ τὸν ἄνδρα, ἔπειτα ἦλθεν εἰς τὴν γυναῖκα. Καὶ ὅταν αὐτὴ εἶπεν ἐκεῖνον, ποὺ εἶχε γίνει ὑπεύθυνος εἰς αὐτήν, ἀφοῦ ἦλθε πρὸς τὸν ὄφιν, καὶ χωρὶς νὰ τὸν κρίνῃ ἄξιον ἀπαντήσεως, ἐπιβάλλει τὴν τιμωρίαν, ἡ ὁποία ἦτο τέτοια, ὥστε νὰ ἐπεκτείνεται εἰς ὅλους τοὺς αἰῶνας καὶ διὰ τῆς παρουσίας της νὰ γίνεται εἰς τὸ μέλλον διαρ-

σθαι, καὶ διὰ τῆς ὄψεως διηνεκῆ διδάσκαλον γίνεσθαι τοῖς ἑξῆς ἅπασι, μηκέτι δέχεσθαι τὴν ὀλεθρίαν ἐκείνην συμβουλήν, μηδὲ ἀπατᾶσθαι τοῖς παρ' ἐκείνου μηχανήμασιν. Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ εἰ ὁ διάβολος ἐνεργήσας διὰ τοῦ ὄφεως τὴν συμβουλὴν εἰσήγαγε, τίνος ἕνεκεν τὸ θηρίον τοσαύτην ὑπέμεινε τιμωρίαν; Καὶ τοῦτο τῆς ἀφάτου φιλανθρωπίας τοῦ Θεοῦ ἔργον γέγονε. Καθάπερ γὰρ πατὴρ φιλόστοργος τὸν ἀπεκτακότα τὸν υἱὸν τὸν ἑαυτοῦ τιμωρούμενος, καὶ τὴν μάχαιραν καὶ τὸ ξίφος, δι' οὗ τὸν φόνον εἰργάσατο, διασπᾷ, καὶ εἰς πολλὰ κατατέμνει μέρη· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς Θεός, ἐπειδὴ ὥσπερ μάχαιρά τις ὑπηρετήσατο τὸ θηρίον τοῦτο τῇ τοῦ διαβόλου πανουργίᾳ, ἐπάγει αὐτῷ διηνεκῆ τὴν τιμωρίαν, ἵνα διὰ τοῦ αἰσθητοῦ τούτου καὶ ὁρωμένου λογιζώμεθα ἐν ὅσῃ ἀτιμίᾳ κἀκεῖνος τυγχάνει. Εἰ γὰρ οὗτος ὁ καθάπερ ὄργανον ὑπηρετησάμενος τοσαύτης ἐπειράθη ἀγανακτήσεως, ποίαν εἰκὸς ἐκεῖνον δέξασθαι τιμωρίαν; Μᾶλλον δὲ καὶ τοῦτο ἤδη ἡμᾶς ἐδίδαξεν ὁ Χριστὸς διὰ τῶν θείων εὐαγγελίων φάσκων πρὸς τοὺς ἐξ εὐωνύμων ἑστῶτας. «Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Ἐκείνῳ γὰρ πάλαι τοῦτο ἡτοίμασται, καὶ ἐκεῖνο τὸ ἄσβεστον πῦρ αὐτὸν ἐκδέχεται. Τί οὖν ἂν εἴη ἀθλιώτερον τῶν δι' ἀμέλειαν τῆς οἰκείας σωτηρίας ἑαυτοὺς ἐκείνῃ τῇ τιμωρίᾳ καθιστώντων ὑπευθύνους τῇ ἐκείνῳ ἡτοιμασμένῃ; Ὅτι γὰρ ἡμῖν, εἰ βουληθείημεν ἀρετὴν ἐπιδείξασθαι, καὶ τοῖς παρὰ τοῦ Χριστοῦ τεθεῖσι νόμοις ἕπεσθαι, ἡ βασιλεία ἡτοίμασται, αὐτοῦ πάλιν ἄκουσον λέγοντος· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Εἶδες ἐκείνῳ μὲν τὸ ἄσβεστον πῦρ ἡτοιμασμένον, ἡμῖν δέ, εἰ μὴ ῥαθυμήσαιμεν, τὴν βασιλείαν;

---

4. Ματθ. 25, 41.
5. Ματθ. 25, 34.

κής διδάσκαλος πρὸς ὅλους, νὰ μὴ δέχωνται πλέον τὴν καταστρεπτικὴν ἐκείνην συμβουλήν, οὔτε νὰ ἀπατῶνται ἀπὸ τὰς μηχανορραφίας ἐκείνου. Ἴσως ὅμως θὰ ἠμποροῦσε νὰ εἰπῇ κάποιος· ἀφοῦ ὁ διάβολος, ποὺ ἐνήργησε διὰ τοῦ ὄφεως, ἔδωσε τὴν συμβουλήν, διὰ ποῖον λόγον ὑπέστη τὸ ζῶον τόσην τιμωρίαν; Καὶ αὐτὸ εἶναι ἔργον τῆς ἀφάτου φιλανθρωπίας τοῦ Θεοῦ. Ὅπως βέβαια ὁ φιλόστοργος πατέρας, ὅταν τιμωρῇ τὸν φονέα τοῦ υἱοῦ του, καταστρέφει καὶ κατακόπτει εἰς πολλὰ κομμάτια τὸ μαχαίρι καὶ τὸ ξίφος, μὲ τὸ ὁποῖον διέπραξε τὸν φόνον· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ὁ πανάγαθος Θεός, ἐπειδὴ τὸ ζῶον αὐτὸ ἔγινεν ὑπηρέτης εἰς τὴν ἀπάτην τοῦ διαβόλου, ὡσὰν κάποιο μαχαίρι, ἐπιβάλλει εἰς αὐτὸ συνεχῆ τὴν τιμωρίαν, διὰ νὰ ὑπολογίζωμεν διὰ τοῦ αἰσθητοῦ καὶ ὁρατοῦ αὐτοῦ ζώου μέσα εἰς πόσην ταπείνωσιν εὑρίσκεται καὶ ἐκεῖνος. Διότι ἐὰν ὁ ὄφις, ὁ ὁποῖος ὑπηρέτησεν ὡσὰν ἕνα ὄργανον, ὑπέστη τόσον μεγάλην ἀγανάκτησιν, ποίαν τιμωρίαν εἶναι φυσικὸν νὰ δεχθῇ ὁ διάβολος; Μᾶλλον δὲ καὶ αὐτὸ μᾶς τὸ ἐδίδαξεν ἤδη ὁ Χριστὸς διὰ τῶν ἱερῶν εὐαγγελίων, ὁμιλῶν πρὸς τοὺς εὑρισκομένους εἰς τὰ ἀριστερά του· «Σεῖς ποὺ ἀπὸ τὰ ἔργα σας ἐγίνατε καταραμμένοι, πηγαίνετε μακρὰν ἀπὸ ἐμὲ εἰς τὸ πῦρ τὸ αἰώνιον, ποὺ ἔχει ἑτοιμασθῆ διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του»[4]. Δι' αὐτὸν ἔχει ἑτοιμασθῆ πρὸ πολλοῦ τὸ ἄσβεστον πῦρ καὶ τὸν περιμένει. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ εἶναι ἐλεεινότερον εἰς ἐκείνους, ποὺ ἐξ αἰτίας τῆς ἀμελείας τῆς σωτηρίας των καθιστοῦν τοὺς ἑαυτούς των ὑπευθύνους ἐκείνης τῆς τιμωρίας, ἡ ὁποία ἔχει ἑτοιμασθῆ διὰ τὸν διάβολον; Ὅτι βεβαίως ἔχει ἑτοιμασθῆ δι' ἡμᾶς ἡ Βασιλεία τῶν Οὐρανῶν, ἐὰν θὰ θελήσωμεν νὰ ἐπιδείξωμεν ἀρετὴν καὶ νὰ ἀκολουθοῦμεν τοὺς νόμους, ποὺ ἔθεσεν ὁ Χριστός, ἄκουσε πάλιν αὐτὸν νὰ λέγῃ· «Ἐλᾶτε σεῖς, ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου· λάβετε ὡς κληρονομίαν τὴν βασιλείαν, ποὺ ἔχει ἑτοιμασθῆ διὰ σᾶς, ἀφ' ὅτου ἐθεμελιώνετο ὁ κόσμος»[5]. Εἶδες, δι' ἐκεῖνον μὲν ἔχει ἑτοιμασθῆ τὸ ἄσβεστον πῦρ, δι' ἡμᾶς δέ, ἐὰν δὲν θὰ ἀδιαφορήσωμεν, ἡ βασι-

Ταῦτα τοίνυν ἐννοοῦντες καὶ βίου ἐπιμελώμεθα, καὶ τὴν κακίαν φεύγωμεν, καὶ μηδέποτε ἀπατώμεθα ταῖς τοῦ διαβόλου μηχαναῖς. Ἀλλ' εἰ βούλεσθε καὶ μὴ ἀπεκάμετε, πάλιν εἰς μέσον ἀγάγωμεν τὴν τιμωρίαν τὴν τῷ ὄφει ἐπαγομένην, ἵν' οὕτω κατὰ μικρὸν εἰς τὸ τέλος τῆς δίκης φθάσαντες ἴδωμεν τῆς φιλανθρωπίας τοῦ Θεοῦ τὸ μέγεθος. Εἰ γὰρ ἄνθρωποι δικαστὴν ὁρῶντες πολλάκις δημοσίᾳ καθήμενον, καὶ τὴν κατὰ τῶν καταδίκων ψῆφον ἐκφέροντα, διὰ πάσης ἡμέρας παραμένουσι, καὶ οὐκ ἀφίστανται μέχρις ἂν ἴδωσιν ἀναστάντα τὸν δικαστήν· πολλῷ μᾶλλον ἡμᾶς νῦν προσήκει μετὰ πλείονος τῆς προθυμίας ἰδεῖν τὸν ἀγαθὸν Θεόν, πῶς μὲν τῷ ὄφει σφοδρὰν τὴν τιμωρίαν ἐπιτίθησιν, ἵνα διὰ τοῦ αἰσθητοῦ τούτου θηρίου, ᾧ ὥσπερ ὀργάνῳ ἐχρήσατο ὁ πονηρὸς δαίμων ἐκεῖνος, αἴσθησιν ἡμῖν παράσχῃ τῆς μελλούσης ἐκεῖνον τιμωρίας ἐκδέχεσθαι· πῶς δὲ μετὰ φειδοῦς σύμμετρον ἐπάγει καὶ τῇ γυναικὶ καὶ τῷ ἀνδρὶ τὴν ἐπιτίμησιν, νουθεσίαν μᾶλλον ἔχουσαν, ἢ κόλασιν· ἵνα ταῦτα πάντα μετὰ ἀκριβείας σκοπήσαντες θαυμάσωμεν τὴν τοῦ φιλανθρώπου Θεοῦ κηδεμονίαν, ἣν περὶ τὴν φύσιν ἐπιδείκνυται τὴν ἡμετέραν. Τί οὖν φησι; «Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ σου πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. Αὐτός σου τηρήσει κεφαλήν, καὶ σύ τηρήσεις αὐτοῦ πτέρναν».

7. Μεγάλη καὶ σφοδρὰ ἡ ἀγανάκτησις, ἐπειδὴ καὶ μεγάλη τῆς ἀπάτης ἡ ὑπερβολή, ἣν δι' αὐτοῦ προσήγαγεν ὁ πονηρὸς διάβολος. «Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο». Ἐπειδή, φησί, τοιαύτῃ ὑπηρετήσω πανουργίᾳ, καὶ

λεία τῶν οὐρανῶν; Αὐτὰ λοιπὸν κατανοοῦντες, ἄς φροντίζωμεν καὶ τὴν ζωήν μας καὶ ἄς ἀποφεύγωμεν τὴν κακίαν καὶ ἄς μὴ ἐξαπατώμεθα ἀπὸ τάς μηχανορραφίας τοῦ διαβόλου. Ἀλλά, ἐὰν θέλετε καὶ δὲν ἔχετε κουρασθῆ, ἄς ἐπανέλθωμεν εἰς τὴν τιμωρίαν, ἡ ὁποία ἐπιβάλλεται εἰς τὸν ὄφιν, διὰ νὰ ἰδοῦμεν ἀφοῦ φθάσωμεν ἔτσι σιγά - σιγά εἰς τὸ τέλος τῆς δίκης, τὸ μέγεθος τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Διότι ἐὰν οἱ ἄνθρωποι, ὅταν βλέπουν τὸν δικαστὴν νὰ δικάζῃ πολλὰς φορὰς δημοσίως καὶ νὰ ἀνακοινώνῃ τὴν ἀπόφασιν κατὰ τῶν καταδίκων, παραμένουν ὁλόκληρον τὴν ἡμέραν καὶ δὲν ἀπομακρύνωνται μέχρις ὅτο θὰ ἰδοῦν τὸν δικαστὴν νὰ φεύγῃ, πολὺ περισσότερον ἁρμόζει τώρα νὰ ἰδοῦμεν ἡμεῖς μὲ μεγαλυτέραν προθυμίαν τόν πανάγαθον Θεόν, πῶς μὲν ἐπιβάλλει αὐστηρὰν τιμωρίαν εἰς τὸν ὄφιν, ὥστε διά τοῦ αἰσθητοῦ αὐτοῦ ζώου, τὸ ὁποῖον ὡσάν ὄργανον ἐχρησιμοποίησεν ὁ πονηρὸς ἐκεῖνος δαίμων, νὰ μᾶς δώσῃ τὴν αἴσθησιν τῆς τιμωρίας, ποὺ περιμένει εἰς τὸ μέλλον ἐκεῖνον, πῶς δὲ ἐπιβάλλει μὲ ἐπιείκειαν καὶ εἰς τὴν γυναῖκα καὶ εἰς τὸν ἄνδρα τὴν πρέπουσαν ἐπίπληξιν, ἡ ὁποία εἶναι νουθεσία μᾶλλον, παρὰ τιμωρία. Ἀφοῦ ἐξετάσωμεν ὅλα αὐτὰ μὲ ἀκρίβειαν, νὰ θαυμάσωμεν τὴν φροντίδα τοῦ φιλανθρώπου Θεοῦ, τὴν ὁποίαν ἐπιδεικνύει πρὸς τὴν ἰδικήν μας φύσιν. Τί λοιπὸν λέγει; «Καὶ εἶπεν ὁ Κύριος ὁ Θεὸς πρὸς τὸν ὄφιν· ἐπειδὴ ἔκαμες αὐτό, θὰ εἶσαι τὸ περισσότερον καταραμένον ἀπὸ ὅλα τὰ ζῶα καὶ ἀπὸ ὅλα τὰ θηρία τῆς γῆς. Θὰ περιπατῇς ἐπὶ τοῦ στήθους καὶ τῆς κοιλίας σου καὶ θὰ τρώγῃς χῶμα εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ θὰ στήσω ἔχθραν μεταξὺ σοῦ καὶ τῆς γυναικὸς καὶ μεταξὺ τῶν ἀπογόνων σου καὶ τῶν ἀπογόνων αὐτῆς. Αὐτὸς θὰ σοῦ συντρίψῃ τὸ κεφάλι, καὶ σὺ θὰ κεντήσῃς τὴν πτέρναν του».

7. Εἶναι μεγάλη καὶ ὑπερβολικὴ ἡ ἀγανάκτησις, ἐπειδὴ μέγα καὶ τὸ μέγεθος τῆς ἀπάτης, τὴν ὁποίαν διὰ τοῦ ὄφεως ἐπρόσφερεν ὁ πονηρὸς διάβολος. «Καὶ εἶπεν ὁ Κύριος ὁ Θεὸς πρὸς τὸν ὄφιν, ἐπειδὴ ἔκαμες αὐτό». Ἐπειδή, λέγει, ὑπηρέτησες μίαν τέτοιαν πανουργίαν, καὶ ἔτσι ἐπραγμα-

οὕτω τὴν ἀπάτην εἰς ἔργον ἤγαγες, ὀλεθρίαν συμβουλὴν εἰσαγαγών, καὶ τὸ δηλητήριον αὐτοῖς φάρμακον κεράσας· ἐπειδὴ τοῦτο εἰργάσω, καὶ τῆς ἐμῆς εὐνοίας ἐκβαλεῖν ἠβουλήθης τοὺς ὑπ' ἐμοῦ δημιουργηθέντας, ὑπηρετησάμενος τῇ τοῦ πονηροῦ δαίμονος γνώμῃ, τοῦ διὰ τὴν βασκανίαν καὶ τὴν ὑπερβάλλουσαν ὑπερηφανίαν ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν κατενεχθέντος· διὰ τοῦτο, ἐπειδὴ ἐν τούτοις ὀργάνῳ σοι ἐχρήσατο, διηνεκῆ σοι τὴν τιμωρίαν ἐπιτίθημι, ἵνα διὰ τῶν εἰς σὲ γενομένων κἀκεῖνος εἰδέναι ἔχῃ οἵα τιμωρία αὐτὸν ἐκδέχεται, καὶ οἱ ἑξῆς ἄνθρωποι παιδεύωνται, μηκέτι ὑπάγεσθαι ταῖς τούτου συμβουλαῖς, μηδὲ τὴν ἀπάτην προσίεσθαι, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσωσι. Διὰ τοῦτο ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων, ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσω τῇ φρονήσει, ἀλλὰ τὸ προτέρημα, ὅπερ εἶχες ὑπὲρ ἅπαντα τὰ θηρία, τοῦτό σοι γέγονε τῶν κακῶν ἁπάντων αἴτιον. «Ὁ γὰρ ὄφις», φησίν, «ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς». Διὰ τοῦτο ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ τῶν θηρίων τῆς γῆς γενήσῃ. Ἀλλ' ἐπειδὴ τὸ τῆς κατάρας οὐκ ἦν αἰσθητόν, οὐδὲ ὀφθαλμοῖς φαινόμενον, διὰ τοῦτο καὶ αἰσθητὴν αὐτῷ τιμωρίαν ἐπάγει, ἵνα διηνεκῶς πρὸ τῶν ὀφθαλμῶν ἔχωμεν ὁρᾶν τῆς τιμωρίας αὐτοῦ τὰ ὑπομνήματα. «Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου», ἐπειδή, φησί, τῇ διαπλάσει οὐ δεόντως ἐχρήσω, ἀλλὰ καὶ εἰς ὁμιλίαν ἐλθεῖν ἐτόλμησας τῷ ὑπ' ἐμοῦ δημιουργηθέντι λογικῷ ζώῳ. Καθάπερ τοίνυν ὁ διάβολος ὁ ἐνεργήσας διὰ σοῦ, καὶ ὀργάνῳ σοι χρησάμενος, ἐπειδὴ ὑπὲρ τὴν οἰκείαν ἀξίαν ἐφρόνησεν, ἐκ τῶν οὐρανῶν κατηνέχθη· τὸν αὐτὸν δὴ τρόπον καὶ σὲ ἕτερον σχῆμα διαπλάσεως ἀναλαβεῖν προστάττω, καὶ ἐπὶ τῆς γῆς σύρεσθαι, καὶ ταύτην ἔχειν τροφήν, ὥστε μὴ ἐξεῖναί σοι λοιπὸν ἀνανεύειν ἄνω, ἀλλὰ διηνεκῶς ἐν ταύτῃ τυγ-

6. Γεν. 3, 1.

τοποίησες τὴν ἀπάτην, ἀφοῦ ἐπρόσφερες τὴν καταστρεπτικὴν συμβουλὴν καὶ ἀνέμειξες εἰς αὐτοὺς τὸ δηλητήριον φάρμακον· ἐπειδὴ ἔπραξες αὐτό, καὶ ἠθέλησες νὰ ἀποσπάσῃς τὰ δημιουργήματά μου ἀπὸ τὴν ἰδικήν μου ἀγάπην, ἀφοῦ ὑπηρέτησες εἰς τὸ σχέδιον τοῦ πονηροῦ δαίμονος, ὁ ὁποῖος ἐξ αἰτίας τοῦ φθόνου καὶ τῆς ὑπερβολικῆς του ὑπερηφανίας ἐκρημνίσθη ἀπὸ τοὺς οὐρανοὺς εἰς τὴν γῆν· δι᾿ αὐτό, ἐπειδὴ σὲ ἐχρησιμοποίησεν εἰς αὐτὰ ὡσὰν ὄργανον, ἐπιβάλλω εἰς σὲ τὴν διαρκῆ τιμωρίαν, διὰ νὰ ἠμπορῇ καὶ ἐκεῖνος νὰ γνωρίζῃ ποία τιμωρία τὸν περιμένει, σύμφωνα μὲ αὐτὰ ποὺ ἔχουν γίνει εἰς σέ, καὶ οἱ ἄνθρωποι νὰ διδάσκωνται εἰς τὸ μέλλον, νὰ μὴ ὑπακούουν πλέον εἰς τὰς συμβουλάς του, οὔτε νὰ ἐπιδοκιμάζουν τὴν ἀπάτην, διὰ νὰ μὴ περιπέσουν εἰς τὰ ἴδια σφάλματα. Διὰ τοῦτο θὰ εἶσαι σὺ τὸ περισσότερον καταραμένον ἀπὸ ὅλα τὰ θηρία, ἐπειδὴ δὲν ἐχρησιμοποίησες ὅπως ἔπρεπε τὴν φρόνησίν σου, ἀλλὰ τὸ προτέρημα, τὸ ὁποῖον εἶχες περισσότερον ἀπὸ ὅλα τὰ θηρία, αὐτὸ ἔχει γίνει διὰ σὲ ἡ αἰτία ὅλων τῶν κακῶν. «Διότι ὁ ὄφις, λέγει ἡ Γραφή, ἦτο ὁ εὐφυέστερος ἀπὸ ὅλα τὰ θηρία τῆς γῆς»[8]. Διὰ τοῦτο θὰ γίνῃς σὺ ὁ περισσότερον καταραμένος ἀπὸ ὅλα τὰ ζῶα καὶ τὰ θηρία τῆς γῆς. Ἐπειδὴ ὅμως τὸ ἀποτέλεσμα τῆς κατάρας δὲν ἦτο αἰσθητόν, οὔτε ὁρατὸν εἰς τὰ μάτια, διὰ τοῦτο ἐπιβάλλει εἰς αὐτὸν καὶ τὴν αἰσθητὴν τιμωρίαν, διὰ νὰ ἔχωμεν διαρκῶς ἐμπρός μας τὴν ὑπενθύμισιν τῆς τιμωρίας αὐτοῦ. «Θὰ περιπατῇς ἐπὶ τοῦ στήθους καὶ τῆς κοιλίας σου καὶ θὰ τρώγῃς χῶμα εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου», ἐπειδή, λέγει, δὲν ἐχρησιμοποίησες ὅπως ἔπρεπε τὴν διάπλασίν σου, ἀλλὰ ἐτόλμησες νὰ συνομιλήσῃς μὲ τὸ λογικὸν ζῶον, ποὺ ἐδημιουργήθη ἀπὸ ἐμέ. Ὅπως λοιπὸν ὁ διάβολος, ὁ ὁποῖος ἐνήργησε διὰ σοῦ καὶ σὲ ἐχρησιμοποίησε ὡσὰν ὄργανον, ἐκρημνίσθη ἀπὸ τοὺς οὐρανούς, ἐπειδὴ ἐσκέφθη ὑψηλότερα ἀπὸ τὴν ἀξίαν του· κατὰ τὸν ἴδιον ἀκριβῶς τρόπον, διατάσσω νὰ λάβῃς καὶ σὺ ἄλλο σχῆμα διαπλάσεως καὶ νὰ σύρεσαι ἐπάνω εἰς τὴν γῆν καὶ αὐτὴν νὰ ἔχῃς τροφήν, ὥστε νὰ μὴ εἶναι δυνατὸν νὰ σηκώνῃς τὸ κεφάλι σου πρὸς

χάνειν τῇ κατασπάσει, καὶ παρὰ πάντα λοιπὰ τὰ θηρία τὴν γῆν σιτεῖσθαι· καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ «Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς». Καὶ οὐδὲ τούτῳ ἀρκεσθήσομαι, τῷ ἐπὶ τῆς γῆς σύρεσθαί σε, ἀλλὰ καὶ ἐχθρὰν ἄσπονδόν σοι καταστήσω τὴν γυναῖκα· καὶ οὐκ αὐτὴν μόνην, ἀλλὰ καὶ τὸ σπέρμα αὐτῆς τῷ σπέρματί σου πολέμιον διηνεκῆ ἐργάσομαι· «Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν». Καὶ γὰρ τοσαύτην ἐκείνῳ μὲν παρέξω τὴν ἰσχύν, ὡς διηνεκῶς ἐπικεῖσθαι τῇ σῇ κεφαλῇ, σὲ δὲ τοῖς ἐκείνου ποσὶν ὑποκεῖσθαι. Ὅρα, ἀγαπητέ, διὰ τῆς κατὰ τοῦ θηρίου τούτου τιμωρίας, ὅσην ἡμῖν ἐνδείκνυται τὴν κηδεμονίαν, ἣν περὶ τὴν τῶν ἀνθρώπων φύσιν ἔχει. Καὶ ταῦτα μὲν περὶ τοῦ αἰσθητοῦ ὄφεως· ἔξεστι δὲ τῷ βουλομένῳ μετὰ τοῦτο τηρεῖν τῶν ἐγγεγραμμένων τὴν ἀκολουθίαν, καὶ εἰδέναι, ὅτι εἰ περὶ τοῦ αἰσθητοῦ ταῦτα εἴρηται, πολλῷ μᾶλλον ἐκλαμβάνειν τὰ εἰρημένα δεῖ καὶ περὶ τοῦ νοητοῦ ὄφεως. Καὶ γὰρ καὶ ἐκεῖνον ὑπὸ τοὺς πόδας ἡμῶν ταπεινώσας κατήνεγκε, καὶ ἡμᾶς ἐπικεῖσθαι αὐτοῦ τῇ κεφαλῇ πεποίηκεν. Ἢ οὐχὶ τοῦτο σημαίνει λέγων, «Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων»; Εἶτα ἵνα μὴ νομίσωμεν περὶ τῶν αἰσθητῶν θηρίων ταῦτα εἰρῆσθαι, ἐπήγαγε· «Καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ». Εἴδετε καὶ ἐκ τῆς ἐπαχθείσης τῷ ὀργάνῳ τοῦ διαβόλου τιμωρίας τὴν ὑπερβάλλουσαν τοῦ Θεοῦ φιλανθρωπίαν; Ἔλθωμεν πάλιν, εἰ δοκεῖ, ἐπὶ τὴν γυναῖκα. Ἐπειδὴ γὰρ οὗτος τὴν ἀπάτην εἰσήγαγε, διὰ τοῦτο οὗτος πρῶτος τὴν τιμωρίαν ἐδέξατο· καὶ ἐπειδὴ πρώτην τὴν γυναῖκα ἠπάτησε, καὶ τότε ἐκείνη τὸν ἄνδρα συγκατέσπασε, διὰ τοῦτο ἐκείνην πρῶτον τιμωρεῖται τιμωρίαν νουθεσίαν πολλὴν ἔχουσαν. Καὶ τῇ γυναικὶ εἶπε· Πληθύνων

7. Λουκᾶ 10, 19.

τὰ ἄνω, ἀλλὰ νὰ εὑρίσκεσαι συνεχῶς εἰς αὐτὴν τὴν κατάστασιν καὶ νὰ τρώγης τὴν γῆν κατ' ἀντίθεσιν πρὸς ὅλα τὰ ὑπόλοιπα ἄγρια ζῶα' καὶ ὄχι μόνον αὐτό, ἀλλὰ «Καὶ θὰ στήσω ἔχθραν μεταξὺ σοῦ καὶ τῆς γυναικάς, καὶ μεταξὺ τῶν ἀπαγόνων σου καὶ τῶν ἀπογάνων αὐτῆς». Καὶ δὲν θὰ ἀρκεσθῶ μάνον εἰς αὐτό, δηλαδὴ εἰς τὸ νὰ σύρεσαι ἐπάνω εἰς τὴν γῆν, ἀλλὰ θὰ κάμω καὶ τὴν γυναῖκα ἄσπονδον ἐχθρόν σου' καὶ ὄχι μόνον αὐτήν, ἀλλὰ καὶ τοὺς ἀπαγόνους αὐτῆς θὰ κάμω παντοτινοὺς ἐχθροὺς πρὸς τοὺς ἀπογόνους σου. «Αὐτὸς θὰ σοῦ συντρίψη τὸ κεφάλι, καὶ σὺ θὰ κεντήσης τὴν πτέρναν ταυ». Καὶ πράγματι εἰς ἐκεῖνον μὲν θὰ δώσω τόσον μεγάλην δύναμιν, ὥστε νὰ κάθεται διαρκῶς ἐπάνω εἰς τὸ κεφάλι σου, σὺ δὲ νὰ εὑρίσκεσαι κάτω ἀπὸ τὰ πόδια ἐκείνου. Πρόσεξε, ἀγαπητέ, διὰ μέσου τῆς τιμωρίας τοῦ ζώου αὐτοῦ πόσην φροντίδα ἐπιδεικνύει εἰς ἡμᾶς, τὴν ὁποίαν ἔχει διὰ τὴν φύσιν τῶν ἀνθρώπων. Καὶ αὐτὰ μέν, ὅσον ἀφορᾷ εἰς τὸν αἰσθητὸν ὄφιν' ὕστερα ἀπ' αὐτὸ δὲ ἠμπορεῖ ἐκεῖνο, ποὺ ἐπιθυμεῖ, νὰ προσέχη τὴν συνέχειαν αὐτῶν, ποὺ εἶναι γραμμένα, καὶ νὰ γνωρίζη, ὅτι, ἐὰν αὐτὰ ἔχουν λεχθῆ διὰ τὸν αἰσθητὸν ὄφιν, πολὺ περισσότερον πρέπει νὰ ἀντιλαμβάνεται αὐτὰ καὶ διὰ τὸν νοητόν. Διότι καὶ ἐκεῖνον, ἀφοῦ τὸν ἐταπείνωσε, τὸν ἔφερε κάτω ἀπὸ τὰ πόδια μας, καὶ ἔκαμεν ἡμᾶς νὰ εὑρισκώμεθα ἐπάνω εἰς τὸ κεφάλι του. Ἢ δὲν ἐννοεῖ αὐτό, ὅταν λέγη «Πατεῖτε ἐπάνω εἰς τοὺς ὄφεις καὶ τοὺς σκαρπιούς»[7]; Ἔπειτα διὰ νὰ μὴ νομίσωμεν ὅτι αὐτὰ ἐλέχθησαν διὰ τὰ αἰσθητὰ ζῶα, ἐπρόσθεσε' «Καὶ ἐπάνω εἰς ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ». Εἴδατε καὶ τὴν ὑπερβολικὴν φιλανθρωπίαν ταῦ Θεοῦ, ἀπὸ τὴν τιμωρίαν ποὺ ἐπεβλήθη εἰς τὸ ὄργανον ταῦ διαβόλου; Ἂς ἔλθωμεν πάλιν, ἐὰν θέλετε, εἰς τὴν γυναῖκα. Ἐπειδὴ βέβαια ὁ ὄφις εἰσήγαγε τὴν ἀπάτην, διὰ τοῦτο αὐτὸς ἐδέχθη πρῶτος τὴν τιμωρίαν' καὶ ἐπειδὴ πρώτην ἐξηπάτησε τὴν γυναῖκα καὶ εἰς τὴν συνέχειαν ἐκείνη παρέσυρε μαζί της τὸν ἄνδρα, δι' αὐτὰ πρῶτα τιμωρεῖ ἐκείνην μὲ τιμωρίαν, ποὺ περιέχει πολλὴν παραίνεσιν. «Καὶ εἰς τὴν γυναῖκα εἶπε' Θὰ πληθύνω πολὺ

πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα· καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Ὅρα Δεσπότου ἀγαθότητα, ὅση κέχρηται τῇ ἡμερότητι μετὰ τὴν τοσαύτην παράβασιν. «Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου». Ἐγὼ μὲν ἠβουλήθην, φησίν, ἀνώδυνον καὶ ἀταλαίπωρόν σε ἔχειν ζωήν, πάσης λύπης καὶ ἀθυμίας ἀπηλλαγμένην, καὶ πάσης ἡδονῆς πεπληρωμένην, καὶ μηδενὸς αἰσθάνεσθαι τῶν σωματικῶν σῶμα περικειμένην· ἐπειδὴ δὲ οὐκ ἐχρήσω εἰς δέον τῇ τοσαύτῃ ἀνέσει, ἀλλ' ἡ περιουσία τῶν ἀγαθῶν εἰς τοσαύτην σε ἀγνωμοσύνην ἤγαγε, διὰ τοῦτό σοι χαλινὸν ἐπιτίθημι, ὥστε μὴ ἐπὶ πλέον ἀποσκιρτῆσαι, καὶ λύπαις καὶ στεναγμοῖς σε καταδικάζω. «Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα». Τὴν ὑπόθεσιν, φησί, τῆς πολλῆς εὐφροσύνης, καὶ τῶν τέκνων τὴν διαδοχὴν ἀπὸ λύπης ἄρχεσθαί σοι παρασκευάσω, ἵνα διηνεκῆ ἔχῃς καὶ αὐτὴ τὴν ὑπόμνησιν διὰ τῶν καθ' ἕκαστον καιρὸν ὠδίνων, καὶ τῶν λυπηρῶν τῶν καθ' ἑκάστην τικτομένων, πόσον τῆς ἁμαρτίας ταύτης καὶ τῆς παρακοῆς τὸ μέγεθος, καὶ μὴ τοῦ χρόνου προϊόντος λήθῃ παραδῷς τὸ γεγενημένον, ἀλλ' εἰδέναι ἔχῃς ὡς ἡ ἀπάτη τούτων σοι αἴτιος γεγένηται. Διὰ τοῦτο «Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα». Τὰς ὠδῖνας ἐνταῦθα αἰνίττεται καὶ τὸν πολὺν κάματον ἐκεῖνον, ὃν ὑπομένειν ἀνάγκη, καθάπερ φορτίον ἐν μησὶ τοσούτοις τὸ βρέφος βαστάζουσαν, καὶ τὰς κατὰ μέρος φυομένας ἐντεῦθεν ἀλγηδόνας, καὶ τῶν μελῶν τὸν διασπασμόν, καὶ τὰς ὀδύνας ἐκείνας τὰς ἀφορήτους, ἃς ἐκεῖναι μόναι ἴσασιν αἱ διὰ τῆς πείρας ἐλθοῦσαι.

8. Ἀλλ' ὅμως τοσαύτην ὁ φιλάνθρωπος Θεὸς παρέσχε

τούς πόνους σου καὶ τοὺς στεναγμούς σου· μὲ πόνους θὰ γεννᾷς τὰ παιδιά σου· θὰ ζητῇς καταφύγιον εἰς τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι κυρίαρχός σου». Πρόσεχε τὴν καλωσύνην τοῦ Κυρίου, μὲ πόσην πραότητα συμπεριφέρεται μετὰ τὴν τόσον μεγάλην παράβασιν. «Θὰ πληθύνω πολὺ τούς πόνους σου καὶ τούς στεναγμούς σου». Ἐγὼ μὲν ἠθέλησα, λέγει ὁ Κύριος, νὰ ἔχῃς ζωὴν χωρὶς πόνους καὶ ταλαιπωρίας, ἀπαλλαγμένην ἀπὸ κάθε λύπην καὶ στενοχωρίαν, νὰ εἶσαι γεμάτη ἀπὸ κάθε ἡδονὴν καὶ νὰ μὴ αἰσθάνεσαι κανένα ἀπὸ τὰ σωματικὰ πάθη, ἂν καὶ περιβάλλεσαι μὲ σῶμα· ἐπειδὴ ὅμως δὲν ἐχρησιμοποίησες ὅπως ἔπρεπε τὴν μεγάλην σου ἄνεσιν, ἀλλὰ ἡ ἀφθονία τῶν ἀγαθῶν σὲ ὡδήγησεν εἰς τόσον μεγάλην ἀχαριστίαν, διὰ τοῦτο θὰ θέσω χαλινὸν εἰς σέ, ὥστε νὰ μὴ ἀπομακρυνθῇς ἀκόμη περισσότερον, καὶ σὲ καταδικάζω νὰ ζῇς μέσα εἰς λύπας καὶ στεναγμούς. «Θὰ πληθύνω πολὺ τούς πόνους σου καὶ τούς στεναγμούς σου· μὲ πόνους θὰ γεννᾷς τὰ παιδιά σου». Τὴν βάσιν τῆς μεγάλης χαρᾶς, λέγει, καὶ τὴν διαδοχὴν τῶν τέκνων θὰ κάμω νὰ ἀρχίζῃ εἰς σὲ ἀπὸ πόνον, ὥστε καὶ σὺ ἡ ἰδία νὰ ἐνθυμῆσαι συνεχῶς μὲ τὰς ὠδῖνας, ποὺ ἔρχονται κατὰ περιοδικὸν χρόνον, καὶ μὲ τὰς θλίψεις, ποὺ συνοδεύουν κάθε γέννησιν, πόσον ὑπῆρξε τὸ μέγεθος αὐτῆς τῆς ἁμαρτίας καὶ τῆς παρακοῆς, καὶ νὰ μὴ λησμονήσῃς μὲ τὸ πέρασμα τοῦ χρόνου αὐτὸ ποὺ συνέβη, ἀλλὰ νὰ ἠμπορῇς νὰ γνωρίζῃς, ὅτι ἡ ἀπάτη ἔχει γίνει διὰ σὲ ἡ αἰτία ὅλων αὐτῶν. Διὰ τοῦτο «Θὰ πληθύνω πολὺ τούς πόνους σου καὶ τοὺς στεναγμούς σου· μὲ πόνους θὰ γεννᾷς τὰ παιδιά σου». Τοὺς πόνους τοῦ τοκετοῦ ὑπονοεῖ ἐδῶ καὶ τὴν μεγάλην ἐκείνην κόπωσιν, τὴν ὁποίαν εἶναι ἀνάγκη νὰ ὑπομένῃ, ὅταν ὡσὰν φορτίον βαστάζῃ τὸ βρέφος τόσους μῆνας, καὶ τούς σωματικοὺς πόνους, ποὺ κατὰ καιροὺς γεννῶνται ἀπὸ τὴν αἰτίαν αὐτήν, καὶ τὸ καταξέσχισμα τῶν μελῶν τοῦ σώματος, καὶ τοὺς ἀφορήτους εἰδικοὺς ἐκείνους πόνους, τοὺς ὁποίους γνωρίζουν μόνον ἐκεῖναι ποὺ ἔλαβαν σχετικὴν πεῖραν.

8 Ἀλλ' ὅμως ὁ φιλάνθρωπος Θεὸς μαζὶ μὲ τὰς θλί-

μετὰ τῶν λυπηρῶν τὴν ***παραμυθίαν,*** *ὡς* ***ἰσόρροπον*** *εἶναι τὴν διὰ τὸ τεχθὲν βρέφος εὐφροσύνην τῶν ὠδίνων ἐκείνων τῶν ἐν τοσούτοις μησὶ τὴν γαστέρα* ***διακοπτουσῶν.*** *Αἱ γὰρ τοσοῦτον πόνον ὑπομένουσαι,* ***καὶ*** *οὕτως ὑπὸ τῶν ἀλγηδόνων σπαραττόμεναι, καὶ ὡς εἰπεῖν* ***πρὸς αὐτὴν τὴν*** *ζωὴν ἀπαγορεύουσαι, μετὰ τὸ τεκεῖν καὶ τῆς ἀπὸ τῶν* ***καμάτων*** *εὐφροσύνης ἀπολαῦσαι, πάλιν ὥσπερ ἐπιλαθόμεναι τῶν γεγενημένων ἁπάντων ἑαυτὰς ἐκδιδόασι πρὸς τὴν τῶν τέκνων γονὴν τοῦ φιλανθρώπου Θεοῦ οὕτως οἰκονομήσαντος πρὸς σύστασιν τῆς τῶν ἀνθρώπων σωτηρίας. Ἡ γὰρ ἐλπὶς ἀεὶ τῶν μελλόντων ἀγαθῶν κούφως ποιεῖ φέρειν τὰ παρόντα λυπηρά. Καὶ τοῦτο ἴδοι τις ἂν καὶ τοὺς ἐμπόρους ὑπομένοντας, καὶ μακρὰ πελάγη διαπερῶντας, καὶ ναυαγίων ἀνεχομένους, καὶ πειρατῶν, καὶ μετὰ τοὺς πολλοὺς κινδύνους ἐκείνους πολλάκις καὶ διαμαρτόντας τῆς προσδοκίας, καὶ μηδὲ οὕτως ἀποστάντας, ἀλλὰ πάλιν τῶν αὐτῶν ἁπτομένους. Τοῦτο καὶ ἐπὶ τῶν γηπόνων ἐστὶν εἰπεῖν· καὶ γὰρ καὶ οὗτοι ὅτε βαθεῖαν αὔλακα ἀνατέμωσι, καὶ πολλὴν τὴν ἐπιμέλειαν τῆς γῆς ἐπιδείξωνται, καὶ δαψιλῆ τὰ σπέρματα καταβάλωσι, πολλάκις αὐχμοῦ γενομένου ἢ ἐπομβρίας, ἢ πρὸς αὐτῷ τῷ τέλει τῶν δραγμάτων ἐρυσίβης κατενεχθείσης, τῆς ἐλπίδος διήμαρτον· ἀλλ' οὐδὲ οὕτως ἀφίστανται, ἀλλὰ πάλιν τοῦ καιροῦ καταλαβόντος, ἅπτονται τῆς γεωργίας. Καὶ τοῦτο ἐφ' ἑκάσου εὕροι τις ἂν ἐπιτηδεύματος γινόμενον. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ γυνὴ καὶ αὐτὴ πολλάκις μετὰ τοὺς πολλοὺς μῆνας ἐκείνους μετὰ τὰς ὠδῖνας τὰς ἀφορήτους, μετὰ τὰς νύκτας τὰς ἀΰπνους, μετὰ τὸν τῶν μελῶν διασπασμόν, μικρᾶς τινος περιστάσεως γενομένης, πρὸ τοῦ προσήκοντος καιροῦ τὸ βρέφος ὠθήσασα ἀμόρφωτον καὶ ἀδιατύπωτον ἢ μεμορφωμένον μέν, οὐκ ἄρτιον δέ, οὐδὲ ὑγιές, ἢ καὶ νεκρὸν πολλάκις, μόλις τὸν κίνδυνον διέφυγε,*

---

8. Ἐρυσίβη· ἀσθένεια τῶν φυτῶν ποὺ προσβάλλει ἰδίως τὰ σιτηρὰ καὶ καταστρέφει τὸν καρπόν των.

ψεις έδωσε τόσην παρηγορίαν, ώστε ή χαρά διά τό γεννηθέν βρέφος νά είναι ισοδύναμος πρός τούς ισχυρούς εκείνους πόνους, οί όποιοι επί τόσους μήνας εβασάνιζαν τήν κοιλίαν. Διότι εκείναι πού υπομένουν τόσον πόνον καί ενοχλούνται έτσι άπό τούς σωματικούς πόνους καί κατά κάποιον τρόπον αποκάμνουν άπό τήν ιδίαν τήν ζωήν, μετά τόν τοκετόν καί τήν απόλαυσιν τής χαράς, πού έρχεται ύστερα άπό τήν κόπωσιν, πάλιν ωσάν νά έλησμόνησαν όλα πού είχαν συμβή, προσφέρουν τόν εαυτόν των διά τήν γέννησιν τών τέκνων, επειδή έτσι έχει οικονομήσει τά πράγματα ό φιλάνθρωπος Θεός διά τήν σύστασιν τής σωτηρίας τών ανθρώπων. Διότι ή ελπίδα τών μελλόντων αγαθών πάντοτε κάνει νά υποφέρωμεν μέ ευκολίαν τάς θλίψεις τού παρόντος. Καί τούτο θά ήμπορούσε νά ιδή κανείς, καί εις τούς εμπόρους, οί όποιοι υποφέρουν, καί διασχίζουν μεγάλα πελάγη καί ανέχονται ναυάγια καί πειρατάς, καί ύστερα άπό τούς πολλούς εκείνους κινδύνους πολλάκις ενώ αποτυγχάνουν εις τάς προσδοκίας των, ούτε καί έτσι παραιτούνται άπό τό έργον των, αλλά πάλιν ασχολούνται μέ τό ίδιον έργον. Τό αυτό ήμπορούμεν νά είπούμεν καί διά τούς γεωργούς. Διότι καί αυτοί, όταν ανοίγουν βαθύ τό αυλάκι καί καλλιεργούν μέ πολλήν επιμέλειαν τήν γήν καί σπείρουν άφθονον σπόρον, αποτυγχάνουν πολλάς φοράς εις τάς ελπίδας των, εάν συμβή ξηρασία ή πλημμύρα ή πέση ερυσίβη[8] ολίγο πριν άπό τήν συγκομιδήν· καί όμως ούτε έτσι παραιτούνται άπό τό έργον των, αλλά πάλιν, όταν έλθη ό καιρός, ασχολούνται μέ τήν γεωργίαν. Καί αυτό θά ήμπορέση νά τό εύρη κανείς νά γίνεται εις κάθε επάγγελμα. Κατά τόν ίδιον λοιπόν τρόπον καί ή γυναίκα μετά τούς πολλούς μήνας τής εγκυμοσύνης, μετά άπό τούς φοβερούς πόνους, μετά άπό τάς νύκτας τής αυπνίας, μετά τό καταξέσχισμα τών μελών, εάν συμβή κάποια μικρά σύμπτωσις, αφού γεννήση πρόωρα τό βρέφος αδιαμόρφωτον καί ασχημάτιστον, ή διαμορφωμένον μέν, όχι όμως άρτιον, ούτε υγιές ή καί πολλάς φοράς νεκρόν, μέ κόπον διέφυγε τόν κίνδυνον, καί όμως ωσάν νά έλη-

καὶ ὅμως ὥσπερ ἐπιλαθομένη τούτων ἁπάντων, τῶν αὐτῶν ἀνέχεται, καὶ τὰ αὐτὰ ὑπομένει. Καὶ τί λέγω τὰ αὐτά; Πολλάκις καὶ συναποθανεῖν τῷ τεχθέντι συνέβη, καὶ οὐδὲ τοῦτο τὰς λοιπὰς ἐσωφρόνισε καὶ ἀνέπεισε φυγεῖν τὸ πρᾶγμα· τοσαύτην ὁ Θεὸς ἐγκατέσπειρε τοῖς λυπηροῖς τὴν ἡδονὴν ὁμοῦ καὶ τὴν εὐφροσύνην. Διὰ τοῦτο ἔλεγε, «Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα». Τοῦτο τοίνυν καὶ ὁ Χριστὸς διαλεγόμενος τοῖς μαθηταῖς καὶ δεικνὺς καὶ τῆς ὀδύνης τὸ μέγεθος καὶ τῆς εὐφροσύνης τὴν ὑπερβολήν, ἔλεγεν· «Ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς»· εἶτα παραστῆσαι ἡμῖν βουλόμενος ὅπως τὰ μὲν τῆς λύπης ἀθρόον ἐκποδὼν γίνεται, τὰ δὲ τῆς χαρᾶς καὶ τῆς εὐφροσύνης διαδέχεται, φησίν· «Ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον». Εἶδες κηδεμονίαν ὑπερβάλλουσαν; εἶδες τιμωρίαν νουθεσίας πεπληρωμένην; «Ἐν λύπαις τέξῃ τέκνα». Εἶτα, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Μονονουχὶ ἀπολογούμενος πρὸς τὴν γυναῖκα ὁ φιλάνθρωπος Θεὸς ταῦτά φησιν, ὅτι ἐγὼ μὲν ἐξ ἀρχῆς ὁμότιμόν σε ἐδημιούργησα, καὶ τῆς αὐτῆς ἀξίας ἐν ἅπασιν αὐτῷ κοινωνεῖν ἠβουλήθην, καὶ ὥσπερ τῷ ἀνδρί, οὕτω καὶ σοὶ τὴν κατὰ πάντων ἀρχὴν ἐνεχείρισα· ἀλλ' ἐπειδὴ οὐκ ἐχρήσω εἰς δέον τῇ ὁμοτιμίᾳ, διὰ τοῦτό σε ὑποτάττω τῷ ἀνδρί, «Καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σοι κυριεύσει». Ἐπειδὴ καταλιποῦσα τὸν ὁμότιμον, καὶ τὸν τῆς αὐτῆς σοι φύσεως κοινωνοῦντα, καὶ δι' ὃν ἐδημιουργήθης, τῷ πονηρῷ θηρίῳ τῷ ὄφει εἰς ὁμιλίαν ἐλθεῖν ἠβουλήθης, καὶ τὴν παρ' ἐκείνου δέξασθαι συμβουλήν· διὰ τοῦτό σε λοιπὸν τούτῳ ὑποτάττω, καὶ τοῦτόν σου κύριον ἀποφαίνω, ὥστε τὴν τούτου δεσποτείαν ἐπιγινώσκειν, καὶ ἐπειδὴ οὐκ ἔγνως ἄρχειν, μάθε καλῶς

9. Ἰω. 16, 21.

σμόνησεν ὅλα αὐτά, αὐτὴ ἡ ἰδία πολλάκις ἀνέχεται καὶ ὑποφέρει τὰ ἴδια. Καὶ διατί λέγω τὰ ἴδια; Πολλὰς φορὰς συνέβη καὶ νὰ ἀποθάνῃ μαζὶ μὲ τὸ γεννηθὲν παιδί· καὶ οὔτε αὐτὸ ἐσωφρόνισε τὰς ὑπολοίπους γυναῖκας καὶ οὔτε τὰς ἔπεισε νὰ ἀποφύγουν τὸ πρᾶγμα· τόσην χαρὰν καὶ εὐφροσύνην ἔσπειρεν ὁ Θεὸς μέσα εἰς τὰς θλίψεις. Διὰ τοῦτο ἔλεγε· «Θὰ πληθύνω πολὺ τοὺς πόνους σου καὶ τοὺς στεναγμούς σου· θὰ γεννᾷς μὲ πόνους τὰ παιδιά σου». Τὸ αὐτὸ λοιπὸν καὶ ὁ Χριστὸς ἔλεγεν, ὅταν ἐσυζητοῦσε μὲ τοὺς μαθητάς του καὶ ἐδείκνυε καὶ τὸ μέγεθος τῆς ὀδύνης καὶ τὴν ὑπερβολὴν τῆς εὐφροσύνης· «Ἡ γυναῖκα, ὅταν γεννᾷ, ἔχει λύπην, διότι ἦλθεν ἡ ὥρα της»[°]· εἰς τὴν συνέχειαν ἐπιθυμῶν νὰ μᾶς καταστήσῃ γνωστόν, ὅτι τὰ μὲν λυπηρὰ διὰ μιᾶς ἀφανίζονται καὶ τὰ διαδέχονται τὰ χαρούμενα καὶ εὐχάριστα, λέγει· «Ὅταν ὅμως γεννήσῃ τὸ παιδί, δὲν ἐνθυμεῖται πλέον τὴν θλῖψιν λόγῳ τῆς χαρᾶς, διότι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον». Εἶδες ὑπερβολικὴν φροντίδα; εἶδες τιμωρίαν γεμάτην παραίνεσιν; «Μὲ πόνους θὰ γεννᾷς τὰ παιδιά σου». Ἔπειτα, «Θὰ ζητῇς καταφύγιον εἰς τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι κυρίαρχός σου». Σχεδὸν ἀπολογούμενος πρὸς τὴν γυναῖκα ὁ φιλάνθρωπος Θεὸς λέγει αὐτά, ὅτι ἐγὼ μὲν ἀπὸ τὴν ἀρχὴν σὲ ἐδημιούργησα ἰσότιμον πρὸς τὸν ἄνδρα καὶ ἠθέλησα νὰ συμμετέχῃς εἰς ὅλα μαζὶ μὲ αὐτὸν ὡς ἀσάξιον, καὶ ὅπως εἰς τὸν ἄνδρα ἔτσι καὶ εἰς σὲ ἔδωσα τὴν ἐξουσίαν ἐπάνω εἰς ὅλα τὰ δημιουργήματα· ἐπειδὴ ὅμως δὲν ἐχρησιμοποίησες ὅπως ἔπρεπε τὴν ἰσοτιμίαν, διὰ τοῦτο σὲ ὑποτάσσω εἰς τὸν ἄνδρα· «Καὶ θὰ ζητῇς καταφύγιον εἰς τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι κυρίαρχός σου». Ἐπειδή, ἀφοῦ ἐγκατέλειψες τὸν ἰσότιμον καὶ συμμετέχοντα τῆς ἰδίας φύσεως μὲ σέ, διὰ τὸν ὁποῖον καὶ ἐδημιουργήθης, ἠθέλησες νὰ συνομιλήσῃς μὲ τὸ πονηρὸν θηρίον, δηλαδὴ τὸν ὄφιν, καὶ νὰ δεχθῇς τὴν συμβουλὴν ἀπὸ ἐκεῖνον, διὰ τοῦτο σὲ ὑποτάσσω εἰς τὸ ἑξῆς εἰς αὐτόν, καὶ καθιστῶ αὐτὸν κυρίαρχόν σου, ὥστε νὰ γνωρίζῃς καλὰ τὴν ἐξουσίαν αὐτοῦ καὶ ἐπειδὴ δὲν ἔμαθες νὰ ἄρχῃς, μάθε νὰ ἄρχεσαι καλῶς.

ἄρχεσθαι. «Πρὸς τὸν ἄνδρα σου γὰρ ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Βέλτιόν σε ὑπὸ τοῦτον εἶναι, καὶ ὑπὸ τὴν τούτου δεσποτείαν τυγχάνειν, ἢ ἀδείας ἀπολαύουσαν καὶ ἐξουσίας κατὰ κρημνῶν φέρεσθαι. Ἐπεὶ καὶ ἵππῳ λυσιτελὲς ἂν γένοιτο χαλινὸν ἔχειν, καὶ εὔτακτα βαδίζειν, ἢ ἄνευ τούτου κατὰ κρημνῶν φέρεσθαι. Τὸ συμφέρον τοίνυν σκοπῶν τὸ σόν, πρὸς τοῦτόν σε ἔχειν τὴν ἀποστροφὴν βούλομαι, καὶ καθάπερ σῶμα κεφαλῇ ἕπεσθαι, καὶ τὴν δεσποτείαν μεθ' ἡδονῆς ἐπιγινώσκειν. Οἶδα ὅτι ἀπεκάμετε πρὸς τὸ μῆκος τῶν εἰρημένων· ἀλλὰ διεγέρθητε μικρόν, παρακαλῶ, μὴ ἀτέλεστον τὴν δίκην καταλίπωμεν, μηδὲ ἀφέντες ἔτι τὸν δικαστὴν καθήμενον ἀναχωρήσωμεν· καὶ γὰρ πρὸς αὐτὸ τὸ τέλος λοιπὸν ἀπηντήκαμεν.

9. Ἴδωμεν τοίνυν τί μετὰ τὴν γυναῖκα πρὸς τὸν ἄνδρα φησί, καὶ ποίαν καὶ τούτῳ τιμωρίαν ἐπάγει. «Τῷ δὲ Ἀδὰμ εἶπεν, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. Ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ». Μεγάλη καὶ ἄφατος καὶ ἐντεῦθεν δείκνυται ἡ περὶ τὸν ἄνθρωπον τοῦ Δεσπότου κηδεμονία· ἀλλ' ἀκούσωμεν ἀκριβῶς ἕκαστον τῶν εἰρημένων. «Τῷ δὲ Ἀδὰμ εἶπεν, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες». Ἐπειδὴ ἤκουσας, φησί, τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, καὶ τῆς ἐμῆς ἐντολῆς προετίμησας τὴν παρ' ἐκείνης συμβουλήν, καὶ οὐκ ἠβουλήθης

Διότι «θὰ ζητῇς καταφύγιον πρὸς τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι κυρίαρχός σου». Εἶναι προτιμότερον νὰ εἶσαι κάτω ἀπὸ τὸν ἄνδρα καὶ νὰ εὑρίσκεσαι κάτω ἀπὸ τὴν ἐξουσίαν αὐτοῦ, παρὰ ἀπολαμβάνουσα τὴν πλήρη ἐλευθερίαν καὶ τὴν ἐξουσίαν νὰ φέρεσαι εἰς τὸν κρημνόν. Διότι καὶ εἰς τὸν ἵππον θὰ ἦτο ὠφέλιμον νὰ ἔχῃ χαλινάρι καὶ νὰ βαδίζῃ μὲ τάξιν, παρὰ νὰ φέρεται εἰς τὸν κρημνὸν χωρὶς τὸ χαλινάρι. Ἀποβλέπων λοιπὸν πρὸς τὸ ἰδικόν σου συμφέρον, ἐπιθυμῶ νὰ στρέφεσαι πρὸς αὐτὸν καὶ νὰ τὸν ἀκολουθῇς, ὅπως τό σῶμα ἀκολουθεῖ εἰς τὸ κεφάλι, καὶ νὰ ἀναγνωρίζῃς μὲ εὐχαρίστησιν τὴν ἐξουσίαν του. Γνωρίζω ὅτι ἔχετε κουρασθῆ ἀπὸ τὴν διάρκειαν τοῦ λόγου· ἀλλὰ ἐντείνατε ὀλίγον, παρακαλῶ, τὴν προσοχήν σας, διὰ νὰ μὴ ἀφήσωμεν τὴν δίκην χωρὶς τέλος, οὔτε νὰ ἀναχωρήσωμεν ἐγκαταλείποντες τὸν δικαστὴν νὰ κάθεται ἀκόμη εἰς τὴν ἕδραν· ἄλλωστε ἔχομεν φθάσει πρὸς αὐτὸ τὸ τέλος.

9. Ἄς ἰδοῦμεν λοιπόν, τί λέγει μετὰ τὴν γυναῖκα πρὸς τὸν ἄνδρα καὶ ποίαν τιμωρίαν ἐπιβάλλει καὶ εἰς αὐτόν. «Εἰς τὸν Ἀδὰμ δὲ εἶπεν· ἐπειδὴ ἤκουσες τὴν ὑπόδειξιν τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον μόνον σὲ διέταξα νὰ μὴ φάγῃς, καταραμένη θὰ εἶναι ἡ γῆ εἰς τὰ ἔργα σου. Μὲ λύπην θὰ κερδίζῃς τὴν τὴν τροφήν σου ἀπ' αὐτὴν εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου. Θὰ φυτρώνῃ ἀγκάθια καὶ τριβόλια διὰ σὲ καὶ θὰ τρώγῃς ἄγρια φυτά. Μὲ τὸν ἱδρῶτα τοῦ μετώπου σου θὰ κερδίζῃς τὸν ἄρτον σου, μέχρις ὅτου θὰ ἐπιστρέψῃς εἰς τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἐλήφθης· διότι χῶμα εἶσαι καὶ εἰς τὸ χῶμα θὰ ἐπιστρέψῃς». Καὶ ἀπὸ ἐδῶ ἀποδεικνύεται μεγάλη καὶ ἀνέκφραστος ἡ φροντίδα τοῦ Κυρίου διὰ τὸν ἄνθρωπον. Ἀλλὰ ἄς ἀκούσωμεν μὲ ἀκρίβειαν καθένα χωριστὰ ἀπὸ τὰ λεχθέντα. «Εἰς δὲ τὸν Ἀδὰμ εἶπεν· ἐπειδὴ ἤκουσες τὴν ὑπόδειξιν τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγῃς μόνον». Ἐπειδὴ ἤκουσες, λέγει, τὴν γυναῖκα σου καὶ ἔφαγες ἀπὸ τὸ δένδρον, καὶ ἐπροτίμησες τὴν συμβουλήν της ἀπὸ τὴν ἰδικήν μου ἐντολήν, καὶ δὲν ἠθέλησες νὰ ἀπέχῃς ἀπὸ τὸ

τοῦ ξύλου τοῦ ἑνὸς τούτου μόνου ἀποσχέσθαι οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν· μὴ γὰρ πολλῶν σε ἀπέχεσθαι ἐκέλευσα; Ἑνὸς μόνου, καὶ οὐδὲ τούτου ἠνέσχου, ἀλλ' ἐπιλαθόμενος τῶν ἐμῶν ἐντολῶν ἐπείσθης τῇ γυναικί· διὰ τοῦτο μαθήσῃ δι' αὐτῶν τῶν ἔργων, ὅσον εἰργάσω κακόν. Ἀκουέτωσαν ἄνδρες· ἀκουέτωσαν γυναῖκες· οἱ μὲν ἵνα μὴ ἀνέχωνται τῶν πονηρὰ συμβουλευουσῶν· αἱ δὲ ἵνα μὴ τοιαῦτα συμβουλεύωσιν. Εἰ γὰρ οὗτος ἐπὶ τὴν γυναῖκα τὴν αἰτίαν μεταγαγών, οὐδεμιᾶς ἠξιώθη συγγνώμης, ποίαν ἄν τις ἀπολογίαν σχοίη λέγων, ὅτι διὰ τὴν γυναῖκα τὸ καὶ τὸ ἥμαρτον, καὶ τὸ καὶ τὸ ἔπραξα; Διὰ τοῦτο γὰρ καὶ ὑπὸ τὴν δεσποτείαν γέγονε τὴν σήν, καὶ κύριος αὐτῆς ἀπεφάνθης, ἵνα ἐκείνη σοι κατακολουθῇ καὶ μὴ ἡ κεφαλὴ τοῖς ποσὶν ἕπηται. Ἀλλ' οὖν ἐστιν ἰδεῖν πολλάκις τὸ ἐναντίον συμβαῖνον, καὶ τὸν ἐν τάξει κεφαλῆς εἶναι ὀφείλοντα, οὐδὲ τῶν ποδῶν τὴν τάξιν ἐπέχοντα· καὶ τὴν ἐν τάξει ποδῶν οὖσαν, ταύτην ἐν τάξει κεφαλῆς καθισταμένην. Δι' ὃ καὶ ὁ μακάριος Παῦλος, ὁ τῆς οἰκουμένης διδάσκαλος, ταῦτα πάντα προορῶν ἐβόα· «Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις;». Ἀλλ' ὅμως καὶ ὁ ἀνὴρ πολλὴν τὴν φυλακὴν ἐπιδεικνύσθω, ὥστε τὰ ὀλέθρια συμβουλεύουσαν ἀποσείεσθαι, καὶ ἡ γυνὴ ἔναυλον ἔχουσα τὴν τιμωρίαν ἣν ἐδέξατο ἡ Εὔα τὴν ὀλεθρίαν ἐκείνην συμβουλὴν εἰσαγαγοῦσα τῷ ἀνδρί, μὴ τολμάτω τοιαῦτα συμβουλεύειν, μηδὲ μιμείσθω τὴν Εὔαν, ἀλλὰ τῷ ὑποδείγματι σωφρονιζέσθω, κἀκεῖνα συμβουλευέτω, ἃ καὶ αὐτὴν καὶ τὸν ἄνδρα πάσης ἀπαλλάξει κολάσεως καὶ τιμωρίας. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. «Τῷ δὲ Ἀδάμ, φησίν, εἶπεν ὁ Θεός, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τοῦ-

10. Α' Κορ. 7, 16.

ἕνα μόνον δένδρον, ἀπὸ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγης· μήπως λοιπὸν σὲ διέταξα νὰ ἀπέχης ἀπὸ πολλά; Ἀπὸ ἕνα μόνον· καὶ οὔτε αὐτὸ ἠνέχθης, ἀλλά, ἀφοῦ ἐλησμόνησες τὰς ἐντολάς μου, ἐπείσθης εἰς τὴν γυναῖκα· διὰ τοῦτο θὰ μάθης δι' αὐτῶν τῶν ἔργων, πόσον μέγα κακὸν ἔπραξες. Ἂς ἀκούσουν οἱ ἄνδρες· ἂς ἀκούσουν αἱ γυναῖκες· οἱ μὲν ἄνδρες διὰ νὰ μὴ ἀνέχωνται τὰς γυναῖκας, ποὺ συμβουλεύουν πονηρὰ πράγματα· αἱ δὲ γυναῖκες διὰ νὰ μὴ συμβουλεύουν τέτοια. Διότι, ἐὰν αὐτὸς ποὺ μετέφερε τὴν αἰτίαν εἰς τὴν γυναῖκα, δὲν ἔτυχε καμμίας συγγνώμης, ποίαν δικαιολογίαν θὰ ἠμποροῦσε νὰ ἔχῃ κάποιος ποὺ λέγει, ὅτι ἐξ αἰτίας τῆς γυναικὸς ἡμάρτησα καὶ ἔπραξα αὐτὸ καὶ ἐκεῖνο; Διὰ τοῦτο βεβαίως αὐτὴ ἐτέθη κάτω ἀπὸ τὴν ἐξουσίαν σου καὶ κατέστης κύριος αὐτῆς, ὥστε ἐκείνη νὰ σὲ ἀκολουθῇ ἀπὸ κοντὰ καὶ νὰ μὴ ἀκολουθῇ ἡ κεφαλὴ τὰ πόδια. Ἀλλ' ὅμως εἶναι δυνατὸν νὰ ἰδοῦμεν πολλὰς φορὰς νὰ συμβαίνῃ τὸ ἀντίθετον, καὶ ἐκεῖνος ποὺ πρέπει νὰ ἔχῃ τὴν θέσιν τῆς κεφαλῆς, νὰ μὴ κατέχῃ οὔτε τὴν θέσιν τῶν ποδιῶν· καὶ ἐκείνη ποὺ εὑρίσκεται εἰς τὴν θέσιν τῶν ποδιῶν, αὐτὴ νὰ καταλαμβάνῃ τὴν θέσιν τῆς κεφαλῆς. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος, ὁ διδάσκαλος τῆς οἰκουμένης, προβλέπων ὅλα αὐτὰ ἐφώναζε· «Διότι ποῦ ξεύρεις, γυναῖκα, ἐὰν θὰ σώσῃς τὸν ἄνδρα; ἢ ποῦ ξεύρεις, σύζυγε, ἐὰν θὰ σώσῃς τὴν γυναῖκα;»[10]. Καὶ ὁ ἄνδρας ὅμως ἂς ἐπιδεικνύῃ μεγάλην προσοχήν, ὥστε νὰ ἀπομακρύνῃ ἐκείνην ποὺ συμβουλεύει τὰ κακά· καὶ ἡ γυναῖκα ἔχουσα πάντοτε εἰς τὴν μνήμην της τὴν τιμωρίαν, ποὺ ἐδέχθη ἡ Εὔα, ὅταν ἔδωσεν εἰς τὸν ἄνδρα τὴν καταστρεπτικὴν ἐκείνην συμβουλήν, νὰ μὴ τολμᾷ νὰ συμβουλεύῃ τέτοια, οὔτε νὰ μιμῆται τὴν Εὔαν, ἀλλὰ νὰ σωφρονίζεται μὲ τὸ παράδειγμά της καὶ νὰ συμβουλεύῃ ἐκεῖνα, τὰ ὁποῖα θὰ ἀπαλλάξουν ἀπὸ κάθε κόλασιν καὶ τιμωρίαν, καὶ αὐτὴν καὶ τὸν ἄνδρα της. Ἀλλὰ ἂς ἐπανέλθωμεν εἰς τὸ ζήτημά μας. «Εἰς δὲ τὸν Ἀδάμ, λέγει ἡ Γραφή, εἶπεν ὁ Θεός· ἐπειδὴ ἤκουσες τὴν ὑπόδειξιν τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον σὲ διέταξα νὰ μὴ φάγῃς

του μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες». Ἐπειδή, φησί, τοσαύτῃ ῥαθυμίᾳ ἐχρήσω περὶ τὴν φυλακὴν τῆς παρ' ἐμοῦ δοθείσης ἐντολῆς, καὶ οὔτε ὁ φόβος, οὔτε τὸ προλαβόντα με διαστείλασθαι τὰ μέλλοντα συμβήσεσθαι ὑμῖν ἀπὸ τῆς βρώσεως, ὠφέλησέ τι, ἀλλ' εἰς τοσαύτην κακίαν ἐξώκειλας, ὡς μὴ δυνηθῆναι μηδὲ τοῦ ἑνὸς ἀποσχέσθαι ξύλου μετὰ τὴν τοσαύτην ἀπόλαυσιν· διὰ τοῦτο «Ἐπικατάρατος ἔσται ἡ γῆ ἐν τοῖς ἔργοις σου». Ὅρα φιλανθρωπίαν Δεσπότου, πῶς μὲν τὸν ὄφιν τιμωρεῖται, πῶς δὲ τὸ λογικὸν τοῦτο ζῶον. Ἐκείνῳ γάρ φησιν, «Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς»· ἐνταῦθα δὲ οὐχ οὕτως. Ἀλλὰ τί; «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου». Καὶ εἰκότως. Ἐπειδὴ γὰρ διὰ τὸν ἄνθρωπον παρήχθη, ἵνα οὕτως ἀπολαύειν δύνηται τῶν ἐξ αὐτῆς ἀναδιδομένων, διὰ τοῦτο πάλιν διὰ τὸν ἄνθρωπον ἁμαρτόντα ταύτῃ τὴν κατάραν ἐπιτίθησιν· ἐπειδὴ ἡ εἰς αὐτὴν κατάρα πάλιν τοῦ ἀνθρώπου ἐλυμαίνετο τῇ ἀνέσει καὶ τῇ ἀδείᾳ, «Ἐπικατάρατος», φησίν, ἡ γῆ ἐν τοῖς ἔργοις σου». Εἶτα ἵνα μάθῃς τί ἐστιν, «Ἐπικατάρατος», ἐπήγαγεν, «Ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου». Ὅρα ἑκάστην τιμωρίαν τῷ αἰῶνι παρεκτεινομένην, ἵνα μὴ μόνον αὐτοὶ κερδάνωσιν, ἀλλὰ καὶ οἱ εἰς τὸ ἑξῆς μέλλοντες γίνεσθαι δι' αὐτῶν τῶν πραγμάτων διδάσκωνται, πόθεν αὐτοῖς τὰ τῆς τιμωρίας ταύτης ἐπήχθη· «Ἐν λύπαις», φησί, «φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου». Εἶτα ἀκριβέστερον διδάσκων τῆς κατάρας τὸ εἶδος, καὶ τῆς λύπης τὴν αἰτίαν, ἐπήγαγεν· «Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι». Ἰδοὺ τῆς κατάρας τὰ ὑπομνήματα. Ἀκάνθας, φησίν, ἐκδώσει καὶ τριβόλους· ὥστε πολὺν τὸν πόνον καὶ τὴν ταλαιπωρίαν ἐργάσασθαι, καὶ μετὰ λύπης πάντα τὸν χρόνον διάγειν σε ποιήσω, ἵνα τοῦτο χαλινός σοι γένηται τοῦ μὴ ὑπὲρ ἀξίαν φαντάζεσθαι, ἀλλὰ διηνεκῶς ἔχῃς ἐννοεῖν

μόνον». Ἐπειδή, λέγει, ἔδειξες τόσην ἀδιαφορίαν σχετικὰ μὲ τὴν τήρησιν τῆς ἐντολῆς, ποὺ ἐδόθη ἀπὸ ἐμέ, καὶ οὔτε ὁ φόβος, οὔτε τὸ ὅτι προκαταβολικὰ σᾶς παρήγγειλα ὅσα ἐπρόκειτο νὰ σᾶς συμβοῦν ἀπὸ τὴν βρῶσιν, ὠφέλησε τίποτε, ἀλλὰ παρεσύρθης εἰς τόσην κακίαν, ὥστε νὰ μὴ ἠμπορέσῃς οὔτε ἀπὸ τὸ ἕνα δένδρον νὰ ἀπέχῃς μετὰ ἀπὸ τόσην ἀπόλαυσιν· διὰ τοῦτο «Καταραμένη θὰ εἶναι ἡ γῆ εἰς τὰ ἔργα σου». Πρόσεξε τὴν φιλανθρωπίαν τοῦ Κυρίου· πῶς τιμωρεῖ τὸν ὄφιν καὶ πῶς τὸ λογικὸν αὐτὸ ζῶον. Διότι εἰς ἐκεῖνον λέγει, «Καταραμένος νὰ εἶσαι σὺ μεταξὺ ὅλων τῶν ζώων τῆς γῆς»· ἐδῶ ὅμως δὲν λέγει ἔτσι. Ἀλλὰ τί λέγει; «Καταραμένη νὰ εἶναι ἡ γῆ εἰς τὰ ἔργα σου». Καὶ εἶναι φυσικόν. Ἐπειδὴ λοιπὸν ἡ γῆ ἐδημιουργήθη διὰ τὸν ἄνθρωπον, ὥστε νὰ ἠμπορῇ ἔτσι νὰ ἀπολαμβάνῃ τὰ ἀγαθά, ποὺ παράγονται ἀπ' αὐτήν, διὰ τοῦτο πάλιν ἐξ αἰτίας τοῦ ἁμαρτήσαντος ἀνθρώπου εἰς αὐτὴν δίδει τὴν κατάραν· ἐπειδὴ δὲ ἡ κατάρα ποὺ δίδεται εἰς αὐτήν, πάλιν κατέστρεφε τοῦ ἀνθρώπου τὴν ἄνεσιν καὶ τὴν ἀσφάλειαν, λέγει· «Καταραμένη θὰ εἶναι ἡ γῆ εἰς τὰ ἔργα σου». Ἔπειτα διὰ νὰ μάθῃς τί σημαίνει, «Καταραμένος», ἐπρόσθεσε· «Μὲ λύπην θὰ κερδίζῃς τὴν τροφήν σου ἀπ' αὐτὴν εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου». Πρόσεξε, ὅτι κάθε τιμωρία παρατείνεται εἰς ὅλους τοὺς αἰῶνας, διὰ νὰ μὴ κερδίσουν μόνον αὐτοί, ἀλλὰ καὶ ὅσοι πρόκειται νὰ γεννηθοῦν εἰς τὸ μέλλον νὰ διδάσκωνται δι' αὐτῶν τῶν πραγμάτων, ἀπὸ ποίαν αἰτίαν ἐδόθη εἰς αὐτοὺς ἡ τιμωρία αὐτή· «Μὲ λύπην, λέγει, θὰ κερδίζῃς τὴν τροφήν σου ἀπ' αὐτὴν εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου». Εἰς τὴν συνέχειαν διδάσκων ἀκριβέστερον τὸ εἶδος τῆς κατάρας καὶ τὴν αἰτίαν τῆς λύπης, ἐπρόσθεσεν· «Ἀγκάθια καὶ τριβόλια θὰ βλαστάνῃ διὰ σέ». Ἰδοὺ αἱ ὑπενθυμίσεις τῆς κατάρας. Ἀγκάθια, λέγει, θὰ παράγῃ καὶ τριβόλια, ὥστε νὰ κάνουν μεγάλον τὸν κόπον καὶ τὴν ταλαιπωρίαν· καὶ θὰ κάμω νὰ περνᾷς ὅλην τὴν ζωήν σου μὲ λύπην, διὰ νὰ γίνῃ αὐτὸ χαλινάρι εἰς σέ, ὥστε νὰ μὴ φαντάζεσαι πράγματα ἀνώτερα ἀπὸ τὴν ἀξίαν σου, ἀλλὰ νὰ ἠμπορῇς νὰ ἀντιλαμβάνεσαι συνέχεια τὴν ἰδικήν σου περιουσίαν

τὴν σαυτοῦ οὐσίαν, καὶ μηδέποτε ἀνάσχῃ τοιαῦτα ἀπαιτηθῆναι. «Καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου». Ὅρα πῶς ἀπεναντίας τῆς προτέρας διαγωγῆς τὰ μετὰ τὴν παρακοὴν ἅπαντα αὐτῷ ἐπήχθη. Ἐγὼ μὲν γάρ, φησί, παραγαγών σε εἰς τόνδε τὸν κόσμον ἠβουλήθην ἄνευ λύπης καὶ μόχθων καὶ ταλαιπωρίας καὶ ἄνευ ἱδρώτων διάγειν σε, καὶ ἐν ἀπολαύσει εἶναι καὶ εὐημερίᾳ, καὶ μηδὲ ταῖς τοῦ σώματος ἀνάγκαις ὑποκεῖσθαι, ἀλλὰ πάντων τούτων ἀπηλλάχθαι, καὶ ἐν ἐλευθερίᾳ πάσῃ τυγχάνειν. Ἐπειδὴ δὲ οὐκ ὤνησέ σε ἡ τοσαύτη ἄδεια, διὰ τοῦτο καὶ τὴν γῆν καταράσομαι, ὥστε μὴ ἄσπαρτά σοι καὶ ἀνήροτα, καθάπερ πρότερον, τὰ ἐξ αὐτῆς ἀναδιδόμενα παρέχειν, ἀλλὰ καὶ μετὰ πολλοῦ τοῦ πόνου καὶ τοῦ μόχθου καὶ τῆς ταλαιπωρίας, καὶ λύπαις σε διηνεκέσι καὶ ἀθυμίαις περιβαλῶ, καὶ μετὰ ἱδρώτων πάντα σε κατορθοῦν παρασκευάσω, ἵνα τούτοις πιεζόμενος ἔχῃς διδασκαλίαν διηνεκῆ τοῦ μετριάζειν, καὶ τὴν ἑαυτοῦ φύσιν ἐπιγινώσκειν. Καὶ τοῦτο οὐ πρὸς ὀλίγον οὐδὲ πρὸς βραχὺν χρόνον ἔσται, ἀλλὰ παντὶ τῷ τῆς ζωῆς χρόνῳ παρεκταθήσεται· «Ἐν ἱδρῶτι γὰρ τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου. ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ». Μέχρις ἐκείνου ταῦτα ὑπομενεῖς, ἕως ἂν τὸ τέλος τῆς ζωῆς σοι ἐπαχθήσεται, καὶ εἰς ἐκείνην διαλυθῇς, ἐξ ἧς καὶ ἐπλάσθης. Εἰ γὰρ καὶ σώματός σοι φύσιν ἐχαρισάμην διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν, ἀλλ' αὐτὸ τὸ σῶμα ἀπὸ γῆς ὄν, γῆ πάλιν ἔσται. «Γῆ γὰρ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ». Ἵνα γὰρ μὴ ταῦτα γένηται, διὰ τοῦτο εἶπον, μὴ ἅψησθαι τοῦ ξύλου, εἰπών, ὅτι «Ἡ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε». Οὐ γὰρ ἐβουλόμην τοῦτο· ἀλλ' ἐπειδὴ τὰ μὲν παρ' ἐμοῦ ἅπαντα γεγένηται, σὺ δὲ σαυτῷ ταῦτα προεξένησας, ἐπὶ μηδένα ἕτερον

---

11. Γεν. 2, 17.

καὶ ποτὲ νὰ μὴ ἀνεχθῇς νὰ ἐξαπατηθῇς κατ' αὐτὸν τὸν τρόπον. «Καὶ θὰ τρώγῃς τὰ χόρτα τοῦ ἀγροῦ. Μὲ τὸν ἱδρῶτα τοῦ προσώπου σου θὰ κερδίζῃς τὸν ἄρτον σου». Πρόσεξε πῶς ὅλα ἐπεβλήθησαν εἰς αὐτὸν μετὰ τὴν παρακοὴν κατ' ἀντίθεσιν τῆς προηγουμένης ζωῆς του. Ἐγὼ μὲν βεβαίως, λέγει, ἀφοῦ σὲ ἐδημιούργησα εἰς αὐτὸν τὸν κόσμον, ἠθέλησα νὰ ζῇς χωρὶς λύπην καὶ κόπους καὶ ταλαιπωρίας καὶ ἱδρῶτας, καὶ νὰ εὑρίσκεσαι μέσα εἰς τὴν ἀπόλαυσιν καὶ τὴν εὐημερίαν, καὶ οὔτε νὰ ὑπόκεισαι εἰς τὰς σωματικὰς ἀνάγκας, ἀλλὰ νὰ ἔχῃς ἀπαλλαγὴ ἀπὸ ὅλα αὐτὰ καὶ νὰ εὑρίσκεσαι εἰς πλήρη ἐλευθερίαν. Ἐπειδὴ ὅμως δὲν σὲ ὠφέλησεν ἡ τόση ἀσφάλεια, διὰ τοῦτο θὰ καταρασθῶ καὶ τὴν γῆν, ὥστε νὰ μὴ δίδῃ εἰς σὲ αὐτά, ποὺ παράγονται ἀπ' αὐτήν, χωρὶς σπόρους καὶ ὄργωμα, ὅπως προηγουμένως, ἀλλὰ καὶ μαζὶ μὲ τὸν πολὺν κόπον καὶ τὸν μόχθον καὶ τὴν ταλαιπωρίαν, θὰ σὲ περιβάλω μὲ συνεχεῖς λύπας καὶ στενοχωρίας· καὶ θὰ σὲ κάμω νὰ κατορθώνῃς τὰ πάντα μὲ ἱδρῶτα, ὥστε πιεζόμενος εἰς αὐτὰ νὰ διδάσκεσαι πάντοτε ὅτι πρέπει νὰ σκέπτεσαι μὲ μέτρον καὶ νὰ γνωρίζῃς καλὰ τὴν ἰδικήν σου φύσιν. Καὶ αὐτὸ δὲν θὰ συμβῇ οὔτε δι' ὀλίγον οὔτε διὰ μακρὸν χρονικὸν διάστημα, ἀλλὰ θὰ ἐπεκταθῇ εἰς ὅλον τὸν χρόνον τῆς ζωῆς σου· διότι «Μὲ τὸν ἱδρῶτα τοῦ προσώπου σου θὰ κερδίζῃς τὸν ἄρτον σου, ἕως ὅτου ἐπιστρέψῃς εἰς τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἐλήφθης· διότι χῶμα εἶσαι καὶ εἰς χῶμα θὰ ἐπιστρέψῃς». Μέχρι τότε θὰ ὑπομείνῃς αὐτά, ἕως ὅτου θὰ ἀπέλθῃ τὸ τέλος τῆς ζωῆς σου καὶ θὰ διαλυθῇς εἰς ἐκείνην τὴν ὕλην, ἀπὸ τὴν ὁποίαν καὶ ἐδημιουργήθης. Διότι ἂν καὶ σοῦ ἐχάρισα ἕνεκα τῆς φιλανθρωπίας μου τὴν φύσιν τοῦ σώματος, ὅμως αὐτὸ τὸ σῶμα, ποὺ ἐπλάσθη ἀπὸ χῶμα, θὰ γίνῃ πάλιν χῶμα. «Διότι εἶσαι χῶμα καὶ εἰς τὸ χῶμα θὰ ἐπιστρέψῃς». Διὰ νὰ μὴ συμβοῦν αὐτὰ λοιπόν, διὰ τοῦτο εἶπα, νὰ μὴ ἐγγίσετε τὸ δένδρον, παραγγέλων, ὅτι «Κατὰ τὴν ἡμέραν ποὺ θὰ φάγετε ἀπ' αὐτό, ὁπωσδήποτε θὰ ἀποθάνετε»[11]. Βέβαια δὲν ἐπιθυμοῦσα αὐτό· ἐπειδὴ ὅμως τὰ μὲν ἰδικά μου ἔργα ἔχουν γίνει ὅλα, σὺ δὲ ἐπροξένησες εἰς τὸν ἑαυτόν σου αὐτά, μὴ ἐπιρρίπτῃς τὴν εὐ-

τὴν αἰτίαν ἔπαγε, ἀλλὰ τῇ σαυτοῦ ῥαθυμίᾳ πᾶν ἐπίγραφε. Ἀλλὰ πάλιν ἡμῖν ἕτερον ζήτημα ἐντεῦθεν τίκτεται, ὅπερ, εἰ βούλεσθε, συντόμως διαλύσαντες τὸ τηνικαῦτα καταπαύσομεν τὸν λόγον. Εἶπε, φησίν, ὁ Θεός· «Ἧ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε»· δείκνυνται δὲ ζήσαντες μετὰ τὴν παρακοήν, καὶ τὸ τῆς βρώσεως μετασχεῖν, πολλῶν ἐτῶν ἀριθμόν. Τοῦτο δοκεῖ μὲν ἁπλῶς τοῖς ἐπιπολαίως ἐντυγχάνουσι τοῖς ἐγκειμένοις ἔχειν ζήτησίν τινα· εἰ δέ τις εὐγνωμόνως τὴν ἀκοὴν ὑπόσχοιτο, σαφές ἐστι τὸ εἰρημένον καὶ οὐδεμίαν τῷ προσέχοντι ζήτησιν ἔχον. Εἰ γὰρ καὶ πολὺν ἐτῶν χρόνον ἔζησαν, ἀλλ' ὅμως ἀφ' ἧς ἤκουσαν τό, «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ», καὶ τὴν ἀπόφασιν ἐδέξαντο τοῦ θανάτου, καὶ θνητοὶ γεγόνασι, καὶ ἐξ ἐκείνου ἄν τις εἶπεν αὐτοὺς τεθνηκέναι. Τοῦτο οὖν καὶ ἡ Γραφὴ αἰνιττομένη εἶπεν, ὅτι «Ἧ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε», ἀντὶ τοῦ τὴν ἀπόφασιν δέξεσθε τοῦ θνητοὶ λοιπὸν εἶναι. Καθάπερ γὰρ ἐπὶ τῶν δικαστηρίων τῶν ἀνθρωπίνων, ἐπειδὰν ἀπόφασίν τις δεξάμενος τοῦ πάντως τὴν κεφαλὴν ἀποτμηθῆναι, εἶτα εἰς τὸ δεσμωτήριον ἐμβληθῇ, κἂν ἐπὶ πολὺν χρόνον διαμένῃ, οὐδὲν ἄμεινον τῶν νεκρῶν καὶ τεθνηκότων διάξει, τῇ ἀποφάσει τεθνηκώς· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι, ἐξ ἐκείνης τῆς ἡμέρας, ἐξ ἧς τὴν ἀπόφασιν ἐδέξαντο τῆς θνητότητος, εἰ καὶ πολὺν διήρκεσαν χρόνον, ἀλλὰ τῇ ἀποφάσει τεθνήκασιν. Οἶδα ὅτι πολλὰ τὰ εἰρημένα καὶ εἰς πολὺ μῆκος ἡμῖν ἐξετάθη τὰ τῆς διδασκαλίας· διὸ ἐπειδὴ τῇ τοῦ Θεοῦ χάριτι κατὰ δύναμιν ἡμετέραν ἅπαντα εἰς μέσον ὑμῖν προθέντες τέλος ἐπεθήκαμεν τοῖς ἀναγνωσθεῖσι, συστείλωμεν ἐνταῦθα τὸν λόγον.

θύνην εἰς κανένα ἄλλον, ἀλλὰ νὰ ἀποδίδῃς τὸ καθετὶ εἰς τὴν ἰδικήν σου ἀδιαφορίαν. Ἀλλὰ πάλιν ἀπὸ ἐδῶ γεννᾶται δι' ἡμᾶς ἄλλο πρόβλημα, τὸ ὁποῖον, ἐὰν θέλετε, ἀφοῦ λύσωμεν σύντομα, τότε νὰ τελειώσωμεν τὸν λόγον. Εἶπε, λέγει ἡ Γραφή, ὁ Θεός· «Κατὰ τὴν ἡμέραν κατὰ τὴν ὁποίαν θὰ φάγετε ἀπ' αὐτό, θὰ ἀποθάνετε ὁπωσδήποτε». Ἀποδεικνύεται ὅμως ὅτι ἔζησαν πολλὰ χρόνια μετὰ τὴν παρακοὴν καὶ τὴν συμμετοχὴν εἰς τὴν βρῶσιν ἀπὸ τὸ δένδρον. Τοῦτο φαίνεται ὅτι δημιουργεῖ κάποιο πρόβλημα εἰς ἐκείνους ποὺ τελείως ἐπιπόλαια ἀσχολοῦνται μὲ τὸ βαθύτερον περιεχόμενον· ἐὰν ὅμως θὰ ὑποσχεθῇ κανεὶς ὅτι θὰ ἀκούσῃ μὲ καλὴν διάθεσιν, τότε τὸ λεχθὲν εἶναι σαφὲς καὶ δὲν δημιουργεῖ κανένα πρόβλημα εἰς αὐτὸν ποὺ προσέχει. Διότι ἂν καὶ ἔζησαν πολλὰ χρόνια, ὅμως ἀπὸ τὴν στιγμὴν ποὺ ἤκουσαν τό, «Χῶμα εἶσαι καὶ εἰς τὸ χῶμα θὰ ἐπιστρέψῃς», καὶ ἐδέχθησαν τὴν ἀπόφασιν τοῦ θανάτου καὶ ἔγιναν πλέον θνητοί, καὶ ἐξ αἰτίας ἐκείνου τοῦ γεγονότος θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ὅτι αὐτοὶ ἔχουν ἀποθάνει. Τοῦτο λοιπὸν καὶ ἡ Γραφὴ ὑπενοοῦσε, ὅταν εἶπεν, ὅτι «Κατὰ τὴν ἡμέραν δὲ κατὰ τὴν ὁποίαν θὰ φάγετε, ὁπωσδήποτε θὰ ἀποθάνετε» ἀντὶ νὰ εἰπῇ, θὰ δεχθῆτε τὴν ἀπόφασιν νὰ εἶσθε εἰς τὸ ἑξῆς θνητοί. Διότι ὅπως εἰς τὰ ἀνθρώπινα δικαστήρια, ὅταν θὰ δεχθῇ κάποιος τὴν ἀπόφασιν ὅτι ὁπωσδήποτε θὰ τοῦ ἀποκοπῇ τὸ κεφάλι, καὶ ἔπειτα θὰ ὁδηγηθῇ εἰς τὴν φυλακήν, καὶ ἂν ἀκόμη παραμένῃ ἐπὶ πολὺν χρόνον εἰς τὴν ζωήν, δὲν θὰ περάσῃ καλύτερα ἀπὸ τοὺς νεκροὺς καὶ ἀποθαμένους, ἀφοῦ μὲ τὴν ἀπόφασιν ἔχει ἀποθάνει· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ αὐτοί, ἀπὸ τὴν ἡμέραν ἐκείνην, κατὰ τὴν ὁποίαν ἐδέχθησαν τὴν ἀπόφασιν τῆς θνητότητος, ἂν καὶ ἔζησαν πολλὰ χρόνια ἀκόμη, ὅμως μὲ τὴν ἀπόφασιν ἀπέθαναν. Γνωρίζω ὅτι ἐλέχθησαν πολλὰ καὶ ὅτι ἡ διδασκαλία ἐπεξετάθη εἰς μεγάλην ἔκτασιν πρὸς χάριν σας· διὰ τοῦτο ἂς περιορίσωμεν ἐδῶ τὸν λόγον, διότι μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ κατὰ τὴν ἰδικήν μας δύναμιν, ἀφοῦ ἐθέσαμεν τὰ πάντα ἐνώπιόν σας, ἐφθάσαμεν εἰς τὸ τέλος τῶν ἀναγνωσθέντων.

10. Ἐνῆν μὲν γὰρ καὶ ἕτερα προσθέντας δεῖξαι πάλιν καὶ ταύτην αὐτὴν τὴν τιμωρίαν τὴν ἐπαχθεῖσαν, καὶ τὸ θνητοὺς γενέσθαι πολλὴν ἔχουσαν ἄβυσσον φιλανθρωπίας· ἀλλ᾽ ἵνα μὴ τῷ πολλῷ πλήθει καταχώσωμεν ὑμῶν τὴν διάνοιαν, φέρε, παρακαλέσωμεν ὑμᾶς ἐντεῦθεν ἐξελθόντας μὴ εἰς ἀνοήτους συλλόγους ἑαυτοὺς ἐκδιδόναι, μηδὲ εἰς φλυαρίας ἀκαίρους, ἀλλὰ καθ᾽ ἑαυτοὺς συνιέντας μετ᾽ ἀλλήλων συλλέγειν τὰ εἰρημένα, καὶ εἰς ὑπόμνησιν ἑαυτοὺς ἄγειν, τί μὲν ὁ δικαστὴς ἀπεκρίνατο, τί δὲ οἱ ὑπεύθυνοι ἀπελογήσαντο, καὶ πῶς ὁ μὲν ἐπ᾽ ἐκείνην τὴν αἰτίαν μετήγαγεν, ἐκείνη δὲ ἐπὶ τὸν ὄφιν, καὶ πῶς καὶ τοῦτον ἐτιμωρήσατο, καὶ ὅτι διηνεκῆ καὶ τῷ παντὶ αἰῶνι συμπαρεκτεινομένην αὐτῷ τὴν τιμωρίαν ἐπήγαγε, καὶ σφοδρὰν τὴν κατ᾽ αὐτοῦ ἀγανάκτησιν ἐποιήσατο, καὶ διὰ τούτου δεικνὺς τὴν πρὸς τοὺς ἀπατηθέντας κηδεμονίαν. Δι᾽ ὧν γὰρ τὸν ἀπατήσαντα οὕτως ἠμύνατο, δῆλον ὅτι εἰς τοὺς πάνυ αὐτῷ περισπουδάστους τὴν ἀπάτην εἰργάσατο. Εἶτα ἐντεῦθεν μνημονεύσατε τοῦ ἐπιτιμίου τῆς γυναικός, καὶ τῆς κολάσεως τῆς ἐπαχθείσης αὐτῇ, μᾶλλον δὲ τῆς νουθεσίας, καὶ οὕτω τὰ πρὸς τὸν Ἀδὰμ εἰρημένα μνημονεύσαντες, καὶ τῆς ἀποφάσεως εἰς ἔννοιαν ἐλθόντες, «Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ», ἐντεῦθεν ἐκπλάγητε τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, ὅτι ἡμᾶς τοὺς ἐκ τῆς γῆς ὄντας, καὶ εἰς γῆν διαλυομένους, εἰ βουληθείημεν ἀρετὴν μετελθεῖν, καὶ κακίαν φυγεῖν, τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιοῦν ἐπηγγείλατο «τῶν ἡτοιμασμένων τοῖς ἠγαπηκόσιν αὐτόν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». Χάριν τοίνυν πολλὴν ὀφείλομεν ἡμῶν ὁμολογεῖν τῷ Δεσπότῃ ὑπὲρ τῶν τηλικούτων εὐεργεσιῶν, καὶ μηδέποτε λήθῃ ταῦτα παραπέμπειν, ἀλλὰ διὰ τῶν ἀγαθῶν ἔργων καὶ τῆς πολλῆς τῶν φαύλων ἀποφυγῆς, τοῦτον ἐξιλεωσώμε-

12. Α΄ Κορ. 2, 9.

10. Βέβαια εἶναι δυνατόν, ἐὰν θὰ προσθέσωμεν καὶ ἄλλα, νὰ ἀποδείξωμεν πάλιν, ὅτι καὶ αὐτὴ ἡ ἰδία ἐπιβληθεῖσα τιμωρία καὶ τὸ ὅτι ἔγιναν θνητοί, περιέχει πάρα πολλὴν φιλανθρωπίαν. Ἀλλὰ διὰ νὰ μὴ κατακλύσωμεν τὴν διάνοιάν σας μὲ τὰ πολλὰ νοήματα, σᾶς παρακαλοῦμεν, ὅταν θὰ φύγετε ἀπὸ ἐδῶ νὰ μὴ λάβετε μέρος εἰς ἀνωφελεῖς συγκεντρώσεις, οὔτε εἰς ἀκαίρους φλυαρίας, ἀλλὰ ἀφοῦ ἐμβαθύνετε μόνοι σας νὰ συγκεντρώνετε μεταξύ σας τὰ λεχθέντα καὶ νὰ ἐνθυμῆσθε, τί μὲν ἠρώτησεν ὁ δικαστής, τί δὲ οἱ ἔνοχοι ἀπελογήθησαν, καὶ πῶς ὁ μὲν ἄνδρας μετέθεσε τὴν εὐθύνην εἰς τὴν γυναῖκα, ἐκείνη δὲ εἰς τὸν ὄφιν· καὶ πῶς ἐτιμώρησε καὶ αὐτὸν καὶ ὅτι ἐπέβαλεν εἰς αὐτὸν διαρκῆ τιμωρίαν, ποὺ ἐπεκτείνεται εἰς ὅλους τοὺς αἰῶνας, καὶ ἠγανάκτησεν ἐναντίον του ὑπερβολικά, καὶ διὰ τοῦ τρόπου αὐτοῦ ἀποδεικνύει τὴν φροντίδα του πρὸς τοὺς ἀπατηθέντας ἀνθρώπους. Διότι, δι' ἐκείνων μὲ τὰ ὁποῖα ἐτιμώρησεν ἔτσι τὸν ἀπατήσαντα, καθίσταται φανερόν, ὅτι ἐπραγματοποίησε τὴν ἀπάτην εἰς ἐκείνους ποὺ ἦσαν πολὺ ἀγαπημένοι εἰς αὐτόν. Ἔπειτα εἰς τὴν συνέχειαν νὰ ἐνθυμῆσθε τὴν τιμωρίαν τῆς γυναικὸς καὶ τὴν ἐπιβληθεῖσαν εἰς αὐτὴν δοκιμασίαν, μᾶλλον δὲ τὴν νουθεσίαν· καὶ ἔτσι, ἀφοῦ ἐνθυμηθῆτε τὰ λεχθέντα πρὸς τὸν Ἀδάμ, καὶ ἀφοῦ κατανοήσετε τὴν ἀπόφασιν, «Διότι χῶμα εἶσαι, καὶ εἰς τὸ χῶμα θὰ ἐπιστρέψῃς», νὰ ἐκπλαγῆτε ἀπ' αὐτήν, διὰ τὴν ἀνέκφραστον φιλανθρωπίαν τοῦ Θεοῦ, διότι ἡμᾶς, ποὺ καταγόμεθα ἀπὸ τὴν γῆν καὶ εἰς αὐτὴν διαλυόμεθα, ἐὰν θὰ θελήσωμεν νὰ ἐπιδιώξωμεν τὴν ἀρετὴν καὶ νὰ ἀποφύγωμεν τὴν κακίαν, ὑπεσχέθη νὰ καταστήσῃ ἀξίους τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, «τὰ ὁποῖα ἔχει ἑτοιμάσει ὁ Θεὸς δι' ἐκείνους ποὺ τὸν ἀγαποῦν, τὰ ὁποῖα μάτι ἀνθρώπου δὲν εἶδε καὶ αὐτὶ δὲν ἤκουσε καὶ ἀνθρώπινος νοῦς δὲν ἐφαντίσθη»[12]. Πρέπει λοιπὸν νὰ ἐκφράζωμεν μεγάλην εὐγνωμοσύνην πρὸς τὸν Κύριόν μας διὰ τὰς τόσας εὐεργεσίας του, καὶ ποτὲ νὰ μὴ λησμονοῦμεν αὐτά, ἀλλὰ μὲ τὰ καλὰ ἔργα καὶ τὴν συστηματικὴν ἀποφυγὴν τῶν κακῶν, θὰ ἐξιλεώσωμεν αὐτὸν καὶ θὰ τὸν κάμωμεν νὰ διάκειται

θα καὶ εὐμενῆ ἡμῖν καταστήσωμεν. Πῶς γὰρ οὐ πάσης τοῦτο ἀγνωμοσύνης δεῖγμα, εἰ αὐτὸς μέν, Θεὸς ὢν καὶ ἀθάνατος, τὴν φύσιν ἀναλαβέσθαι τὴν θνητὴν ἡμῶν καὶ γήινον οὐσίαν οὐ παρῃτήσατο, καὶ τῆς ἀρχαίας νεκρώσεως ἀπαλλάξαι, καὶ ὑπὲρ τὸν οὐρανὸν ταύτην ἀναβιβάσαι, καὶ τῇ πατρικῇ συνεδρίᾳ τιμῆσαι, καὶ ὑπὸ πάσης τῆς οὐρανίας στρατιᾶς προσκυνεῖσθαι καταξιῶσαι, ἡμεῖς δὲ τὰ ἐναντία τούτῳ ἀνταμεῖψαι οὐ κατῃδέσθημεν, ἀλλὰ καὶ τὴν ἀθάνατον ψυχήν, ὡς ἄν τις εἴποι, τῇ σαρκὶ προσκολλήσαντες, γήινον αὐτὴν καὶ νεκρὰν καὶ ἀνενέργητον γενέσθαι κατασκευάσαμεν; Μή, παρακαλῶ, μὴ οὕτως ἀγνώμονες ὦμεν περὶ τὸν τοσαῦτα ἡμᾶς εὐηργετηκότα, ἀλλὰ τοῖς αὐτοῦ νόμοις ἑπόμενοι, τὰ αὐτῷ δοκοῦντα καὶ εὐάρεστα ὄντα διαπραττώμεθα, ἵνα καὶ τῶν αἰωνίων ἀγαθῶν ἀξίους ἡμᾶς ἀναδείξῃ· ᾧ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εὐμενῶς πρὸς ἡμᾶς. Πῶς, λοιπόν, δὲν εἶναι αὐτὸ δεῖγμα μεγάλης ἀχαριστίας, ἐὰν αὐτὸς μέν, ἂν καὶ ἦτο Θεὸς καὶ ἀθάνατος, δὲν ἠρνήθη νὰ ἀναλάβη τὴν θνητὴν φύσιν μας καὶ τὴν γήινον οὐσίαν, καὶ νὰ τὴν ἀπαλλάξη ἀπὸ τὴν ἀρχαίαν νέκρωσιν, καὶ νὰ ἀνεβάση αὐτὴν ἐπάνω ἀπὸ τὸν οὐρανόν, καὶ νὰ τὴν τιμήση μὲ τὴν πατρικὴν συνεδρίαν, καὶ νὰ τὴν καταστήση ἀξίαν νὰ προσκυνῆται ἀπὸ ὅλην τὴν στρατιὰν τῶν οὐρανίων ἀγγέλων, ἡμεῖς δὲ δὲν ἠσθάνθημεν καθόλου ἐντροπὴν νὰ ἀνταμείψωμεν αὐτὸν μὲ τὰ ἀντίθετα, ἀλλὰ καὶ τὴν ἀθάνατον ψυχήν, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ἀφοῦ ἐκολλήσαμεν εἰς τὴν σάρκα, ἐκάναμεν αὐτὴν γήινον καὶ νεκρὰν καὶ ἀδρανῆ; Ὄχι, σᾶς παρακαλῶ, νὰ μὴ εἴμεθα τόσον ἀχάριστοι πρὸς ἐκεῖνον, ποὺ μᾶς ἔχει εὐεργετήσει τόσον πολύ, ἀλλά, ἀφοῦ ἀκολουθοῦμεν τοὺς νόμους του, ἂς πράττωμεν ἐκεῖνα, ποὺ φαίνονται καλὰ εἰς αὐτὸν καὶ εἶναι εὐάρεστα, διὰ νὰ μᾶς ἀναδείξη καὶ ἀξίους τῶν αἰωνίων ἀγαθῶν· αὐτὰ τὰ ἀγαθὰ εἴθε νὰ ἀξιωθοῦμεν ὅλοι μας, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον καὶ εἰς τὸν Πατέρα καὶ εἰς τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ'
(Γεν. 3, 20 - 4, 7)

«Καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων. Καὶ ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς. Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν».

1. Εἴδετε χθὲς δικαστοῦ φιλανθρωπίαν; εἴδετε ἐξέτασιν ἀγαθότητος γέμουσαν; εἴτε τιμωριῶν διαφοράν; πῶς μὲν ὁ διὰ τῆς ἀπάτης ὑποσκελίσας ἐτιμωρήθη, πῶς δὲ ἡ τοῖς ὑποσκελισθεῖσιν ἐπαχθεῖσα τιμωρία πολλὴν δείκνυσι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν; εἴδετε πόσης ἡμῖν ὠφελείας γέγονεν ὑπόθεσις τὸ παραστῆναι τῷ δικαστηρίῳ, καὶ ἰδεῖν ὅπως προεχώρησεν ἡ ἐξέτασις; Ἔγνωμεν γάρ, ὅσων τε καὶ ἡλίκων ἀγαθῶν ἑαυτοὺς ἀπεστέρησαν ὅ τε Ἀδάμ, ἥ τε Εὔα, διὰ τῆς παραβάσεως τῆς δοθείσης ἐντολῆς, γυμνωθέντες τῆς δόξης ἐκείνης τῆς ἀφάτου, καὶ τῆς ζωῆς τῆς οὐδὲν ἔλαττον σχεδὸν ἐχούσης τῶν ἀγγέλων. Εἴδομεν τὴν ἀνεξικακίαν τοῦ Δεσπότου, ἐπαιδεύθημεν ὅσον κακόν ἐστι ῥαθυμία, καὶ ὅπως καὶ τῶν ἤδη ὑπηργμένων ἀγαθῶν γυμνοὺς καὶ ἐρήμους ἡμᾶς ἐργάζεται, καὶ ἐν πολλῇ καθίστησι τῇ αἰσχύνῃ. Διό, παρακαλῶ, νήφωμεν, καὶ τὰ ἐκείνων πτώματα ἡμῖν· γενέσθω φάρμακα, καὶ ἡ ἐκείνων ῥαθυμία ἡμῖν γενέσθω ἀσφαλείας ὑπόθεσις· ἐπειδὴ καὶ μείζων ἡ τιμωρία τοῖς εἰς τὸ ἑξῆς τὰ αὐτὰ πλημμελοῦσιν, ὅσῳ μηδὲ τοῖς ὑποδείγμασι σωφρονέστεροι

ΟΜΙΛΙΑ ΙΗ΄
(Γεν. 3, 20 - 4, 7)

«Καὶ ὠνόμασεν ὁ Ἀδὰμ τὴν γυναῖκα του Ζωήν, διότι αὐτὴ ἦτο ἡ μητέρα ὅλων τῶν ζώντων. Καὶ ἔκαμε Κύριος ὁ Θεὸς εἰς τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα του χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς. Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ ὁ Ἀδὰμ ἔγινεν ὡς ἕνας ἀπὸ ἡμᾶς».

1. Εἴδατε χθὲς τὴν φιλανθρωπίαν τοῦ δικαστοῦ; εἴδατε ἀνάκρισιν γεμάτην ἀπὸ ἀγάπην; εἴδατε τὴν διαφορὰν τῶν ποινῶν; πῶς ἐτιμωρήθη ἐκεῖνος, ποὺ μὲ τὴν ἀπάτην ἀνέτρεψε τὸν ἄνθρωπον, καὶ πῶς ἡ ἐπιβληθεῖσα τιμωρία εἰς αὐτούς, ποὺ ἀνετράπησαν, ἀποδεικνύει τὴν μεγάλην φιλανθρωπίαν τοῦ Θεοῦ; εἴδατε πόσον ὠφελήθημεν ἀπὸ τὸ νὰ παραστοῦμεν εἰς τὸ δικαστήριον καὶ νὰ παρακολουθήσωμεν πῶς ἐπροχώρησεν ἡ ἀνάκρισις; Διότι ἐγνωρίσαμεν, πόσα καὶ ποῖα ἀγαθὰ ἐστέρησαν εἰς τοὺς ἑαυτούς των καὶ ὁ Ἀδὰμ καὶ ἡ Εὔα, μὲ τὴν παράβασιν τῆς ἐντολῆς, ἀφοῦ ἐγυμνώθησαν ἀπὸ τὴν ἀπερίγραπτον ἐκείνην δόξαν καὶ τὴν ζωήν, ἡ ὁποία δὲν ὑστεροῦσε σχεδὸν καθόλου ἀπὸ τὴν ζωὴν τῶν ἀγγέλων. Εἴδαμεν τὴν ἀνεξικακίαν τοῦ Κυρίου, ἐδιδάχθημεν πόσον μέγα κακὸν εἶναι ἡ ἀδιαφορία, καὶ μὲ ποῖον τρόπον μᾶς κάνει γυμνοὺς καὶ στερημένους καὶ ἀπὸ τὰ ἀγαθά, ποὺ εἴχαν ἤδη ὑπάρξει, καὶ μᾶς φέρει εἰς κατάστασιν μεγάλης ἐντροπῆς. Διὰ τοῦτο, σᾶς παρακαλῶ, ἂς εἴμεθα νηφάλιοι, καὶ τὰ παθήματα ἐκείνων ἂς γίνουν φάρμακα εἰς ἡμᾶς, ἡ δὲ ἀδιαφορία των ἂς γίνῃ εἰς ἡμᾶς ὑπόθεσις ἀσφαλείας· διότι καὶ ἡ τιμωρία θὰ εἶναι μεγαλυτέρα δι᾿ ἐκείνους ποὺ θὰ κάμουν εἰς τὸ μέλλον τὰ ἴδια σφάλματα, καθόσον δὲν ἠθέλησαν νὰ γίνουν συνετώ-

γενέσθαι ἠβουλήθησαν. Οὐδὲ γὰρ οἱ μετὰ ταῦτα τὰ αὐτὰ τοῖς προτέροις ἁμαρτάνοντες τὴν αὐτὴν εἰσπράττονται δίκην. Καὶ τοῦτο συντόμως μαθεῖν ἔξεστιν ἀπὸ τοῦ σοφοῦ διδασκάλου τῆς οἰκουμένης, τοῦ μακαρίου Παύλου φημί, λέγοντος· «Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐννόμως ἥμαρτον, διὰ νόμου κριθήσονται». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ τὴν αὐτὴν δώσουσι δίκην οἱ πρὸ τοῦ νόμου, καὶ οἱ μετὰ τὸν νόμον, ἀλλὰ βαρυτέρας ὑποστήσονται τιμωρίας οἱ μετὰ τὴν τοῦ νόμου δόσιν ἁμαρτάνοντες. Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, τουτέστιν, ἡμερωτέραν αὐτοῖς ποιεῖ τὴν τιμωρίαν τὸ μὴ ἔχειν τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν τε καὶ βοήθειαν. Καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. Οὗτοι δέ, φησίν, ἐπειδὴ καὶ τὸν νόμον ἔσχον διδάσκαλον, καὶ οὐδὲ οὕτως ἐσωφρονίσθησαν, ἀλλὰ τὰ αὐτὰ ἐκείνοις ἥμαρτον, μείζονα καὶ τὴν δίκην τίσουσι. Ἀλλ' ἀκούσωμεν καὶ τῶν σήμερον ἀναγνωσθέντων. «Καὶ ἐκάλεσε», φησίν, «Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Εὔα, ὅπερ ἐστὶ ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων». Ὅρα τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν, πῶς οὐδὲ τοῦτο παρῆκεν, ἀλλ' ἐδίδαξεν ἡμᾶς, ὅτι καὶ τῇ γυναικὶ προσηγορίαν ὁ Ἀδὰμ ἐπέθηκεν. «Ἐκάλεσε γάρ», φησί, «τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Εὔα, ὅπερ ἐστὶ ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων»· τουτέστιν, αὕτη ἀρχή ἐστι πάντων τῶν ἐξ αὐτῆς ἐσομένων, καὶ ῥίζα καὶ θεμέλιος τῆς μετὰ ταῦτα γενεᾶς. Εἶτα μετὰ τὸ διδάξαι ἡμᾶς τὴν ἐπιτεθεῖσαν τῇ γυναικὶ προσηγορίαν, πάλιν δείκνυσιν ἡμῖν τοῦ Θεοῦ τὴν ἀγαθότητα, ὅπως οὐ περιορᾷ ἐν τοσαύτῃ αἰσχύνῃ καὶ γυμνότητι τοὺς ὑπ' αὐτοῦ δημιουργηθέντας. «Καὶ ἐποίησε», φησί, «Κύριος ὁ Θεὸς τῷ

---

1. Ρωμ. 2, 12.

τεροι παρὰ τὰ παραδείγματα αὐτά. Οὔτε βέβαια ἐκεῖνοι, ποὺ ὕστερα ἀπὸ αὐτὰ θὰ πέσουν εἰς τὰ ἴδια σφάλματα μὲ τοὺς προηγουμένους, λαμβάνουν τὴν ἰδίαν τιμωρίαν. Καὶ αὐτὸ ἠμποροῦμεν νὰ τὸ μάθωμεν σύντομα ἀπὸ τὸν σοφὸν διδάσκαλον τῆς οἰκουμένης, ἐννοῶ τὸν μακάριον Παῦλον, ὁ ὁποῖος λέγει· «Ὅσοι βεβαίως ἡμάρτησαν χωρὶς νὰ λάβουν γραπτὸν νόμον, θὰ καταδικασθοῦν εἰς ἀπώλειαν χωρὶς τὴν κατηγορίαν τοῦ νόμου· καὶ ὅσοι ἡμάρτησαν ἔχοντες τὸν νόμον, θὰ κριθοῦν μὲ βάσιν τὸν νόμον»[1]. Ἐκεῖνο δὲ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· δὲν θὰ τιμωρηθοῦν κατὰ τὸν ἴδιον τρόπον οἱ ἁμαρτήσαντες πρὸ τοῦ νόμου καὶ οἱ μετὰ τὸν νόμον, ἀλλὰ θὰ ὑποστοῦν αὐστηροτέρας τιμωρίας ἐκεῖνοι ποὺ ἁμαρτάνουν μετὰ τὴν ἐπίδοσιν τοῦ νόμου. Διότι ὅσοι ἡμάρτησαν χωρὶς νόμον θὰ καταδικασθοῦν εἰς ἀπώλειαν χωρὶς νόμον, δηλαδή, κάνει εἰς αὐτοὺς ἐλαφροτέραν τὴν τιμωρίαν τὸ γεγονὸς ὅτι δὲν εἶχαν τὴν διδασκαλίαν καὶ βοήθειαν τοῦ νόμου. Καὶ ὅσοι ἡμάρτησαν ἔχοντες τὸν νόμον, θὰ κριθοῦν μὲ βάσιν τὸν νόμον. Αὐτοὶ ὅμως, λέγει, ἐπειδὴ εἶχαν καὶ τὸν νόμον διδάσκαλον, καὶ οὔτε ἔτσι ἐσωφρονίσθησαν, ἀλλὰ περιέπεσαν εἰς τὰ ἴδια μὲ ἐκείνους σφάλματα, θὰ τιμωρηθοῦν καὶ αὐστηρότερα. Ἀλλὰ ἂς ἀκούσωμεν καὶ ἐκεῖνα ποὺ ἀνεγνώσθησαν σήμερον. «Καὶ ὠνόμασε, λέγει ἡ Γραφή, ὁ Ἀδὰμ τὴν γυναῖκα του Εὔαν, τὸ ὁποῖον σημαίνει ζωή, διότι αὐτὴ ἦτο ἡ μητέρα ὅλων τῶν ζώντων». Πρόσεξε τὴν ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς, πῶς δὲν παρέλειψεν οὔτε αὐτό, ἀλλὰ μᾶς ἐδίδαξεν, ὅτι ὁ Ἀδὰμ ἔδωσε καὶ εἰς τὴν γυναῖκα τὸ ὄνομα. «Ἐκάλεσε λοιπόν, λέγει, τὸ ὄνομα τῆς γυναικός του Εὔα, τὸ ὁποῖον σημαίνει ζωή, διότι αὐτὴ εἶναι ἡ μητέρα ὅλων τῶν ζώντων». Δηλαδή, αὐτὴ εἶναι ἡ ἀρχὴ ὅλων ἐκείνων ποὺ θὰ προέλθουν ἀπ᾽ αὐτήν, καὶ ἡ ρίζα καὶ τὸ στήριγμα τῶν ἑπομένων γενεῶν. Ἔπειτα ἀφοῦ μᾶς ἐδίδαξε τὴν προσηγορίαν, ποὺ ἐδόθη εἰς τὴν γυναῖκα, πάλιν μᾶς παρουσιάζει τὴν καλωσύνην τοῦ Θεοῦ, καθόσον δὲν παραβλέπει τοὺς δημιουργηθέντας ἀπ᾽ αὐτὸν νὰ εὑρίσκωνται μέσα εἰς τόσην ἐντροπὴν καὶ γυμνότητα. «Καὶ ἔκαμε,

Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς». Καθάπερ γὰρ πατὴρ εὔσπλαγχνος παῖδα ἔχων εὐγενῆ, καὶ μετὰ πάσης ἐπιμελείας ἀνατρεφόμενον, καὶ τρυφῆς ἁπάσης ἀπολαύοντα, καὶ ἐσθῆτι λαμπρᾷ κεχρημένον, καὶ σηρικὰ ἱμάτια περιβεβλημένον, καὶ μετὰ ἀδείας τῇ περιουσίᾳ καὶ τῷ πλούτῳ κεχρημένον τῷ πατρικῷ, ὁρῶν ὕστερον ἀπὸ τῆς ἀνέσεως ταύτης τῆς πολλῆς εἰς κρημνὸν κακίας ἐξοκείλαντα, πάντων ἐκείνων ἀποστερήσας καὶ τῇ ἑαυτοῦ ὑποτάξας, καὶ τῆς ἐσθῆτος γυμνώσας, ἱμάτιον εὐτελὲς αὐτῷ πολλάκις καὶ δουλικὸν περιτίθησιν, ὥστε μὴ πάντη γυμνὸν εἶναι καὶ ἀσχημονεῖν· οὕτω δὴ καὶ ὁ φιλάνθρωπος Θεός, ἐπειδὴ ἀναξίους ἑαυτοὺς κατέστησαν τοῦ λαμπροῦ ἐκείνου καὶ φαιδροῦ ἐνδύματος τοῦ περιστέλλοντος αὐτούς, καὶ παρασκευάζοντος ἀνωτέρους εἶναι τῶν σωματικῶν ἀναγκῶν, γυμνώσας αὐτοὺς τῆς δόξης ἐκείνης ἁπάσης, καὶ τῆς ἀπολαύσεως, ἧς πρότερον μετεῖχον, πρὶν ἢ πεσεῖν τὸ πτῶμα τοῦτο τὸ χαλεπόν, πολὺν περὶ αὐτοὺς τὸν οἶκτον ἐπιδεικνύμενος, καὶ ἐλεῶν αὐτοὺς τῆς ἐκπτώσεως, καὶ ὁρῶν πολλὴν τὴν ἀσχημοσύνην περιβεβλημένους, καὶ οὐκ εἰδότας ὅ τι καὶ πράξουσι, πρὸς τὸ μὴ γυμνοὺς εἶναι καὶ ἐνασχημονεῖν, χιτῶνας αὐτοῖς ἐργάζεται δερματίνους καὶ ἀμφιέννυσι. Τοιαῦτα γὰρ τὰ παρὰ τοῦ διαβόλου μηχανήματα· ἐπειδὰν γὰρ εὕρῃ τοὺς αὐτῷ πειθομένους, διὰ τῆς βραχείας ἡδονῆς ὑποσκελίσας, καὶ εἰς αὐτὸν τῆς κακίας τὸν βυθὸν καταγαγών, καὶ πάσης αἰσχύνης καὶ ἀτιμίας πληρώσας, ἀφίησι κεῖσθαι κάτω, ἐλεεινὸν θέαμα τοῖς ὁρῶσιν. Ἀλλ' ὁ τῶν ἡμετέρων ψυχῶν κηδεμών, ὁρῶν αὐτοὺς ἐν ἀμηχανίᾳ πολλῇ, οὐδὲ οὕτω περιιδεῖν ἀνέχεται, ἀλλὰ σκέπην αὐτοῖς ἐπινοεῖ, διὰ τῆς εὐτελείας τοῦ ἐνδύματος δεικνὺς αὐτοῖς οἵων ἑαυτοὺς κατέστησαν ἀξίους ἐνδυμάτων. «Καὶ

λέγει ἡ Γραφή, Κύριος ὁ Θεὸς διὰ τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα του δερματίνους χιτῶνας καὶ τοὺς ἐνέδυσε». Ὅπως ἀκριβῶς ἕνας εὐσπλαγχνικὸς πατέρας, ὅταν ἔχῃ ἕνα εὐγενικὸν υἱόν, ὁ ὁποῖος ἀνατρέφεται μὲ κάθε φροντίδα, ἀπολαμβάνει κάθε ἀπόλαυσιν, ἔχει μεγαπρεπὲς σπίτι, ἐνδύεται μὲ μεταξωτὰ ἐνδύματα καὶ χρησιμοποιεῖ ἐλεύθερα τὴν περιουσίαν καὶ τὸν πατρικὸν θησαυρόν, ὅταν τὸν βλέπῃ ὕστερα ἀπὸ τὴν μεγάλην αὐτὴν ἄνεσιν νὰ παρασύρεται εἰς τὸν κρημνὸν τῆς κακίας, ἀφοῦ τὸν στερήσῃ ἀπὸ ὅλα ἐκεῖνα καὶ τὸν θέσῃ κάτω ἀπὸ τὴν ἐξουσίαν του, καί, ἀφοῦ τὸν ἀπογυμνώσῃ ἀπὸ τὸ πολυτελὲς ἔνδυμα, τὸν περιβάλλει μὲ εὐτελὲς ἔνδυμα καὶ συχνὰ δουλικόν, διὰ νὰ μὴ εἶναι ἐντελῶς γυμνὸς καὶ ἀσχημονεῖ˙ ἔτσι λοιπὸν καὶ ὁ φιλάνθρωπος Θεός, ἐπειδὴ οἱ πρωτόπλαστοι κατέστησαν τοὺς ἑαυτούς των ἀναξίους διὰ τὸ λαμπρὸν καὶ ὡραῖον ἐκεῖνο ἔνδυμα, ποὺ τοὺς περιέβαλλε καὶ τοὺς ἔκαμε νὰ εἶναι ἀνώτεροι ἀπὸ τὰς ἀνάγκας τοῦ σώματος, ἀφοῦ τοὺς ἐγύμνωσεν ἀπὸ ὅλην ἐκείνην τὴν δόξαν καὶ τὴν ἀπόλαυσιν, τὴν ὁποίαν προηγουμένως ἀπελάμβαναν, προτοῦ ἀκόμη πέσουν εἰς τὸ τρομερὸν αὐτὸ σφάλμα, διὰ νὰ δείξῃ τὴν μεγάλην του εὐσπλαγχνίαν πρὸς αὐτοὺς καὶ διὰ νὰ τοὺς σώσῃ ἀπὸ τὴν πτῶσιν καὶ ἐπειδὴ εἶδε νὰ ἔχουν περιβληθῆ μὲ πολλὴν ἀσχημίαν καὶ δὲν ἐγνώριζαν τί νὰ πράξουν, διὰ νὰ μὴ εἶναι γυμνοὶ καὶ νὰ μὴ ἀσχημονοῦν, κατασκευάζει δι' αὐτοὺς δερματίνους χιτῶνας καὶ τοὺς ἐνδύει. Τέτοια βέβαια εἶναι τὰ τεχνάσματα τοῦ διαβόλου˙ ὅταν λοιπὸν θὰ εὑρῇ ἐκείνους ποὺ πείθονται εἰς αὐτόν, ἀφοῦ τοὺς ἀνατρέψῃ μὲ κάποιαν μικρὰν ἡδονήν, καὶ ἀφοῦ τοὺς ὁδηγήσῃ εἰς αὐτὸν τὸν βυθὸν τῆς κακίας, καὶ ἀφοῦ τοὺς γεμίσῃ μὲ κάθε ἐντροπὴν καὶ ἀτιμίαν, τοὺς ἀφήνει νὰ εἶναι πεσμένοι κάτω, θλιβερὸν θέαμα εἰς ἐκείνους ποὺ τοὺς βλέπουν. Ἐκεῖνος ὅμως ποὺ φροντίζει διὰ τὰς ἰδικάς μας ψυχάς, ὅταν εἶδεν αὐτοὺς νὰ εὑρίσκωνται εἰς ἀμηχανίαν μεγάλην, οὔτε ἔτσι ἀνέχεται νὰ τοὺς περιφρονήσῃ, ἀλλὰ ἐπινοεῖ δι' αὐτοὺς κάλυμμα, ἀποδεικνύων εἰς αὐτοὺς μὲ τὴν εὐτέλειαν τοῦ ἐνδύματος ποίων ἐνδυμάτων κατέστη-

ἐποίησε Κύριος ὁ Θεὸς τῷ 'Αδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς». Ὅρα πόση τῆς θείας Γραφῆς ἡ συγκατάβασις. 'Αλλ' ὅπερ πολλάκις εἶπον, καὶ νῦν λέγω· θεοπρεπῶς ἅπαντα νοῶμεν, καὶ τὸ «'Εποίησεν», ἀντὶ τοῦ, προσέταξεν, νοῶμεν. 'Εκέλευσε χιτῶνας δερματίνους αὐτοὺς περιβαλέσθαι ὑπόμνημα διηνεκὲς τῆς παρακοῆς.

2. 'Ακουέτωσαν οἱ πλουτοῦντες, οἱ ἐντρυφῶντες τοῖς τῶν σκωλήκων νήμασι, καὶ τὰ σηρικὰ περιβαλλόμενοι, καὶ μανθανέτωσαν πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων παιδεύων τὴν ἀνθρωπίνην φύσιν ὁ φιλάνθρωπος Δεσπότης, ἐπειδὴ διὰ τὴν παράβασιν τῷ ἐπιτιμίῳ τοῦ θανάτου γέγονεν ὑπεύθυνος ὁ πρωτόπλαστος, ἐχρῆν δὲ ἱμάτιον αὐτῷ περιτεθῆναι τὸ τὴν αἰσχύνην καλύπτον, δερματίνους αὐτοῖς ἐποίησε χιτῶνας, διδάσκων ἡμᾶς φεύγειν τὸν ὑγρὸν καὶ διαλελυμένον βίον, καὶ μὴ τὸν ἀνειμένον καὶ βλακείας γέμοντα μεταδιώκειν, ἀλλὰ τὸν αὐστηρὸν μᾶλλον ἀσπάζεσθαι. 'Αλλ' ἴσως ἀχθόμενοι πρὸς τὰ λεγόμενα οἱ πλουτοῦντες ἐροῦσι· τί οὖν; δερματίνους ἡμᾶς χιτῶνας κελεύεις περιβαλέσθαι; Οὐ τοῦτο λέγω· οὐδὲ γὰρ ἐκεῖνοι εἰς τὸ διηνεκὲς ἐκείνοις τοῖς χιτῶσιν ἐκέχρηντο· ὁ γὰρ φιλάνθρωπος Δεσπότης ἀεὶ ταῖς προλαβούσαις εὐεργεσίαις ἑτέρας προστίθησιν. 'Επειδὴ γὰρ λοιπὸν ὑπευθύνους ἑαυτοὺς κατέστησαν ταῖς σωματικαῖς ἀνάγκαις, τῆς ἀπαθείας ἐκείνης καὶ τῆς ἀγγελικῆς διαγωγῆς ἀποστερηθέντες, μετὰ ταῦτα ᾠκονόμησεν, ἀπὸ τῶν ἐρίων τῶν προβάτων τὰ ἐνδύματα τοῖς ἀνθρώποις κατασκευάζεσθαι, οὐδενὸς ἑτέρου ἕνεκεν, ἢ ὥστε σκέπην γενέσθαι, καὶ μὴ τὸ λογικὸν τοῦτο ζῶον κατὰ τὸ αὐτὸ τοῖς ἀλόγοις ἐν γυμνότητι καὶ ἀσχημοσύνῃ διάγειν. Ἡ τοίνυν τῶν ἱματίων περιβολὴ ὑπόμνησις ἡμῖν γενέσθω διηνεκὴς τῶν ἀγαθῶν ἐκπτώσεως, καὶ τῆς τιμωρίας

σαν ἀξίους τοὺς ἑαυτούς των. «Καὶ κατεσκεύασε Κύριος ὁ Θεὸς διὰ τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα του δερματίνους χιτῶνας καὶ τοὺς ἐνέδυσε». Πρόσεξε πόση εἶναι ἡ συγκατάβασις τῆς Ἁγίας Γραφῆς. Ἐκεῖνο ὅμως, ποὺ εἶπα πολλὰς φοράς, καὶ τώρα λέγω· ἂς ἐννοοῦμεν τὰ πάντα θεοπρεπῶς καὶ ἂς ἐννοήσωμεν τὸ «κατεσκεύασε», ἀντὶ τοῦ ἐπρόσταξεν. Ἐπρόσταξεν αὐτοὺς νὰ ἐνδυθοῦν μὲ δερματίνους χιτῶνας, συνεχὴς ὑπενθύμισις τῆς παρακοῆς.

2. Ἂς ἀκούσουν αὐτὰ οἱ πλούσιοι, ἐκεῖνοι ποὺ αἰσθάνονται ἀπόλαυσιν μέσα εἰς τὰ μεταξωτὰ ὑφάσματα καὶ ἐνδύονται τὰ μεταξωτὰ ἐνδύματα, καὶ ἂς μάθουν πῶς ἀπὸ τὴν ἀρχὴν καὶ ἀπὸ τὸ προοίμιον τῆς Γραφῆς διδάσκων ὁ φιλάνθρωπος Δεσπότης τὴν ἀνθρωπίνην φύσιν, ἐπειδὴ ἐξ αἰτίας τῆς παραβάσεως ἔγινεν ὁ πρωτόπλαστος ὑπεύθυνος τῆς τιμωρίας τοῦ θανάτου, ἔπρεπε δὲ νὰ τοποθετηθῇ γύρω ἀπὸ αὐτὸν ἔνδυμα, τὸ ὁποῖον νὰ καλύπτῃ τὴν ἐντροπήν, ἐκατασκεύασε δι' αὐτοὺς δερματίνους χιτῶνας, διὰ νὰ μᾶς διδάξῃ νὰ ἀποφεύγωμεν τὸν ἄστατον καὶ ἀχαλίνωτον τρόπον ζωῆς, καὶ νὰ μὴ ἐπιδιώκωμεν τὸν ἄνετον καὶ πλήρη νωθρότητος, ἀλλὰ νὰ ἀγαπῶμεν περισσότερον τὸν αὐστηρὸν τρόπον ζωῆς. Ἴσως ὅμως οἱ πλούσιοι, ἐπειδὴ δυσανασχετοῦν μὲ τὰ λεγόμενα, θὰ εἰποῦν· τί λοιπόν; μᾶς διατάσσεις νὰ ἐνδυθοῦμεν δερματίνους χιτῶνας; Δὲν λέγω αὐτό· οὔτε βέβαια ἐκεῖνοι ἐχρησιμοποιοῦσαν συνεχῶς τοὺς χιτῶνας αὐτούς, διότι ὁ φιλάνθρωπος Κύριος πάντοτε εἰς τὰς προηγηθείσας εὐεργεσίας προσθέτει καὶ ἄλλας. Ἀφοῦ λοιπὸν κατέστησαν τοὺς ἑαυτούς των νὰ ὑπόκεινται εἰς τὸ ἑξῆς εἰς τὰς σωματικὰς ἀνάγκας, ἐπειδὴ ἐστερήθησαν τὴν ἀπάθειαν ἐκείνην καὶ τὸν ἀγγελικὸν τρόπον ζωῆς, ὕστερα ἀπὸ αὐτὰ καθώρισεν, ὥστε νὰ κατασκευάζουν οἱ ἄνθρωποι τὰ ἐνδύματά των ἀπὸ τὰ μαλλιὰ τῶν προβάτων, ὄχι διὰ κανένα ἄλλον λόγον, παρὰ νὰ κατασκευασθῇ κάλυμμα καὶ νὰ μὴ ζῇ τὸ λογικὸν αὐτὸ ζῶον μέσα εἰς τὴν γύμνωσιν καὶ ἀσχημοσύνην, ὅπως ἀκριβῶς τὰ ἄλογα ζῶα. Ἡ περιβολὴ λοιπὸν τῶν ἱματίων ἂς γίνῃ εἰς ἡμᾶς συνεχὴς ὑπενθύμισις τῆς ἀπωλείας τῶν ἀγαθῶν καὶ

διδασκαλία, ἣν διὰ τὴν παρακοὴν τὸ τῶν ἀνθρώπων γένος ἐδέξατο. Λεγέτωσαν τοίνυν ἡμῖν οἱ τοσαύτῃ κεχρημένοι τῇ φαντασίᾳ, ὡς μηδὲ εἰδέναι λοιπὸν τὰ ἀπὸ τοῦ ἐρίου τῶν προβάτων ἐνδύματα, ἀλλὰ τὰ σηρικὰ περιβαλλόμενοι, καὶ εἰς τοσοῦτον ἐξοκείλαντας μανίας, ὡς καὶ χρυσίον συνυφαίνειν τοῖς ἐνδύμασι, μάλιστα γὰρ τὸ τῶν γυναικῶν γένος ταύτην ἡμῖν ἐπιδείκνυται τὴν βλακείαν· τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τούτοις τὸ σῶμα καλλωπίζεις, καὶ χαίρεις τῇ ἐντεῦθεν περιβολῇ, καὶ οὐκ ἐννοεῖς ὅτι ἀντὶ μεγίστης τιμωρίας διὰ τὴν παράβασιν ἡ σκέπη αὕτη ἐπενοήθη; Διὰ τί γὰρ μὴ ἀκούεις Παύλου λέγοντος· «Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα»; Ὁρᾷς ὅτι ἑνὸς μόνου δεῖ φροντίζειν, τοῦ μὴ γυμνὸν εἶναι τὸ σῶμα, τοῦ σκέπτεσθαι μόνον, μηκέτι δὲ καὶ περὶ διαφορᾶς ἐσθῆτος φροντίδα ποιεῖσθαι. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἔλθωμεν. «Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. Καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη». Ὅρα πάλιν Θεοῦ συγκατάβασιν. «Καὶ εἶπε», φησί, «Κύριος ὁ Θεός· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν». Εἶδες πόση τῆς λέξεως ἡ ταπείνωσις; Ταῦτα δὲ ἅπαντα θεοπρεπῶς νοῶμεν. Βούλεται γὰρ ἐνταῦθα διὰ τῶν ῥημάτων τούτων τῆς ἀπάτης ἡμᾶς ὑπομνῆσαι, ἣν ἠπατήθησαν ὑπὸ τοῦ διαβόλου διὰ τοῦ ὄφεως. Ἐπειδὴ γὰρ ἔλεγεν ἐκεῖνος, ὅτι «Ἐὰν φάγητε, ἔσεσθε ὡς θεοί», καὶ ἰσοθείας ἐλπίδι τῆς βρώσεως κατετόλμησαν· διὰ τοῦτο καὶ ὁ Θεὸς πάλιν ἐντρέψαι αὐτοὺς βουλόμενος, καὶ εἰς αἴσθησιν ἀγαγεῖν τῶν ἐπται-

2. Α΄ Τιμ. 6, 8.

διδασκαλία τῆς τιμωρίας, τὴν ὁποίαν ἐξ αἰτίας τῆς παρακοῆς ἐδέχθη τὸ ἀνθρώπινον γένος. Ἂς μᾶς εἰποῦν λοιπὸν ἐκεῖνοι, ποὺ ἔχουν τόσον μεγάλην φαντασίαν, ὥστε νὰ μὴ γνωρίζουν τὰ κατασκευαζόμενα ἀπὸ τὰ μαλλιὰ τῶν προβάτων ἐνδύματα, ἀλλὰ ποὺ ἐνδύονται τὰ μεταξωτὰ καὶ παρεσύρθησαν εἰς τέτοιον βαθμὸν ἀφροσύνης, ὥστε νὰ ὑφαίνουν εἰς τὰ ἐνδύματά των καὶ χρυσόν, πρὸ πάντων δὲ τὸ γένος τῶν γυναικῶν μᾶς ἐπιδεικνύει αὐτὴν τὴν βλακείαν· διὰ ποῖον λοιπὸν λόγον, εἰπέ μου, καλλωπίζεις μὲ αὐτὰ τὸ σῶμα καὶ χαίρεσαι διὰ τὴν περιβολὴν αὐτοῦ τοῦ εἴδους, καὶ δὲν καταλαβαίνεις ὅτι ἡ ἐνδυμασία αὐτὴ ἐπενοήθη ἀντὶ μεγίστης τιμωρίας διὰ τὴν παράβασιν; Διατί δὲν ἀκούεις τὸν Παῦλον, ποὺ λέγει· «Ὅταν ἔχωμεν τροφὰς καὶ ἐνδύματα, θὰ εἶναι αὐτὰ ἀρκετὰ εἰς ἡμᾶς»[2]; Βλέπεις ὅτι πρέπει νὰ φροντίζωμεν δι' ἕνα μόνον πρᾶγμα, νὰ μὴ εἶναι γυμνὸν τὸ σῶμα, νὰ σκεπάζεται μόνον, νὰ μὴ φροντίζωμεν δὲ καθόλου διὰ τὴν ποικιλίαν τῆς ἐνδυμασίας. Ἀλλὰ ἂς ἔλθωμεν εἰς τὴν συνέχειαν τοῦ θέματος. «Καὶ εἶπεν ὁ Θεός· ἰδού, ὁ Ἀδὰμ ἔχει γίνει ὡς ἕνας ἀπὸ ἡμᾶς, ὥστε νὰ γνωρίζῃ τὸ καλὸν καὶ τὸ κακόν. Καὶ τώρα ἂν ἁπλώσῃ κάποτε τὸ χέρι του καὶ λάβῃ ἀπὸ τὸ δένδρον τῆς ζωῆς καὶ φάγῃ, θὰ ζήσῃ αἰώνια. Καὶ ἐξεδίωξεν αὐτὸν Κύριος ὁ Θεὸς ἀπὸ τὸν παράδεισον τῆς τρυφῆς διὰ νὰ καλλιεργῇ τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἐλήφθη». Πρόσεξε πάλιν τὴν συγκατάβασιν τοῦ Θεοῦ. Λέγει ἡ Γραφή· «Καὶ εἶπε Κύριος ὁ Θεός· ἰδού, ὁ Ἀδὰμ ἔχει γίνει ὡς ἕνας ἀπὸ ἡμᾶς, ὥστε νὰ γνωρίζῃ τὸ καλὸν καὶ τὸ κακόν». Εἶδες πόσῃ εἶναι ἡ ταπεινοφροσύνη τῶν λέξεων; Αὐτὰ δὲ ὅλα ἂς τὰ ἐννοοῦμεν θεοπρεπῶς. Διότι ἐπιθυμεῖ ἐδῶ νὰ μᾶς ὑπενθυμίσῃ μὲ τὰ λόγια αὐτὰ τὴν ἀπάτην, εἰς τὴν ὁποίαν τοὺς παρέσυρεν ὁ διάβολος διὰ μέσου τοῦ ὄφεως. Ἐπειδὴ λοιπὸν ἔλεγεν ἐκεῖνος, ὅτι «ἐὰν θὰ φάγετε, θὰ εἶσθε ὡς θεοί», ἐτόλμησαν τὴν βρῶσιν μὲ τὴν ἐλπίδα νὰ γίνουν ἴσοι πρὸς τὸν Θεόν· διὰ τοῦτο καὶ ὁ Θεός, ἐπιθυμῶν νὰ τρέψῃ πάλιν τὴν προσοχήν των πρὸς τὰ ἐντὸς καὶ νὰ τοὺς ὁδηγήσῃ νὰ ἀντιληφθοῦν τὰ σφάλματά των καὶ νὰ τοὺς δείξῃ

σμένων, καὶ τῆς παρακοῆς τὸ μέγεθος δεῖξαι, καὶ τῆς ἀπάτης τὴν ὑπερβολήν, φησίν· «Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν». Μεγάλη τοῦ ῥήματος ἡ ἐντροπή, καθικέσθαι δυναμένη τοῦ παραβάντος. Διὰ τοῦτο, φησί, κατεφρόνησας τῆς ἐντολῆς τῆς ἐμῆς ἰσοθεΐαν φαντασθείς; Ἰδοὺ γέγονας ὃ προσεδόκησας· μᾶλλον δὲ οὐχ ὃ προσεδόκησας, ἀλλ' ὅπερ ἧς ἄξιος γενέσθαι. «Ἰδού», φησί, «γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν». Τοῦτο γὰρ ὁ ἀπατεὼν διάβολος αὐτοῖς ἔλεγε διὰ τοῦ ὄφεως, ὅτι «Διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν». Καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα, καὶ ἅψηται τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. Ὅρα μοι ἐνταῦθα φιλανθρωπίαν Δεσπότου. Δεῖ γὰρ μετὰ ἀκριβείας διερευνῆσαι τὸ εἰρημένον, ἵνα μηδὲν ἡμᾶς λαθεῖν δυνηθῇ τῶν ἐν τῷ βάθει τούτῳ κεκρυμμένων. Ἡνίκα τὴν ἐντολὴν ἐδίδου τῷ Ἀδὰμ ὁ Θεός, οὐδενὸς ἑτέρου ἀποσχέσθαι αὐτὸν προσέταξεν, ἢ μόνον τοῦ ξύλου, οὗ τῆς βρώσεως κατατολμήσας τὸ ἐπιτίμιον τοῦ θανάτου ἐδέξατο· ὅπερ ἐντελλόμενος αὐτῷ ὥρισεν, εἰ παραβαίη, περὶ τοῦ τῆς ζωῆς ξύλου οὐδὲν διαστειλάμενος. Ἐπειδὴ γάρ, ὡς ἡγοῦμαι, καὶ ἔστι συνιδεῖν, ἀθάνατον αὐτὸν ἐδημιούργησεν, ἐξῆν αὐτῷ, εἴπερ ἐβούλετο, μετὰ τῶν ἄλλων καὶ ἐκείνου μεταλαμβάνειν, δυναμένου διηνεκῆ τὴν ζωὴν αὐτῷ προξενεῖν· διόπερ οὐδεμίαν ἐντολὴν περὶ ἐκείνου δέχεται.

3. Εἰ δέ τις βούλοιτο περίεργος ὢν ζητεῖν, διὰ τί ξύλον ζωῆς ἐκαλεῖτο, μανθανέτω μὴ πάντα μετὰ ἀκριβείας τοῖς οἰκείοις λογισμοῖς ἀκολουθοῦντα δύνασθαι τὸν ἄνθρωπον καὶ τὰ τοῦ Θεοῦ ἔργα κατοπτεύειν. Ἔδοξε γὰρ τῷ Δεσπότῃ, ἵνα γυμνασίαν ἔχῃ ὑπακοῆς καὶ παρακοῆς ὁ ὑπ' αὐτοῦ δημιουργη-

3. Γεν. 3, 5.

τὸ μέγεθος τῆς παρακοῆς καὶ τὴν ὑπερβολὴν τῆς ἀπάτης, λέγει· «Ἰδού, ἔχει γίνει ὁ Ἀδὰμ ὡς ἕνας ἀπὸ ἡμᾶς». Ἡ ἐντροπὴ τοῦ λόγου εἶναι μεγάλη, ποὺ ἠμπορεῖ νὰ ἐγγίσῃ τὸν παραβάτην. Διὰ τοῦτο, λέγει, ἐπεριφρόνησες τὴν ἐντολήν μου, ἐπειδὴ ἐφαντάσθης τὴν ἰσοθεΐαν; Ἰδού, ἔχεις γίνει ἐκεῖνο ποὺ ἐπροσδοκοῦσες· μᾶλλον δὲ ὄχι ἐκεῖνο ποὺ ἐπροσδοκοῦσες, ἀλλὰ ἐκεῖνο ποὺ ἦσο ἄξιος νὰ γίνῃς. «Ἰδού, λέγει, ἔχει γίνει ὁ Ἀδὰμ ὡς ἕνας ἀπὸ ἡμᾶς, ὥστε νὰ γνωρίζῃ τὸ καλὸν καὶ τὸ κακόν». Τοῦτο βεβαίως ἔλεγεν εἰς αὐτοὺς ὁ ἀπατεὼν διάβολος διὰ μέσου τοῦ ὄφεως, ὅτι «θὰ ἀνοίξουν τὰ μάτια σας καὶ θὰ εἶσθε ὡς θεοί, γνωρίζοντες τὸ καλὸν καὶ τὸ κακόν»[3]. «Καὶ τώρα διὰ νὰ μὴ ἁπλώσῃ κάποτε τὸ χέρι του καὶ λάβῃ ἀπὸ τὸ δένδρον τῆς ζωῆς καὶ φάγῃ, καὶ θὰ ζήσῃ αἰώνια». Πρόσεχε, παρακαλῶ ἐδῶ, τὴν φιλανθρωπίαν τοῦ Κυρίου. Πρέπει λοιπὸν νὰ ἐξετάσωμεν μὲ ἀκρίβειαν τὸ λεχθέν, διὰ νὰ μὴ ἠμπορέσῃ νὰ μᾶς διαφύγῃ τὴν προσοχὴν τίποτε, ἀπὸ ἐκεῖνα ποὺ εἶναι κρυμμένα εἰς τὸ βάθος αὐτό. Ὅταν ὁ Θεὸς ἔδιδε τὴν ἐντολὴν εἰς τὸν Ἀδάμ, δὲν ἐπρόσταξεν αὐτὸν ἀπὸ τίποτε ἄλλο νὰ ἀπέχῃ, παρὰ μόνον ἀπὸ τὸ δένδρον, ἀπὸ τὸ ὁποῖον ἐδέχθη τὴν τιμωρίαν τοῦ θανάτου, ἐπειδὴ ἐτόλμησε τὴν βρῶσιν τοῦ καρποῦ του· πρᾶγμα ποὺ ὥρισεν εἰς αὐτόν, ὅταν ἔδιδε τὴν ἐντολήν, ἐὰν θὰ τὴν παρέβαινε, χωρὶς νὰ διατάξῃ τίποτε διὰ τὸ δένδρον τῆς ζωῆς. Ἐπειδὴ λοιπόν, ὅπως νομίζω καὶ εἶναι δυνατὸν νὰ γνωρίζω, ἐδημιούργησεν αὐτὸν ἀθάνατον, ἐπιτρέπεται εἰς αὐτόν, ἐὰν βέβαια ἤθελε, νὰ λαμβάνῃ καρποὺς μαζὶ μὲ τὰ ἄλλα καὶ ἀπὸ ἐκεῖνο, τὸ ὁποῖον ἠμποροῦσε νὰ παρέχῃ εἰς αὐτὸν ζωὴν αἰωνίαν· διὰ τοῦτο ἀκριβῶς δὲν λαμβάνει καμμίαν ἐντολὴν δι' αὐτό.

3. Ἐὰν δὲ κανένας, ποὺ εἶναι περίεργος, θὰ ἤθελε νὰ μάθῃ, διατί ὠνομάζετο δένδρον τῆς ζωῆς, ἂς μάθῃ ὅτι δὲν ἠμπορεῖ ὁ ἄνθρωπος, ἀκολουθῶν πιστὰ τὴν λογικήν του, νὰ ἐρευνᾷ τὰ πάντα καθὼς καὶ τὰ ἔργα τοῦ Θεοῦ. Διότι ἐφάνη καλὸν εἰς τὸν Κύριον, διὰ νὰ ἔχῃ ὁ δημιουργηθεὶς ἀπὸ αὐτὸν ἄνθρωπος ἄσκησιν τῆς ὑπακοῆς καὶ τῆς παρα-

θεὶς ἄνθρωπος ἐν τῷ παραδείσῳ διάγων, καὶ τὰ δύο ταῦτα ξύλα ἐκεῖ ἀναδεῖξαι, τὸ μὲν τῆς ζωῆς, τὸ δέ, ὡς εἰπεῖν, τοῦ θανάτου. Ἡ γὰρ τούτου βρῶσις καὶ ἡ παράβασις τῆς ἐντολῆς τὸν θάνατον αὐτῷ ἐπήγαγεν. Ἐπεὶ οὖν τούτου μετασχὼν θνητὸς γέγονε, καὶ ταῖς τοῦ σώματος ἀνάγκαις λοιπὸν ὑπεύθυνος, καὶ ἀρχὴν ἔλαβε τῆς ἁμαρτίας ἡ εἴσοδος, δι' ἣν καὶ ὁ θάνατος ὑπὸ τοῦ Δεσπότου συμφερόντως ᾠκοδομήθη, οὐκέτι λοιπὸν ἀφίησιν ἐν τῷ παραδείσῳ τὸν Ἀδάμ, ἀλλ' ἐξελθεῖν ἐκεῖθεν προστάττει, δεικνύς, ὅτι δι' οὐδὲν ἕτερον τοῦτο ποιεῖ, ἢ διὰ τὴν φιλανθρωπίαν τὴν περὶ αὐτόν. Καὶ ἵνα μάθωμεν ἀκριβῶς, ἀναγκαῖον αὐτὰ πάλιν ἀναγνῶναι τὰ ῥήματα τῆς θείας Γραφῆς. «Καὶ νῦν», φησί, «μή ποτε ἐκτείνῃ τὴν χεῖρα, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα». Ἐπειδὴ γάρ, φησί, πολλῆς ἀκρασίας δείγματα παρέσχε διὰ τῆς ἤδη δοθείσης ἐντολῆς, καὶ θνητὸς γέγονεν, ἵνα μὴ πάλιν, φησί, κατατολμήσῃ καὶ τούτου τοῦ ξύλου ἐφάψασθαι τοῦ τὴν ζωὴν παρέχοντος τὴν διηνεκῆ, καὶ μέλλῃ ἀθάνατα ἁμαρτάνειν, βέλτιον αὐτὸν ἐντεῦθεν ἔξω βληθῆναι· ὥστε κηδεμονίας μᾶλλον ἦν ἢ ἀγανακτήσεως ἡ ἐκβολὴ τοῦ παραδείσου. Τοιοῦτος γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος· καὶ τιμωρούμενος οὐκ ἔλαττον ἢ εὐεργετῶν τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐνδείκνυται, καὶ τὴν τιμωρίαν δὲ ἕνεκεν νουθεσίας ἡμῖν ἐπάγει. Ὡς εἴγε ᾔδει ἡμᾶς μὴ χείρους γενομένους τῷ ἀτιμωρητὶ ἁμαρτάνειν, οὐκ ἂν οὐδὲ ἐτιμωρήσατο· ἀλλὰ προαναστέλλων ἡμῶν τὴν ἐπὶ τὸ χεῖρον πρόοδον, καὶ τὴν πονηρίαν ἐκκόπτων τὴν ἐπὶ τὸ πρόσω, τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος τιμωρεῖται· ὃ δὴ καὶ νῦν πεποίηκε. Κηδόμενος γὰρ τοῦ πρωτοπλάστου, ἐκβληθῆναι τοῦ παραδείσου αὐτὸν προσέταξε. «Καὶ ἐξαπέστειλεν αὐτόν, φησί, Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλή-

κοῆς, καθὼς θὰ ἐζοῦσε μέσα εἰς τὸν παράδεισον, νὰ ἀναδείξῃ ἐκεῖ καὶ τὰ δύο αὐτὰ δένδρα, τὸ ἕνα τῆς ζωῆς καὶ τὸ ἄλλο, ὅπως θὰ ἐλέγαμεν, τοῦ θανάτου. Διότι ἡ βρῶσις αὐτοῦ καὶ ἡ παράβασις τῆς ἐντολῆς ἔφερεν εἰς αὐτὸν τὸν θάνατον. Ἐπειδὴ λοιπὸν ἔγινε θνητός, διὰ τῆς συμμετοχῆς του εἰς αὐτό, καὶ ὑπεύθυνος εἰς τὸ ἑξῆς διὰ τὰς ἀνάγκας τοῦ σώματος, καὶ ἤρχισεν ἡ εἴσοδος τῆς ἁμαρτίας, διὰ τὴν ὁποίαν καὶ ὁ θάνατος ἐδόθη ἀπὸ τὸν Κύριον κατὰ τὸ συμφέρον του, δὲν ἀφήνει πλέον τὸν Ἀδὰμ εἰς τὸν παράδεισον, ἀλλὰ προστάζει νὰ φύγῃ ἀπὸ ἐκεῖ, δεικνύων, ὅτι τὸ κάνει αὐτὸ ὄχι διὰ τίποτε ἄλλο, παρὰ διὰ τὴν φιλανθρωπίαν του πρὸς αὐτόν. Καὶ διὰ νὰ μάθωμεν ἀκριβῶς, εἶναι ἀνάγκη νὰ ἀναγνώσωμεν πάλιν τὰ λόγια τῆς Ἁγίας Γραφῆς. «Καὶ τώρα, λέγει, διὰ νὰ μὴ ἁπλώσῃ κάποτε τὸ χέρι του καὶ λάβῃ ἀπὸ τὸ δένδρον τῆς ζωῆς καὶ φάγῃ καὶ θὰ ζήσῃ αἰώνια». Ἐπειδὴ λοιπόν, λέγει, ἔδωσεν ἀποδείξεις μεγάλης ἀκρατείας διὰ τῆς δοθείσης ἤδη ἐντολῆς, καὶ ἔγινε θνητός, διὰ νὰ μὴ τολμήσῃ πάλιν, λέγει, νὰ ἐγγίσῃ καὶ αὐτὸ τὸ δένδρον, ποὺ παρέχει τὴν αἰωνίαν ζωήν, καὶ συμβῇ νὰ διαπράττῃ ἀθανάτους ἁμαρτίας, εἶναι προτιμότερον νὰ ἐκδιωχθῇ αὐτὸς ἀπὸ τὸν παράδεισον. Ὥστε ἡ ἐκδίωξις ἀπὸ τὸν παράδεισον ἦτο δεῖγμα μᾶλλον τῆς φροντίδος του παρὰ τῆς ἀγανακτήσεώς του. Τέτοιος λοιπὸν εἶναι ὁ Κύριός μας· καὶ ὅταν τιμωρῇ δὲν δείχνει τὴν φροντίδα του δι' ἡμᾶς ὀλιγώτερον ἀπὸ ἐκείνην, ὅταν μᾶς εὐεργετῇ· καὶ μᾶς ἐπιβάλλει τὴν τιμωρίαν διὰ νὰ μᾶς νουθετήσῃ. Συνεπῶς, ἐὰν βέβαια ἐγνώριζεν ὅτι ἡμεῖς δὲν θὰ γίνωμεν χειρότεροι μὲ τὸ νὰ ἁμαρτάνωμεν ἀτιμώρητα, δὲν θὰ μᾶς ἐτιμωροῦσεν· ἀλλ' ἐπειδὴ θέλει νὰ σταματήσῃ τὴν πορείαν μας πρὸς τὸ χειρότερον καὶ νὰ ἀνακόψῃ τὴν αὔξησιν τῆς πονηρίας, μᾶς τιμωρεῖ ἐνθυμούμενος τὴν φιλανθρωπίαν του· πρᾶγμα βεβαίως ποὺ καὶ τώρα ἔχει κάνει. Ἐπειδὴ ἐνδιεφέρετο διὰ τὸν πρωτόπλαστον, τὸν ἐπρόσταξε νὰ φύγῃ ἀπὸ τὸν παράδεισον. «Καὶ ἐξεδίωξε, λέγει ἡ Γραφή, Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ ἀπὸ τὸν παράδεισον τῆς τρυφῆς, διὰ νὰ καλλιεργῇ τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἐλήφθη». Πρό-

φθη». Ὅρα μοι πάλιν ἐνταῦθα τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν. «Ἐξαπέστειλεν αὐτόν», φησί, «Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη». Ἰδοὺ τὰς ἀποφάσεις αὐτοῦ εἰς ἔργον ἄγει, καὶ ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐξαγαγὼν ἐργάζεσθαι τὴν γῆν αὐτὸν ποιεῖ, ἐξ ἧς ἐλήφθη. Καὶ οὐχ ἁπλῶς εἶπεν, «Ἐξ ἧς ἐλήφθη»· ἀλλ' ἵνα διηνεκῆ τὴν ὑπόμνησιν ἔχῃ τῆς ταπεινοφροσύνης τὴν ἐργασίαν, καὶ εἰδέναι ἔχῃ ὡς ἐκεῖθεν αὐτῷ ἡ σύστασις, καὶ ἡ οὐσία τοῦ σώματος ἐκ τῆς γῆς ἐξ ἀρχῆς γεγένηται· ἐκείνην, φησίν, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς καὶ αὐτὸς συνέστη. Τοῦτο γὰρ καὶ ἐν τῇ ἀποφάσει ἔλεγεν, «Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου». Τὸ αὐτὸ τοίνυν καὶ νῦν λέγει διὰ τοῦ εἰπεῖν, «Ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη». Εἶτα, ἵνα μάθωμεν πόσῳ διαστήματι αὐτὸν ἀπῴκισε τοῦ παραδείσου, καὶ τοῦτο διδάσκει ἡμᾶς ἡ θεία Γραφὴ λέγουσα· «Καὶ ἐξέβαλε Κύριος ὁ Θεὸς τὸν Ἀδάμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς». Σκόπει πῶς ἕκαστον τῶν γινομένων ὑπὸ τοῦ κοινοῦ Δεσπότου φιλανθρωπίας ὑπόθεσις ἦν, καὶ ἕκαστον τιμωρίας εἶδος ἀγαθότητος γέμει πολλῆς. Οὐ γὰρ τὸ ἐκβαλεῖν μόνον φιλανθρωπίας καὶ ἀγαθότητος ἦν· ἀλλὰ καὶ τὸ ἀπέναντι τοῦ παραδείσου ἐγκατοικίσαι αὐτόν, ἵνα ἀδιάλειπτον ὀδύνην ἔχῃ, καθ' ἑκάστην ἡμέραν ἀναλογιζόμενος, οἵων ἐκπεπτωκὼς εἰς οἵαν ἑαυτὸν κατάστασιν ἤγαγεν. Ἀλλ' ὅμως εἰ καὶ ὀδύνην ἀφόρητον ἡ θέα εἶχεν, ἀλλ' οὐ μικρᾶς ὠφελείας ὑπόθεσίς ἐστι, καὶ πρὸς τὸ ἑξῆς ἀσφάλεια τῷ δυναμένῳ ἡ συνεχὴς θέα ἐγίνετο, πρὸς τιμὴ τοῖς αὐτοῖς πάλιν αὐτὸν περιπεσεῖν. Καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τῆς ἀνθρωπίνης φύσεως τοιοῦτον τὸ ἔθος· ἐπειδὰν γὰρ ἐν ἀπολαύσει τῶν ἀγαθῶν ὄντες μὴ εἰδῶμεν αὐτοῖς κεχρῆσθαι δεόντως, τῇ στε-

4. Γεν. 3, 19.

σεξε, παρακαλῶ, πάλιν ἐδῶ τὴν ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς. «Ἐξεδίωξε, λέγει, Κύριος ὁ Θεὸς αὐτὸν ἀπὸ τὸν παράδεισον τῆς τρυφῆς διὰ νὰ καλλιεργῇ τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἐλήφθη». Ἰδού, πραγματοποιεῖ τὰς ἀποφάσεις του καὶ ἀφοῦ τὸν ἐξεδίωξεν ἀπὸ τὸν παράδεισον τῆς τρυφῆς, τὸν ἔκαμε νὰ καλλιεργῇ τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἐλήφθη. Καὶ δὲν εἶπεν ἁπλῶς, «Ἀπὸ τὴν ὁποίαν ἐλήφθη», ἀλλὰ διὰ νὰ ἔχῃ τὴν ἐργασίαν διαρκῆ ὑπόμνησιν τῆς ταπεινοφροσύνης καὶ νὰ ἠμπορῇ νὰ γνωρίζῃ ὅτι ἡ κατασκευή του προέρχεται ἀπὸ ἐκεῖ καὶ ὅτι ἡ οὐσία τοῦ σώματος εἶχε γίνει ἀπὸ τὴν ἀρχὴν ἐκ τῆς γῆς· ἐκείνην, λέγει, νὰ καλλιεργῇς, τὴν γῆν, ἀπὸ τὴν ὁποίαν καὶ σὺ ἐπλάσθης. Τοῦτο βέβαια καὶ εἰς τὴν ἀπόφασίν του ἔλεγε, «Μὲ τὸν ἱδρῶτα τοῦ προσώπου σου θὰ κερδίζῃς τὸν ἄρτον σου»[4]. Τὸ αὐτὸ λοιπὸν καὶ τώρα ἐννοεῖ μὲ τὰ λόγια, «Νὰ καλλιεργῇ τὴν γῆν, ἀπὸ τὴν ὁποίαν ἐλήφθη». Εἰς τὴν συνέχειαν, διὰ νὰ μάθωμεν πόσον ἀπεμάκρυνεν αὐτὸν ἀπὸ τὸν παράδεισον, καὶ αὐτὸ μᾶς τὸ διδάσκει ἡ Ἁγία Γραφὴ καθὼς λέγει· «Καὶ ἐξεδίωξε Κύριος ὁ Θεὸς τὸν Ἀδάμ, καὶ ἐτοποθέτησεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς». Πρόσεξε, πῶς ὅ,τιδήποτε ἔκαμεν ὁ Κύριος ὅλων μας, ἦτο ὑπόθεσις φιλανθρωπίας, καὶ κάθε εἶδος τιμωρίας ἦτο γεμᾶτον ἀπὸ πολλὴν ἀγαθότητα. Διότι δὲν ἦτο μόνον ἡ ἐκδίωξις δεῖγμα φιλανθρωπίας καὶ ἀγαθότητος· ἀλλὰ καὶ τὸ ὅτι ἐτοποθέτησεν αὐτὸν νὰ κατοικήσῃ ἀπέναντι τοῦ παραδείσου, διὰ νὰ αἰσθάνεται συνεχῶς θλῖψιν, ἀναλογιζόμενος κάθε ἡμέραν ἀπὸ ποῖα ἀγαθὰ ἀφοῦ ἔχει ἐκπέσει, εἰς ποίαν κατάστασιν ὡδήγησε τὸν ἑαυτόν του. Ἀλλ' ὅμως, ἂν καὶ ἡ θέα τοῦ παραδείσου ἐπροξενοῦσεν ἀνυπόφορον θλῖψιν, ἦτο ὑπόθεσις μεγάλης ὠφελείας· καὶ εἰς τὸ μέλλον ἡ συνεχὴς θέα ἐγίνετο ἀσφάλεια εἰς τὸν θλιβόμενον, διὰ νὰ μὴ περιπέσῃ πάλιν αὐτὸς εἰς τὰ ἴδια σφάλματα. Διότι πράγματι, τέτοια εἶναι συχνότατα ἡ συνήθεια τῆς ἀνθρωπίνης φύσεως· ἀφοῦ δὲν γνωρίζωμεν νὰ χρησιμοποιοῦμεν τὰ ἀγαθὰ ὅπως πρέπει, ὅταν ἀπολαμβάνωμεν αὐτά, μὲ τὴν στέρησίν των σωφρονιζόμεθα· καὶ τότε, ἀφοῦ μάθωμεν μὲ τὴν πεῖραν, ἀντιλαμβανόμε-

ρήσει τούτων σωφρονιζόμεθα, καὶ τότε διὰ τῆς πείρας μαθόντες αἴσθησιν λαμβάνομεν τῆς οἰκείας ῥαθυμίας, καὶ οὕτω διὰ τῆς τῶν πραγμάτων μεταβολῆς διδασκόμεθα τίνων μὲν ἐξεπέσαμεν, τίσι δὲ κακοῖς ἑαυτοὺς περιεπείραμεν. Ὥστε καὶ τὸ πλησίον καὶ ἀπέναντι τοῦ παραδείσου προστάξαι κατοικεῖν τὸν ἐκεῖθεν ἐκπεπτωκότα μεγίστης κηδεμονίας σημεῖον ἦν, ἵνα καὶ τὴν ἐκ τῆς θέας ὑπόμνησιν ἔχῃ, καὶ τοῦ ἐντεῦθεν κέρδους ἀπολαυῃ, καὶ μηδὲ ἐπιθυμίαν τῆς φιλοζωΐας ἔχων, καὶ ἔξω τυγχάνων, κατατολμήσῃ τῆς τοῦ ξύλου βρώσεως. Ὡς γὰρ πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν συγκαταβαίνουσα ἅπαντα διαλέγεται ἡμῖν ἡ θεία Γραφή. «Καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν εἴσοδον τοῦ ξύλου τῆς ζωῆς». Ἡ ῥαθυμία αὐτοῖς, ἣν ἤδη περὶ τὴν δοθεῖσαν ἐντολὴν ἐπεδείξατο, αἴτιον γέγονε τοῦ μετὰ τοσαύτης ἀσφαλείας ἀποτειχισθῆναι αὐτοῖς τὴν εἴσοδον. Ἐννόησον γάρ μοι ὅτι οὐδὲ τῇ ἀπέναντι τοῦ παραδείσου οἰκήσει ἠρκέσθη ὁ φιλάνθρωπος, ἀλλ' ἔταξε τὰς δυνάμεις ταύτας τὰ Χερουβίμ, καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τὴν ἐκεῖσε εἰσάγουσαν. Οὐχ ἁπλῶς δὲ προσέθηκε, «Τὴν στρεφομένην», ἀλλ' ἵνα διδάξῃ ἡμᾶς, ὅτι πᾶσα ὁδὸς αὐτῷ ἀποτετείχιστο, τῆς ῥομφαίας ἐκείνης διὰ τοῦ στρέφεσθαι πάσας τὰς ἐκεῖ φερούσας ὁδοὺς ἀποφραττούσης, καὶ διηνεκῆ τὸν φόβον αὐτῷ καὶ τὴν ὑπόμνησιν παρέχειν δυναμένης.

4. «Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ. Σκόπει πότε τοῦτο ἐγένετο. Μετὰ τὴν παρακοήν, μετὰ τὴν ἔκπτωσιν τὴν ἐκ τοῦ παραδείσου, τότε τὰ τῆς συνουσίας ἀρχὴν λαμβάνει. Πρὸ γὰρ τῆς παρακοῆς ἀγγελικὸν ἐμιμοῦντο βίον, καὶ οὐδαμοῦ συνουσίας λόγος. Πῶς γάρ, ὁπότε οὐδὲ ταῖς τῶν σωμάτων ἀνάγκαις ὑπέκειντο; Ὥστε ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων

θα τὴν ἀδιαφορίαν μας, καὶ ἔτσι μὲ τὴν μεταβολὴν τῶν πραγμάτων διδασκόμεθα ἀφ' ἑνὸς μὲν ἀπὸ ποῖα ἀγαθὰ ἐξεπέσαμεν, ἀφ' ἑτέρου δὲ μὲ ποίας συμφορὰς περιεβάλαμεν τοὺς ἑαυτούς μας. Συνεπῶς καὶ τὸ ὅτι ἐπρόσταξε νὰ διαμένῃ πλησίον καὶ ἀπέναντι τοῦ παραδείσου ἐκεῖνος, ποὺ εἶχεν ἐκπέσει ἀπ' αὐτόν, ἦτο δεῖγμα πολὺ μεγάλης φροντίδος, διὰ νὰ ἔχῃ καὶ τὴν ὑπενθύμισιν ἀπὸ τὴν θέαν καὶ νὰ ἀπολαμβάνῃ τὴν ὠφέλειαν ἀπ' αὐτό, καὶ νὰ μὴ τολμήσῃ πλέον νὰ φάγῃ ἀπὸ τὸ δένδρον, ἂν καὶ εἶχε τὴν ἐπιθυμίαν τῆς φιλοζωίας καὶ εὑρίσκετο ἔξω ἀπὸ τὸν παράδεισον. Ἐπειδὴ βεβαίως ἡ Ἁγία Γραφὴ συγκαταβαίνει πρὸς τὴν ἀδυναμίαν τοῦ ἀνθρώπου μᾶς διηγεῖται ὅλα αὐτά. «Καὶ ἐτοποθέτησε τὰ Χερουβὶμ μὲ τὴν περιστρεφομένην πυρώην ρομφαίαν νὰ φυλάττουν τὴν ὁδὸν πρὸς τὸ δένδρον τῆς ζωῆς». Ἡ ἀδιαφορία, τὴν ὁποίαν ἔδειξαν πρὸς τὴν δοθεῖσαν ἐντολήν, ἔγινεν εἰς αὐτοὺς ἡ αἰτία νὰ ἀποκλεισθῇ μὲ τόσην ἀσφάλειαν ἡ εἴσοδος. Κατανόησε, παρακαλῶ, ὅτι ὁ φιλάνθρωπος δὲν ἠρκέσθη οὔτε εἰς τὴν κατοίκησιν τῶν πρωτοπλάστων ἀπέναντι τοῦ παραδείσου, ἀλλὰ ἐτοποθέτησε τὰς δυνάμεις αὐτὰς τῶν Χερουβὶμ μὲ τὴν περιστρεφομένην πυρίνην ρομφαίαν νὰ φυλάσσουν τὸν δρόμον, ποὺ ὁδηγεῖ πρὸς τὰ ἐκεῖ. Δὲν ἐπρόσθεσε δὲ τυχαῖα, «Τὴν περιστρεφομένην», ἀλλὰ διὰ νὰ μᾶς διδάξῃ, ὅτι εἶχαν ἀποκλεισθῆ δι' αὐτὸν ὅλοι οἱ δρόμοι, διότι ἡ ρομφαία ἐκείνη ἐξ αἰτίας τῆς περιστροφῆς της ἔφρασσεν ὅλους τοὺς δρόμους ποὺ ὡδηγοῦσαν πρὸς τὰ ἐκεῖ καὶ ἠμποροῦσε νὰ παρέχῃ εἰς αὐτὸν διαρκῶς τὸν φόβον καὶ τὴν ὑπενθύμισιν.

4. «Ὁ Ἀδὰμ δὲ συνευρέθη μὲ τὴν γυναῖκα του τὴν Εὔαν». Παρατήρησε πότε ἔγινε τοῦτο. Μετὰ τὴν παρακοήν, μετὰ τὴν ἀπομάκρυνσιν ἀπὸ τὸν παράδεισον, τότε ἀρχίζει ἡ σαρκικὴ μεῖξις τῶν πρωτοπλάστων. Διότι πρὶν ἀπὸ τὴν παρακοὴν ἔζοῦσαν ἀγγελικὴν ζωὴν καὶ πουθενὰ δὲν ἐγίνετο λόγος διὰ τὴν συνουσίαν. Διότι πῶς ἦτο δυνατὸν νὰ συμβῇ, ὅταν δὲν ὑπέκειντο οὔτε εἰς τὰς σωματικὰς ἀνάγκας; Ὥστε εἰς τὴν ἀρχὴν ἐκυριαρχοῦσεν ὁ παρθενι-

τὰ τῆς παρθενίας ἀρχὴν ἐλάμβανεν· ἀλλ' ἐπειδὴ ἐπεισῆλθε διὰ ῥαθυμίαν ἡ παρακοή, καὶ εἴσοδον ἔσχε τὰ τῆς ἁμαρτίας, ἐκείνη μὲν ἀπέπτη, ἅτε δὴ ἀναξίων αὐτῶν γενομένων τοῦ τοσούτου μεγέθους τῶν ἀγαθῶν· ἐπεισῆλθε δὲ λοιπὸν ὁ τῆς συνουσίας νόμος. Ἐννόησόν μοι τοίνυν, ἀγαπητέ, ὅσον τῆς παρθενίας τὸ ἀξίωμα, ὅπως ὑψηλόν τί ἐστι καὶ μέγα χρῆμα, καὶ ὑπεραναβαῖνον τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ τῆς ἄνωθεν δεόμενον χειρός. Ὅτι γὰρ ἐν σώματι τὰ τῶν ἀσωμάτων ἐπιδείκνυνται δυνάμεων οἱ τὴν παρθενίαν προθύμως ἑλόμενοι. ἄκουε τοῦ Χριστοῦ λέγοντος τοῖς Σαδδουκαίοις· ἐπειδὴ γὰρ τὸν περὶ τῆς ἀναστάσεως κινοῦντες λόγον πυνθάνεσθαι ἐβούλοντο λέγοντες· «Διδάσκαλε, ἦσαν παρ' ὑμῖν ἑπτὰ ἀδελφοί, καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε, μὴ ἔχων τέκνα, καὶ ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· καὶ ὁ δεύτερος ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· ὁμοίως καὶ ὁ τρίτος, καὶ ὁ τέταρτος, καὶ ὁ πέμπτος, καὶ ὁ ἕκτος, καὶ ὁ ἕβδομος. Ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται γυνή; Πάντες γὰρ ἔσχον αὐτήν». Τί οὖν ὁ Χριστὸς πρὸς αὐτούς; «Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφάς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ· ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι». Εἶδες πῶς ἐν γῇ βαδίζοντες, καὶ σώματι συμπεπλεγμένοι τὴν ἀγγελικὴν μιμοῦνται διαγωγὴν οἱ τὸν τῆς παρθένου κλῆρον ἀναδεξάμενοι διὰ τὸν τοῦ Χριστοῦ πόθον; Ὅσῳ γὰρ μέγα καὶ ὑψηλὸν τὸ πρᾶγμα, τοσούτῳ, μᾶλλον δὲ καὶ πολλῷ μείζους οἱ στέφανοι καὶ αἱ ἀντιδόσεις, καὶ τὰ ἐπηγγελμένα ἀγαθὰ τοῖς μετ' αὐτῆς καὶ τὴν τῶν ἀγαθῶν πράξεων ἐργασίαν ἐπιδειξαμένοις. «Ἀδὰμ δέ», φησίν, «ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν». Ἐπειδὴ ἐπῆλθεν ἡ ἁμαρτία

5. Σαδδουκαῖοι· ἱερατικὴ ἀριστοκρατία τοῦ ἰουδαϊσμοῦ. Ἀπέρριπταν τὴν παράδοσιν, δὲν ἐπίστευαν εἰς τὴν ἀνάστασιν τῶν νεκρῶν, ἠρνοῦντο τὴν ὕπαρξιν ἀγγέλων καὶ γενικῶς τῶν πνευμάτων καὶ δὲν συνεμερίζοντο τὰς προσδοκίας τῶν ὑπολοίπων Ἰουδαίων περὶ ἐλεύσεως Μεσαίου ἐλευθερωτοῦ. Εἰς τὴν Κ.Δ. ἀναφέρονται πειράζοντες τὸν Ἰησοῦν ἢ ζητοῦντες σημεῖον ἐξ οὐρανοῦ ἢ διώκοντες τοὺς μαθητὰς τοῦ Ἰησοῦ.

6. Ματθ. 22, 24 - 30.

7. Δηλ. τὴν παρθενίαν.

κός βίος· όταν όμως έξ αιτίας της άδιαφορίας εισήλθεν ή παρακοή, καί ήρχισεν ή άμαρτία, εκείνος μέν ό βίος άπεμακρύνθη, επειδή αυτοί έγιναν ανάξιοι διά τά τόσον μεγάλα αγαθά· εισήλθε λοιπόν εις τό έξής ό νόμος τής συνουσίας. Κατανόησε λοιπόν, αγαπητέ, πόσον μέγα είναι τό άξίωμα τής παρθενίας, καθώς είναι ένας πολύτιμος καί μεγάλος θησαυρός, ό όποιος υπερβαίνει τήν άνθρωπίνην φύσιν καί έχει άνάγκην άπό τήν βοήθειαν τού Θεού. Ότι βεβαίως κατορθώνουν διά τού σώματος τά τών άσωμάτων δυνάμεων εκείνοι, πού εκλέγουν πρόθυμα τήν παρθενίαν, άκουε τόν Χριστόν πού λέγει εις τούς Σαδδουκαίους[5], όταν, προκαλούντες τόν λόγον περί τής άναστάσεως, ήθελαν νά πληροφορηθούν ερωτώντες· «Διδάσκαλε, ήσαν μεταξύ μας επτά άδελφοί, καί ό πρώτος άφού ένυμφεύθη άπέθανε καί επειδή δέν είχε παιδιά, άφησε τήν γυναίκα του εις τόν άδελφόν του· καί ό δεύτερος άπέθανε, καί επειδή δέν είχε παιδί, άφησε τήν γυναίκα του εις τόν άδελφόν του· κατά τόν ίδιον τρόπον καί ό τρίτος, καί ό τέταρτος, καί ό πέμπτος, καί ό έκτος, καί ό έβδομος ένυμφεύθησαν τήν αυτήν γυναίκα καί άπέθαναν. Κατά τήν άνάστασιν λοιπόν, ποίου άπό τούς επτά θά είναι γυναίκα; Διότι όλοι είχαν αυτήν». Τί λοιπόν άπαντά πρός αυτούς ό Χριστός; «Πλανάσθε, καί δέν γνωρίζετε τάς Γραφάς, ούτε τήν δύναμιν τού Θεού· διότι εις τήν άνάστασιν ούτε οί άνδρες νυμφεύονται, ούτε αί γυναίκες υπανδρεύονται, άλλά είναι σάν άγγελοι»[6]. Είδες πώς, ενώ βαδίζουν εις τήν γήν καί έχουν υλικόν σώμα, μιμούνται τήν ζωήν τών άγγέλων εκείνοι, πού άπεδέχθησαν τόν κλήρον τής παρθενίας έξ αιτίας τού πόθου των πρός τόν Χριστόν; Διότι όσον μέγα καί υψηλόν είναι τό πράγμα, τόσον καί ακόμη κατά πολύ μεγαλύτεροι είναι οί στέφανοι καί τά βραβεία καί τά άγαθά, τά όποια έχει υποσχεθή εις εκείνους πού επέδειξαν μαζί μέ αυτήν[7] καί τήν εκτέλεσιν τών άγαθών πράξεων. «Ό Άδάμ δέ, λέγει ή Γραφή, συνευρέθη μέ τήν γυναίκα του τήν Εύαν, καί άφού συνέλαβεν αυτή εγέννησε τόν Κάιν». Επειδή μέ τήν πα-

διὰ τῆς παρακοῆς, καὶ ἡ ἀπόφασις θνητοὺς αὐτοὺς εἰργάσατο, λοιπὸν ὁ εὐμήχανος Θεὸς κατὰ τὴν ἑαυτοῦ σοφίαν τὴν διαμονὴν τοῦ τῶν ἀνθρώπων γένους οἰκοδομῶν, συνεχώρησε διὰ τῆς συνουσίας αὐξηθῆναι τὸ γένος. «Καὶ εἶπεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ». Ὅρα πῶς τὸ γενόμενον ἐπιτίμιον σωφρονεστέραν εἰργάσατο τὴν γυναῖκα. Τὸ γὰρ τεχθὲν παιδίον οὐ τῇ φύσει, ἀλλὰ τῷ Θεῷ λογίζεται, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται. Εἶδες πῶς ἡ τιμωρία νουθεσίας ὑπόθεσις αὐτοῖς γέγονεν; «Ἐκτησάμην γάρ», φησίν, «ἄνθρωπον διὰ τοῦ Θεοῦ». Οὐχ ἡ φύσις, φησί, τὸ παιδίον μοι ἐχαρίσατο, ἀλλ' ἡ ἄνωθεν χάρις δεδώρηται. «Καὶ προσέθετο τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ». Ἐπειδὴ εὐγνώμων γέγονεν ἐπὶ τῷ τεχθέντι, καὶ ἐπέγνω τὴν προτέραν εὐεργεσίαν, ἐπέτυχε καὶ τῆς δευτέρας. Τοιοῦτος γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἐπὶ τοῖς προλαβοῦσι τὴν ἑαυτῶν εὐγνωμοσύνην ἐπιδειξώμεθα, καὶ τὸν εὐεργέτην ἐπιγνῶμεν, ἐπιδαψιλεύεται τὰς ἑαυτοῦ δωρεάς. Καὶ αὕτη τοίνυν ἐπειδὴ τῷ Θεῷ τὸν τόκον ἐλογίσατο, διὰ τοῦτο καὶ ἕτερον λαμβάνει παιδίον. Μεγίστη γὰρ ἦν λοιπὸν παραμυθία τῆς θνητότητος ἐπεισελθούσης ἡ τῶν παίδων διαδοχή. Διά τοι τοῦτο καὶ ὁ φιλάνθρωπος Θεός, εὐθέως καὶ ἐξ ἀρχῆς τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως ὑποτεμνόμενος, καὶ τοῦ θανάτου τὸ φοβερὸν προσωπεῖον περιαιρῶν, τὴν τῶν παίδων διαδοχὴν ἐχαρίσατο, ὡς ἂν εἴποι τις, εἰκόνα ἀναστάσεως ἐντεῦθεν ὑποφαίνων, καὶ ἀντὶ τῶν πιπτόντων ἑτέρους ἀνίστασθαι οἰκονομῶν. Καὶ ἐγένετο», φησίν, «Ἄβελ ποιμὴν προβάτων· Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν». Ἐδίδαξεν ἡμᾶς ἡ θεία Γραφὴ ἑκάστου τῶν τεχθέντων τὰ ἐπιτηδεύματα, καὶ ὅτι ὁ μὲν τὴν πνευματικὴν εἵλετο, ὁ δὲ τὴν γῆν εἰργάζετο. «Καὶ ἐγένετο μεθ' ἡμέρας, ἤνεγκε Κάϊν,

ρακοὴν εἰσέβαλεν ἡ ἁμαρτία καὶ ἡ ἀπόφασις τοῦ Θεοῦ ἔκαμεν αὐτοὺς θνητούς, εἰς τὸ ἑξῆς ὁ πάνσοφος Θεὸς ἐπέτρεψε μὲ τὴν συνουσίαν νὰ αὐξηθῇ τὸ ἀνθρώπινον γένος, οἰκονομῶν διὰ τῆς σοφίας του τὴν διατήρησιν τοῦ γένους τῶν ἀνθρώπων. «Καὶ εἶπεν, ἀπέκτησα ἄνθρωπον μὲ τὴν δύναμιν τοῦ Θεοῦ». Πρόσεχε πῶς ἡ τιμωρία ποὺ ἐπεβλήθη, ἔκαμε περισσότερον συνετὴν τὴν γυναῖκα. Διότι δὲν καταλογίζει τὴν γέννησιν τοῦ παιδιοῦ εἰς τὴν φύσιν, ἀλλὰ εἰς τὸν Θεόν, καὶ ἐπιδεικνύει τὴν εὐγνωμοσύνην της. Εἶδες πῶς ἡ τιμωρία ἔγινεν εἰς αὐτοὺς πρόσχημα νουθεσίας; Διότι λέγει, «ἀπέκτησα ἄνθρωπον μὲ τὴν δύναμιν τοῦ Θεοῦ». Δὲν μοῦ ἐχάρισεν, λέγει, ἡ φύσις τὸ παιδί, ἀλλὰ μοῦ τὸ ἔχει δωρήσει ἡ χάρις τοῦ Θεοῦ. «Καὶ ἀργότερα ἐγέννησε τὸν ἀδελφόν του τὸν "Αβελ». Ἐπειδὴ εἶχε γίνει εὐγνώμων διὰ τὸ παιδὶ ποὺ ἐγεννήθη καὶ ἀνεγνώρισε τὴν προηγουμένην εὐεργεσίαν, ἐπέτυχε καὶ τὴν δευτέραν. Διότι τέτοιος εἶναι ὁ Κύριος μας· ὅταν θὰ δείξωμεν τὴν εὐγνωμοσύνην μας διὰ τὰ προηγούμενα ἀγαθὰ καὶ ἀναγνωρίσωμεν τὸν εὐεργέτην, παρέχει ἄφθονα τὰς εὐεργεσίας του. Καὶ αὐτή λοιπόν, ἐπειδὴ κατελόγισε τὴν γέννησιν τοῦ παιδιοῦ εἰς τὸν Θεόν, δι' αὐτὸ λαμβάνει καὶ ἄλλο παιδί. Εἶναι λοιπὸν πάρα πολὺ μεγάλη παρηγορία διὰ τὴν ἐπελθοῦσαν θνητότητα τῶν ἀνθρώπων ἡ διαδοχὴ τῶν παιδιῶν. Διὰ τοῦτο βέβαια καὶ ὁ φιλάνθρωπος Θεός, ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴν ἐχάρισε τὴν διαδοχὴν τῶν παιδιῶν, καταπραΰνων τὴν σκληρότητα τῆς τιμωρίας καὶ ἀφαιρῶν τὸ φοβερὸν προσωπεῖον τοῦ θανάτου, καὶ ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, φανερώνων κάπως ἀπ' αὐτὸ εἰκόνα ἀναστάσεως καὶ διευθετῶν ἔτσι τὰ πράγματα, ὥστε εἰς τὴν θέσιν τῶν ἀποθνῃσκόντων νὰ ἀνίστανται ἄλλοι. «Καὶ ἔγινε, λέγει ἡ Γραφή, ὁ "Αβελ βοσκὸς προβάτων· ὁ Κάϊν δὲ ἐκαλλιεργοῦσε τὴν γῆν». Ἡ Ἁγία Γραφὴ μᾶς ἐδίδαξε τὸ ἐπάγγελμα τοῦ καθενὸς ἀπὸ τοὺς γεννηθέντας, καὶ ὅτι ὁ μὲν ἕνας ἐξέλεξε τὸ ἔργον τοῦ βοσκοῦ, ὁ δὲ ἄλλος ἐκαλλιεργοῦσε τὴν γῆν. «Μὲ τὴν πάροδον δὲ τοῦ χρόνου ὁ Κάϊν

ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ». Σκόπει πῶς τῷ συνειδότι τὴν γνῶσιν ἐναπέθετο τῆς φύσεως ὁ δημιουργός. Τίς γάρ, εἰπέ μοι τοῦτον ὡδήγησε πρὸς τὴν τοιαύτην ἔννοιαν; Οὐδεὶς ἕτερος, ἀλλ' ἡ ἐν τῷ συνειδότι γνῶσις. «Ἤνεγκε», φησίν, «ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ». Ἤδει γὰρ καὶ ἠπίστατο ὅτι προσήκει καθάπερ Δεσπότῃ ἐκ τῶν οἰκείων κτημάτων προσάγειν τι τῶν γενῶν· οὐκ ἐπειδὴ ὁ Θεὸς τούτων δεῖται, ἀλλ' ἵνα τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξηται αὐτὸς τῆς τοιαύτης εὐεργεσίας ἀπολαύων. Ἀνενδεὴς γὰρ ὁ Θεὸς καὶ οὐδενὸς χρήζει τῶν παρ' ἡμῖν· διὰ δὲ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν συγκαταβαίνων ἡμῖν, διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν ἀνέχεται ταῦτα γενέσθαι, ἵνα διδασκαλεῖον ἀρετῆς εἴη τῇ τῶν ἀνθρώπων φύσει ἡ ἐπίγνωσις τοῦ Δεσπότου. «Καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ». Οὐχ ἁπλῶς οὐδὲ εἰκῇ προοιμιαζόμενος ἐν ἀρχῇ τοῦ λόγου ἐδίδασκον ὑμῶν τὴν ἀγάπην, ὅτι διαφορὰν προσώπων οὐκ οἶδεν ὁ Δεσπότης ὁ ἡμέτερος, ἀλλὰ ἐκ προαιρέσεως ἐξετάζων τὴν γνώμην στεφανοῖ. Ἰδοὺ γοῦν καὶ νῦν τοῦτο σκόπει γεγενημένον. Προσέχωμεν τοίνυν μετὰ ἀκριβείας, ἀγαπητοί, τῷ εἰρημένῳ, καὶ ἴδωμεν τί μὲν περὶ τοῦ Κάϊν διηγεῖται ἡ Γραφή, τί δὲ περὶ τοῦ Ἄβελ, καὶ μὴ ἁπλῶς παραδράμωμεν. Οὐδὲν γὰρ ἁπλῶς καὶ ὡς ἔτυχεν φθέγγεται ἡ θεία Γραφή, ἀλλὰ κἂν συλλαβὴ τυγχάνῃ, κἂν κεραία μία, ἔχει τινὰ ἐγκεκρυμμένον θησαυρόν· τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά. Τί οὖν φησι; «Καὶ ἐγένετο μεθ' ἡμέρας, ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ, καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν».

5. Τοῖς ὀξύτερον ἐπιβάλλειν δυναμένοις ἤδη καὶ ἐκ τῆς ἀναγνώσεως δῆλόν ἐστι τὸ εἰρημένον. Ἀλλ' ἐπειδὴ προσήκει

ἐπρόσφερεν ἀπὸ τὰ προϊόντα τῆς γῆς θυσίαν εἰς τὸν Κύριον». Ἐξέτασε πῶς ἐτοποθέτησεν ὁ δημιουργὸς εἰς τὴν συνείδησιν τοῦ ἀνθρώπου τὴν γνῶσιν τῆς φύσεως. Διότι ποῖος, εἰπέ μου, ὡδήγησεν αὐτὸν εἰς μίαν τέτοιαν σκέψιν; Κανεὶς ἄλλος, παρὰ ἡ γνῶσις, ποὺ ὑπῆρχεν εἰς τὴν συνείδησιν. «Ἐπρόσφερε, λέγει, ἀπὸ τὰ προϊόντα τῆς γῆς θυσίαν εἰς τὸν Κύριον». Διότι ἐγνώριζε καὶ μάλιστα ἐγνώριζε καλῶς, ὅτι πρέπει νὰ προσφέρῃ κάτι ἀπὸ τὰ προϊόντα τῶν ἰδικῶν του κτημάτων, ὅπως ἀκριβῶς εἰς Κύριον· ὄχι ἐπειδὴ ὁ Θεὸς ἔχει ἀνάγκην ἀπὸ αὐτά, ἀλλὰ διὰ νὰ ἀποδείξῃ τὴν εὐγνωμοσύνην του αὐτός, ποὺ ἀπολαμβάνει τέτοιαν εὐεργεσίαν. Διότι ὁ Θεὸς εἶναι ἀνενδεὴς καὶ δὲν χρειάζεται τίποτε ἀπὸ τὰ ἰδικά μας· ἐξ αἰτίας ὅμως τῆς ἀπείρου φιλανθρωπίας του συγκαταβαίνων πρὸς ἡμᾶς, ἀνέχεται νὰ γίνωνται αὐτὰ διὰ τὴν ἰδικήν μας σωτηρίαν, διὰ νὰ εἶναι ἡ ἀναγνώρισις τῆς κυριαρχίας τοῦ Θεοῦ σχολεῖον ἀρετῆς εἰς τὴν φύσιν τῶν ἀνθρώπων. «Καὶ ὁ Ἄβελ ἐπρόσφερε καὶ αὐτὸς ἀπὸ τὸ πρωτότοκα τοῦ ποιμνίου του». Δὲν ἐδίδασκα τὴν ἀγάπην σας ἁπλᾶ καὶ τυχαῖα εἰς τὴν ἀρχὴν τοῦ λόγου μου, ὅτι ὁ Κύριός μας δὲν γνωρίζει διακρίσεις εἰς τὰ πρόσωπα, ἀλλὰ βραβεύει τὴν διάθεσιν ἐξετάζων τὴν προαίρεσίν των. Ἰδοὺ λοιπόν, παρατήρησε καὶ τώρα νὰ γίνεται αὐτό. Ἂς προσέξωμεν λοιπόν, ἀγαπητοί, μὲ ἀκρίβειαν εἰς αὐτὸ ποὺ ἔχει λεχθῇ, καὶ ἂς ἰδοῦμεν τί διηγεῖται ἡ Γραφὴ ἀφ' ἑνὸς μὲν περὶ τοῦ Κάιν καὶ ἀφ' ἑτέρου δὲ περὶ τοῦ Ἄβελ, καὶ ἂς μὴ τὸ προσπεράσωμεν ἁπλῶς. Διότι τίποτε δὲν λέγει ἡ Ἁγία Γραφὴ ἁπλᾶ καὶ τυχαῖα, ἀλλὰ καὶ ἂν ἀκόμη εἶναι μία συλλαβὴ ἢ ἕνα κόμμα, ἔχει μέσα του κρυμμένον κάποιον θησαυρόν· βεβαίως τέτοια εἶναι ὅλα τὰ πνευματικά. Τί λοιπὸν λέγει; «Καὶ ὕστερα ἀπὸ ἡμέρας, ἐπρόσφερεν ὁ Κάιν ἀπὸ τὰ προϊόντα τῆς γῆς θυσίαν εἰς τὸν Κύριον, καὶ ὁ Ἄβελ ἐπρόσφερε καὶ αὐτὸς ἀπὸ τὰ πρωτότοκα τοῦ ποιμνίου του καὶ ἀπὸ τὰ παχέα μέρη αὐτῶν».

5. Εἰς ἐκείνους ποὺ ἠμποροῦν νὰ ἀντιλαμβάνωνται γρηγορότερα, ἤδη καὶ ἀπὸ τὴν ἀνάγνωσιν εἶναι φανερὸν

ἡμᾶς πάντων κοινῶς ποιεῖσθαι τὴν πρόνοιαν (οὐ γὰρ οἶδε διαφορὰν ἡ πνευματικὴ διδασκαλία), φέρε σαφέστερον ὑμῖν ἐκκαλύψωμεν τὰ εἰρημένα, πάλιν τὰ αὐτὰ ἐπαναλαμβάνοντες. «Κάϊν», φησίν, «ἤνεγκεν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ»· εἶτα βουλομένη καὶ περὶ τοῦ Ἄβελ διδάξαι ἡμᾶς ἡ θεία Γραφή φησιν, ὅτι καὶ αὐτὸς ἀπὸ τοῦ ἐπιτηδεύματος αὐτοῦ καὶ ἐκ τῆς πνευματικῆς τὴν θυσίαν προσήνεγκε. «Ἤνεγκε γάρ», φησί, «καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν». Σκόπει πῶς ἡμῖν αἰνίττεται τὸ φιλόθεον τούτου τῆς γνώμης, καὶ ὅτι οὐχ ἁπλῶς ἀπὸ τῶν προβάτων προσήνεγκεν, ἀλλ', «Ἀπὸ τῶν πρωτοτόκων», τουτέστιν, ἀπὸ τῶν τιμίων, τῶν ἐξαιρέτων· εἶτα καὶ ἐξ αὐτῶν τούτων τῶν πρωτοτόκων πάλιν τὰ τιμιώτερα· «Καὶ ἀπὸ τῶν στεάτων», φησίν, «αὐτῶν», τῶν εὐπαθεστέρων, τῶν τιμιωτέρων. Ἐπὶ δὲ τοῦ Κάϊν οὐδὲν τοιοῦτον ἐπεσημήνατο· ἀλλ' ὅτι προσήνεγκεν· «Ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν»· ὡς ἂν εἴποι τις, τὰ τυχόντα, οὐδεμίαν σπουδὴν οὐδὲ ἀκρίβειαν ἐπιδειξάμενος. Πάλιν λέγω, καὶ λέγων οὐ παύσομαι, οὐκ ἐπειδὴ ὁ Θεὸς τῶν παρ' ἡμῶν δεῖται, ἀνέχεται τῶν προσαγομένων, ἀλλὰ βούλεται καὶ διὰ τούτων δείκνυσθαι τὴν ἡμετέραν εὐγνωμοσύνην. Τὸν γὰρ Θεῷ προσάγοντα, καὶ ἐκ τῶν αὐτοῦ προσάγοντα, καὶ ἐννοοῦντα τὸ μέσον τῆς φύσεως, καὶ ὅτι ἄνθρωπος ὢν τοσαύτης ἀξιοῦται τιμῆς, ἐχρῆν κατὰ τὸ ἐγχωροῦν τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυσθαι, καὶ τὰ τιμιώτερα προσάγειν. Ἀλλ' ὅρα μοι, ἀγαπητέ. Καὶ ἐντεῦθεν ἔχων ἀφορμὰς πρὸς τὸ συνιδεῖν τὸ δέον, εἰκότως εὐθύνας δίδωσι διὰ ῥαθυμίαν τὴν οἰκείαν προδιδοὺς σωτηρίαν. Οὔτε γὰρ ἐκεῖνός τινα ἔσχε τὸν διδάσκοντα, οὔτε οὗτός τινα τὸν ὑποτιθέμενον καὶ συμβουλεύοντα, ἀλλ' ἕκαστος ἐκ τῆς τοῦ συνειδότος διδασκαλίας, καὶ τῆς ἄνωθεν σοφίας τῷ τῶν ἀνθρώπων γένει χορηγηθείσης κινούμενος ὥρμησεν ἐπὶ τὴν τοιαύτην προσα-

αὐτὸ ποὺ ἔχει λεχθῆ. Ἀλλὰ ἐπειδὴ ἁρμόζει νὰ φροντίζωμεν δι' ὅλους κατὰ τὸν αὐτὸν τρόπον (διότι δὲν γνωρίζει διακρίσεις ἡ πνευματικὴ διδασκαλία), ἐμπρὸς ἃς ἐξηγήσωμεν σαφέστερα εἰς σᾶς τὰ λεχθέντα, ἐπαναλαμβάνοντες πάλιν τὰ ἴδια. «Ὁ Κάϊν, λέγει, ἐπρόσφερεν ἀπὸ τὰ προϊόντα τῆς γῆς θυσίαν εἰς τὸν Κύριον»· ἔπειτα ἐπιθυμοῦσα καὶ περὶ τοῦ Ἄβελ νὰ μᾶς διδάξῃ ἡ Ἁγία Γραφὴ λέγει, ὅτι καὶ αὐτὸς ἐπρόσφερε τὴν θυσίαν ἀπὸ τὸ ἐπάγγελμά του, καὶ ἀπὸ τὸ ποιμαντικόν του ἔργον. «Ἐπρόσφερε, λέγει, καὶ αὐτὸς ἀπὸ τὰ πρωτότοκα τοῦ ποιμνίου του καὶ ἀπὸ τὰ παχέα μέρη αὐτῶν». Πρόσεξε πῶς ὑπαινίσσεται εἰς ἡμᾶς τὴν φιλόθεον διάθεσιν αὐτοῦ καὶ ὅτι δὲν ἐπρόσφερεν ἁπλῶς ἀπὸ τὸ ποίμνιόν του, ἀλλά, «Ἀπὸ τὰ πρωτότοκα», δηλαδὴ ἀπὸ τὰ πολύτιμα, τὰ διαλεγμένα· ἔπειτα καὶ ἀπὸ αὐτὰ τὰ ἴδια τὰ πρωτότοκα πάλιν τὰ πολυτιμότερα μέρη· «Καὶ ἀπὸ τὰ παχέα μέρη αὐτῶν», λέγει, τὰ περισσότερον εὐπαθῆ, τὰ πολυτιμότερα. Διὰ τὸν Κάϊν ὅμως δὲν ἐπεσήμανε τίποτε τέτοιο· ἀλλὰ ὅτι ἐπρόσφερεν «Ἀπὸ τὰ προϊόντα τῆς γῆς θυσίαν»· ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῆ κάποιος, τὰ τυχόντα, χωρὶς νὰ δείξῃ καμμίαν φροντίδα οὔτε ἰδιαιτέραν μέριμναν. Πάλιν λέγω καὶ δὲν θὰ σταματήσω νὰ λέγω, ὄχι ἐπειδὴ ὁ Θεὸς ἔχει ἀνάγκην ἀπὸ τὰ ἰδικά μας, ἀνέχεται τὰ προσφερόμενα, ἀλλὰ θέλει νὰ ἀποδεικνύεται μὲ αὐτὰ ἡ ἰδική μας εὐγνωμοσύνη. Διότι ἐκεῖνος ποὺ προσφέρει εἰς τὸν Θεὸν καὶ ἐπειδὴ προσφέρει ἀπὸ τὰ ἰδικά του καὶ κατανοεῖ τὸ μέσον τῆς φύσεως καὶ ὅτι εἶναι ἄξιος τόσον μεγάλης τιμῆς, ἂν καὶ ἄνθρωπος, ἔπρεπε νὰ καταβάλῃ ἀπὸ τὴν πλευράν του κάθε δυνατὴν προσπάθειαν καὶ νὰ προσφέρῃ τὰ πολυτιμότερα. Ἀλλὰ πρόσεχε, ἀγαπητέ. Ἂν καὶ εἶχε καὶ ἀπὸ ἐδῶ ἀφορμὰς διὰ νὰ ἀντιληφθῇ τὸ πρέπον, ἀποδίδει εὔκολα εὐθύνας ἐκεῖνος ποὺ προδίδει τὴν σωτηρίαν του ἐξ αἰτίας τῆς ἰδικῆς του ἀδιαφορίας. Διότι οὔτε ἐκεῖνος εἶχε κάποιον ποὺ νὰ τὸν διδάσκῃ, οὔτε αὐτὸς κάποιον ποὺ νὰ τὸν ὑποδεικνύῃ καὶ νὰ τὸν συμβουλεύῃ, ἀλλὰ ὁ καθένας κινούμενος ἀπὸ τὴν διδασκαλίαν τῆς συνειδήσεως καὶ ἀπὸ τὴν ἄνωθεν σοφίαν, ποὺ ἐδόθη εἰς τὸ ἀν-

γωγήν· ἀλλ' ἡ διαφορὰ τῆς γνώμης λοιπὸν καὶ τῆς προαιρέσεως ἡ ῥαθυμία τοῦ μὲν εὐπρόσδεκτον ἐποίησε τὴν προσαγωγήν, τοῦ δὲ ἀπόβλητον. Καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ». Ὅρα πῶς πληροῦται ἐνταῦθα τὸ ἐν τῷ εὐαγγελίῳ εἰρημένον, ὅτι ἔσονται οἱ πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. Ἰδοὺ γὰρ καὶ ἀπὸ τῶν πρωτοτοκίων ἔχων προτέρημα, καὶ πρῶτος δῆθεν προσενεγκών, ἐπειδὴ μὴ δεόντως προσήνεγκεν, ἐλάττων ὤφθη τοῦ ἀδελφοῦ. Ἀμφοτέρων γὰρ προσενεγκάντων, φησὶν ἡ θεία Γραφή, «Καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ». Τί ἐστι, «Καὶ ἐπεῖδεν»; Ἀντὶ τοῦ, ἀπεδέξατο, ἐπῄνεσε τὴν γνώμην, ἐστεφάνωσε τὴν προαίρεσιν, ἠρκέσθη, ὡς ἂν εἴποι τις, τῷ γεγονότι. Εἰ γὰρ καὶ περὶ Θεοῦ φθεγγόμεθα, καὶ περὶ τῆς ἀκηράτου φύσεως ἐκείνης τολμῶμεν διᾶραι στόμα, ἀλλ ἄνθρωποι ὄντες οὐκ ἄλλως δυνηθείημεν ταῦτα ἢ διὰ τῆς γλώττης νοεῖν. Σκόπει δὲ τὸ θαυμαστόν. «Ἐπεῖδε», φησίν, «ὁ Θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ». Τὴν τῶν προβάτων προσαγωγὴν δῶρα ἐκάλεσε διὰ τὸ τίμιον, διὰ τὸ ἐξαίρετον, διὰ τὸ ἄμωμον τῶν προσενεχθέντων. Ἐπεῖδε τοίνυν ἐπ' αὐτόν, ὅτι ὑγιεῖ γνώμῃ τὴν προσαγωγὴν ἐποιήσατο, καὶ τὰ δῶρα τὰ προσενεχθέντα, οὐχ ὅτι ἀκηλίδωτα μόνον, ἀλλ' ὅτι πανταχόθεν τίμια φαινόμενα, ἀπό τε τῆς γνώμης τοῦ προσάγοντος, ἀπό τε τοῦ πρωτότοκα εἶναι, καὶ τούτων τὰ ἐξαίρετα, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν, καὶ αὐτῶν τούτων τὰ βέλτιστα. «Καὶ ἐπεῖδε», φησίν, «ὁ Θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν». Ἐπειδὴ ὀρθῇ γνώμῃ καὶ εἰλικρινεῖ διανοίᾳ προσήνεγκεν ὁ Ἄβελ, «Ἐπεῖδε», φησίν, «ὁ Θεός», τουτέστιν, ἐδέξατο, ἠρέσθη, ἐπῄνεσε· δῶρα δὲ ἐκάλεσε τὰ προσενεχθέντα, τιμῶν καὶ διὰ τούτου τοῦ προσενέγκαντος τὴν γνώμην.

8. Ματθ. 19, 30· Μάρκ. 10, 31· Λουκᾶ 13, 30.

θρώπινον γένος, ἐκινήθη πρὸς αὐτοῦ τοῦ εἴδους τὴν προσφοράν· ἡ διαφορὰ ὅμως τῆς διαθέσεως καὶ ἡ ἀδιαφορία τῆς προαιρέσεως ἔκαμε τοῦ μὲν ἑνὸς εὐπρόσδεκτον τὴν προσφοράν, τοῦ δὲ ἄλλου ἀπρόσδεκτον. «Καὶ εἶδεν εὐμενῶς ὁ Θεὸς πρὸς τὸν Ἄβελ καὶ τὰ δῶρα αὐτοῦ». Πρόσεξε πῶς ἐκπληρώνεται ἐδῶ αὐτὸ ποὺ ἔχει λεχθῆ εἰς τὸ εὐαγγέλιον, ὅτι θὰ γίνουν οἱ πρῶτοι τελευταῖοι, καὶ οἱ τελευταῖοι πρῶτοι[8]. Διότι ἰδού, ἂν καὶ εἶχε τὸ προνόμιον ἀπὸ τὰ πρωτοτόκια, ἂν καὶ πράγματι πρῶτος ἐπρόσφερε θυσίαν, ἐπειδὴ δὲν ἐπρόσφερεν ὅπως ἔπρεπε, ἐφάνη κατώτερος ἀπὸ τὸν ἀδελφόν του. Ἂν καὶ βεβαίως ἐπρόσφεραν καὶ οἱ δύο, λέγει ἡ Ἁγία Γραφή, «Καὶ εἶδεν εὐμενῶς ὁ Θεὸς πρὸς τὸν Ἄβελ καὶ τὰ δῶρα αὐτοῦ». Τί σημαίνει τὸ «Εἶδεν εὐμενῶς»; Τοῦτο ἐλέχθη ἀντὶ τοῦ, ἔκαμεν ἀποδεκτήν, ἐπήνεσε τὴν διάθεσιν, ἐβράβευσε τὴν προαίρεσιν, ἠρκέσθη, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, εἰς τὸ γεγονός. Ἂν καὶ ὁμιλοῦμεν βέβαια περὶ τοῦ Θεοῦ καὶ τολμῶμεν νὰ ἀνοίξωμεν τὸ στόμα περὶ τῆς ἀμολύντου ἐκείνης φύσεως, ὅμως, ἐπειδὴ εἴμεθα ἄνθρωποι, δὲν θὰ ἠμπορέσωμεν νὰ ἐννοήσωμεν αὐτὰ διαφορετικὰ παρὰ διὰ τῆς γλώσσης. Παρατήρησε τὸ ἀξιοθαύμαστον. «Ἀπεδέχθη, λέγει, ὁ Θεὸς τὸν Ἄβελ καὶ τὰ δῶρα αὐτοῦ». Τὴν προσφορὰν τῶν προβάτων ὠνόμασε δῶρα, διότι ἦσαν πολύτιμα, διαλεγμένα καὶ καθαρὰ τὰ προσφερθέντα. Εἶδε λοιπὸν εὐμενῶς πρὸς αὐτόν, διότι ἐπρόσφερε μὲ ἁγνὴν διάθεσιν· ἐδέχθη καὶ τὰ προσφερθέντα δῶρα, ὄχι διότι μόνον ἦσαν καθαρά, ἀλλὰ διότι ἐφαίνοντο ἀπὸ παντοῦ πολύτιμα, καὶ ἀπὸ τὴν διάθεσιν αὐτοῦ ποὺ προσφέρει, καὶ ἀπὸ τὸ ὅτι ἦσαν πρωτότοκα, καὶ ἀπὸ αὐτὰ τὰ διαλεγμένα, καὶ ἀπὸ τὰ παχέα μέρη αὐτῶν, καὶ ἀπὸ αὐτὰ τὰ ἴδια τὰ ἄριστα. «Καὶ εἶδεν εὐμενῶς, λέγει, ὁ Θεὸς πρὸς τὸν Ἄβελ καὶ τὰ δῶρα αὐτοῦ· πρὸς τὸν Κάϊν ὅμως καὶ πρὸς τὰς θυσίας αὐτοῦ δὲν ἐπρόσεξεν». Ἐπειδὴ μὲ καθαρὰν σκέψιν καὶ εἰλικρινῆ διάθεσιν ἐπρόσφερεν ὁ Ἄβελ, «Εἶδεν εὐμενῶς, λέγει, ὁ Θεός», δηλαδή, ἐδέχθη, ηὐχαριστήθη, ἐπήνεσε· δῶρα δὲ ὠνόμασε τὰ προσφερθέντα, τιμῶν καὶ μὲ τὸν τρόπον αὐτὸν τὴν διάθεσιν αὐτοῦ ποὺ ἐπρόσφερε. «Εἰς τὸν Κάϊν

«Ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε». Σκόπει τῆς Γραφῆς τὴν ἀκρίβειαν. Τῷ εἰπεῖν, Οὐ προσέσχεν», ἔδειξε τὴν ἀποβολὴν τῶν προσενεχθέντων, καὶ τῷ θυσίας καλέσαι τὰ ἀπὸ τῆς γῆς προσενεχθέντα, πάλιν ἕτερον ἡμᾶς τι διδάσκει. Ὅρα γὰρ πῶς δείκνυσι δι' αὐτῶν τῶν γεγενημένων καὶ διὰ τῶν ῥημάτων, ὅτι ταῦτα ἅπαντα βούλεται παρ' ἡμῶν ὁ Δεσπότης γίνεσθαι, ἵνα τὰ τῆς γνώμης ἡμῶν διὰ τῶν ὑφ' ἡμῶν πραττομένων δῆλα καθιστᾶται, καὶ ἵνα εἰδέναι ἔχωμεν, ὅτι ὑπὸ Δεσπότην ἐσμὲν καὶ δημιουργὸν τὸν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγόντα. Τὰ γὰρ πρόβατα δῶρα ὀνομάσασα ἡ θεία Γραφή, καὶ τὰ ἀπὸ τῆς γῆς θυσίας προσειποῦσα, παιδεύει ἡμᾶς, ὅτι οὔτε ἡ τῶν ἀλόγων προσκομιδή, οὔτε ἡ τῶν ἀπὸ τῆς γῆς καρπῶν προσαγωγὴ ζητεῖται παρὰ τῷ Δεσπότῃ, ἀλλ' ἡ τῆς γνώμης διάθεσις μόνον. Ὅθεν καὶ νῦν ὁ μὲν ἀπ' αὐτῆς ἀπόδεκτος γέγονε μετὰ τοῦ δώρου· ὁ δὲ πάλιν διὰ ταύτην ἀπεβλήθη μετὰ τῆς θυσίας. Τὸ δέ, «Ἐπεῖδεν ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάϊν, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε», θεοπρεπῶς νοῶμεν. Βούλεται γὰρ εἰπεῖν, ὅτι τοιαύτην αὐτοῖς γνῶσιν ἐνέθηκεν, ὅτι τοῦ μὲν ἠρέσθη τῇ προαιρέσει, τοῦ δὲ ἀπεσείσατο τὴν ἀγνωμοσύνην. Ἀλλὰ τὰ μὲν παρὰ τοῦ Θεοῦ τοιαῦτα· ἴδωμεν δὲ λοιπὸν τὰ ἑξῆς. Καὶ ἐλύπησε», φησί, τὸν Κάϊν λίαν, καὶ συνέπεσε τὸ πρόσωπον αὐτοῦ». Τί ἐστι, «Καὶ ἐλύπησε τὸν Κάϊν λίαν»; Διπλῆ τὰ τῆς λύπης αὐτῷ γέγονεν, οὐχ ὅτι αὐτὸς μόνος ἀπόβλητος γέγονεν, ἀλλ' ὅτι καὶ τὸ τοῦ ἀδελφοῦ δῶρον προσεδέχθη». «Καὶ ἐλύπησε», φησί, «τὸν Κάϊν λίαν, καὶ συνέπεσε τὸ πρόσωπον αὐτοῦ». Τί ἐλύπησεν αὐτόν; Ἀμφότερα αὐτὸν ἐλύπησε, καὶ τὸ μὴ προσχεῖν τῇ θυσίᾳ αὐτοῦ τὸν Δεσπότην, καὶ τὸ εὐπρόσδεκτον γενέσθαι τὸ τοῦ ἀδελφοῦ δῶρον. Δέον οὖν τὴν αἰτίαν συνειδότα ἐξ αὐτῶν τῶν γεγενημένων διορθώσασθαι τὸ πλημμεληθέν· φιλάνθρωπος γὰρ ὢν ὁ Δεσπότης

ὅμως καὶ εἰς τὰς θυσίας αὐτοῦ δὲν ἐπρόσεξε». Πρόσεξε τὴν ἀκρίβειαν τῆς Γραφῆς. Μὲ τὸ νὰ εἰπῇ, «Δὲν ἐπρόσεξεν», ἔδειξε τὴν ἀπόρριψιν τῶν προσφερθέντων, καὶ μὲ τὸ νὰ ὀνομάσῃ θυσίας τὰ προσφερθέντα ἀπὸ τὴν γῆν, πάλιν μᾶς διδάσκει κάτι ἄλλο. Διότι πρόσεχε πῶς μᾶς δείχνει μὲ τὰ γεγονότα καὶ τὰ λόγια, ὅτι ὁ Κύριος ἐπιθυμεῖ ὅλα αὐτὰ νὰ γίνωνται ἀπὸ ἡμᾶς, διὰ νὰ φανερώνεται μὲ τὰ ἔργα μας ἡ διάθεσίς μας, καὶ διὰ νὰ ἠμποροῦμεν νὰ γνωρίζωμεν, ὅτι εἴμεθα ὑπὸ τὴν ἐξουσίαν τοῦ Κυρίου καὶ Δημιουργοῦ, ὁ ὁποῖος μᾶς ἐδημιούργησεν ἀπὸ τὸ μηδέν. Μὲ τὸ νὰ ὀνομάσῃ λοιπὸν ἡ Ἁγία Γραφὴ τὰ πρόβατα δῶρα καὶ ἐπὶ πλέον τὰ προϊόντα τῆς γῆς θυσίας, μᾶς διδάσκει, ὅτι οὔτε ἡ προσφορὰ τῶν ζώων, οὔτε ἡ προσφορὰ τῶν καρπῶν τῆς γῆς ζητεῖται ἀπὸ τὸν Κύριον, ἀλλὰ μόνον ἡ διάθεσις τῆς βουλήσεώς μας. Διὰ τοῦτο καὶ τώρα ὁ μὲν ἕνας ἔγινεν ἀπ' αὐτὴν δεκτὸς μὲ τὸ δῶρον του· ὁ ἄλλος δὲ πάλιν ἐξ αἰτίας αὐτῆς ἀπεβλήθη μὲ τὴν θυσίαν του. Τὸ δέ, «Ἐπρόσεξεν εἰς τὸν Ἄβελ καὶ εἰς τὰ δῶρα αὐτοῦ, εἰς τὸν Κάιν ὅμως καὶ εἰς τὰς θυσίας αὐτοῦ δὲν ἐπρόσεξεν», ἃς τὸ ἐννοήσωμεν πνευματικά. Θέλει λοιπὸν νὰ εἰπῇ, ὅτι ἐτοποθέτησε μέσα εἰς αὐτοὺς τέτοιαν γνῶσιν, ὅτι ἔμεινεν εὐχαριστημένος ἀπὸ τὴν διάθεσιν τοῦ ἑνός, ἀπέρριψεν ὅμως τὴν ἀχαριστίαν τοῦ ἄλλου. Ὅσον ἀφορᾷ μὲν τὰς ἐνεργείας τοῦ Θεοῦ αὐτά· ἃς ἐξετάσωμεν ὅμως καὶ τὰ ἑπόμενα. «Καὶ ἐλυπήθη, λέγει, ὁ Κάιν πάρα πολὺ καὶ ἔγινε σκυθρωπὸν τὸ πρόσωπον αὐτοῦ». Τί σημαίνει, «Καὶ ἐλυπήθη ὁ Κάιν πάρα πολύ»; Εἶναι διπλῆ ἡ λύπη ποὺ συνέβη εἰς αὐτόν, ὄχι διότι αὐτὸς μόνον ἔγινεν ἀπόβλητος, ἀλλὰ καὶ διότι τὸ δῶρον τοῦ ἀδελφοῦ του ἔγινε δεκτὸν μὲ εὐχαρίστησιν. «Καὶ ἐλύπησε, λέγει, τὸν Κάιν πάρα πολύ, καὶ ἔγινε σκυθρωπὸν τὸν πρόσωπον αὐτοῦ». Τί ἐλύπησεν αὐτόν; Καὶ τὰ δύο ἐλύπησαν αὐτόν· καὶ τὸ ὅτι ὁ Κύριος δὲν ἐπρόσεξε τὴν θυσίαν αὐτοῦ, καὶ τὸ ὅτι ἔγινεν εὐπρόσδεκτον τὸ δῶρον τοῦ ἀδελφοῦ του. Ἔπρεπε λοιπὸν ἀφοῦ γνωρίσῃ τὴν αἰτίαν, νὰ διορθώσῃ τὸ σφάλμα του ἀπὸ αὐτὰ ποὺ ἔγιναν· διότι ὁ Κύριός μας, φιλάνθρωπος ὤν, ὅταν

της ὁ ἡμέτερος, ἐπειδάν τι πλημμελήσωμεν, οὐχ οὕτως ἡμᾶς ἀποστρέφεται διὰ τὸ πλημμεληθέν, ὡς ἐπειδὰν ἐπιμείνωμεν τῷ πλημμελήματι· ὁ δὲ λόγον οὐδένα τούτου ποιεῖται.

6. Καὶ ἵνα τοῦτο μάθῃς ἀκριβῶς καὶ ἴδῃς ἄφατον μέγεθος φιλανθρωπίας, σκόπει ἐκ τῶν νῦν γινομένων τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολήν, καὶ τῆς ἀνεξικακίας τὸ μέγεθος. Ἐπειδὴ γὰρ εἶδεν ἀμέτρως αὐτὸν λυπηθέντα, καί, ὡς εἰπεῖν, μέλλοντα καταβαπτίζεσθαι ὑπὸ τῶν τῆς λύπης κυμάτων, οὐ περιορᾷ, ἀλλ' ἣν ἐπεδείξατο φιλανθρωπίαν περὶ τὸν τούτου πατέρα, ἀφορμὰς αὐτῷ διδοὺς ἀπολογίας, καὶ παρρησίας αὐτῷ θύραν ἀνοίγων καὶ λέγων, «Ποῦ εἶ;» μετὰ τὸ χαλεπὸν ἐκεῖνο παράπτωμα, τὴν αὐτὴν καὶ νῦν ἐπιδείκνυται περὶ τὸν οὕτως ἀγνώμονα γεγονότα, καὶ ὡσανεὶ μέλλοντα κρημνῶν φέρεσθαι, χεῖρα ὀρέγων, καὶ πρόφασιν παρασχεῖν βουλόμενος τοῦ διορθώσασθαι τὸ πλημμέλημα, φησὶ πρὸς αὐτόν· «Ἵνα τί περίλυπος ἐγένου; καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; Οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; Ἡσύχασον. Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ». Σκόπει μοι, ἀγαπητέ, συγκατάβασιν κηδεμονίας ἄφατον. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν πολιορκούμενον, ὡς εἰπεῖν, ὑπὸ τοῦ τῆς βασκανίας πάθους, ὅρα πῶς τὴν οἰκείαν ἀγαθότητα μιμούμενος κατάλληλα αὐτῷ τὰ φάρμακα ἐπιτίθησιν, ὥστε ταχέως αὐτὸν ἀνιμήσασθαι, καὶ μὴ ὑποβρύχιον γενέσθαι. «Ἵνα τί περίλυπος ἐγένου; καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου;». Τίνος ἕνεκεν, φησί, τοσαύτη λύπη κατεσχέθης, ὡς καὶ διὰ τοῦ προσώπου δεικνύναι τῆς ἀθυμίας τὸ μέγεθος; «Ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου;» διὰ τί οὕτω σου ἥψατο τὸ γεγενημένον; τίνος ἕνεκεν οὐκ ἀφ' ἑαυτοῦ συνεῖδες τὸ δέον; Μὴ γὰρ ἀνθρώπῳ προσέφερες παραλογισθῆναι δυναμένῳ; οὐκ ᾔδεις ὅτι οὐχὶ τῶν προσαγομένων ἐδεόμην,

σφάλλωμεν εἰς κάτι, δέν μᾶς ἀποστρέφεται τόσον ἐξ αἰτίας τοῦ σφάλματος, ὅσον ὅταν ἐπιμείνωμεν εἰς τὸ σφάλμα· ὁ Κάιν ὅμως δέν κάνει κανένα λόγον δι' αὐτό.

6. Καὶ διὰ νὰ μάθῃς αὐτὸ μὲ ἀκρίβειαν, καὶ διὰ νὰ ἰδῇς τὸ ἀνείπωτον μέγεθος τῆς φιλανθρωπίας, βλέπε ἀπὸ αὐτὰ πού γίνονται τώρα τὴν ὑπερβολικὴν ἀγαθότητα αὐτοῦ καὶ τὸ μέγεθος τῆς ἀνεξικακίας του. Διότι, ὅταν εἶδεν ὅτι αὐτὸς ἐλυπήθη ὑπερβολικά, καί, κατὰ κάποιον τρόπον, ὅτι ἐπρόκειτο νὰ πνιγῇ ἀπὸ τὰ κύματα τῆς λύπης, δέν τὸν παραβλέπει· ἀλλὰ τὴν φιλανθρωπίαν, τὴν ὁποίαν ἐπέδειξε πρὸς τὸν πατέρα του, δίδων εἰς αὐτὸν ἀφορμὰς πρὸς ἀπολογίαν καὶ ἀνοίγων τὴν θύραν τῆς παρρησίας εἰς αὐτὸν καὶ λέγων «Ποῦ εἶσαι;» μετὰ τὸ φοβερὸν ἐκεῖνο παράπτωμα, τὴν ἰδίαν καὶ τώρα ἐπιδεικνύει πρὸς ἐκεῖνον πού ἔγινε τόσον ἀγνώμων, καὶ ὡσὰν νὰ ἐπρόκειτο νὰ πέσῃ εἰς τὸν κρημνόν, ἁπλώνων τὸ χέρι του καὶ ἐπιθυμῶν νὰ τοῦ δώσῃ ἀφορμὴν νά διορθώσῃ τό σφάλμα, λέγει πρὸς αὐτόν· «Διατί εἶσαι λυπημένος; καὶ διατί ἔγινε τὸ πρόσωπόν σου σκυθρωπόν; Ἐὰν προσφέρῃς ὅπως πρέπει καὶ δέν διακρίνῃς σωστά, δέν ἁμαρτάνεις; Ἡσύχασε. Αὐτὸς θὰ καταφεύγῃ εἰς σέ, καὶ σὺ θὰ ἐξουσιάζῃς αὐτόν». Παρακαλῶ, παρατήρησε, ἀγαπητέ, τὴν ἄπειρον συγκατάβασιν τῆς κηδεμονίας του. Ὅταν λοιπὸν εἶδεν αὐτὸν νὰ πολιορκῆται, κατὰ κάποιον τρόπον, ἀπὸ τὸ πάθος τοῦ φθόνου, πρόσεχε πῶς ἐπιθέτει εἰς αὐτὸν τὰ κατάλληλα φάρμακα, κινούμενος ἀπὸ τὴν ἰδικήν του ἀγαθότητα, ὥστε νὰ ἀνασύρῃ αὐτὸν γρήγορα καὶ νὰ μὴ βυθισθῇ εἰς τὸ πάθος. «Διατί εἶσαι λυπημένος πολύ; καὶ διατί ἔγινε τὸ πρόσωπόν σου σκυθρωπόν;». Διὰ ποῖον λόγον, λέγει, κατελήφθης ἀπὸ τόσον μεγάλην λύπην, ὥστε καὶ μὲ τὸ πρόσωπόν σου νὰ ἀποδεικνύῃς τὸ μέγεθος τῆς θλίψεως; «Διατί ἔγινε τὸ πρόσωπόν σου σκυθρωπόν;» διατί ἐπέδρασεν ἔτσι τὸ γεγονὸς εἰς σέ; διὰ ποῖον λόγον δέν ἀντελήφθης μόνος σου τὸ πρέπον; Μήπως λοιπὸν ἐπρόσφερες εἰς ἄνθρωπον, πού ἠμποροῦσε νὰ παραλογισθῇ; δέν ἐγνώριζες ὅτι δέν εἶχα ἀνάγκην ἀπὸ τὰ προσφερόμενα, ἀλλὰ ἀπὸ τὴν ἀγαθὴν διά-

ἀλλὰ τῆς τῶν προσαγόντων ὑγιοῦς γνώμης; «Ἵνα τί περίλυπος ἐγένου; καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; Οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες;». Τὸ μὲν γὰρ εἰς ἔννοιαν ἐλθεῖν τοῦ προσενεγκεῖν ἐπαινετόν, τὸ δὲ μὴ ὀρθῶς διελεῖν, τοῦτο τὴν ἀποβολὴν εἰργάσατο τοῦ προσενεχθέντος. Ἔδει γὰρ Θεῷ προσάγοντα πολλὴν ἐπιδείξασθαι περὶ τὴν διαίρεσιν τὴν ἀκρίβειαν, καὶ ὅσον ἐστὶ τὸ μέσον τοῦ δεχομένου καὶ τοῦ προσάγοντος, τοσαύτην ποιήσασθαι καὶ ἐν τῇ διαιρέσει τὴν διαφοράν. Ἀλλὰ τούτων οὐδὲν ἐννοήσας σὺ ἁπλῶς τὰ τυχόντα προσήγαγες. Διὰ τοῦτο οὐδὲ δεκτὰ γενέσθαι ἠδυνήθη. Ὥσπερ γὰρ ἡ σὴ γνώμη, μεθ' ἧς τὴν προσαγωγὴν ἐποιήσω, οὐδὲν τὸ μέσον λογισάμενος, ἀποβληθῆναι ἐποίησε τὴν παρὰ σοῦ προσενεχθῖσαν θυσίαν· οὕτως ἡ τοῦ ἀδελφοῦ γνώμη ὀρθή τε τυγχάνουσα, καὶ πολλὴν ἐπιδειξαμένη ἐν τῇ διαιρέσει τὴν ἀκρίβειαν, εὐπρόσδεκτα αὐτοῦ τὰ δῶρα πεποίηκεν. Ὅμως οὐδὲ οὕτω δίκην ἀπαιτῶ τοῦ πλημμελήματος, ἀλλὰ δείκνυμι μόνον τὸ ἁμαρτηθέν, καὶ συμβουλὴν εἰσάγω σοι, ἣν εἰ βουληθείης δέξασθαι, καὶ τὸ ἁμαρτηθὲν διορθώσῃ, καὶ χείροσιν οὐ περιβαλεῖς σαυτὸν κακοῖς. Τί οὖν; Ἥμαρτες, καὶ μέγα ἥμαρτες, ἀλλ' οὐ κολάζω διὰ τὸ ἁμαρτηθέν· φιλάνθρωπος γάρ εἰμι, καὶ «Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Ἐπεὶ οὖν ἥμαρτες, «Ἡσύχασον», γαλήνην ἔργασαί σου τοῖς λογισμοῖς, καὶ ἀπαλλάγηθι τῆς τῶν κυμάτων σφοδρότητος, τῶν πολιορκούντων σου τὴν διάνοιαν, κατάστειλον τὴν ταραχήν, μὴ τῷ προλαβόντι ἁμαρτήματι ἕτερον χαλεπώτερον προσθῇς, μηδὲ βουλεύσῃ μηδὲν τῶν ἀνηκέστων. Μὴ αἰχμάλωτον σαυτὸν ἐκδῷς τῷ πονηρῷ δαίμονι. Ἥμαρτες, ἡσύχασον. Ἤδει καὶ ἐκ προοιμίων τὴν μέλλουσαν ἐπιχείρησιν κατὰ τοῦ ἀδελφοῦ γίνεσθαι, καὶ

9. Ἰεζ. 18, 23.

θεσιν ἐκείνων ποὺ τὰ προσφέρουν; «Διατί εἶσαι λυπημένος πολύ; καὶ διατί τὸ πρόσωπόν σου ἔγινε σκυθρωπόν; Ἐὰν προσφέρῃς ὅπως πρέπει καὶ δὲν διακρίνῃς σωστά, δὲν ἁμαρτάνεις;». Τὸ νὰ συλλάβῃ λοιπὸν κανεὶς τὴν ἔννοιαν τοῦ νὰ προσφέρῃ θυσίαν εἶναι ἄξιον ἐπαίνου· τὸ νὰ μὴ ἐπιλέγῃ ὅμως σωστά, τοῦτο ἐπέφερε τὴν ἀπόρριψιν τοῦ προσφερθέντος. Διότι, ὅταν ἐπρόσφερες εἰς τὸν Θεόν, ἔπρεπε νὰ ἐπιδείξῃς μεγάλην προσοχὴν διὰ τὴν ἐκλογὴν τῶν προσφερθέντων, καὶ ὅση ἀπόστασις ὑπάρχει μεταξὺ τοῦ δεχομένου καὶ τοῦ προσφέροντος, τόση διαφορὰ ἔπρεπε νὰ ὑπάρξῃ καὶ εἰς τὴν ἐπιλογὴν τῶν ἀγαθῶν. Σὺ ὅμως χωρὶς νὰ ἐννοήσῃς τίποτε ἀπὸ αὐτά, ἐπρόσφερες ἁπλῶς τὰ τυχόντα. Διὰ τοῦτο δὲν ἠμπόρεσαν οὔτε δεκτὰ νὰ γίνουν. Διότι ὅπως ἀκριβῶς ἡ ἰδική σου διάθεσις, μὲ τὴν ὁποίαν ἔκαμες τὴν προσφοράν, χωρὶς νὰ ὑπολογίσῃς καθόλου τὴν ἀπόστασιν, ἔκαμε νὰ ἀπορριφθῇ ἡ προσφερθεῖσα ἀπὸ σὲ θυσία· ἔτσι ἡ διάθεσις τοῦ ἀδελφοῦ σου, καὶ ἐπειδὴ ἦτο ὀρθὴ καὶ ἐπειδὴ ἔδειξε μεγάλην προσοχὴν κατὰ τὴν ἐπιλογήν, ἔχει κάμει εὐπρόσδεκτα τὰ δῶρα του. Ὅμως οὔτε ἔτσι ἀπαιτῶ τὴν τιμωρίαν τοῦ παραπτώματος, ἀλλὰ δεικνύω μόνον τὸ ἁμάρτημα καὶ σοῦ δίδω συμβολήν, τὴν ὁποίαν ἐὰν θὰ θελήσῃς νὰ δεχθῇς, καὶ τὸ ἁμάρτημα θὰ διορθώσῃς καὶ δὲν θὰ περιβάλῃς τὸν ἑαυτόν σου μὲ χειρότερα κακά. Τί λοιπόν; Ἡμάρτησες, καὶ ἡμάρτησες πολύ, ἀλλὰ δὲν σὲ τιμωρῶ διὰ ἁμάρτημα, διότι εἶμαι φιλάνθρωπος καὶ «δὲν θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, παρὰ τὴν ἐπιστροφὴν καὶ τὴν σωτηρίαν αὐτοῦ»*. Λοιπόν, ἂν καὶ ἡμάρτησες, «Ἡσύχασε», προσπάθησε νὰ φέρῃς γαλήνην εἰς τὰς σκέψεις σου καὶ νὰ ἀπαλλαγῇς ἀπὸ τὴν ὁρμητικότητα τῶν κυμάτων, ποὺ πολιορκοῦν τὴν διάνοιάν σου· σταμάτησε τὴν ταραχήν, μήπως εἰς τὸ προηγούμενον ἁμάρτημα προσθέσῃς ἄλλο φοβερώτερον καὶ μήπως σκεφθῇς τίποτε ἀπὸ τὰ καταστρεπτικὰ κακά. Μήπως παραδώσῃς τὸν ἑαυτόν σου αἰχμάλωτον εἰς τὸν πονηρὸν διάβολον. Ἡμάρτησες, ἡσύχασε. Ἐγνώριζε καὶ ἀπὸ πρὶν τὴν ἐπίθεσιν ποὺ ἐπρόκειτο νὰ κάμῃ ἐναντίον τοῦ ἀδελφοῦ του, καὶ

διὰ τούτων αὐτὴν προαναστέλλει τῶν ῥημάτων. Ἐπειδὴ γὰρ ὡς Θεὸς καὶ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος ᾔδει τῆς καρδίας αὐτοῦ τὰ κινήματα, τῇ πολλῇ παραινέσει καὶ τῇ τῶν ῥημάτων συγκαταβάσει κατάλληλον αὐτῷ τὴν ἰατρείαν εἰσφέρει, τὰ παρ' ἑαυτοῦ ἅπαντα πληρῶν, εἰ καὶ οὗτος τὸ φάρμακον ἀπωσάμενος εἰς τὸ τῆς ἀδελφοκτονίας βάραθρον ἑαυτὸν κατεκρήμνισεν. Ἥμαρτες, ἡσύχασον. Μὴ νομίσῃς, φησίν, εἰ καὶ ἀπεστράφην σου τὴν θυσίαν διὰ τὴν οὐκ ὀρθὴν γνώμην, καὶ εἰ τὸ τοῦ ἀδελφοῦ δῶρον προσεδεξάμην διὰ τὴν ὑγιῆ προαίρεσιν, ὅτι τῶν πρωτείων σε ἀποστερῶ, καὶ τῆς ἀξίας τῶν πρωτοτόκων ἐκβάλλω. «Ἡσύχασον»· εἰ γὰρ καὶ τῆς παρ' ἐμοῦ τιμῆς ἠξίωται, καὶ εὐπρόσδεκτα αὐτοῦ γέγονε τὰ δῶρα, ἀλλὰ «Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ». Ὥστε καὶ μετὰ τὴν ἁμαρτίαν ταύτην ἔχειν σε συγχωρῶ τὰ προτερήματα τῆς πρωτοτοκίας, κἀκεῖνον ὑπὸ τὴν σὴν ἐξουσίαν εἶναι κελεύω, καὶ ὑπὸ τὴν ἀρχὴν τὴν σήν. Ὅρα φιλανθρωπίαν Δεσπότου, πῶς αὐτοῦ βούλεται τὸν θυμὸν καὶ τὴν μανίαν καταστεῖλαι, καὶ τὴν ὁρμὴν ἐκκόψαι διὰ τῶν ῥημάτων τούτων. Τὰ γὰρ κινήματα τῆς διανοίας αὐτοῦ κατοπτεύων, καὶ τῆς φονικῆς αὐτοῦ γνώμης ἐπιστάμενος τὸ ἀπηνές, ἤδη προλεαίνει αὐτοῦ βούλεται τὸν λογισμόν, καὶ γαλήνην ἐργάσασθαι αὐτοῦ τῇ διανοίᾳ, ὑποτάττων αὐτῷ τὸν ἀδελφόν, καὶ τὴν ἐξουσίαν αὐτοῦ μὴ ὑποτεμνόμενος. Ἀλλὰ καὶ μετὰ τὴν τοσαύτην ἐπιμέλειαν καὶ μετὰ τοσαῦτα τὰ φάρμακα οὐδὲν πλέον ὁ Κάϊν ἀπώνατο. Τοσοῦτόν ἐστι γνώμης διαφορά, καὶ κακίας ὑπερβολή.

7. Ἀλλ' ἵνα μὴ ἐπὶ πλέον ἐκτείναντες τὸν λόγον δόξωμεν παρενοχλεῖν τὴν ὑμετέραν ἀγάπην, καὶ προσκορὴς ὑμῖν νομισθῇ ἡ παρ' ἡμῶν ὁμιλία τὰς ἀκοὰς ὑμῶν ἀποκναίουσα, ἐνταῦθα καταπαύσαντες τὸν λόγον, ἐκεῖνο παρακαλέσωμεν ὑμῶν τῇ φιληκοΐα, μισῆσαι τὴν τοιαύτην μίμησιν, καὶ τῇ κακίᾳ πολλὰ χαίρειν

αὐτὴν προλαμβάνει μὲ τὰ λόγια αὐτά. Ἐπειδὴ λοιπὸν ὡς Θεός, ἀφοῦ γνωρίζει καλὰ καὶ τὰ ἀπόρρητα τῆς διανοίας, ἐγνώριζε τὰς σκέψεις τῆς καρδίας του, μὲ τὰς πολλὰς παραινέσεις καὶ μὲ τὴν συγκατάβασιν τῶν λόγων, προσφέρει τὴν κατάλληλον θεραπείαν εἰς αὐτόν, ἐκπληρῶν ὅλα τὰ ἰδικά του, ἂν καὶ αὐτός, ἀφοῦ ἀπεμάκρυνε τὸ φάρμακον, κατεκρήμνισε τὸν ἑαυτόν του εἰς τὸ βάραθρον τῆς ἀδελφοκτονίας. Ἡμάρτησες, ἡσύχασε. Μὴ νομίσῃς, λέγει, ἂν καὶ δὲν ἐδέχθην τὴν θυσίαν σου ἐξ αἰτίας τῆς ἐσφαλμένης σου διαθέσεως καὶ ἐὰν ἐδέχθην τὸ δῶρον τοῦ ἀδελφοῦ σου ἐξ αἰτίας τῆς ἀγαθῆς του προαιρέσεως, ὅτι σοῦ στερῶ τὰ πρωτεῖα καὶ σὲ ἐκδιώκω ἀπὸ τὸ ἀξίωμα τῶν πρωτοτόκων. «Ἡσύχασε» διότι ἂν καὶ ἔχει γίνει ἄξιος τῆς τιμῆς ἀπὸ ἐμὲ καὶ ἔχουν γίνει τὰ δῶρα του εὐπρόσδεκτα, ἀλλὰ «Πρὸς σὲ θὰ καταφεύγῃ αὐτὸς καὶ σὺ θὰ ἐξουσιάσῃς αὐτόν». Ὥστε καὶ μετὰ τὴν ἁμαρτίαν αὐτὴν σὲ ἐπιτρέπω νὰ ἔχῃς τὰ πλεονεκτήματα τῆς πρωτοτοκίας, καὶ ἐκεῖνον διατάσσω νὰ εἶναι κάτω ἀπὸ τὴν ἰδικήν σου ἐξουσίαν καὶ ἀπὸ τὴν ἰδικήν σου ἀρχηγίαν. Πρόσεχε τὴν φιλανθρωπίαν τοῦ Κυρίου, πῶς ἐπιθυμεῖ νὰ καταπραΰνῃ τὸν θυμὸν καὶ τὴν παραφροσύνην του, καὶ νὰ σταματήσῃ τὴν ὁρμήν του μὲ τὰ λόγια αὐτά. Ἐπειδὴ βλέπει τὰς σκέψεις τῆς διανοίας του καὶ γνωρίζει καλὰ τὴν σκληρότητα τῆς φονικῆς αὐτοῦ διαθέσεως, ἤδη ἐπιθυμεῖ νὰ καταστήσῃ ἀπὸ τώρα εὐθὺν τὸν λογισμόν του, καὶ φέρῃ τὴν γαλήνην εἰς τὴν διάνοιαν αὐτοῦ, ὑποτάσσων εἰς αὐτὸν τὸν ἀδελφόν του καὶ χωρὶς νὰ ἀφαιρέσῃ τὴν ἐξουσίαν του. Ἀλλὰ καὶ μετὰ τὴν τόσην μεγάλην φροντίδα καὶ μετὰ τὰ τόσα πολλὰ φάρμακα τίποτε πλέον δὲν ὠφελήθη ὁ Κάιν. Τόσον μεγάλη εἶναι ἡ διαφορὰ τῆς διαθέσεως καὶ ἡ ὑπερβολὴ τῆς κακίας.

7. Ἀλλὰ διὰ νὰ μὴ φανοῦμεν ὅτι παρενοχλοῦμεν τὴν ἰδικήν σας ἀγάπην, παρατείνοντες ἀκόμη περισσότερον τὸν λόγον, καὶ διὰ νὰ μὴ θεωρηθῇ ἀπὸ σᾶς ἐνοχλητικὴ ἡ ὁμιλία μας, ἐπειδὴ καταπονεῖ τὰς ἀκοάς σας, ἀφοῦ σταματήσωμεν ἐδῶ τὸν λόγον, θὰ παρακαλέσωμεν αὐτὸ εἰς τὴν πρὸς ἀκρόασιν ἀγάπην σας· νὰ μισήσωμεν τὴν μίμησιν

προσειπόντες, τὰς τοῦ Κυρίου ἐντολὰς μετ' ἐπιμελείας πολλῆς καὶ ἐξ ὅλης καρδίας μετέρχεσθαι, καὶ μάλιστα μετὰ τοσούτων καὶ τηλικούτων παραδειγμάτων. Οὐδὲ γὰρ εἰς ἄγνοιαν λοιπὸν ἡμῶν τις καταφυγεῖν δυνήσεται. Εἰ γὰρ οὗτος, λέγω δὴ ὁ Κάϊν μηδένα ἔχων τῶν πρὸ αὐτοῦ γεγονότων εὑρεῖν τοιοῦτόν τι διαπραξάμενον, ὅμως τὴν ἀνύποιστον ἐκείνην καὶ χαλεπὴν ὑπέμεινε τιμωρίαν, ὡς μετέπειτα γνωσθήσεται, τί πείσεσθαι ἡμᾶς εἰκός, τὰ αὐτά, ἢ καὶ χείρονα ἁμαρτάνοντας, μετὰ τὴν τοσαύτην τῆς χάριτος δαψίλειαν; ἢ πάντως τὸ πῦρ τὸ αἰώνιον, τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸ σκότος τὸ ἐξώτερον, τὴν γέενναν τοῦ πυρός, καὶ τὰς ἄλλας τὰς ἀπαραιτήτους τιμωρίας ἡμᾶς ὑποδέξασθαι; Οὐδὲ γὰρ ἀπολογία τις λοιπὸν ὑπολείπεται, οὕτω ῥαθύμως ἡμῶν διακειμένων καὶ ἀναπεπτωκότων. Μὴ γὰρ οὐκ ἴσμεν ἅπαντες τὰ πρακτέα, καὶ τὰ μὴ τοιαῦτα; καὶ ὅτι οἱ μὲν τὰ πρῶτα πράττοντες, τὰ πρωτεῖα τῶν στεφάνων ἕξουσιν, οἱ δὲ τοῖς ἐσχάτοις ὑποπεσόντες τῶν ἐσχάτων ὑποστήσονται κολαστηρίων τὴν καταδίκην; Διὸ παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ, μὴ ἀνόνητος ἡμῶν ἡ ἐνταῦθα συνέλευσις γενέσθω, ἀλλὰ τῇ τῶν λόγων ἀκροάσει καὶ τὰ ἔργα ἐπακολουθείτω, ἵνα τὴν ἀπὸ τοῦ συνειδότος ἔχοντες πληροφορίαν, καὶ ταῖς χρησταῖς ἐλπίσιν ἐντεῦθεν ἤδη τρεφόμενοι, δυνηθῶμεν τῶν δυσχερῶν τοῦ παρόντος βίου εὐμαρῶς τὸ πέλαγος διαπλεύσαντες, εἰς τὸν λιμένα καταντῆσαι τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτυχεῖν, ὧν ἐπηγγείλατο Κύριος τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ τῷ ἁγίῳ καὶ προσκυνητῷ αὐτοῦ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

αὐτὴν καί, ἀφοῦ εἰποῦμεν πολλὰ χαίρετε εἰς τὴν κακίαν, νὰ ἐκτελοῦμεν τὰς ἐντολὰς τοῦ Κυρίου μὲ μεγάλην προσοχὴν καὶ μὲ ὅλην μας τὴν καρδίαν, καὶ μάλιστα ἔχοντες ὑπ' ὄψιν τόσον πολλὰ καὶ τόσον μεγάλα παραδείγματα. Εἰς τὸ ἑξῆς λοιπὸν οὔτε εἰς τὴν ἄγνοιαν δὲν θὰ ἠμπορέσῃ κανεὶς ἀπὸ ἠμᾶς νὰ καταφύγῃ. Διότι ἐὰν αὐτός, δηλαδὴ ὁ Κάιν, ὁ ὁποῖος δὲν ἠμποροῦσε νὰ εὑρῇ κανένα ἀπὸ τοὺς ζήσαντας πρὶν ἀπ' αὐτὸν νὰ ἔχῃ διαπράξῃ κάτι τὸ παρόμοιον, ὅμως ὑπέμεινε τὴν ἀφόρητον καὶ φοβερὰν ἐκείνην τιμωρίαν, ὅπως θὰ γίνῃ γνωστὴ ἀργότερα, τί εἶναι φυσικὸν νὰ πάθωμεν ἡμεῖς, οἱ ὁποῖοι ἁμαρτάνομεν τὰ ἴδια ἢ καὶ χειρότερα, μετὰ ἀπὸ τὴν τόσην ἀφθονίαν τῆς χάριτος; ἢ ὁπωσδήποτε θὰ μᾶς ὑποδεχθοῦν τὸ πῦρ τὸ αἰώνιον, ὁ σκώληξ ὁ ἀτελεύτητος, ὁ τριγμὸς τῶν ὀδόντων, τὸ σκότος τὸ ἐξώτερον, ἡ γέεννα τοῦ πυρὸς καὶ αἱ ἄλλαι αἱ ἀναπόφευκτοι τιμωρίαι; Οὔτε βέβαια μᾶς ἀπομένει κάποια ἀπολογία εἰς τὸ ἑξῆς, καθόσον συμπεριφερώμεθα μὲ τόσην ἀδιαφορίαν, καὶ παραμένομεν εἰς τὴν πτῶσιν. Διότι μήπως δὲν γνωρίζομεν ὅλοι τί πρέπει νὰ πράττωμεν, καὶ τί νὰ μὴ πράττωμεν; καὶ ὅτι ἐκεῖνοι ποὺ πράττουν τὰ πρῶτα, θὰ ἔχουν τὰ βραβεῖα τῶν στεφάνων, ἐνῷ ἐκεῖνοι ποὺ ὑπέπεσαν εἰς τὰ τελευταῖα θὰ ὑποστοῦν τὴν καταδίκην τῶν σκληροτέρων βασανιστηρίων; Διὰ τοῦτο παρακαλῶ καὶ εὔχομαι καὶ ἱκετεύω, νὰ μὴ γίνῃ ἀνώφελος ἡ συγκέντρωσίς μας ἐδῶ, ἀλλὰ εἰς τὴν ἀκρόασιν τῶν λόγων νὰ ἐπακολουθήσουν καὶ τὰ ἔργα, ὥστε, ἔχοντες τὴν πληροφορίαν ἀπὸ τὴν συνείδησιν καὶ τρεφόμενοι ἤδη ἀπὸ ἐκεῖ μὲ τὰς καλὰς ἐλπίδας, νὰ ἠμπορέσωμεν, ἀφοῦ διαπλεύσωμεν εὔκολα τὸ πέλαγος τῶν δυσχερειῶν τῆς παρούσης ζωῆς, νὰ φθάσωμεν εἰς τὸ λιμάνι τῆς φιλανθρωπίας τοῦ Θεοῦ καὶ νὰ ἐπιτύχωμεν τὰ ἀπερίγραπτα ἐκεῖνα ἀγαθά, τὰ ὁποῖα ἔχει ὑποσχεθῇ ὁ Κύριος εἰς τοὺς ἀγαπῶντας αὐτόν, μὲ τὴν χάριν καὶ τὴν εὐσπλαγχνίαν τοῦ μονογενοῦς του Υἱοῦ, μαζὶ μὲ τὸν ὁποῖον καὶ εἰς τὸ ἅγιον καὶ προσκυνητὸν αὐτοῦ Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

8. Πειθώμεθα δὲ τῇ θείᾳ Γραφῇ καὶ τοῖς ὑπ' αὐτῆς εἰρημένοις κατακολουθοῦντες τὰ ὑγειῆ δόγματα σπουδάζωμεν ἐναποτίθεσθαι ταῖς ἑαυτῶν ψυχαῖς· καὶ μετὰ τοῦτον καὶ βίου ἀκρίβειαν ἐπιδείκνυσθαι· ἵνα καὶ ὁ βίος μαρτυρῇ τοῖς δόγμασι· καὶ τὰ δόγματα τὸν βίον ἀξιοπιστότερον ἐπιφαίνῃ. Οὔτε γὰρ ἐὰν ἔχωμεν δόγματα μὲν ὀρθά, βίου δὲ ἀμελῶμεν, ὄφελος ἡμῖν ἔσται τι· οὔτε ἐὰν βίον ἔχοντες, τῶν ὀρθῶν δογμάτων ἀμελῶμεν κερδᾶναί τι χρήσιμον καὶ πρὸς σωτηρίαν ἡμετέραν δυνησόμεθα. Προσήκει γὰρ εἰ βουλοίμεθα καὶ γεέννης ἐλευθερωθῆναι, καὶ βασιλείας ἐπιτυχεῖν, ἀμφοτέρωθεν κοσμεῖσθαι καὶ δογμάτων ὀρθότητι, καὶ βίου ἐπιμελείᾳ. Τί γὰρ ὄφελος, εἰπέ μοι, δένδρου εἰς ὕψος πολὺ ἐκτεινομένου, καὶ τοῖς φύλλοις κομῶντος, ὅταν καρποῦ ἔρημον ᾖ· οὕτω καὶ τὸν χριστιανὸν οὐδὲν ὀνίνησι τὰ ὀρθὰ δόγματα, ἐάν τις κατὰ βίον ἀμελῇ. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοὺς τοιούτους ἐμακάριζε λέγων· «Μακάριος ὁ ποιήσας καὶ διδάξας». Τῆς γὰρ διὰ τῶν λόγων διδασκαλίας ἡ διὰ τῶν ἔργων ἀκριβεστέρα καὶ ἀξιοπιστοτέρα πολλῷ· ὁ γὰρ τοιοῦτος καὶ σιγῶν καὶ ὁρώμενος παιδεύειν δύναται τοὺς μὲν διὰ τῆς θέας, τοὺς δὲ καὶ διὰ τῆς ἀκοῆς· καὶ πολλῆς ἀπολαύσεται τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας· οὐ μόνον δὲ δι' ἑαυτοῦ· ἀλλὰ καὶ διὰ τῶν εἰς αὐτὸν ὁρώντων· παρασκευάζων δοξάζεσθαι τὸν αὐτοῦ Δεσπότην· ὁ τοιοῦτος διὰ μυρίων γλωσσῶν καὶ διὰ πολλῷ πλειόνων τὰς εὐχαριστίας καὶ τοὺς ὕμνους ἀνοίσει τῷ τῶν ὅλων Θεῷ. Οὐδὲ γὰρ οἱ γνώριμοι μόνον καὶ μάρτυρες ὄντες τοῦ βίου καὶ αὐτὸν θαυμάσονται καὶ τὸν αὐτοῦ Δεσπότην· ἀλλὰ καὶ οἱ ἀγνοοῦντες, παρ' ἑτέρων ταῦτα μανθάνοντες· καὶ οἱ πόρρωθεν οἰκοῦντες καὶ

10. Τὸ τμῆμα τῆς ὁμιλίας ποὺ ἀκολουθεῖ ἐδημοσιεύθη ὡς ἀπόσπασμα εἰς PG 64, 500 C - 501 B.

11. Ματθ. 5, 19.

12. Δηλ. αὐτὸς ποὺ διδάσκει διὰ τῶν ἔργων.

8. "Ας[10] ὑπακούωμεν λοιπὸν εἰς τὴν Ἁγίαν Γραφὴν καί, ἀκολουθοῦντες τὰ λεγόμενα αὐτῆς, ἂς προσπαθοῦμεν νὰ τοποθετοῦμεν μέσα εἰς τὰς ψυχάς μας τὰ ὀρθὰ δόγματα· καὶ μαζὶ μὲ αὐτὰ νὰ ἐπιδεικνύωμεν ὀρθὸν τρόπον ζωῆς· ὥστε καὶ ἡ ζωή μας νὰ ἐπιβεβαιώνῃ τὰ δόγματα, καὶ τὰ δόγματα νὰ ἐμφανίζουν τὴν ζωήν μας περισσότερον ἀξιόπιστον. Διότι οὔτε ἐὰν ἔχωμεν μὲν ὀρθὰ δόγματα, ἀδιαφοροῦμεν ὅμως διὰ τὸν τρόπον ζωῆς, θὰ ἔχωμεν κάποιο ὄφελος· οὔτε ἐὰν ζῶμεν ὀρθῶς καὶ ἀδιαφοροῦμεν διὰ τὰ ὀρθὰ δόγματα θὰ ἠμπορέσωμεν νὰ κερδίσωμεν κάτι τὸ χρήσιμον καὶ ποὺ θὰ συντελῇ διὰ τὴν ἰδικήν μας σωτηρίαν. Διότι πρέπει, ἐὰν θὰ θέλωμεν νὰ ἀπαλλαγοῦμεν καὶ ἀπὸ τὴν γέενναν καὶ νὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν, νὰ κοσμούμεθα καὶ μὲ τὰ δύο αὐτά, δηλαδὴ καὶ μὲ τὴν ὀρθότητα τῶν δογμάτων καὶ μὲ τὸν ὀρθὸν τρόπον ζωῆς. Διότι, εἰπέ μου, ποῖον τὸ ὄφελος, ὅταν ἕνα δένδρον ἐκτείνεται εἰς μέγα ὕψος καὶ ἔχει πλούσιον φύλλωμα, ὅταν δὲν παράγῃ καρπόν· ἔτσι καὶ τὰ ὀρθὰ δόγματα δὲν ὠφελοῦν καθόλου τὸν χριστιανόν, ἐὰν κάποιος ἀδιαφορῇ κατὰ τὸν βίον του. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐμακάριζεν αὐτοὺς λέγων· «Εἶναι μακάριος ἐκεῖνος ποὺ ἔπραξε καὶ ἐδίδαξε τὰς ἐντολάς»[11]. Διότι ἀπὸ τὴν διδασκαλίαν διὰ τῶν λόγων εἶναι κατὰ πολὺ τελειοτέρα καὶ ἀξιοπιστοτέρα ἡ διὰ τῶν ἔργων διδασκαλία. Διότι αὐτὸς[12] καὶ ὅταν σιωπᾷ καὶ ὅταν τὸν παρατηροῦν ἠμπορεῖ νὰ διδάσκῃ τοὺς μὲν μὲ τὴν θέαν, τοὺς δὲ καὶ μὲ τὴν ἀκοήν· καὶ θὰ ἀπολαύσῃ τὴν μεγάλην εὔνοιαν τοῦ Θεοῦ, ὄχι ὅμως μόνον μὲ τὸν ἑαυτόν του, ἀλλὰ καὶ μὲ τὴν βοήθειαν ἐκείνων ποὺ τὸν παρατηροῦν· προετοιμάζων νὰ δοξάζουν τὸν Κύριόν του, αὐτὸς θὰ ἀναπέμψῃ μὲ μυρίας γλώσσας καὶ κατὰ πολὺ περισσοτέρας τὰς εὐχαριστίας καὶ τοὺς ὕμνους πρὸς τὸν Θεὸν τῶν πάντων. Διότι ὄχι μόνον οἱ γνωστοί του καὶ ἐκεῖνοι, ποὺ εἶναι μάρτυρες τοῦ τρόπου ζωῆς του, θὰ θαυμάσουν καὶ αὐτὸν καὶ τὸν Κύριόν του, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ δὲν τὸν γνωρίζουν, πληροφορούμενοι αὐτὰ ἀπὸ ἄλλους· καὶ ἐκεῖνοι ποὺ κατοικοῦν μακρὰν καὶ ἐκεῖνοι ποὺ ἔχουν μεταναστεύ-

οἱ μακρὰν ἀπῳκισμένοι· καὶ οὐ φίλοι μόνο, ἀλλὰ καὶ ἐχθροὶ αἰδεσθήσονται τῆς ἀρετῆς τὴν ὑπερβολήν. Τοσαύτη γὰρ ταύτης ἰσχύς· ὡς καὶ τῶν πολεμούντων αὐτὴν ἀποφράττειν τὰ στόματα καὶ τὴν γλῶτταν ἐπιστομίζειν· καὶ ὥσπερ πρὸς τὰς ἀκτῖνας τὰς ἡλιακὰς οἱ ἀσθενεῖς τὰς ὄψεις ἀντιβλέψαι οὐ τολμῶσιν, οὕτως οὐδὲ πρὸς τὴν ἀρετὴν ἡ κακία ἀντιβλέψαι δυνήσεταί ποτε· ἀλλὰ παραχωρήσει, καὶ τὰ νῶτα δώσει καὶ τὴν ἧτταν ὁμολογήσει. Ὃ δὴ καὶ πεπεισμένοι, ἀντεχώμεθα τῆς ἀρετῆς· καὶ μετὰ ἀσφαλείας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν· καὶ τῶν μικρῶν καὶ εὐτελῶν εἶναι δοκούντων ἁμαρτημάτων εἴτε ἐν λόγοις εἴτε ἐν πράγμασιν ἀπέχεσθαι σπουδάζωμεν. Οὕτω γὰρ οὐδέποτε τοῖς μείζοσι περιπεσούμεθα τῶν ἁμαρτημάτων, ἐὰν τῶν μικρῶν ἀπεχώμεθα· καὶ τοῦ χρόνου προϊόντος δυνησόμεθα καὶ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύοντες, τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τὴν κόλασιν διαφυγεῖν τὴν ἀποκειμένην, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σει μακράν καὶ ὄχι μόνον οἱ φίλοι, ἀλλὰ καὶ οἱ ἐχθροὶ θὰ σεβασθοῦν τὴν ὑπερβολικὴν ἀρετήν. Διότι εἶναι τόσον μεγάλη ἡ δύναμίς της, ὥστε νὰ κλείνῃ ἐντελῶς τὰ στόματα τῶν ἐχθρῶν της καὶ νὰ φιμώνῃ τὴν γλῶσσαν των· καὶ ὅπως οἱ ἀδύνατοι κατὰ τοὺς ὀφθαλμοὺς δὲν τολμοῦν νὰ ἀτενίσουν πρὸς τὰς ἀκτῖνας τοῦ ἡλίου, ἔτσι οὔτε καὶ ἡ κακία θὰ ἠμπορέσῃ ποτὲ νὰ ἀτενίσῃ κατὰ πρόσωπον τὴν ἀρετήν, ἀλλὰ θὰ παραμερίσῃ, καὶ θὰ ὑποχωρήσῃ καὶ θὰ ὁμολογήσῃ τὴν ἧτταν της. Ἔχοντες πεισθῆ λοιπὸν δι' αὐτό, ἂς ἀφοσιωνώμεθα εἰς τὴν ἀρετήν· καὶ ἂς κατευθύνωμεν μὲ ἀσφάλειαν τὴν ζωήν μας· ἂς προσπαθοῦμεν νὰ ἀπέχωμεν εἴτε μὲ τὰ λόγια εἴτε μὲ τὰ ἔργα ἀπὸ τὰ ἁμαρτήματα ποὺ φαίνονται ὅτι εἶναι καὶ μικρὰ καὶ ἀσήμαντα. Διότι ἔτσι δὲν θὰ περιπέσωμεν ποτὲ εἰς τὰ μεγαλύτερα ἁμαρτήματα, ἐὰν ἀπέχωμεν ἀπὸ τὰ μικρά· καὶ μὲ τὸ πέρασμα τοῦ χρόνου θὰ ἠμπορέσωμεν, ὠφελούμενοι καὶ ἀπὸ τὴν πρὸς τὰ ἄνω ροπήν, νὰ φθάσωμεν τὴν ὑψίστην ἀρετὴν καὶ νὰ ἀποφύγωμεν τὴν εὑρισκομένην εἰς τὴν ἄλλην ζωὴν κόλασιν καὶ νὰ ἐπιτύχωμεν τὰ αἰώνια ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μὲ τοῦ ὁποίου εἰς τὸν Πατέρα μαζὶ καὶ εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΘ΄
(Γεν. 4, 8 - 15)

Καὶ εἶπε Κάϊν πρὸς τὸν Ἄβελ, ἀδελφὸν αὐτοῦ, διέλθωμεν δὴ εἰς τὸ πεδίον.

1. Καθάπερ τὰ ἀνίατα τῶν τραυμάτων οὐδὲ τοῖς αὐστηροῖς τῶν φαρμάκων εἴκει, οὐδὲ τοῖς γλυκαίνειν αὐτὰ δυναμένοις· οὕτω καὶ ἡ ψυχὴ ἐπειδὰν ἅπαξ αἰχμάλωτος γένηται, καὶ ἑαυτὴν ἐκδῷ ᾡτινι δήποτε πλημμελήματι, καὶ μὴ βούληται τὸ ἑαυτῆς συμφέρον συνιδεῖν, κἂν μυρία τις ἐνηχῇ, οὐδὲν κερδαίνει, ἀλλὰ καθάπερ νεκρὰς ἀκοὰς κεκτημένη, οὐδεμίαν ἀπὸ τῆς παραινέσεως δέχεται τὴν ὠφέλειαν, οὐκ ἐπειδὴ μὴ δύναται, ἀλλ' ἐπειδὴ μὴ βούλεται. Οὐδὲ γὰρ καθάπερ ἐπὶ τῶν σωματικῶν τραυμάτων ἐστὶν ἰδεῖν, οὕτω καὶ ἐπὶ τῆς προαιρέσεως. Ἐπὶ μὲν γὰρ τῶν σωματικῶν ἀκίνητά ἐστι πολλάκις τὰ τῆς φύσεως πάθη· ἐπὶ δὲ τῆς προαιρέσεως οὐδὲν τοιοῦτον· ἀλλ' ἔστι πολλάκις καὶ τὸν φαῦλον θελήσαντα μεταβαλέσθαι, καὶ γενέσθαι καλόν, καὶ τὸν καλὸν ῥαθυμήσαντα πρὸς τὴν κακίαν ἐξολισθῆσαι. Ἐπεὶ οὖν αὐτεξούσιον ἡμῶν τὴν φύσιν εἰργάσατο ὁ τῶν ὅλων Θεός· τὰ μὲν γὰρ ἑαυτοῦ ἅπαντα ἐπιδείκνυται, καὶ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ τὰ ἀπόρρητα καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας κινούμενα ἐπιστάμενος παραινεῖ, συμβουλεύει, προαναστέλλει τῆς κακῆς ἐπιχειρήσεως· οὐ μὴν ἀνάγκην ἐπιτίθησιν, ἀλλὰ τὰ φάρμακα κατάλληλα ἐπιθείς, ἀφίησιν ἐν τῇ γνώμῃ τοῦ κάμνοντος κεῖσθαι τὸ πᾶν. Τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ Κάϊν νῦν γέγονεν. Ὅρα γὰρ μετὰ τοσαύτην κηδεμονίαν εἰς ὅσην ἤδη

ΟΜΙΛΙΑ ΙΘ΄
(Γεν. 4, 8 - 15)

«Καὶ εἶπεν ὁ Κάιν πρὸς τὸν Ἄβελ τὸν ἀδελφὸν του, ἂς προχωρήσωμεν λοιπὸν εἰς τὴν πεδιάδα».

1. Τὰ ἀθεράπευτα τραύματα δὲν ὑποχωροῦν οὔτε μὲ τὰ ἰσχυρὰ φάρμακα, οὔτε μὲ ἐκεῖνα ποὺ ἠμποροῦν νὰ ἀνακουφίζουν αὐτά· ἔτσι ἀκριβῶς καὶ ἡ ψυχὴ ὅταν γίνῃ αἰχμάλωτος διὰ μίαν φορὰν καὶ ὑποχωρήσῃ εἰς οἱονδήποτε ἁμάρτημα καὶ δὲν ἐπιθυμῇ νὰ κατανοήσῃ τὸ συμφέρον της, καὶ ἂν ἀκόμη κάποιος διδάσκῃ μύρια πράγματα, τίποτε δὲν κερδίζει, ἀλλὰ ὡσὰν νὰ ἔχῃ νεκρὴν τὴν ἀκοήν, δὲν δέχεται καμμίαν ὠφέλειαν ἀπὸ τὴν παραίνεσιν, ὄχι διότι δὲν ἠμπορεῖ, ἀλλὰ διότι δὲν θέλει. Δὲν ἐπιτρέπεται ὅμως νὰ βλέπῃ κανεὶς καὶ τὴν προαίρεσιν τοῦ ἀνθρώπου ἔται, ὅπως βλέπει καὶ τὰ τραύματα τοῦ σώματος. Διότι εἰς μὲν τὰ σωματικὰ τραύματα τὰ πάθη τῆς φύσεως συχνὰ εἶναι ἀκίνητα· εἰς τὴν προαίρεσιν ὅμως δὲν συμβαίνει κάτι τέτοιο· ἀλλὰ εἶναι δυνατὸν πολλάκις καὶ ὁ κακός, ὅταν θελήσῃ, νὰ μεταβληθῇ καὶ νὰ γίνῃ καλός, καὶ ὁ καλὸς ὅταν ἀδιαφορήσῃ, νὰ παρεκτραπῇ πρὸς τὴν κακίαν. Ἐπειδὴ λοιπὸν ὁ Θεὸς τῶν πάντων ἐδημιούργησε τὴν φύσιν μας ἐλευθέραν, τὰς ἰδικάς του ἰδιότητας φανερώνει καὶ ἐνεργῶν κατὰ τὴν ἰδικήν του φιλανθρωπίαν καὶ γνωρίζων καλὰ καὶ τὰ ἀπόρρητα καὶ τὰς εὑρισκομένας εἰς τὸ βάθος τῆς διανοίας μας σκέψεις, προτρέπει, συμβουλεύει, προλαμβάνει τὴν κακὴν πρᾶξιν· ὅμως δὲν ἐπιβάλλεται ἀναγκαστικά, ἀλλὰ ἀφοῦ ἐπιθέσῃ τὰ κατάλληλα φάρμακα, ἀφήνει νὰ ἐξαρτᾶται τὸ καθετὶ ἀπὸ τὴν διάθεσιν τοῦ ἀσθενοῦς. Αὐτὸ λοιπὸν ἔχει γίνει καὶ τώρα εἰς τὴν περίπτωσιν τοῦ Κάιν. Διότι πρόσεξε ὕστερα ἀπὸ τόσην φροντίδα εἰς πόσην πα-

μανίαν ἐξώκειλε. Δέον γὰρ συνειδότα τὴν ἁμαρτίαν περὶ τὴν ταύτης διόρθωσιν λοιπὸν ἀσχοληθῆναι· ὁ δὲ καθάπερ μεθύων, τῷ πάθει καὶ τῷ τραύματι τῷ προλαβόντι ἕλκος ἕτερον συνάπτων, καὶ τὴν ἰατρείαν οὐ προσιέμενος τὴν μετὰ τοσαύτης ἐπιμελείας προσαχθεῖσαν αὐτῷ, ἀλλὰ τὸν οἰκεῖον φόνον εἰς ἔργον ἀγαγεῖν ἐπειγόμενος, ἀπὸ δόλου καὶ πανουργίας τὴν ἀρχὴν ποιεῖται, καὶ τοῖς πεπλανημένοις ῥήμασιν ἀπατᾷ τὸν ἀδελφόν. Τοσοῦτον θηριώδης ἐστὶν ἄνθρωπος εἰς κακίαν ἀποκλίνας. Ὥσπερ γὰρ μέγα καὶ τίμιον τὸ λογικὸν τοῦτο ζῶον, καὶ μάλιστα ἐπειδὰν ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ὁρμήσῃ, οὕτως ὅταν πρὸς κακίαν ἀποκλίνῃ, τῶν ἀνημέρων θηρίων μιμεῖται τὴν ὠμότητα. Ἀλλὰ καὶ εἰς τὴν ἐκείνων πάλιν μεταπεσὼν ἀγριότητα, τὸ ἥμερον τοῦτο καὶ λογικὸν ζῶον ἐκ πολλοῦ τοῦ περιόντος νικᾷ τὴν ἐκείνων θηριωδίαν. Ἴδωμεν οὖν καὶ ἐνταῦθα τί γίνεται. «Καὶ εἶπε», φησί, «Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, διέλθωμεν δὴ εἰς τὸ πεδίον». Τὰ μὲν ῥήματα ἀδελφοῦ, ἡ δὲ γνώμη φονική. Τί ποιεῖς, ὦ Κάϊν; οὐκ οἶδας πρὸς τίνα διαλέγῃ; οὐκ ἐννοεῖς ὅτι πρὸς ἀδελφόν σοι γίνεται ἡ διάλεξις; οὐ λογίζῃ ὅτι τὰς αὐτάς σοι ἔλυσεν ὠδῖνας; οὐ λαμβάνεις εἰς ἔννοιαν τὸ μυσαρὸν τῆς ἐπιχειρήσεως; οὐ φοβῇ τὸν ἀπαραλόγιστον δικαστήν; οὐ φρίττεις τὴν ἔννοιαν τοῦ τολμήματος; Τίνος γὰρ ἕνεκεν εἰς τὸ πεδίον ἕλκεις τὸν ἀδελφόν, καὶ ἔξω τῶν ἀγκαλῶν τῶν πατρικῶν ἐξάγεις; τίνος ἕνεκεν ἔρημον ποιεῖς τῆς πατρικῆς αὐτὸν βοηθείας; Τί τὸ ξένον, ὅτι νῦν εἰς τὸ πεδίον ἕλκεις τὸν ἀδελφόν, καὶ ὅπερ πρότερον οὐκ ἐποίησας, νῦν ποιεῖν ἐπιχειρεῖς, καὶ προφάσει φιλοφροσύνης εὔνοιαν ἀδελφικὴν προβαλλόμενος, τὰ τῶν πολεμίων αὐτῷ διαθεῖναι βουλεύῃ; Τίς ἡ μανία; τίς ἡ λύσσα; Ἔστω, πηρωθεὶς τὸν λογισμὸν οὐδένα λόγον ποιῇ τῆς ἀδελφικῆς διαθέσεως, οὔτε τὴν φύσιν αὐτὴν ἐπιγινώσκεις· ἀλλὰ τί πρὸς τὸν οὐδὲν ἠδικηκότα οὕτως ἐξεπολεμώθης; τί

ραφροσύνην παρεσύρθη. Ἔπρεπε βέβαια, ἀφοῦ ἀντελήφθη τὴν ἁμαρτίαν, νὰ ἀσχοληθῇ εἰς τὸ μέλλον διὰ νὰ διορθώσῃ αὐτήν· αὐτὸς ὅμως ὡσὰν μέθυσος, προσθέτων εἰς τὸ πάθος καὶ τὸ προηγούμενον τραῦμα καὶ ἄλλην πληγήν, καὶ χωρὶς νὰ δεχθῇ τὴν θεραπείαν, ἡ ὁποία ἐπροσφέρθη εἰς αὐτὸν μὲ τόσην φροντίδα, ἀλλὰ ἐπειγόμενος νὰ πραγματοποιήσῃ τὸν φόνον του, ἀρχίζει ἀπὸ τὸν δόλον καὶ τὴν πονηρίαν καὶ μὲ ψεύτικα λόγια ἐξαπατᾷ τὸν ἀδελφόν του. Εἶναι τόσον θηριώδης ὁ ἄνθρωπος, ὅταν ἀποκλίνῃ πρὸς τὴν κακίαν. Διότι ὅπως τὸ λογικὸν αὐτὸ ὂν εἶναι μέγα καὶ πολύτιμον, μάλιστα δὲ ὅταν ἐπιδιώκῃ ἐπίμονα τὰ ἔργα τῆς ἀρετῆς· ἔτσι ὅταν ἀποκλίνῃ πρὸς τὴν κακίαν, μιμεῖται τὴν σκληρότητα τῶν ἀγρίων θηρίων. Ἀλλὰ καὶ ὅταν μεταπέσῃ πάλιν εἰς τὴν ἀγριότητα ἐκείνων, τὸ ἥμερον καὶ λογικὸν αὐτὸ ὂν ὑπερβάλλει κατὰ πολὺ τὴν θηριωδίαν ἐκείνων. Ἂς παρακολουθήσωμεν λοιπὸν καὶ ἐδῶ τί συμβαίνει. «Καὶ εἶπεν ὁ Κάϊν πρὸς τὸν Ἄβελ τὸν ἀδελφόν του, ἂς προχωρήσωμεν λοιπὸν εἰς τὴν πεδιάδα». Τὰ μὲν λόγια εἶναι χαρακτηριστικὰ ἀδελφοῦ, ἡ σκέψις ὅμως εἶναι φονική. Τί κάνεις, Κάϊν; δὲν γνωρίζεις πρὸς ποῖον ὁμιλεῖς; δὲν ἀντιλαμβάνεται ὅτι συζητεῖς μὲ τὸν ἀδελφόν σου; δὲν σκέπτεσαι ὅτι ἐγεννήθη ἀπὸ τὴν ἰδίαν μὲ σὲ μητέρα; δὲν συλλογίζεσαι τὸ βδελυρὸν τῆς πράξεως; δὲν φοβεῖσαι τὸν δικαστήν, ποὺ δὲν ἠμπορεῖς νὰ ἐξαπατήσῃς; δὲν τρέμεις ἀπὸ τὴν σκέψιν τῆς τολμηρᾶς πράξεως; Διὰ ποῖον λοιπὸν λόγον σύρεις τὸν ἀδελφόν σου εἰς τὴν πεδιάδα, καὶ τὸν ἀπομακρύνεις ἀπὸ τὰς πατρικὰς ἀγκάλας; διὰ ποῖον λόγον στερεῖς ἀπ᾽ αὐτὸν τὴν πατρικὴν βοήθειαν; Τί τὸ παράξενον συμβαίνει, διότι τώρα σύρεις τὸν ἀδελφόν σου εἰς τὴν πεδιάδα, καὶ ἐκεῖνο ποὺ δὲν ἔκαμες προηγουμένως, τώρα προσπαθεῖς νὰ κάμῃς, καὶ προβάλλων ὡς πρόφασιν φιλοφροσύνης τὴν ἀδελφικὴν συμπάθειαν σκέπτεσαι νὰ συμπεριφερθῇς ἐχθρικὰ πρὸς αὐτόν; Ποία ἡ τρέλλα; ποία ἡ παραφροσύνη; Ἔστω, τυφλωθεὶς κατὰ τὴν σκέψιν δὲν λέγεις τίποτε διὰ τὴν ἀδελφικὴν διάθεσιν, οὔτε γνωρίζεις τὴν φύσιν αὐτήν· ἀλλὰ διατί ἦλθες εἰς πόλεμον πρὸς αὐτὸν ποὺ δὲν σὲ ἔχει

καὶ τοῖς γονεῦσιν ἔχων ἐγκαλεῖν τοσαύτην αὐτοῖς κατήφειαν περιβαλεῖν βουλεύῃ, καὶ ἀρχηγὸς γενέσθαι τοῦ φοβεροῦ τούτου δράματος, καὶ πρῶτος τὸν βίαιον τοῦτον θάνατον αὐτοῖς ὑποδεῖξαι; Ταύτας αὐτοῖς ἀποδίδως τὰς ἀμοιβὰς τῆς ἀνατροφῆς; Ποία τοῦ διαβόλου μηχανὴ εἰς ταύτην σε τὴν πρᾶξιν παρώρμησε; Μὴ γὰρ ἔχεις εἰπεῖν, ὅτι ἡ εὔνοια τοῦ κοινοῦ πάντων Δεσπότου, ἡ περὶ αὐτόν, ἐπαρθῆναι αὐτὸν ἐποίησε κατὰ σοῦ; Οὐχὶ προλαβὼν διὰ ταύτην σου τὴν φονικὴν γνώμην ὑπέταξεν αὐτόν, καὶ ὑπὸ τὴν σὴν ἐξουσίαν εἶναι πεποίηκε, καὶ εἶπεν, ὅτι «Πρός σε ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις»; Καὶ γὰρ περὶ τῆς τοῦ ἀδελφοῦ ὑποταγῆς τοῦτο ἐκλαμβάνειν δεῖ. Εἰσὶ γάρ τινες λέγοντες, ὅτι περὶ τῆς θυσίας τῆς προσενεχθείσης παρ' αὐτοῦ ὁ Θεὸς πρὸς αὐτὸν διελέχθη τὰ τοιαῦτα, ὅτι «Πρὸς σέ», φησί, «ἡ ἀποστροφὴ αὐτοῦ», τοῦ δώρου, «καὶ σύ ἄρξεις αὐτοῦ», ἀντὶ τοῦ, σὺ αὐτοῦ ἀπολαύσεις. Διὰ τοῦτο οὖν ἀμφότερα εἰπὼν καταλιμπάνω τῇ ὑμετέρᾳ συνέσει, ἵν' ὅπερ ἂν ὑμῖν ἀκολουθότερον φανῇ, δέξησθε καὶ αὐτοὶ τοῦτο. Ἐμοὶ γὰρ δοκεῖ περὶ τοῦ ἀδελφοῦ εἰρῆσθαι τοῦτο. «Καὶ ἐγένετο», φησίν, «ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ τὸν Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν». Φοβερὰ ἡ πρᾶξις, ἐπικίνδυνον τὸ τόλμημα, μυσαρὰ ἡ ἐπιχείρησις, ἀσύγγνωστον τὸ ἁμάρτημα, τεθηριωμένης ψυχῆς ἡ γνώμη. «Ἀνέστη», φησίν, «ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν». Ὢ μιαρᾶς χειρός· ὢ δεξιᾶς ἐλεεινῆς· μᾶλλον δὲ οὐ τὴν χεῖρα ἐλεεινὴν δεῖ καλεῖν καὶ μιαράν, ἀλλὰ τὴν γνώμην, ᾗ καὶ τὸ μέλος ὑπηρετήσατο. Εἴπωμεν τοίνυν οὕτως· ὢ γνώμης τολμηρᾶς, καὶ μιαρᾶς, καὶ ἐλεεινῆς, καὶ ὅπερ ἂν εἴποι τις, οὐδὲν ἄξιον ἐρεῖ. Πῶς οὐκ ἐνάρκησεν αὐτοῦ ἡ χείρ; πῶς ἠδυνήθη κατασχεῖν τὸ ξίφος, καὶ

1. Γεν. 4, 7.

ἀδικήσει; τί ἠμποροῦσες νὰ κατηγορήσῃς τοὺς γονεῖς σου καὶ σκέπτεσαι νὰ περιβάλῃς αὐτοὺς μὲ τόσον μεγάλην κατήφειαν καὶ νὰ γίνῃς ὁ ἀρχηγὸς τοῦ φοβεροῦ αὐτοῦ δράματος καὶ νὰ ὑποδείξῃς σὺ πρῶτος τὸν βίαιον αὐτὸν θάνατον; Αὐτὴν τὴν ἀμοιβὴν ἀνταποδίδεις εἰς αὐτοὺς διὰ τὴν ἀνατροφήν σου; Ποῖον τέχνασμα τοῦ διαβόλου σὲ ὤθησεν εἰς αὐτὴν τὴν πρᾶξιν; Μήπως λοιπὸν ἠμπορεῖς νὰ ἰσχυρισθῇς, ὅτι ἡ εὔνοια τοῦ κοινοῦ τῶν πάντων Δεσπότου πρὸς αὐτόν, τὸν ἔκαμε νὰ ὑπερηφανευθῇ ἐναντίον σου; Ἐξ αἰτίας αὐτῆς τῆς φονικῆς σου διαθέσεως, διὰ νὰ προλάβῃ τὸ κακόν, δὲν ὑπέταξεν αὐτὸν καὶ τὸν ἔκαμε νὰ εἶναι ὑπὸ τὴν ἐξουσίαν σου καὶ εἶπεν, ὅτι «Πρὸς σὲ θὰ καταφεύγῃ αὐτὸς καὶ σὺ θὰ ἐξουσιάζῃς αὐτόν»[1]; Πράγματι πρέπει νὰ θεωροῦμεν, ὅτι αὐτὸ ἀναφέρεται εἰς τὴν ὑποταγὴν τοῦ ἀδελφοῦ. Διότι ὑπάρχουν μερικοὶ ποὺ λέγουν, ὅτι ὁ Θεὸς συνωμίλησε μὲ τὸν Κάιν αὐτά, ἀναφερόμενος εἰς τὴν θυσίαν τὴν ὁποίαν ἐκεῖνος ἐπρόσφερεν εἰς αὐτόν, ὅτι «Εἰς σὲ θὰ ἀφορᾷ αὐτό», δηλαδὴ τὸ δῶρον, «καὶ σὺ θὰ ἐξουσιάζῃς αὐτό», ἀντὶ τοῦ, σὺ θὰ ἀπολαμβάνῃς αὐτό. Διὰ τοῦτο λοιπόν, ἀφοῦ εἶπα καὶ τὰ δύο, τὰ ἀφήνω εἰς τὴν ἰδικήν σας κρίσιν, ὥστε ἐκεῖνο ποὺ θὰ σᾶς φανῇ καταλληλότερον, νὰ τὸ δεχθῆτε καὶ σεῖς οἱ ἴδιοι. Διότι ἐγὼ ἔχω τὴν γνώμην ὅτι περὶ τοῦ ἀδελφοῦ ἔχει λεχθῆ τοῦτο. «Καὶ συνέβη, λέγει ἡ Γραφή, ὅταν εὑρέθησαν εἰς τὴν πεδιάδα, ἐπετέθη ὁ Κάιν ἐναντίον τοῦ ἀδελφοῦ του Ἄβελ καὶ ἐφόνευσεν αὐτόν». Εἶναι φοβερὰ ἡ πρᾶξις, ἐπικίνδυνον τὸ τόλμημα, βδελυρὸν τὸ ἐγχείρημα, ἀσυγχώρητον τὸ ἁμάρτημα, δεῖγμα θηριώδους ψυχῆς ἡ γνώμη. «Ἐπετέθη, λέγει, ἐναντίον τοῦ ἀδελφοῦ του Ἄβελ καὶ ἐφόνευσεν αὐτόν». Πόσον ἀκάθαρτον εἶναι τὸ χέρι! πόσον ἐλεεινὸν τὸ δεξιὸν χέρι! μᾶλλον ὅμως δὲν πρέπει νὰ ὀνομάζωμεν ἐλεεινὸν καὶ ἀκάθαρτον τὸ χέρι, ἀλλὰ τὴν γνώμην τὴν ὁποίαν ὑπηρέτησε τὸ μέλος τοῦ σώματος. Ἂς εἰποῦμεν λοιπὸν ἔτσι· Τί τολμηρὰ σκέψις καὶ ἀκάθαρτος καὶ ἐλεεινή! καὶ ὅ,τιδήποτε θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, τίποτε δὲν θὰ εἰπῇ ἀντάξιον αὐτῆς. Πῶς δὲν ἐναρκώθη τὸ χέρι του; πῶς ἠμπόρε-

*τὴν πληγὴν ἐπαγαγεῖν; πῶς οὐκ ἀπέπτη τοῦ σώματος ἡ ψυχή; πῶς ἴσχυσεν εἰς ἔργον ἀγαγεῖν **τὸ ἀνόσιον τοῦτο** τόλμημα; πῶς οὐκ ἐπεκάμφθη, καὶ μετέβαλε τὴν γνώμην; πῶς οὐκ ἔλαβεν ἔννοιαν τῆς φύσεως; πῶς οὐκ ἐλογίσατο πρὸ τῆς ἐπιχειρήσεως τὸ τέλος τοῦ γινομένου; πῶς ἤνεγκε μετὰ τὴν ἀναίρεσιν ἰδεῖν τὸ σῶμα τοῦ ἀδελφοῦ σπαῖρον ἐπὶ τῆς γῆς; πῶς ἴσχυσε θεάσασθαι σῶμα νεκρὸν ἐπὶ τῆς γῆς ἐρριμμένον, καὶ οὐ διελύθη εὐθὺς ἀπὸ τῆς θέας; Εἰ γὰρ ἡμεῖς μετὰ τοσούτων ἐτῶν ἀριθμόν, καθ' ἑκάστην ἡμέραν ὁρῶντες τοὺς τελευτῶντας, καὶ ταῦτα οἰκείᾳ τελευτῇ τῆς ζωῆς μεθισταμένους, καὶ οὐδαμόθεν ἡμῖν προσήκοντας κατακλώμεθα, κἂν ἐχθρὸς ᾖ καταλύομεν τὴν ἔχθραν· πολλῷ δὴ μᾶλλον τοῦτον εἰκὸς ἦν διαλυθῆναι, καὶ ἀθρόον ἀφεῖναι τὴν ψυχήν, ὁρῶντα τὸν πρὸ μικροῦ διαλεγόμενον, ἀδελφὸν τὸν ὁμομήτριον, τὸν ὁμοπάτριον, τὸν τὰς αὐτὰς αὐτῷ λύσαντα ὠδῖνας, τὸν τὴν παρὰ Θεοῦ εὔνοιαν ἐπισπασάμενον, ἐξαίφνης ἄπνουν καὶ ἀνενέργητον κείμενον, καὶ ἐπὶ τῆς γῆς σπαίροντα.*

2. Ἀλλ' ἴδωμεν πάλιν καὶ μετὰ τὴν ἀνοσίαν ταύτην πρᾶξιν, καὶ μετὰ τὸ τολμῆσαι τοῦτο τὸ πάσης συγγνώμης ἀπεστερημένον, πόση κέχρηται συγκαταβάσει καὶ φιλανθρωπίᾳ ὁ τῶν ἁπάντων Θεός. «Καὶ εἶπεν ὁ Θεὸς πρὸς τὸν Κάϊν». Αὐτὸ τοῦτο μόνον πόσης ἐστὶν ἀγαθότητος, τὸν τὰ τοιαῦτα ἐργασάμενον ἀποκρίσεως ἀξιῶσαι; Εἰ γὰρ ἡμεῖς πολλάκις τοὺς ὁμογενεῖς βδελυττόμεθα, ἐπειδὰν ἴδωμεν τοιοῦτόν τι τόλμημα ἐργασαμένους· πολλῷ μᾶλλον τὸν ἀγαθὸν Θεὸν ἐκπλήττεσθαι δεῖ τοσαύτῃ τῇ ἀνεξικακίᾳ κεχρημένον, καὶ μάλα εἰκότως. Ἰατρὸς γάρ ἐστι, καὶ πατὴρ φιλόστοργος· καὶ ὡς μὲν ἰατρὸς πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε τοὺς ἐν χαλεπαῖς ἀρρωστίαις τυγχάνοντας πρὸς ὑγίειαν ἐπαναγαγεῖν· ὡς δὲ πα-

σε νὰ κρατήσῃ τὸ ξίφος καὶ νὰ καταφέρῃ τὸ κτύπημα; Πῶς δὲν ἐγκατέλειψεν ἡ ψυχὴ τὸ σῶμα; πῶς ἠμπόρεσε νὰ πραγματοποιήσῃ τὸ ἐπαχθὲς τοῦτο τόλμημα; πῶς δὲν ἐλύγισε τὴν τελευταίαν στιγμὴν καὶ δὲν ἤλλαξε γνώμην; πῶς δὲν ἐσκέφθη τὴν φύσιν τοῦ ἀνθρώπου; πῶς δὲν ἐσυλλογίσθη πρὶν ἀπὸ τὸ ἐγχείρημα τὸ ἀποτέλεσμα τῆς πράξεώς του; πῶς ὑπέφερε νὰ ἰδῇ μετὰ τὸν φόνον τὸ σῶμα τοῦ ἀδελφοῦ του νὰ σφαδάζῃ ἐπάνω εἰς τὴν γῆν; πῶς ἠμπόρεσε νὰ βλέπῃ τὸ νεκρὸν σῶμα ἐξηπλωμένον ἐπὶ τῆς γῆς καὶ δὲν κατέρρευσεν ἀμέσως ἀπὸ τὸ θέαμα; Ἐὰν βέβαια ἡμεῖς, ὕστερα ἀπὸ τόσα χρόνια, ὅταν βλέπωμεν καθημερινὰ ἐκείνους, ποὺ ἀποθνήσκουν, καὶ μάλιστα νὰ ἀποθνήσκουν κατὰ φυσικὸν τρόπον, καὶ χωρὶς νὰ ἔχωμεν καμμίαν πρὸς αὐτοὺς συγγένειαν συντριβώμεθα, καὶ ἂν εἶναι ἐχθρός, καταπαύωμεν τὴν ἔχθραν· πολὺ περισσότερον ἦτο φυσικὸν νὰ συντριβῇ αὐτός, καὶ ἀμέσως νὰ ἀφήσῃ τὴν ψυχήν του, ἐπειδὴ ἔβλεπε ἐκεῖνον μὲ τὸν ὁποῖον πρὶν ἀπὸ ὀλίγον ἐσυζητοῦσε, τὸν ἀδελφόν, ποὺ ἐγεννήθη ἀπὸ τὴν ἰδίαν μητέρα καὶ τὸν ἴδιον πατέρα, ποὺ ἐξῆλθεν ἀπὸ τὴν ἰδίαν κοιλίαν, ποὺ ἐδέχθη τὴν εὔνοιαν τοῦ Θεοῦ, ξαφνικὰ νὰ κείτεται ἄπνους καὶ ἀκίνητος καὶ νὰ σφαδάζῃ ἐπάνω εἰς τὸ χῶμα.

2. Ἂς ἰδοῦμεν ὅμως πάλιν καὶ μετὰ τὴν βδελυρὰν αὐτὴν πρᾶξιν, καὶ ὕστερα ποὺ ἐτόλμησεν αὐτὸ τὸ ἐγχείρημα, τὸ ὁποῖον στερεῖται κάθε συγγνώμης, πόσην συγκατάβασιν καὶ φιλανθρωπίαν μεταχειρίζεται ὁ Θεὸς τῶν ὅλων. «Καὶ εἶπεν ὁ Θεὸς πρὸς τὸν Κάιν». Καὶ μόνον αὐτὸ εἶναι δεῖγμα πόσης ἀγαθότητος, τὸ νὰ θεωρήσῃ δηλαδὴ αὐτὸν ἄξιον ἀπολογίας, ἐνῷ διέπραξε τέτοιο ἔγκλημα; Ἐὰν ἡμεῖς πολλάκις ἀπεχθανώμεθα τοὺς συνανθρώπους μας, ὅταν βλέπωμεν νὰ διαπράττουν κάποιο παρόμοιον τόλμημα, πολὺ περισσότερον πρέπει νὰ ἐκπλήσσεται ὁ ἀγαθὸς Θεός, ποὺ μεταχειρίζεται μεγάλην ἀνεξικακίαν· καὶ πολὺ φυσικά. Διότι εἶναι ἰατρὸς καὶ φιλόστοργος πατέρας· καὶ ὡς ἰατρὸς μὲν τὰ πάντα κάνει καὶ ἐνεργεῖ, ὥστε τοὺς εὑρισκομένους εἰς ἐπικινδύνους ἀσθενείας νὰ ἐπαναφέρῃ εἰς τὴν ὑγείαν·

τὴρ φιλόστοργος τοὺς τὴν οἰκείαν εὐγένειαν διὰ ῥαθυμίαν προδεδωκότας βούλεται διὰ τῆς πατρικῆς φιλοστοργίας εἰς τὴν προτέραν ἀγαγεῖν εὐημερίαν. Ἐπεὶ οὖν πολὺ τῆς ἀγαθότητός ἐστιν αὐτοῦ τὸ μέγεθος, βούλεται καὶ πρὸς τὸν τὰ τοιαῦτα τετολμηκότα πολλὴν τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδείξασθαι. Φησὶ γὰρ πρὸς αὐτόν· «Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;». Πολλὴ καὶ ἄπειρος ἡ ἀνεξικακία τοῦ Θεοῦ. Οὐ γὰρ ἐπειδὴ ἠγνόει ἠρώτα, ἀλλ' ὅπερ ἐπὶ τοῦ πατρὸς αὐτοῦ πεποίηκεν· οὐδὲν γὰρ κωλύει πάλιν τὸ αὐτὸ εἰπεῖν. Καθάπερ γὰρ ἐκεῖνον ὁρῶν διὰ τὴν αἰσχύνην τῆς γυμνότητος κρυπτόμενον ἠρώτα, «Ποῦ εἶ;» οὐκ ἀγνοῶν, ἀλλὰ παρρησίας αὐτῷ ἀφορμὰς διδούς, ὥστε διὰ τῆς ὁμολογίας τοῦ πταίσματος ἀπονίψασθαι τὸ πλημμέλημα (τοῦτο γὰρ ἔθος αὐτῷ, ἄνωθεν καὶ ἐξ ἀρχῆς τὴν ὁμολογίαν ἀπαιτεῖν παρ' ἡμῶν τῶν ἡμαρτημένων, καὶ συγχώρησιν παρέχειν)· ἐρωτᾷ καὶ νῦν τὸν Κάϊν, καί φησι, «Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;». Ἄγνοιαν προσποιεῖται ὁ φιλάνθρωπος Δεσπότης, ἵνα διὰ τῆς ἐρωτήσεως παρασκευάσῃ τὸν τὰ τοιαῦτα εἰργασμένον ἐπειχθῆναι πρὸς τὴν ὁμολογίαν τοῦ πλημμελήματος, καὶ δυνηθῇ συγγνώμης τινὸς ἴσως καὶ φιλανθρωπίας ἐπιτυχεῖν. «Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;». Τί οὖν ὁ ἀγνώμων καὶ ἀναίσθητος, ὁ ἰταμὸς καὶ ἀναίσχυντος; Δέον ἐννοῆσαι ὅτι οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ τὴν παρ' αὐτοῦ ἀπαιτῶν ὁμολογίαν, καὶ ἡμᾶς παιδεύων μηδέποτε πρὸ τῆς ἀποδείξεως καταψηφίζεσθαι τῶν ἀδελφῶν τῶν ἡμετέρων, καὶ εἰς ἔννοιαν ἐλθεῖν τῆς τοῦ Δεσπότου συμβουλῆς, καὶ ὅτι ταύτην αὐτοῦ τὴν ἐπιχείρησιν ἀναστέλλων, καὶ εἰδὼς καὶ πρὸ τῆς ἐκβάσεως τὴν ἐν τῇ διανοίᾳ αὐτοῦ κίνησιν, προφυλακτικοῖς ἐχρήσατο φαρμάκοις· δέον ταῦτα πάντα ἐννοή-

2. Γεν. 3, 9.

ὡς φιλόστοργος δὲ πατέρας ἐκείνους, οἱ ὁποῖοι ἐξ αἰτίας τῆς ἀδιαφορίας των ἔχουν προδώσει τὴν εὐγενῆ καταγωγήν των, ἐπιθυμεῖ νὰ ἐπαναφέρῃ μὲ τὴν πατρικήν του στοργὴν εἰς τὴν προηγουμένην εὐτυχίαν των. Ἐπειδὴ λοιπὸν εἶναι πολὺ τὸ μέγεθος τῆς ἀγαθότητος αὐτοῦ, ἐπιθυμεῖ νὰ ἐπιδείξῃ καὶ πρὸς ἐκεῖνον, ποὺ εἶχε τολμήσει τὸ φοβερὸν ἔγκλημα, τὴν μεγάλην του φιλανθρωπίαν. Λέγει λοιπὸν πρὸς αὐτόν· «Ποῦ εἶναι ὁ Ἄβελ, ὁ ἀδελφός σου;». Μεγάλη καὶ ἄπειρος ἡ ἀνεξικακία τοῦ Θεοῦ. Δὲν ἠρώτησε βέβαια ἐπειδὴ δὲν ἐγνώριζεν, ἀλλὰ κάμνει αὐτό, ποὺ εἶχε κάνει καὶ εἰς τὴν περίπτωσιν τοῦ πατρός του, διότι τίποτε δὲν ἐμποδίζει αὐτὸν νὰ ἐννοῇ πάλιν τὸν ἴδιον λόγον. Ὅπως ἀκριβῶς, ὅταν ἔβλεπεν ἐκεῖνον νὰ κρύπτεται ἐξ αἰτίας τῆς ἐντροπῆς διὰ τὴν γυμνότητά του, ἠρώτησε, «Ποῦ εἶσαι;»[2] ὄχι διότι δὲν ἐγνώριζεν, ἀλλὰ διὰ νὰ τοῦ δώσῃ εὐκαιρίαν παρρησίας, ὥστε μὲ τὴν ὁμολογίαν τοῦ σφάλματος νὰ καθαρίσῃ τελείως τὸ ἁμάρτημα (διότι τοῦτο ἦτο συνήθειά του, εὐθὺς ἐξ ἀρχῆς, νὰ ἀπαιτῇ τὴν ὁμολογίαν ἀπὸ ἡμᾶς ποὺ ἔχομεν ἁμαρτήσει καὶ νὰ παρέχῃ τὴν συγγνώμην)· ἐρωτᾷ καὶ τώρα τὸν Κάιν, καὶ λέγει· «Ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου;». Προσποιεῖται ἄγνοιαν ὁ φιλάνθρωπος Κύριος, διὰ νὰ προετοιμάσῃ μὲ τὴν ἐρώτησιν ἐκεῖνον, ποὺ εἶχε διαπράξει τὰ παραπτώματα νὰ σπεύσῃ πρὸς τὴν ὁμολογίαν αὐτῶν καὶ νὰ ἠμπορέσῃ νὰ ἐπιτύχῃ κάποιαν συγγνώμην, ἴσως καὶ φιλανθρωπίαν. «Ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου;». Τί λοιπὸν ἔπρεπε νὰ κάνῃ ὁ ἀχάριστος καὶ ἀναίσθητος, ὁ θρασὺς καὶ ἀναίσχυντος; Ἔπρεπε νὰ ἀντιληφθῇ ὅτι δὲν ἐρωτᾷ ἐπειδὴ δὲν γνωρίζει, ἀλλὰ ἐπειδὴ ζητεῖ τὴν ὁμολογίαν του καὶ θέλει νὰ μᾶς διδάξῃ ὅτι ποτὲ δὲν πρέπει νὰ καταδικάζωμεν τοὺς ἀδελφούς μας προτοῦ ἀποδειχθοῦν τὰ ἀδικήματά των, καὶ νὰ ἐνθυμούμεθα τὴν συμβουλὴν τοῦ Κυρίου, καὶ ἐπειδὴ ἠθέλησε νὰ ἀναστείλῃ τὴν κακὴν αὐτοῦ ἐνέργειαν καὶ μολονότι ἐγνώριζε καὶ πρὶν ἀπὸ τὴν διάπραξιν αὐτῆς τὴν σκέψιν τῆς διανοίας του, ἐχρησιμοποίησε προληπτικὰ φάρμακα· ἔπρεπε ἀφοῦ ἐννοήσῃ ὅλα αὐτὰ νὰ σταθῇ μέχρις αὐ-

σαντα μέχρι τούτου στῆσαι τὰ τῆς μανίας, καὶ εἰπεῖν τὸ γεγονός, καὶ δεῖξαι τῷ ἰατρῷ τὸ ἕλκος, καὶ δέξασθαι τὰ παρ' αὐτοῦ φάρμακα· ὁ δὲ πάλιν ἐπιτείνει τὸ τραῦμα καὶ τὴν νομὴν τῶν ἑλκῶν βαρυτέραν ἐργάζεται. «Καὶ εἶπε», φησίν, «οὐ γινώσκω». Ὅρα ἀποκρίσεως ἀναίδειαν. Μὴ γὰρ ἀνθρώπῳ διαλέγῃ, ὃν ἴσως καὶ παραλογίσασθαι δυνατὸν ἦν; Οὐκ οἶδας, ἄθλιε καὶ ταλαίπωρε, τίς ἐστιν ὁ πρὸς σὲ διαλεγόμενος; οὐ λογίζῃ, ὅτι διὰ πολλὴν ἀγαθότητα πυνθάνεται, βουλόμενος ἀφορμήν τινα εὑρεῖν, δι' ἧς τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ ἵνα λοιπὸν τὰ παρ' ἑαυτοῦ ἅπαντα ἐπιδειξαμένου, μηδεμίαν ἔχῃς ἀπολογίαν τῇ τιμωρίᾳ σαυτὸν ὑπεύθυνον καταστήσας; «Καὶ εἶπε», φησίν, «οὐ γινώσκω. Μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ;». Ἐννόει μοι ἐνταῦθα τοῦ συνειδότος τὴν κατηγορίαν, καὶ ὅπως ὠθούμενος, ὡς εἰπεῖν, ὑπὸ τῆς συνειδήσεως οὐκ ἔστι μέχρι τοῦ εἰπεῖν, «Οὐ γινώσκω», ἀλλ' ἐπήγαγε, «Μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ;» μονονουχὶ ἑαυτὸν ἐλέγχων. Καίτοι εἴ σοι κατὰ ἀκολουθίαν ἅπαντα ἐπέπρακτο, καὶ κατὰ τὸν τῆς φύσεως νόμον, ἐχρῆν σε καὶ φύλακα εἶναι τῆς τοῦ ἀδελφοῦ σωτηρίας. Τοῦτο γὰρ ἡ φύσις ἐπέτρεπε, καὶ ἔδει τοὺς τὰς αὐτὰς λύσαντας ὠδῖνας, ἀλλήλων φύλακας εἶναι. Εἰ δὲ μὴ τοῦτο ἐβούλου, μηδὲ ἤθελες φύλαξ τοῦ ἀδελφοῦ, τίνος ἕνεκεν καὶ σφαγεὺς ἐγένου, καὶ τὸν οὐδὲν ἠδικηκότα ἐφόνευσας, καὶ ἐνόμισας μηδὲ τὸν ἐλέγχοντα ἔχειν; Ἀλλ' ἀνάμεινον, καὶ ὄψει αὐτόν σου κατήγορον γινόμενο τὸν ἀνῃρημένον, καὶ νεκρὸν κείμενόν σου τοῦ ζῶντος καὶ βαδίζοντος λαμπρᾷ τῇ φωνῇ κατηγοροῦντα. «Καὶ εἶπεν ὁ Θεός, τί ἐποίησας τοῦτο;». Πολλὴ καὶ τοῦ ῥήματος ἡ ἔμφασις. Τίνος ἕνεκεν, φησί, τοῦτο διεπράξω; τί ἐποίησας τοῦτο τὸ ἀνόσιον τόλμημα, τὸ μιαρὸν ἐπιχείρημα, τὴν πρᾶξιν τὴν ἀσύγγνωστον, τὴν μανίαν τὴν ἀφόρητον, τὸν φόνον τὸν καινὸν καὶ ξένον, καὶ

τὸ τὸ σημεῖον τῆς τρέλλας του καὶ νὰ ὁμολογήσῃ τὴν πρᾶξιν, καὶ νὰ δείξῃ εἰς τὸν ἰατρὸν τὸ τραῦμα καὶ νὰ δεχθῇ τὰ φάρμακά του· ἐκεῖνος ὅμως ἐπαυξάνει τὸ τραῦμα καὶ καθιστᾷ βαρυτέραν τὴν διάβρωσιν τῶν πληγῶν. «Καὶ εἶπε, λέγει ἡ Γραφή, δὲν γνωρίζω». Πρόσεξε τὴν ἀναίδειαν τῆς ἀπαντήσεως. Μήπως λοιπὸν συζητεῖς μὲ ἄνθρωπον, τὸν ὁποῖον εἶναι ἴσως δυνατὸν νὰ ἐξαπατήσῃς; Δὲν γνωρίζεις, ἄθλιε καὶ ταλαίπωρε, ποῖος εἶναι ἐκεῖνος ποὺ συζητεῖ μαζί σου; δὲν σκέπτεσαι, ὅτι ἀπὸ πολλὴν ἀγαθότητα ἐρωτᾷ νὰ μάθῃ, ἐπιθυμῶν νὰ εὕρῃ κάποιαν ἀφορμήν, μὲ τὴν ὁποίαν νὰ ἐπιδείξῃ τὴν ἰδικήν του φιλανθρωπίαν καί, ἀφοῦ ἐξαντλήσῃ ὅλα τὰ ἰδικά του, νὰ μὴ ἔχῃς εἰς τὸ ἑξῆς καμμίαν δικαιολογίαν διὰ τὴν τιμωρίαν, διότι κατέστησες τὸν ἑαυτόν του ὑπεύθυνον; «Καὶ εἶπε, λέγει, δὲν γνωρίζω. Μήπως ἐγὼ εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου». Κατανόησε, παρακαλῶ, ἐδῶ τὸν ἔλεγχον τῆς συνειδήσεως, καὶ πῶς ὠθούμενος, κατὰ κάποιον τρόπον, ἀπὸ τὴν συνείδησιν δὲν ἐσταμάτησε μέχρι ποὺ εἶπε, «Δὲν γνωρίζω», ἀλλὰ ἐπρόσθεσε, «Μήπως ἐγὼ εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου;» σχεδὸν ἐλέγχων τὸν ἑαυτόν του. Ἂν καὶ σὺ εἶχες πράξει μὲ συνέπειαν τὰ πάντα καὶ σύμφωνα μὲ τοὺς φυσικοὺς νόμους, ἔπρεπε νὰ εἶσαι καὶ φύλακας τῆς σωτηρίας τοῦ ἀδελφοῦ σου. Διότι αὐτὸ ἐπέβαλλεν ἡ φύσις καὶ ἔπρεπε νὰ εἶναι φύλακες μεταξύ των ἐκεῖνοι, ποὺ ἐγεννήθησαν ἀπὸ τὴν ἰδίαν μητέρα. Ἐὰν ὅμως δὲν ἤθελες αὐτό, οὔτε ἤθελες νὰ εἶσαι φύλακας τοῦ ἀδελφοῦ σου, διὰ ποῖον λόγον ἔγινες καὶ σφαγεύς, καὶ ἐφόνευσες αὐτὸν ποὺ δὲν σὲ εἶχεν ἀδικήσει καθόλου, καὶ ἐνόμισες ὅτι δὲν ἔχεις οὔτε ἐκεῖνον, ποὺ θὰ σὲ ἐλέγχῃ; Περίμενε ὅμως, καὶ θὰ ἴδῃς αὐτὸν τὸν φονευθέντα νὰ γίνεται κατήγορός σου, καὶ ἐνῷ κεῖται νεκρὸς θὲ μαθαρὰν φωνὴν νὰ κατηγορῇ σέ, ποὺ ζῇς καὶ βαδίζεις. «Καὶ εἶπεν ὁ Θεός, διατί ἔκαμες αὐτό;». Εἶναι μεγάλη ἡ ἔμφασις τοῦ λόγου. Διὰ ποῖον λόγον, λέγει, διέπραξες αὐτό; διατί ἔκαμες αὐτὸ τὸ ἀνόσιον τόλμημα, τὸ μιαρὸν ἐγχείρημα, τὴν ἀσυγχώρητον πρᾶξιν, τὴν ἀφόρητον τρέλλαν, τὸν πρωτάκουστον καὶ παράξενον φόνον,

πρῶτον τῷ τῶν ἀνθρώπω βίῳ εἰσενεχθέντα διὰ τῆς σῆς δεξιᾶς; τί ἐποίησας τοῦτο τὸ μέγα καὶ φοβερόν, τὸ μὴ ἔχον ἑτέραν ὑπερβολὴν ἁμαρτήματος; «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς». Μὴ γὰρ ἄνθρωπός εἰμι, φησίν, ἐκείνης μόνης τῆς φωνῆς τῆς διὰ γλώττης προφερομένης ἀκούων; Θεός εἰμι δυνάμενος καὶ δι᾽ αἵματος ὑπακούειν βοῶντος, καὶ χαμαί που κάτω κειμένου. Ἰδοὺ γὰρ πόσον ἵπταται τοῦ αἵματος τούτου ἡ φωνή, ὡς ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν ἀναβαίνειν, καὶ παρατρέχειν τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ τὰς ἀνωτέρω δυνάμεις, καὶ παρ᾽ αὐτὸν ἵστασθαι τὸν θρόνον τὸν βασιλικόν, καὶ τὴν σὴν μιαιφονίαν ἀποδύρεσθαι, καὶ τῆς ἀνοσίας πράξεως κατηγορεῖν. «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς». Μὴ γάρ, φησίν, εἰς ξένον καὶ ἀλλότριον τὴν παρανομίαν ταύτην εἰργάσω; Εἰς τὸν ἀδελφὸν τὸν σόν, τὸν οὐδὲν ἠδικηκότα. Ἀλλ᾽ ἴσως ἡ παρ᾽ ἐμοῦ εὔνοια τὸν φόνον αὐτῷ τοῦτον ἔτεκε, καὶ μὴ δυνάμενος ἐμοὶ μάχεσθαι, εἰς ἐκεῖνον τὸν ἀκάθεκτον θυμὸν ἐξεκένωσας. Διά τοι τοῦτο τοιαύτην ἐπάξω σοι τιμωρίαν, ὡς μηδὲ λήθῃ παραδοθῆναι τὸ τολμηθέν, καὶ τὴν διὰ τοῦτο ἐπενεχθεῖσάν σοι τιμωρίαν, ἵνα τὰ εἰς σὲ γενόμενα σωφρονισμὸς γένηται τοῖς μετὰ ταῦτα ἅπασι. «Καὶ νῦν», ἐπειδὴ τοῦτο εἰργάσω, καὶ εἰς ἔργον ἤγαγες τὰ κακῶς σοι δόξαντα, καὶ ὑπὸ τοῦ φθόνου τοῦ πολλοῦ εἰς τὸν φόνον ὥρμησας, «Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς».

3. Ὁρᾷς τῆς κατάρας τὴν διαφοράν, ἀγαπητέ; Μὴ ἁπλῶς παραδράμῃς, ἀλλ᾽ ἐκ τοῦ μεγέθους τῆς κατάρας, ἐννόει τοῦ τολμήματος τὴν ὑπερβολήν. Καὶ ὅσῳ μεῖζον τοῦτο τὸ ἁμάρτημα τῆς παραβάσεως τοῦ πρωτοπλάστου ἐκ τῆς διαφορᾶς τῆς κατάρας ἔξεστι τῷ βουλομένῳ συνιδεῖν. Ἐκεῖ μὲν γάρ φη-

ὁ ὁποῖος ἔχει εἰσαχθῇ διὰ πρώτην φορὰν μὲ τὸ ἰδικόν σου χέρι εἰς τὴν ζωὴν τῶν ἀνθρώπων; διατί ἔπραξες αὐτὸ τὸ μέγα καὶ φοβερόν, ποὺ δὲν ἔχει κανένα μεγαλύτερόν του ἁμάρτημα; «Ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου ἀπὸ τὸ ἔδαφος φωνάζει δυνατὰ πρὸς ἐμέ». Μήπως λοιπὸν εἶμαι ἄνθρωπος, λέγει, νὰ ἀκούω μόνον ἐκείνην τὴν φωνὴν ποὺ προφέρεται μὲ τὴν γλῶσσαν; Εἶμαι Θεὸς καὶ ἠμπορῶ νὰ ἀκούω διὰ τοῦ αἵματος ἐκεῖνον ποὺ φωνάζει καὶ ἂν ἀκόμη κεῖται κάπου νεκρὸς ἐπάνω εἰς τὴν γῆν. Ἰδοὺ λοιπὸν πόσον πετᾷ ἡ φωνὴ τοῦ αἵματος αὐτοῦ, ὡσὰν νὰ ἀναβαίνῃ ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανόν, καὶ νὰ διατρέχῃ τὸ ὑψηλότερον μέρος τοῦ οὐρανοῦ καὶ τὰς ἐπουρανίους δυνάμεις καὶ νὰ στέκεται πλησίον τοῦ θρόνου τοῦ Βασιλέως καὶ νὰ θρηνῇ τὸν ἰδικόν σου φόνον καὶ νὰ κατηγορῇ τὴν ἀνόσιον φονικήν σου πρᾶξιν. «Ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου ἀπὸ τὴν γῆν φωνάζει δυνατὰ πρὸς ἐμέ». Μήπως λοιπόν, λέγει, διέπραξες τὴν παράνομον αὐτὴν πρᾶξιν εἰς ξένον καὶ ἄγνωστον; Εἰς τὸν ἰδικόν σου ἀδελφόν, ὁ ὁποῖος δὲν σὲ εἶχεν ἀδικήσει καθόλου. Ἴσως ὅμως ἡ εὔνοιά μου πρὸς τὸν ἀδελφόν σου ἐπροκάλεσε τὸν φόνον αὐτόν, καί, ἐπειδὴ δὲν ἠμποροῦσες νὰ πολεμήσῃς ἐμέ, ἐκένωσες ὅλην τὴν ἀσυγκράτητον ὀργήν σου πρὸς ἐκεῖνον. Διὰ τοῦτο ἀκριβῶς θὰ σοῦ ἐπιβάλω τέτοιαν τιμωρίαν, ὥστε νὰ μὴ λησμονηθῇ ποτὲ τὸ τόλμημά σου καὶ ἡ ἐπιβληθεῖσα διὰ τοῦτο τιμωρία εἰς σέ, καὶ νὰ γίνουν παράδειγμα σωφρονισμοῦ τὰ παθήματά σου εἰς ὅλους τοὺς μεταγενεστέρους. «Καὶ τώρα», ἐπειδὴ διέπραξες αὐτὸ καὶ ἐπραγματοποίησες τὰς κακὰς σκέψεις σου καὶ ὥρμησες εἰς τὸν φόνον ἐξ αἰτίας τοῦ μεγάλου φθόνου, «θὰ εἶσαι καταραμένος ἀπὸ τὴν γῆν».

3. Βλέπεις, ἀγαπητέ, τὴν διαφορὰν τῆς κατάρας; Μὴ τὸ παρατρέξῃς ἁπλᾶ, ἀλλὰ ἀπὸ τὸ μέγεθος τῆς κατάρας, προσπάθησε νὰ κατανοήσῃς τὴν ὑπερβολὴν τοῦ τολμήματος. Καὶ πόσον μεγαλύτερον εἶναι τὸ ἁμάρτημα αὐτὸ ἀπὸ τὴν παράβασιν τοῦ πρωτοπλάστου, εἶναι δυνατὸν νὰ ἀντιληφθῇ ἐκεῖνος ποὺ θέλει ἀπὸ τὴν διαφορὰν τῆς κατάρας.

σιν, «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου», καὶ ἐπὶ τὴν γῆν τὴν κατάραν ἐξέχεε, τὴν κηδεμονίαν τὴν περὶ τὸν ἄνθρωπον ἐπιδεικνύμενος· ἐνταῦθα δὲ ἐπειδὴ ἡ πρᾶξις ὀλεθρία, καὶ τὸ τόλμημα παράνομον, καὶ τὸ ἐπιχείρημα ἀσύγγνωστον, αὐτὸς τὴν κατάραν δέχεται· «Ἐπικατάρατος γάρ», φησί, «σὺ ἀπὸ τῆς γῆς». Ἐπειδὴ γὰρ τὰ αὐτὰ σχεδὸν τῷ ὄφει εἰργάσατο, καθάπερ ὀργάνῳ ὑπηρετησαμένῳ τῇ τοῦ διαβόλου γνώμῃ, καὶ καθάπερ ἐκεῖνος διὰ τῆς ἀπάτης τὴν θνητότητα εἰσήγαγεν· οὕτω καὶ οὗτος ἀπατήσας τὸν ἀδελφόν, καὶ εἰς τὸ πεδίον ἐξαγαγών, τὴν δεξιὰν ὥπλισε κατ' αὐτοῦ, καὶ τὸν φόνον εἰργάσατο. Διὰ τοῦτο ὥσπερ ἐκείνῳ ἔλεγεν· Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς· οὕτω καὶ τούτῳ, ἐπειδὴ τὰ αὐτὰ ἐκείνῳ εἰργάσατο. Ὥσπερ γὰρ ὁ διάβολος ὑπὸ φθόνου καὶ βασκανίας κινούμενος, καὶ οὐ φέρων τὰς ἀφάτους εὐεργεσίας τὰς εἰς τὸν ἄνθρωπον γεγενημένας ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων, ἀπὸ τοῦ φθόνου ἐπὶ τὴν ἀπάτην ὥρμησε τὴν τὸν θάνατον εἰσάγουσαν· οὕτω καὶ οὗτος θεασάμενος εὐνοϊκῶς τὸν Δεσπότην πρὸς τὸν ἀδελφὸν διακείμενον, ἀπὸ τοῦ φθόνου ἐπὶ τὸν φόνον ὥρμησε. Διό φησι πρὸς αὐτόν· «Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς». Κατηραμένος ἔσῃ, φησί, καὶ αὐτῇ τῇ γῇ ἐκείνῃ, «Ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου». Καὶ αὐτῇ τῇ γῇ ἔσῃ, φησί, κατηραμένος, τῇ ἀνασχομένῃ τοιούτῳ αἵματι ἀρδευθῆναι τοσούτου μύσους πεπληρωμένῳ, καὶ ὑπὸ χειρὸς οὕτως ἀνοσίας ἐκχεομένῳ. Εἶτα ἑρμηνεύουσα ἡ θεία Γραφὴ σαφέστερον τὴν κατάραν, φησίν· «Ὅτε ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι». Μέγα τιμωρίας εἶδος, καὶ πολὺς ὄγκος τῆς ἀγανακτήσεως. Τὸν μὲν πόνον, φησίν, ὑπομενεῖς, καὶ τὰ σαυτοῦ ἅπαντα ἐπιδείξῃ, καὶ ἐργάσῃ τὴν γῆν τοιούτῳ αἵματι μολυνθεῖσαν· οὐ καρπώσῃ δέ τινα αἴσθησιν τῶν πολλῶν πόνων ἐκείνων, ἀλλ' ἀνόνητος ἔσται σοι πᾶς ὁ κόπος, ὃν ἂν ἐπι-

---

3. Γεν. 3, 17.
4. Γεν. 3, 14.

Διότι ἐκεῖ μὲν λέγει, «Θὰ εἶναι καταραμένη ἡ γῆ εἰς τὰ ἔργα σου»[3], καὶ ἔρριπτε τὴν κατάραν ἐπάνω εἰς τὴν γῆν, δεικνύων τὴν φροντίδα του διὰ τὸν ἄνθρωπον· ἐδῶ ὅμως ἐπειδὴ ἡ πρᾶξις ἦτο καταστρεπτικὴ καὶ τὸ τόλμημα παράνομον καὶ τὸ ἐγχείρημα ἀσυγχώρητον, αὐτὸς ὁ ἴδιος δέχεται τὴν κατάραν· «Θὰ εἶσαι λοιπὸν καταραμένος, λέγει, ἀπὸ τὴν γῆν». Ἐπειδὴ λοιπὸν ἔπραξε τὰ ἴδια σχεδὸν μὲ τὸν ὄφιν, ὡσὰν ἕνα μέσον ποὺ ὑπηρέτησε τὴν γνώμην τοῦ διαβόλου, καὶ ὅπως ἐκεῖνος εἰσήγαγε μὲ τὴν ἀπάτην τὸν θάνατον· ἔτσι καὶ αὐτὸς ἀφοῦ ἐξηπάτησε τὸν ἀδελφόν του καὶ τὸν ὡδήγησεν ἔξω εἰς τὴν πεδιάδα, ὥπλισε τὸ χέρι ἐναντίον του καὶ διέπραξε τὸν φόνον. Διὰ τοῦτο ὅπως ἔλεγεν εἰς ἐκεῖνον· «Θὰ εἶσαι καταραμένος ἀπὸ ὅλα τὰ θηρία τῆς γῆς·»[4] ἔτσι καὶ εἰς αὐτὸν λέγει, ἐπειδὴ ἔκαμε τὰ ἴδια μὲ ἐκεῖνον. Διότι ὅπως ὁ διάβολος, ὁ ὁποῖος κινεῖται ἀπὸ τὸ μῖσος καὶ τὸν φθόνον καὶ δὲν ἀνέχεται τὰς ἀπείρους εὐεργεσίας, ποὺ ἐδόθησαν εὐθὺς ἐξ ἀρχῆς, ἀπὸ τὸν φθόνον ὥρμησε πρὸς τὴν ἀπάτην, ἡ ὁποία φέρει τὸν θάνατον· ἔτσι καὶ αὐτὸς ἐπειδὴ εἶδεν ὅτι ὁ Κύριος διάκειται εὐνοϊκὰ πρὸς τὸν ἀδελφόν του, ὥρμησεν ἀπὸ τὸν φθόνον πρὸς τὸν φόνον. Διὰ τοῦτο λέγει πρὸς αὐτόν· «Θὰ εἶσαι καταραμένος ἀπὸ τὴν γῆν». Θὰ εἶσαι καταραμένος, λέγει, καὶ ἀπὸ αὐτὴν τὴν γῆν, «ἡ ὁποία ἤνοιξε τὸ στόμα της νὰ δεχθῇ τὸ αἷμα τοῦ ἀδελφοῦ σου, ποὺ ἐχύθη ἀπὸ τὸ χέρι σου». Καὶ θὰ εἶσαι καταραμένος, λέγει, ἀπὸ αὐτὴν τὴν γῆν ἡ ὁποία ἠνέχθη νὰ ποτισθῇ μὲ τέτοιο αἷμα, ποὺ ἦτο γεμᾶτον ἀπὸ τόσην βδελυγμίαν καὶ ἐχύθη ἀπὸ τόσον ἀσεβὲς χέρι. Ἑρμηνεύουσα εἰς τὴν συνέχειαν ἡ Ἁγία Γραφὴ τὴν κατάραν μὲ περισσοτέραν σαφήνειαν, λέγει· «Ὅταν θὰ καλλιεργῇς τὴν γῆν, οὐδέποτε θὰ σοῦ δώσῃ εἰς τὸ ἑξῆς πλήρη τὸν καρπόν της». Τὸ εἶδος τῆς τιμωρίας εἶναι μέγα καὶ πολὺ τὸ μέγεθος τῆς ἀγανακτήσεως. Τοὺς μὲν κόπους, λέγει, θὰ ὑπομένῃς καὶ θὰ καταβάλῃς ὅλας τὰς δυνάμεις σου, καὶ θὰ καλλιεργῇς τὴν γῆν, ἡ ὁποία ἐμολύνθη μὲ τέτοιο αἷμα· δὲν θὰ ἀπολαύσῃς ὅμως τίποτε διὰ τοὺς πολλοὺς κόπους σου, ἀλλὰ θὰ σοῦ εἶναι ἀνώφελος ὅλος ὁ κόπος, τὸν

δείξῃ. Καὶ οὐ μέχρι τούτου τὰ τῆς τιμωρίας στήσεται, ἀλλὰ καὶ «Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς». Πάλιν καὶ τοῦτο μέγιστον τιμωρίας εἶδος, τὸ διηνεκῶς στένειν καὶ τρέμειν. Ἐπειδὴ γὰρ οὐκ εἰς δέον ἐχρήσω, φησί, τῇ ἰσχύϊ τοῦ σώματος, οὐδὲ τῇ τῶν μελῶν εὐεξίᾳ, διὰ τοῦτο διηνεκῶς σοι τὸν σάλον καὶ τὸν τρόμον ἐπιτίθημι, ἵνα μὴ μόνον αὐτὸς ἔχῃς ἀδιάλειπτον νουθεσίαν, καὶ ὑπόμνησιν τῆς ἀνοσίας πράξεως ταύτης, ἀλλ᾽ ἵνα καὶ πάντες οἱ εἰς σὲ βλέποντες, διὰ τῆς ὄψεως, καθάπερ διὰ φωνῆς τινος λαμπρὰ βοώσης, μανθάνωσί μὴ τὰ τοιαῦτα τολμᾶν, ἵνα μὴ τὰ τοιαῦτα πάθωσι, καὶ ἡ εἰς σὲ τιμωρία διδάσκαλος ἅπασι γένηται, μηκέτι τοιούτῳ αἵματι τὴν γῆν μολῦναί ποτε. Διά τοι τοῦτο οὐδὲ σύντομόν σοι τὴν τελευτὴν ἐπάγω, ἵνα μὴ λήθῃ παραδοθῇ τὸ γεγονός, ἀλλὰ ζωὴν θανάτου βαρυτέραν ὑπομένειν σε ποιῶ, ἵνα δι᾽ αὐτῶν τῶν ἔργων μάθῃς οἷα ἐτόλμησας. «Καὶ εἶπε Κάϊν πρὸς Κύριον· μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με». Μέγα τι σφόδρα λυσιτελὲς πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν ἔξεστιν ἐντεῦθεν καταμαθεῖν, ἐὰν βουλώμεθα προσέχειν. «Καὶ εἶπε Κάϊν, μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με». Ἰδοὺ ὁμολογία ἀπηρτισμένη. Τοιοῦτον γάρ ἐστι, φησί, τὸ ἁμάρτημα τὸ παρ᾽ ἐμοῦ γεγονός, ὡς μὴ δύνασθαι συγχώρησιν δέξασθαι. Ἰδού, φησίν, ἐξωμολογήσατο, καὶ ἐξωμολογήσατο μετὰ πολλῆς τῆς ἀκριβείας· ἀλλ᾽ οὐδὲν τὸ κέρδος, ἀγαπητέ· ἄκαιρος γὰρ ἡ ἐξομολόγησις. Τοῦτο γὰρ ἐχρῆν ποιῆσαι ἐν τῷ καιρῷ τῷ δέοντι, ὅτε δυνατὸν ἦν καὶ τῆς παρὰ τοῦ δικαστοῦ τυχεῖν φιλανθρωπίας. Μνημονεύσατέ μοι νῦν ὧν πρὸ μικροῦ ἔλεγον, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν καὶ τὸ κριτήριον ἐκεῖνο τὸ ἀδέκαστον, καὶ ἡμῶν ἕκαστος μεταγνώσεται ἐπὶ τοῖς ἡμαρτημένοις, ὁρῶν πρὸ τῶν ὀφθαλμῶν τὰ φοβερὰ ἐκεῖνα κολαστήρια καὶ τὰς εὐθύνας τὰς ἀπαραιτήτους, ἀλλ᾽ οὐδεμίαν ἕξει τὴν ὄνησιν, προδεδομένος ὑπὸ τοῦ καιροῦ. Ἡ γὰρ μετάνοια πρὶν τὴν τιμωρίαν ἐπαχθῆναι καιρὸν ἔχει, καὶ ἰσχὺν ἄφατον. Διὸ παρακαλῶ, ὅτε δυνατὸν ἐνερ-

ὁποῖον θὰ ἐπιδείξης. Καὶ δὲν θὰ σταματήσουν μέχρι τὸ σημεῖον αὐτὸ αἱ τιμωρίαι, ἀλλὰ καὶ «Θὰ στενάζης καὶ θὰ τρέμης ἐπάνω εἰς τὴν γῆν». Καὶ τοῦτο εἶναι πάλιν πολὺ μεγάλη τιμωρία, τὸ νὰ στενάζη δηλαδὴ καὶ νὰ τρέμη διαρκῶς. Ἐπειδὴ λοιπὸν δὲν ἐχρησιμοποίησες ὅπως ἔπρεπε, λέγει, τὴν δύναμιν τοῦ σώματος, οὔτε τὴν εὐρωστίαν τῶν μελῶν του, διὰ τοῦτο σοῦ ἐπιβάλλω παντοτινὰ τὴν ταραχὴν καὶ τὸν τρόμον, διὰ νὰ μὴ ἔχης μόνον σὺ ἀδιάκοπον τὴν νουθεσίαν καὶ τὴν ὑπενθύμισιν τῆς φοβερᾶς αὐτῆς πράξεως, ἀλλὰ καὶ ὅλοι οἱ βλέποντες πρὸς σέ, διὰ νὰ μανθάνουν μὲ τὰ μάτια των, ὡσὰν μὲ κάποιαν φωνὴν ποὺ κραυγάζει καθαρά, νὰ μὴ τολμοῦν παρομοίας πράξεις, διὰ νὰ μὴ πάθουν τὰ ἴδια μὲ σέ, καὶ ἡ ἐπιβληθεῖσα εἰς σὲ τιμωρία νὰ γίνη διδάσκαλος εἰς ὅλους, διὰ νὰ μὴ μολύνη κανεὶς πλέον ποτὲ τὴν γῆν μὲ ἀδελφικὸν αἷμα. Δι᾽ αὐτὸ ἀκριβῶς δὲν θὰ ἐπιφέρω γρήγορα τὸν θάνατόν σου, διὰ νὰ μὴ λησμονηθῆ τὸ γεγονός, ἀλλὰ σὲ κάνω νὰ ὑπομένης μίαν ζωὴν βαρυτέραν ἀπὸ τὸν θάνατον, διὰ νὰ μάθης μὲ αὐτὰ τὰ ἔργα ποῖα πράγματα ἐτόλμησες. «Καὶ εἶπεν ὁ Κάιν πρὸς τὸν Κύριον· ἡ πρᾶξις μου εἶναι μεγαλυτέρα ἀπὸ τὸ νὰ συγχωρηθῶ. Ἰδοὺ πλήρης ὁμολογία. Τέτοιο δηλαδὴ εἶναι, λέγει, τὸ ἁμάρτημα ποὺ ἔπραξα, ὥστε δὲν ἠμπορεῖ νὰ δεχθῆ συγχώρησιν. Ἰδού, θὰ εἰπῆ κάποιος, ἐξωμολογήθη, καὶ μάλιστα ἐξωμολογήθη μὲ μεγάλην εἰλικρίνειαν· καμμία ὅμως ἡ ὠφέλεια, ἀγαπητέ, διότι ἡ ἐξομολόγησις ἦτο παράκαιρος. Διότι ἔπρεπε νὰ κάμη αὐτὸ εἰς τὸν κατάλληλον χρόνον, ὅταν ἦτο δυνατὸν νὰ τύχη καὶ τῆς ἐπιεικείας τοῦ δικαστοῦ. Ἐνθυμηθῆτε, παρακαλῶ, τώρα ἐκεῖνα ποὺ ἔλεγα πρὶν ἀπὸ ὀλίγον, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν καὶ ἐνώπιον τοῦ δικαίου ἐκείνου δικαστηρίου, ὁ καθένας μας θὰ μετανοήση διὰ τὰ ἁμαρτήματά του, διότι θὰ βλέπη ἐμπρός του τὰ φοβερὰ ἐκεῖνα βασανιστήρια καὶ τὰς τιμωρίας ποὺ δὲν ἐξιλεώνονται· ἀλλὰ δὲν ἔχη καμμίαν ὠφέλειαν, ἐπειδὴ ἔχει προδοθῆ ἀπὸ τὸν καιρόν. Διότι ἡ μετάνοια εἶναι ἔγκαιρος καὶ ἔχει μεγίστην δύναμιν, προτοῦ νὰ ἐπιβληθῆ ἡ τιμωρία. Διὰ τοῦτο, παρακαλῶ, ὅταν εἶναι

γῆσαι τὸ θαυμαστὸν τοῦτο φάρμακον, τότε τὴν παρ' αὐτοῦ ὠφέλειαν καρπωσώμεθα, καὶ ὡς ἔτι ἐσμὲν ἐν τῷ παρόντι βίῳ, τὴν ἀπὸ τῆς μετανοίας ἰατρείαν ἑαυτοῖς ἐπάγωμεν, μαθόντες ἀκριβῶς ὡς οὐδὲν ἡμῖν ὄφελος ἔσται τότε μεταγινώσκουσι, μετὰ τὸ λυθῆναι τὸ θέατρον, καὶ τὸν τῶν παλαισμάτων καιρὸν ἀναιρεθῆναι.

4. 'Αλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Δέον γὰρ ἡνίκα ἠρωτᾶτο παρὰ τοῦ Δεσπότου, «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;» τότε ὁμολογῆσαι τὸ πλημμέλημα, καὶ προσπεσεῖν, καὶ δεηθῆναι, καὶ συγγνώμην αἰτῆσαι· ὁ δὲ τότε μὲν τὴν ἰατρείαν ἀπεπέμψατο, νυνὶ δέ, μετὰ τὴν ἀπόφασιν, μετὰ τὸ λαβεῖν τέλος ἅπαντα, μετὰ τὸ λαμπρᾷ τῇ φωνῇ τὴν κατηγορίαν ὑπὸ τοῦ αἵματος γενέσθαι τοῦ κειμένου, ἐξομολογεῖται, καὶ οὐδὲν ἐντεῦθεν κερδαίνει. Διὸ καὶ ὁ προφήτης ἔλεγε· «Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ». Καὶ οὗτος τοίνυν, εἰ προέλαβε τὸν τοῦ Δεσπότου ἔλεγχον, ἴσως ἂν ἠξιώθη τινὸς φιλανθρωπίας διὰ τὴν ἄπειρον τοῦ Δεσπότου ἀγαθότητα. Οὐδὲν γάρ ἐστιν ἁμάρτημα, κἂν σφόδρα μέγα ᾖ, νικῶν αὐτοῦ τὴν φιλανθρωπίαν, ἐὰν ἡμεῖς ἐν καιρῷ τῷ δέοντι τὴν μετάνοιαν ἐπιδειξώμεθα, καὶ τὴν συγγνώμην αἰτῶμεν. «Καὶ εἶπε Κάϊν· μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με». Ἱκανὴ ἐξομολόγησις, ἀλλ' ἄκαιρος. Καὶ εἶπεν, «Εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς· καὶ ἔσται, πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με». Ὅρα πῶς ἐλεεινὰ τὰ ῥήματα, καὶ διὰ τὴν ἀκαιρίαν, καὶ διὰ τὸ προδεδόσθαι ὑπὸ τοῦ καιροῦ οὐδεμίαν τὴν ἰσχὺν κεκτημένα. Καὶ εἶπεν, «Εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς· καὶ ἔσται, πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με».

5. Παροιμ. 18, 17.

δυνατὸν νὰ ἐπενεργήσῃ τὸ θαυμαστὸν αὐτὸ φάρμακον, τότε νὰ καρπούμεθα τὴν ὠφέλειάν του, καὶ ὅσον ἀκόμη εἴμεθα εἰς τὴν παροῦσαν ζωήν, ἃς φέρωμεν εἰς τούς ἑαυτούς μας τὴν θεραπείαν ἀπὸ τὴν μετάνοιαν, ἀφοῦ κατανοήσωμεν καλά, ὅτι δὲν θὰ εἶναι καμμία ἡ ὠφέλεια τότε δι' ἡμᾶς ὅταν μετανοήσωμεν, μετὰ τὴν λῆξιν τῆς θεατρικῆς παραστάσεως καὶ μετὰ τὸ τέλος τῶν ἀγώνων.

4. 'Αλλ' ἃς ἐπανέλθωμεν εἰς τὸ παρὸν θέμα μας. Διότι ἔπρεπε, ὅταν τὸν ἠρωτοῦσε ὁ Κύριος, «Ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου;» τότε νὰ ὁμολογήσῃ τὸ ἁμάρτημά του, καὶ νὰ ἱκετεύσῃ καὶ νὰ παρακαλέσῃ καὶ νὰ ζητήσῃ συγγνώμην· αὐτὸς ὅμως τότε μὲν τὴν θεραπείαν ἠρνήθη, τώρα ὅμως, μετὰ τὴν ἀπόφασιν, ἀφοῦ ὅλα ἔλαβαν τέλος, ἀφοῦ μὲ καθαρὰν φωνὴν ἀπὸ τὸ αἷμα τοῦ νεκροῦ ἔγινεν ἡ κατηγορία, ἐξομολογεῖται καὶ τίποτε ἀπ' αὐτὸ δὲν κερδίζει. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγε· «Δίκαιος εἶναι ἐκεῖνος, ὁ ὁποῖος πρῶτος κατηγορεῖ τὸν ἑαυτόν του διὰ τὸ ἁμάρτημά του»[5]. Καὶ αὐτὸς λοιπόν, ἐὰν ἐπρολάμβανε τὸν ἔλεγχον τοῦ Κυρίου, ἴσως θὰ ἐγίνετο ἄξιος κάποιας ἐπιεικείας ἐξ αἰτίας τῆς μεγάλης ἀγαθότητος τοῦ Θεοῦ. Διότι δὲν ὑπάρχει κανένα ἁμάρτημα, καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ μεγάλον, τὸ ὁποῖον νὰ ἀπωθῇ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ἐὰν ἡμεῖς ἐπιδείξωμεν τὴν μετάνοιαν εἰς τὸν κατάλληλον καιρόν, καὶ ζητοῦμεν τὴν συγγνώμην τῶν ἁμαρτιῶν μας. «Καὶ εἶπεν ὁ Κάϊν· ἡ ἁμαρτία μου εἶναι μεγαλυτέρα ἀπὸ τὸ νὰ συγχωρηθῶ». Ἱκανοποιητικὴ ἡ ἐξομολόγησις, ἀλλὰ εἰς ἀκατάλληλον χρόνον. Καὶ εἶπεν, «Ἐὰν μὲ διώκῃς σήμερα ἀπὸ τὴν ἐπιφάνειαν τῆς γῆς, καὶ θὰ μείνω κρυμμένος ἀπὸ τὸ πρόσωπόν σου καὶ θὰ στενάζω καὶ θὰ τρέμω ἐπάνω εἰς τὴν γῆν· καὶ ὁποιοσδήποτε μὲ συναντήσῃ, θὰ μὲ φονεύσῃ». Πρόσεξε πῶς εἶναι ἐλεεινὰ τὰ λόγια του καὶ ἐξ αἰτίας τοῦ ἀκαταλλήλου χρόνου καὶ ἐξ αἰτίας τοῦ ὅτι δὲν ἔχουν καμμίαν δύναμιν ἐπειδὴ ἔχουν προδοθῆ ἀπὸ τὸν καιρόν. Καὶ εἶπεν, «Ἐὰν μὲ διώκῃς σήμερα ἀπὸ τὴν ἐπιφάνειαν τῆς γῆς, καὶ θὰ κρυβῶ ἀπὸ τὸ πρόσωπόν σου καὶ θὰ στενάζω καὶ θὰ τρέμω ἐπάνω εἰς τὴν γῆν· καὶ

Εἰ τῇ γῇ, φησίν, ἐπικατάρατόν με ἐποίησας, καὶ αὐτός με ἀπεστράφης, καὶ τοσαύτῃ τιμωρίᾳ παρέδωκας, ὥστε στένειν καὶ τρέμειν, οὐδὲν τὸ κωλῦον λοιπὸν τὸν ἐν τούτοις ὄντα, καὶ γυμνωθέντα τῆς παρά σου ροπῆς ὑπὸ τοῦ τυχόντος ἀναιρεθῆναι. Εὐεπιχείρητος, φησίν, ἔσομαι παντὶ τῷ βουλομένῳ ἀνελεῖν. Οὔτε γὰρ αὐτὸς ἰσχύω ἀντιστῆναι διαλελυμένα τὰ μέλη περιφέρων, καὶ πανταχόθεν σαλευόμενος· καὶ τὸ εἰδέναι ἅπαντας, ὅτι τῆς σῆς ἐγυμνώθην ροπῆς, παρασκευάσει τὸν βουλόμενον ἐπὶ τὴν ἀναίρεσιν τὴν ἐμὴν ὁρμῆσαι. Τί οὖν ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Δεσπότης; «Καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεός· οὐχ οὕτω». Μὴ νομίσῃς, φησί, ταῦτα οὕτω γίνεσθαι. Οὐδὲ γὰρ ἔξεστι τῷ βουλωμένῳ σε ἀνελεῖν, ἀλλὰ τῇ παρατάσει τῆς ζωῆς τῆς σῆς καὶ σοὶ πλείονα τὴν ὀδύνην ἐργάσομαι, καὶ διδάσκαλον καταλείψω ταῖς εἰς τὸ ἑξῆς γενεαῖς, ἵνα ἡ σὴ θέα σωφρονισμὸς αὐτοῖς γένηται, καὶ μηδεὶς τῇ σῇ γνώμῃ κατακολουθήσῃ. «Καὶ εἶπε Κύριος ὁ Θεός· οὐχ οὕτω. Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει». Τάχα πολλὰ τὰ εἰρημένα, καὶ πολὺν τῷ σώματι τὸν κάματον προεξενήσαμεν. Ἀλλὰ τί πάθω; Ὁρῶν γὰρ ὑμῶν τὴν φιλη-κοΐαν καὶ ἐκμάζοντα τὸν πόθον ἐπιδεικνυμένην, βούλομαι καὶ τοῖς λειψάνοις ἐπεξελθεῖν, καὶ κατὰ δύναμιν τὴν ἐμὴν ἑρμηνεῦσαι. Τί ἐστι τό, «Ἑπτὰ ἐκδικούμενα παραλύσει;». Ἀλλὰ πάλιν δέδοικα μὴ τῷ πλήθει τῶν λεγομένων καὶ τὴν μνήμην καταχώσωμεν τῶν εἰρημένων, καὶ προσκορεῖς ὑμῖν νομισθείημεν. Ἀλλ' εἰ μὴ ἀπεκάμετε, ἀνάσχεσθε, καὶ διαλύσαντες τὸ προκείμενον οὕτω καταπαύσομεν τὸν λόγον. «Καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεός· οὐχ οὕτω. Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει. Καὶ ἔθετο Κύριος ὁ Θεὸς ση-

ὁποιοσδήποτε μὲ συναντήση, θὰ μὲ φονεύση». Ἐὰν μὲ ἔκαμες, λέγει, καταραμένον ἐπάνω εἰς τὴν γῆν καὶ σὺ ὁ ἴδιος μὲ ἀπεστράφης, καὶ μοῦ ἐπέβαλες τόσον μεγάλην τιμωρίαν, ὥστε νὰ στενάζω καὶ νὰ τρέμω, τίποτε δὲν ἐμποδίζει εἰς τὴν συνέχειαν ἐκεῖνον, ποὺ εὑρίσκεται μέσα εἰς αὐτὰ καὶ ἐγυμνώθη ἀπὸ τὴν ἰδικήν σου προστασίαν, νὰ φονευθῇ ἀπὸ τὸν τυχόντα. Θὰ εἶμαι, λέγει, εὐπρόσβλητος εἰς τὸν καθένα ποὺ θέλει νὰ μὲ φονεύση. Οὔτε βέβαια ἐγὼ ὁ ἴδιος ἠμπορῶ νὰ ἀντισταθῶ, ἀφοῦ τὰ μέλη μου ἔχουν παραλύσει καὶ ἀπὸ παντοῦ ἀπωθοῦμαι· καὶ τὸ ὅτι γνωρίζουν ὅλοι, ὅτι ἐγυμνώθην ἀπὸ τὴν ἰδικήν σου προστασίαν, θὰ προετοιμάση ἐκεῖνον ποὺ θέλει νὰ ὁρμήση διὰ νὰ μὲ φονεύση. Τί λοιπὸν κάνει ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Δεσπότης; «Καὶ εἶπεν εἰς αὐτὸν Κύριος ὁ Θεός· δὲν εἶναι ἔται». Μὴ νομίσης, λέγει, ὅτι αὐτὰ θὰ γίνουν ἔτσι. Οὔτε βέβαια ἐπιτρέπεται εἰς ἐκεῖνον ποὺ θέλει νὰ σὲ φονεύση, ἀλλὰ μὲ τὴν παράτασιν τῆς ζωῆς σου καὶ εἰς σὲ θὰ δίδω περισσοτέραν θλῖψιν καὶ θὰ ἀφήσω διδάσκαλον εἰς τὰς ἑπομένας γενεάς, διὰ νὰ γίνῃ εἰς αὐτὰς παράδειγμα σωφρονισμοῦ ἡ ἰδική σου περίπτωσις καὶ κανεὶς νὰ μὴ ἀκολουθήση τὴν ἰδικήν σου γνώμην. «Καὶ εἶπε Κύριος ὁ Θεός· δὲν εἶναι ἔτσι. Ἐκεῖνος ποὺ θὰ φονεύση τὸν Κάιν, θὰ πληρώση ἑπταπλασίαν ἐκδίκησιν». Ἴσως εἶναι πολλὰ τὰ λεχθέντα καὶ ἐπροκαλέσαμεν μεγάλην κόπωσιν εἰς τὸ σῶμα σας. Τί νὰ κάμω ὅμως; Ἐπειδὴ βλέπω νὰ ἐπιδεικνύετε τὴν ἀγάπην σας πρὸς ἀκρόασιν καὶ τὴν μεγάλην σας ἐπιθυμίαν, θέλω νὰ ἀναφερθῶ καὶ εἰς τὰ ὑπόλοιπα καὶ ὅσον ἠμπορῶ νὰ τὰ ἑρμηνεύσω. Τί σημαίνει τό, «Θὰ πληρώσῃ ἑπταπλασίαν ἐκδήκησιν»; Ἀλλὰ πάλιν φοβοῦμαι, μήπως μὲ τὰ πολλὰ λεγόμενα τώρα καλύψωμεν καὶ τὴν μνήμην τῶν λεχθέντων καὶ θὰ θεωρηθοῦμεν βαρετοὶ εἰς σᾶς. Ἀλλὰ ἐὰν δὲν ἔχετε κουρασθῆ, ὑπομένετε, καὶ ἀφοῦ ἀναλύσωμεν τὸ παρὸν θέμα, τότε θὰ σταματήσωμεν τὸν λόγον. «Καὶ εἶπεν εἰς αὐτὸν Κύριος ὁ Θεός· δὲν εἶναι ἔτσι. Ἐκεῖνος ποὺ θὰ φονεύση τὸν Κάιν, θὰ πληρώση ἑπταπλασίαν ἐκδίκησιν. Καὶ ἔθεσε Κύριος ὁ Θεὸς σημεῖον εἰς τὸν Κάιν,

μεῖον τῷ Κάϊν, τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν». Τοῦτο δέδοικας, φησί, τοῦ μὴ ἀναιρεθῆναι; Θάρσει, ὅτι οὐκ ἔσται τοῦτο. Καὶ γὰρ ὁ τοῦτο πεποιηκὼς ἑπτὰ τιμωρίαις ἑαυτὸν ὑπεύθυνον καταστήσει· διά τοι τοῦτο καὶ σημεῖον ἐπιτίθημί σοι, ὥστε μηδένα ἀγνοήσαντα, καὶ ἀνελόντα σε, ὑπεύθυνον ἑαυτὸν ταῖς τοιαύταις τιμωρίαις καταστῆσαι.

5. Ἀλλὰ σαφέστερον ὑμᾶς προσήκει διδάξαι, πῶς ἑπτὰ τιμωρίαις ὑπεύθυνος γίνεται ὁ τὸν Κάϊν ἀνελών. Ἀλλὰ προσέχετε, παρακαλῶ. Εἰ γὰρ μὴ νῦν, καθάπερ ἐν ταῖς προλαβούσαις ἡμέραις εἰρήκαμεν πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην, ὅτε νηστείας καιρός, καὶ τοσαύτης γαλήνης ἀπολαύομεν, καὶ ἀπηλλαγμένοι τῶν λογισμῶν τῶν ταραττόντων ἡμῶν τὴν διάνοιαν, τὰ ἐν ταῖς θείαις Γραφαῖς ἐγκείμενα κατανοήσωμεν μετὰ ἀκριβείας, πότε δυνησόμεθα ταῦτα μαθεῖν ἐν ἑτέρῳ καιρῷ; Διὸ παρακαλῶ, καὶ δέομαι, καὶ ἀντιβολῶ, μονονουχὶ καὶ τῶν γονάτων ὑμῶν καθάπτομαι, μετὰ συντεταμένης διανοίας τοῖς λεγομένοις προσέχωμεν, ἵνα καρπωσάμενοί τι γενναῖον καὶ ὑψηλόν, οὕτως οἴκαδε ἐπανέλθωμεν. Τί οὖν ἐστι τό, «Ἑπτὰ ἐκδικούμενα παραλύσει»; Πρῶτον μὲν ὁ τῶν ἑπτὰ ἀριθμὸς ἐπὶ πλήθους λαμβάνεται ἐν τῇ θείᾳ Γραφῇ, καὶ τοῦτο πολλαχοῦ εὕροι τις ἂν οὕτω κείμενον, ὡς τό, «Στεῖρα ἔτεκεν ἑπτά», καὶ ὅσα τοιαῦτα. Αἰνίττεται δὲ ἡμῖν ἐνταῦθα τοῦ τολμήματος τὸ μέγεθος, καὶ ὅτι οὐχ ἕν ἐστι τὸ ἁμάρτημα τὸ παρ᾽ ἐκείνου γεγονός, ἀλλ᾽ ἑπτὰ ἁμαρτήματα, καὶ μεγάλην ἐφ᾽ ἑκάστῳ ἁμαρτήματι τὴν τιμωρίαν ὤφειλεν ὑποσχεῖν. Πῶς οὖν αὐτὰ ἀπαριθμησόμεθα; Εἰ τοῦτο λογισόμεθα, πρῶτον, ὅτι ἐβάσκηνε τῷ ἀδελφῷ διὰ τὴν εὔνοιαν τὴν παρὰ τοῦ Θεοῦ· ὅπερ καὶ μόνον προσὸν ἱκανὸν ἦν αὐτῷ τὸν ὄλεθρον ἐπαγαγεῖν· δεύτερον, ὅτι τὸν ἴδιον ἀδελφόν· τρίτον, ὅτι δόλον ἔρραψε· τέταρτον, ὅτι τὸν φόνον ἔπραξε· πέμπτον,

6. Τοῦτο εἶναι σημεῖον ἱκεσίας.
7. Α΄ Βασ. 2, 5.

νὰ μὴ φονεύσῃ αὐτὸν οἱοσδήποτε ποὺ θὰ τὸν συναντήσῃ». Τοῦτο ἐφοβήθης, λέγει, νὰ μὴ φονευθῇς; Ἔχε θάρρος, διότι δὲν θὰ συμβῇ αὐτό. Διότι ἐκεῖνος ποὺ θὰ κάμῃ αὐτὸ θὰ καταστήσῃ τὸν ἑαυτόν του ὑπεύθυνον διὰ ἑπτὰ τιμωρίας· δι' αὐτὸ ἀκριβῶς καὶ σημεῖον ἐπιθέτω εἰς σέ, ὥστε κανείς, ἐὰν δὲν γνωρίσῃ καὶ σὲ φονεύσῃ, νὰ μὴ καταστήσῃ τὸν ἑαυτόν του ἔνοχον εἰς τὰς τιμωρίας αὐτάς.

5. Ἀλλὰ πρέπει νὰ σᾶς ἐξηγήσω σαφέστερα, πῶς γίνεται ἔνοχος ἑπταπλασίας τιμωρίας ἐκεῖνος, ποὺ θὰ φονεύσῃ τὸν Κάιν. Ἀλλά, σᾶς παρακαλῶ, προσέχετε. Διότι ἐὰν τώρα, ὅπως ἀκριβῶς εἰς τὰς προηγουμένας ἡμέρας ἔχομεν ὁμιλήσει πολλὰς φορὰς πρὸς τὴν ἀγάπην σας, κατὰ τὸν καιρὸν τῆς νηστείας, ὅταν καὶ τόσον μεγάλην γαλήνην ἀπολαμβάνωμεν καὶ εἴμεθα ἀπαλλαγμένοι ἀπὸ τὰς σκέψεις ποὺ συνταράσσουν τὴν διάνοιάν μας, δὲν κατανοήσωμεν μὲ ἀκρίβειαν τὰ εὑρισκόμενα μέσα εἰς τὴν Ἁγίαν Γραφὴν νοήματα, πότε θὰ ἠμπορέσωμεν νὰ μάθωμεν αὐτὰ εἰς ἄλλον καιρόν; Διὰ τοῦτο, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω καὶ ἀκόμη θέτω τὰ χέρια μου ἐπάνω εἰς τὰ γόνατά σας[6], ἂς προσέχωμεν μὲ σύντονον τὴν διάνοιαν εἰς τὰ λεγόμενα, ὥστε, ἀφοῦ κερδίσωμεν κάτι τὸ σημαντικὸν καὶ ὑψηλόν, νὰ ἐπιστρέψωμεν ἔτσι εἰς τὰ σπίτια μας. Τί λοιπὸν σημαίνει τό, «Θὰ πληρώσῃ ἑπταπλασίαν ἐκδίκησιν»; Κατὰ πρῶτον ὁ ἀριθμὸς ἑπτὰ χρησιμοποιεῖται εἰς τὴν Ἁγίαν Γραφὴν νὰ δηλώσῃ τὸ πλῆθος, καὶ αὐτὸ θὰ ἠμπορέσῃ νὰ τὸ εὕρῃ κανεὶς εἰς πολλὰ μέρη νὰ ἔχῃ τὴν σημασίαν αὐτήν, ὅπως τὸ «Στεῖρα ἐγέννησεν ἑπτά»[7] καὶ πολλὰ παρόμοια. Ὑπονοεῖ δὲ ἐδῶ τὸ μέγεθος τοῦ τολμήματος καὶ ὅτι δὲν εἶναι ἕνα τὸ ἁμάρτημα, ποὺ διέπραξεν ἐκεῖνος, ἀλλὰ ἑπτὰ ἁμαρτήματα καὶ ἔπρεπε νὰ ὑποστῇ μεγάλην τιμωρίαν διὰ κάθε ἕνα ἁμάρτημα. Πῶς λοιπὸν θὰ ἀπαριθμήσωμεν αὐτά; Ἐὰν ὑπολογίσωμεν ἔτσι· πρῶτον, ἐφθόνησε τὸν ἀδελφόν του, ἐξ αἰτίας τῆς εὐνοίας τοῦ Θεοῦ, τὸ ὁποῖον καὶ μόνον, ἂν ὑπάρχῃ, ἀρκεῖ νὰ ἐπισύρῃ εἰς αὐτὸν τὴν καταστροφήν· δεύτερον, ἐφθόνησε τὸν ἰδικόν του ἀδελφόν· τρίτον, ἐσχεδίασε δόλον· τέταρτον, διέπραξε φόνον· πέμπτον, ἐφόνευ-

ὅτι τὸν ἀδελφὸν ἐφόνευσεν· ἕκτον, ὅτι πρῶτος τὸν φόνον εἰργάσατο· ἕβδομον, ὅτι τὸν Θεὸν ἐψεύσατο. Παρηκολουθήσατε τοῖς ῥηθεῖσιν ἢ βούλεσθε ἄνωθεν αὐτὰ πάλιν ἀπαριθμησώμεθα, ἵνα εἰδῆτε πῶς ἕκαστον τούτων καὶ μόνον ἱκανὸν ἦν τῆς μεγίστης αὐτὸν ἀξιῶσαι τιμωρίας; Τίς γὰρ ἂν ἀξιώσειε συγγνώμης τὸν βασκήναντα τῷ ἀπολαύοντι τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας; Ἰδοὺ μία καὶ μεγίστη καὶ ἀσύγγνωστος ἁμαρτία. Πάλιν αὕτη μείζων δείκνυται, ὅταν ἀδελφὸς ᾖ ὁ βασκαινόμενος, καὶ μηδὲν ἠδικηκώς. Ἰδοὺ καὶ αὕτη πάλιν οὐχ ἡ τυχοῦσα ἁμαρτία. Τρίτη πάλιν, ὅτι δόλον ἔρραψεν ἀπατήσας τὸν ἀδελφόν, καὶ ἑλκύσας εἰς τὸ πεδίον, καὶ οὐδὲ αὐτὴν τὴν φύσιν αἰδεσθείς. Τέταρτον ἁμάρτημα αὐτὸς ὁ φόνος, ὃν εἰργάσατο. Πέμπτον, ὅτι ἀδελφὸν ἐφόνευσε τὸν τὰς αὐτὰς αὐτῷ λύσαντα ὠδῖνας. Ἕκτον, ὅτι πρῶτος τοῦ φόνου τὸ εἶδος εἰσήνεγκεν. Ἕβδομον, ὅτι ἐρωτώμενος παρὰ τοῦ Θεοῦ, ψεύσασθαι ἐτόλμησεν. Ὁ τοίνυν, φησίν, ἀνελεῖν σε ἐπιχειρήσας, ἑπτὰ τιμωρίαις ἑαυτὸν ὑπεύθυνον καταστήσει. Μὴ τοίνυν δείδιθι τοῦτο. Ἰδοὺ γὰρ καὶ σημεῖον ἐπιτίθημί σοι, ὥστε μηδένα τῶν εὑρισκόντων σε ἀγνοῆσαι. Ἡ γὰρ πάσης τῆς ζωῆς σου πάρεσις, λυσιτελὴς ἔσται ταῖς μετὰ ταῦτα γενεαῖς, καὶ ὅπερ μόνος μηδενὸς παρόντος ἔπραξας, τοῦτο μαθήσονται πάντες ὁρῶντές σε στένοντα καὶ τρέμοντα, καὶ μονονουχὶ βοῶντα διὰ τοῦ τρόμου τοῦ σωματικοῦ, καὶ πᾶσι διαλεγόμενον, καὶ λέγοντα· μηδεὶς ἕτερος τοιαῦτα τολμήσῃ, οἷάπερ ἐγώ, ἵνα μὴ τοιαύτην δέξηται τιμωρίαν.

6. Ταῦτα ἀκούοντες, ἀγαπητοί, μὴ ἁπλῶς παρατρέχωμεν τὰ εἰρημένα, μηδὲ τοῦτο μόνον σκοπῶμεν, εἰ καθ' ἑκάστην ἐνταῦθα συνερχόμενοι πνευματικῆς τραπέζης ἀπολαύομεν· οὐδὲν γὰρ ὄφελος τῆς ἀκροάσεως μόνης ἄνευ τῆς διὰ

σε τὸν ἀδελφόν του· ἕκτον, πρῶτος αὐτὸς διέπραξε τὸν φόνον· ἕβδομον, εἶπε ψέματα εἰς τὸν Θεόν. Παρηκολουθήσατε αὐτὰ ποὺ ἐλέχθησαν, ἢ θέλετε νὰ ἀπαριθμήσωμεν πάλιν αὐτὰ ποὺ ἀπὸ τὴν ἀρχήν, διὰ νὰ γνωρίζετε πῶς τὸ καθένα ἀπὸ αὐτὰ καὶ μόνον του ἦτο ἀρκετὸν νὰ καταστήσῃ αὐτὸν ἄξιον τῆς μεγίστης τιμωρίας; Διότι ποῖος θὰ ἠμποροῦσε νὰ θεωρήσῃ ἄξιον συγγνώμης ἐκεῖνον, ὁ ὁποῖος ἐφθόνεσε τὸν ἀπολαμβάνοντα τὴν εὔνοιαν τοῦ Θεοῦ; Ἰδοὺ ἡ πρώτη καὶ μεγίστη καὶ ἀσυγχώρητος ἁμαρτία. Αὐτὴ πάλιν ἀποδεικνύεται μεγαλυτέρα, ὅταν ὁ φθονούμενος εἶναι ἀδελφὸς καὶ δὲν ἔχει ἀδικήσει καθόλου. Ἰδοὺ καὶ αὐτὴ πάλιν δὲν εἶναι τυχαία ἁμαρτία. Τρίτη πάλιν ἁμαρτία, ἐσχεδίασε δόλον, διότι ἐξηπάτησε τὸν ἀδελφόν του καὶ τὸν παρέσυρεν εἰς τὴν πεδιάδα καὶ δὲν ἐσεβάσθη οὔτε αὐτὴν τὴν φύσιν. Τέταρτον ἁμάρτημα εἶναι αὐτὸς ὁ ἴδιος ὁ φόνος, τὸν ὁποῖον διέπραξε. Πέμπτον, ἐφόνευσε τὸν ἀδελφόν του, πού προῆλθεν ἀπὸ τὴν ἰδίαν κοιλίαν μὲ αὐτόν. Ἕκτον, πρῶτος αὐτὸς εἰσήγαγε τὸ εἶδος τοῦ φόνου. Ἕβδομον, ὅταν ἠρωτήθη ἀπὸ τὸν Θεόν, ἐτόλμησε νὰ εἴπῃ ψέματα. Ἐκεῖνος λοιπόν, λέγει, πού θὰ ἐπιχειρήσῃ νὰ σὲ φονεύσῃ, θὰ καταστήσῃ τὸν ἑαυτόν του ἔνοχον δι' ἑπτὰ τιμωρίας. Μὴ φοβῆσαι λοιπὸν αὐτό. Ἰδοὺ καὶ σημεῖον σοῦ ἐπιθέτω, ὥστε ὅλοι ποὺ θὰ σὲ συναντοῦν νὰ σὲ γνωρίσουν. Διότι ἡ παράλυσις ὅλης τῆς ζωῆς σου, θὰ εἶναι ὠφέλιμος εἰς τὰς ἑπομένας γενεάς, καὶ ἐκεῖνο, τὸ ὁποῖον διέπραξε μόνον χωρὶς νὰ εἶναι παρὼν κανένας, τοῦτο θὰ μάθουν ὅλοι, ὅταν σὲ βλέπουν νὰ στενάζῃς καὶ νὰ τρέμῃς, καὶ σχεδὸν νὰ κραυγάζῃς μὲ τὸν τρόμον τοῦ σώματός σου καὶ μὲ ὅλους νὰ ὁμιλῇς καὶ νὰ λέγῃς· κανεὶς ἄλλος ἂς μὴ τολμήσῃ τέτοια, ποὺ ἐτόλμησα ἐγώ, διὰ νὰ μὴ δεχθῇ τέτοιαν τιμωρίαν.

6. Ἀκούοντες αὐτά, ἀγαπητοί, ἂς μὴ παρερχώμεθα ἐπιπόλαια μόνον τὰ λεχθέντα, οὔτε πάλιν νὰ σκεπτώμεθα αὐτό, δηλαδὴ ἐὰν συγκεντρωμένοι ἐδῶ καθημερινὰ ἀπολαμβάνωμεν τὸ πνευματικὸν τραπέζι· διότι καμμία ὠφέλεια δὲν προέρχεται μόνον ἀπὸ τὴν ἀκρόασιν, χωρὶς νὰ ἐκδη-

τῶν ἔργων ὑπακοῆς. Ἀλλ' ἐννοοῦντες πόθεν εἰς ταύτην τὴν ἀσύγγνωστον καὶ χαλεπὴν ἁμαρτίαν συνήλασεν ἑαυτὸν ὁ Κάϊν, καὶ ὅτι ἀπὸ τοῦ φθονῆσαι τὸν μηδ' ὅλως αὐτὸν ἀδικῆσαί ποτε ἐπιχειρήσαντα, τὴν τοιαύτην εἴσπραξιν, μᾶλλον δὲ ἀναίρεσιν εἰς τὸν ἴδιον ἀδελφὸν τετόλμηκε, μὴ τὸ κακῶς παθεῖν φεύγωμεν, ἀλλὰ μᾶλλον τὸ κακῶς ἑτέροις διατεθῆναι. Ἐκεῖνος γάρ ἐστιν ὄντως ὁ κακῶς πεπονθώς, ὁ τὸν πλησίον ἑαυτοῦ κατεργάζεσθαι βουλόμενος. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ὅρα μοι ἐνταῦθα, τίς ἐστιν ὁ κακῶς πεπονθώς, ὁ ἀνελών, ἢ ὁ ἀναιρεθείς; Δῆλον ὅτι ὁ ἀνελών. Διὰ τί; Ὅτι ὁ μὲν ἀναιρεθεὶς καὶ μέχρι τοῦ νῦν ᾄδεται παρὰ τοῖς ἁπάντων στόμασι, καὶ ἀνακηρύττεται, καὶ στεφανοῦται, ὡς τῆς ἀληθείας πρωτομάρτυς, καθάπερ φησὶ καὶ ὁ μακάριος Παῦλος· «Ἀποθανὼν Ἄβελ ἔτι λαλεῖ». Ὁ δὲ ἀνελὼν καὶ τότε μὲν ἐλεεινότερον πάντων ἀνθρώπων βίον ἔζη, μετὰ δὲ ταῦτα παρὰ πάντων ταῖς κατηγορίαις βάλλεται καὶ ὡς βδελυκτὸς παρὰ τῷ Θεῷ καὶ κατηραμένος ὑπὸ τῆς θείας Γραφῆς παραδειγματίζεται· καὶ ταῦτα μὲν ἐν τῷ παρόντι καὶ συγκαταλυομένῳ βίῳ· τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ἀπαντῆσαι ἀμφοτέροις ὀφείλοντα, καὶ καταλλήλως ἑκάστῳ τῆς ἑαυτοῦ πράξεως ἀπολαβεῖν παρὰ τοῦ δικαίου κριτοῦ, τίς λόγος παραστῆσαι δυνήσεται, ἢ τὰ ἀγαθά, ἢ τὰ ἐναντία; Οὐκ ἔστιν οὐδείς, οὔτε τὰ χρηστά, οὔτε τὰ λυπηρά. Καὶ γὰρ ἐκεῖνον μὲν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ αἰώνιοι σκηναί, καὶ οἱ χοροὶ πατριαρχῶν, προφητῶν τε καὶ ἀποστόλων, καὶ πάντων τῶν ἁγίων ὅμιλος ὑποδέξονται συμβασιλεύσοντα εἰς αἰῶνας ἀτελευτήτους τῷ βασιλεῖ Χριστῷ Ἰησοῦ, τῷ τοῦ Θεοῦ μονογενεῖ Υἱῷ καὶ Θεῷ· τοῦτον δὲ ἡ γέεννα τοῦ πυρὸς καὶ τὰ ἄλλα ἅπαντα ἀθάνατα βασανιστήρια διαδέξονται εἰς αἰῶ-

8. Ἑβρ. 11, 4.
9. Δηλαδὴ τὸν Ἄβελ.
10. Δηλαδὴ τὸν Κάιν.

λώνεται ἡ ὑπακοὴ μὲ τὰ ἔργα. Ἀλλά, ἀφοῦ ἐννοήσωμεν διὰ ποίαν αἰτίαν ὁ Κάιν ὡδήγησε τὸν ἑαυτόν του εἰς τὴν ἀσυγχώρητον καὶ φοβερὰν αὐτὴν ἁμαρτίαν, καὶ ὅτι ἀπὸ τὸν φθόνον του ἐναντίον ἐκείνου, ποὺ γενικὰ δὲν ἐπροσπάθησε ποτὲ νὰ τὸν ἀδικήσῃ, ἔχει τολμήσει αὐτὴν τὴν σκληρότητα, μᾶλλον δὲ τὸν φόνον εἰς τὸν ἴδιον τὸν ἀδελφόν του, ἂς μὴ ἀποφεύγωμεν νὰ ὑφιστάμεθα κακὴν μεταχείρισιν, ἀλλὰ νὰ ἀποφεύγωμεν περισσότερον νὰ συμπεριφερώμεθα μὲ κακίαν εἰς τοὺς ἄλλους. Διότι πράγματι αὐτὸς ποὺ ὑποφέρει εἶναι ἐκεῖνος, ποὺ θέλει νὰ φονεύσῃ τὸν πλησίον του. Καὶ διὰ νὰ μάθῃς, ὅτι αὐτὸ εἶναι ἀληθινόν, παρακαλῶ, πρόσεχε ἐδῶ, ποῖος εἶναι ἐκεῖνος ποὺ ὑποφέρει, ὁ φονεὺς ἢ ὁ φονευθείς; Εἶναι φανερὸν ὅτι ὑποφέρει ὁ φονεύς. Διατί; Διότι ὁ μὲν φονευθεὶς καὶ μέχρι σήμερα μνημονεύεται ἀπὸ τὰ στόματα ὅλων, καὶ ἀνακηρύσσεται καὶ στεφανώνεται ὡς ὁ πρωτομάρτυρας τῆς ἀληθείας, ὅπως ἀκριβῶς καὶ ὁ μακάριος Παῦλος λέγει· «ἂν καὶ νεκρὸς ὁ Ἄβελ ἀκόμη ὁμιλεῖ»[8]. Ὁ δὲ φονεὺς καὶ τότε μὲν ἔζουσε τὴν περισσότερον ἐλεεινὴν ζωὴν ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ὕστερα δὲ ἀπὸ αὐτὰ βάλλεται μὲ τὰς κατηγορίας ἀπὸ ὅλους καὶ προβάλλεται ὡς παράδειγμα βδελυγμίας ἀπὸ τὸν Θεὸν καὶ κατάρας ἀπὸ τὴν Ἁγίαν Γραφήν· καὶ αὐτὰ μὲν συμβαίνουν εἰς τὴν παροῦσαν καὶ προσωρινὴν ζωήν· ἐκεῖνα ὅμως ποὺ εἶναι ὑποχρεωμένοι καὶ οἱ δύο νὰ συναντήσουν εἰς τὴν μέλλουσαν ζωὴν καὶ θὰ λάβῃ ἀνάλογα μὲ τὰς πράξεις του ὁ καθένας ἀπὸ τὸν δίκαιον κριτήν, ποῖος λόγος θὰ ἠμπορέσῃ νὰ τὰ παρουσιάσῃ εἴτε εἶναι ἀγαθὰ εἴτε τὰ ἀντίθετα; Δὲν ὑπάρχει κανένας νὰ παρουσιάσῃ οὔτε τὰ εὐχάριστα οὔτε τὰ ὀδυνηρά. Καὶ πράγματι ἐκεῖνον[9] μὲν θὰ τὸν ὑποδεχθοῦν ἡ Βασιλεία τῶν Οὐρανῶν καὶ αἱ αἰώνιαι σκηναὶ καὶ αἱ τάξεις τῶν πατριαρχῶν καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ τὸ πλῆθος ὅλων τῶν ἁγίων διὰ νὰ βασιλεύσῃ εἰς τοὺς αἰῶνας τῶν αἰώνων μαζὶ μὲ τὸν βασιλέα Ἰησοῦν Χριστόν, τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ καὶ Θεόν. Αὐτὸν ὅμως[10] ἡ γέεννα τοῦ πυρὸς καὶ ὅλα τὰ ὑπόλοιπα αἰώνια βασανιστήρια θὰ διαδέχωνται τὸ ἕνα

νας ἀπεράντους τιμωρούμενον, μετὰ καὶ πάντων τῶν τὰ παραπλήσια αὐτῷ πεπραχότων, καὶ μάλιστα τοὺς μετὰ ταῦτα τοῖς αἰσχίστοις πάθεσιν ἁλόντας, ὅσῳ καὶ μείζων ἡ τιμωρία παρὰ τοῦ κοινοῦ Δεσπότου ἐκφέρεται. Ἄκουε γὰρ τοῦ μακαρίου Παύλου λέγοντος· «Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται»· τουτέστιν, ἐλαφροτέραν ὑποστήσονται τὴν τιμωρίαν, διὰ τὸ μὴ ἔχειν ἔλεγχον τὴν ἐκ τοῦ νόμου ἀπειλήν τε καὶ διόρθωσιν· «Καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται». Οὗτοι δέ, φησίν, οἱ καὶ μετὰ τὴν ἐκ τοῦ νόμου βοήθειαν τὰ αὐτὰ ἐκείνοις πεπραχότες, βαρυτέρας καὶ ἀφορητοτέρας ὑπομενοῦσι καὶ τὰς κολάσεις. Καὶ μάλα εἰκότως· ὅτι οὔτε ὁ νόμος, οὔτε τὸ ἑτέρους ἰδεῖν τοσούτοις κακοῖς ὑποβληθέντας σωφρονεστέρους αὐτοὺς ἢ ἐπιεικεστέρους ἀπειργάσατο. Διὸ παρακαλῶ, κἂν γοῦν ἀπὸ τοῦ νῦν τοῖς ἑτέρων παιδεύμασι σωφρονίσωμεν ἑαυτούς, καὶ τὸν βίον τὸν ἑαυτῶν ἰθύνωμεν πρὸς τὴν τοῦ Κυρίου ὑποταγήν, τοῖς αὐτοῦ ὑπείκοντες νόμοις· καὶ μήτε φθόνος, μήτε βασκανία, μήτε ὁ τῶν σωμάτων ἔρως, μήτε ἡ τοῦ παρόντος βίου δόξα τε καὶ δυναστεία, μήτε ἡ τῆς γαστρὸς ἡδονή, μήτε ἄλλη τις ἄτοπος ἐπιθυμία κατακυριευέτω ἡμῶν τῶν ἐν τῇ ψυχῇ λογισμῶν· ἀλλ' ἐκκαθάραντες ἑαυτοὺς ἀπὸ πάσης ἰλύος καὶ τύρβης βιωτικῆς, καὶ πολλὰ χαίρειν εἰπόντες τοῖς αἰσχίστοις καὶ ἀτοπωτάτοις πάθεσι πρὸς τὴν μακαρίαν ἐκείνην ζωὴν ἐπειχθῶμεν, καὶ τὰ ἀπόρρητα ἀγαθά, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

11. Ρωμ. 2, 12.

μετὰ τὸ ἄλλο εἰς ὅλους τοὺς αἰῶνας, διὰ νὰ τιμωρῆται, μαζὶ μὲ ὅλους ἐκείνους ποὺ ἔχουν πράξει παρόμοιο μὲ αὐτόν, καὶ πρὸ παντὸς μὲ ἐκείνους, οἱ ὁποῖοι ὕστερα ἀπὸ αὐτὰ ἐκυριεύθησαν ἀπὸ τὰ αἰσχρότατα πάθη, διὰ τὰ ὁποῖα ἐκφέρεται καὶ μεγαλυτέρα τιμωρία ἀπὸ τὸν Δεσπότην τῶν ὅλων. Ἄκουε λοιπὸν καὶ τὸν μακάριον Παῦλον, ποὺ λέγει· «Καὶ ὅσοι ἡμάρτησαν χωρὶς τὸν νόμον, θὰ καταδικασθοῦν εἰς ἀπώλειαν χωρὶς τὸν νόμον»[11], δηλαδή, θὰ ὑποστοῦν ἐλαφροτέραν τιμωρίαν, διότι δὲν ἔχουν ὡς ἔλεγχον τὴν ἀπειλὴν καὶ διόρθωσιν, ποὺ προέρχεται ἀπὸ τὸν νόμον. «Καὶ ὅσοι ἡμάρτησαν ἔχοντες τὸν νόμον, θὰ κριθοῦν μὲ βάσιν τὸν νόμον». Αὐτοὶ ὅμως, λέγει, οἱ ὁποῖοι καὶ μετὰ τὴν βοήθειαν τοῦ νόμου ἔχουν διαπράξει τὰ ἴδια μὲ ἐκείνους, θὰ ὑπομείνουν βαρυτέρας καὶ σκληροτέρας τιμωρίας. Καὶ εἶναι πολὺ φυσικά· διότι οὔτε ὁ νόμος, οὔτε τὸ ὅτι εἶδον τοὺς ἄλλους νὰ ὑποβάλωνται εἰς τόσον μεγάλα κακὰ ἔκαμαν νὰ εἶναι αὐτοὶ περισσότερον σώφρονες καὶ ἐπιεικεῖς. Διὸ τοῦτο, σᾶς παρακαλῶ, τουλάχιστον ἀπὸ τώρα ἂς σωφρονίσωμεν τοὺς ἑαυτούς μας μὲ τὰ παθήματα τῶν ἄλλων καὶ ἂς κατευθύνωμεν τὴν ζωήν μας πρὸς τὴν ὑποταγὴν τοῦ Κυρίου, ὑπακούοντες εἰς τοὺς νόμους του· καὶ οὔτε μῖσος, οὔτε φθόνος, οὔτε ἡ σαρκικὴ ἐπιθυμία, οὔτε ἡ δόξα καὶ ἡ ἐξουσία τῆς παρούσης ζωῆς, οὔτε ἡ εὐχαρίστησις τῆς κοιλίας, οὔτε ὁποιοδήποτε ἄλλη, παράλογος ἐπιθυμία νὰ κατακυριεύῃ τοὺς ἐντὸς τῆς ψυχῆς μας λογισμούς· ἀλλά, ἀφοῦ καθαρίσωμεν τοὺς ἑαυτούς μας ἀπὸ κάθε ρύπον καὶ βιωτικὴν ἀσχολίαν, καὶ ἀφοῦ εἴπωμεν πολλὰ χαίρετε πρὸς τὰ αἰσχρότατα καὶ ἀπρεπέστατα πάθη, ἂς σπεύσωμεν πρὸς τὴν μακαρίαν ἐκείνην ζωὴν καὶ τὰ ἀπόρρητα ἀγαθά, τὰ ὁποῖο ἡτοίμασεν ὁ Θεὸς εἰς τοὺς ἀγαπῶντας αὐτόν. Αὐτὰ τὰ ἀγαθὰ εἴθε νὰ ἀξιωθοῦμεν ὅλοι ἡμεῖς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον πρέπει εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ Ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Κ΄
(Γεν. 4, 16 - 26)

«Ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ», καὶ τὰ ἑξῆς.

1. Φέρε πάλιν τῆς ἀκολουθίας σήμερον τῶν ἀνεγνωσμένων ἁψάμενοι, ἐντεῦθεν ὑμῖν τὴν διδασκαλίαν παραθῶμεν, καὶ ἐκ τῆς βίβλου τοῦ μακαρίου Μωϋσέως τὴν συνήθη διάλεξιν πρὸς ὑμᾶς ποιησώμεθα, μᾶλλον δὲ ἐκ τῶν τοῦ Πνεύματος λογίων, ἅπερ διὰ τῆς τούτου γλώττης ἡμᾶς ἐδίδαξεν ἡ θεία χάρις. Ἀλλ' ἵνα σαφέστερος ὑμῖν γένηται ὁ λόγος, ἀναγκαῖον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην τῶν ἤδη ῥηθέντων, καὶ ὅπου τὴν διδασκαλίαν κατελύσαμεν, ἵνα ἐκεῖθεν αὐτὴν σήμερον ἀναλαβόντες, οὕτω τῆς ἀρχῆς τῶν ἀνεγνωσμένων ἁψώμεθα. Ἴστε γὰρ ὅτι τὴν κατὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ ὑπόθεσιν κινήσαντες ἐδείκνυμεν ἐξ αὐτῶν τῶν γεγενημένων, καὶ ἐξ ὧν ἕκαστος τὰς θυσίας αὐτῶν προσήνεγκε τῷ Δεσπότῃ, ὅπως ἔγκειται τῇ ἡμετέρᾳ φύσει ἡ γνῶσις τῶν πρακτέων καὶ τῶν μὴ πρακτέων, καὶ ὅτι αὐτεξουσίους ἡμᾶς εἰργάσατο ὁ τῶν ἁπάντων δημιουργός, καὶ πανταχοῦ ἀπὸ τῆς γνώμης τῆς ἡμετέρας ἢ κατακρίνει, ἢ στεφανοῖ (ἀπὸ γὰρ ταύτης τοῦ μὲν ἀπόβλητος γέγονεν ἡ θυσία, τοῦ δὲ τὰ δῶρα προσεδέχθη), καὶ ὅτι ἐντεῦθεν ὑπὸ βασκανίας κινηθεὶς ὁ Κάϊν ἐπὶ τὸν τοῦ ἀδελφοῦ φόνον ὥρμησε, καὶ μετὰ τὴν ἀνοσίαν ταύτην πρᾶξιν, βουλομένου τοῦ Θεοῦ ἐκκαλέσασθαι αὐτὸν εἰς ἐξομολόγησιν τῶν ἡμαρτημένων, οὐδὲ οὕτω τὸ φάρμακον τῆς ἰατρείας ἐδέξατο, ἀλλὰ τῷ μυσαρῷ ἐκείνῳ φόνῳ τὸ ψεῦδος συνάψας τὴν χαλεπὴν ἐκείνην τιμωρίαν ἐπεσπάσατο, καὶ γυμνὸν καὶ ἔρημον ἑαυτὸν κατέστησε τῆς ἄνωθεν ῥοπῆς, ὑπόδειγμα σωφρο-

ΟΜΙΛΙΑ Κ΄
(Γεν. 4, 16 - 26)

«Καὶ ἀπεμακρύνθη ὁ Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ἐκατοίκησεν εἰς τὴν περιοχὴν Ναΐδ ἀπέναντι τῆς Ἐδέμ», καὶ τὰ ἑξῆς.

1. Ἐμπρὸς ἀφοῦ καταπιασθοῦμεν πάλιν σήμερα ἀπὸ τὴν συνέχειαν τῶν ἀναγνωσμάτων, ἀπὸ αὐτὰ ἄς σᾶς παραθέσωμεν τὴν διδασκαλίαν, καὶ ἄς κάμωμεν τὴν συνηθισμένην ὁμιλίαν πρὸς σᾶς ἀπὸ τὸ βιβλίον τοῦ μακαρίου Μωϋσέως, μᾶλλον δὲ ἀπὸ τὰ λόγια τοῦ Ἁγίου Πνεύματος, τὰ ὁποῖα μὲ τὴν γλῶσσαν αὐτοῦ μᾶς ἐδίδαξεν ἡ θεία χάρις. Ἀλλὰ διὰ νὰ γίνῃ σαφέστερος εἰς σᾶς ὁ λόγος, εἶναι ἀνάγκη νὰ ὑπενθυμίσω τὴν ἀγάπην σας αὐτὰ ποὺ μέχρι τώρα ἔχουν λεχθῆ, καὶ εἰς ποῖον σημεῖον ἐσταματήσαμεν τὴν διδασκαλίαν, ὥστε, ἀφοῦ τὴν ἀρχίσωμεν ἀπὸ ἐκεῖνο σήμερα, νὰ καταπιασθοῦμεν ἔτσι ἀπὸ τὴν ἀρχὴν τῶν ἀναγνωσμάτων. Γνωρίζετε βέβαια ὅτι, ὅταν ἐκινήσαμεν τὴν ὑπόθεσιν σχετικὰ μὲ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ἐξηγούσαμεν ἀπὸ τὰ ἴδια τὰ πράγματα καὶ ἀπὸ ἐκεῖνα ποὺ ὁ καθένας ἐπρόσφερε τὴν θυσίαν του πρὸς τὸν Θεόν, πῶς ὑπάρχει μέσα εἰς τὴν φύσιν μας ἡ γνῶσις ἐκείνων ποὺ πρέπει καὶ ἐκείνων ποὺ δὲν πρέπει νὰ κάμωμεν· καὶ ὅτι ὁ δημιουργὸς τῶν πάντων μᾶς ἐδημιούργησεν ἐλευθέρους καὶ παντοῦ σύμφωνα μὲ τὴν ἰδικήν μας γνώμην ἢ μᾶς καταδικάζει ἢ μᾶς στεφανώνει (ἀπὸ αὐτὴν βεβαίως τοῦ μὲν Κάϊν ἡ θυσία δὲν ἔγινε δεκτή, τοῦ δὲ Ἄβελ ἐδέχθη τὰ δῶρα)· καὶ ὅτι ἀπὸ τότε παρακινηθεὶς ὑπὸ τοῦ φθόνου ὁ Κάϊν ὥρμησεν εἰς τὸν φόνον τοῦ ἀδελφοῦ του, καὶ μετὰ τὴν βδελυρὰν αὐτὴν πρᾶξιν, ἐνῷ ὁ Θεὸς ἤθελε νὰ προσκαλέσῃ αὐτὸν εἰς ἐξομολόγησιν τῶν ἁμαρτημάτων του, οὔτε ἔτσι ἐδέχθη τὸ φάρμακον τῆς θεραπείας· ἀλλὰ ἀφοῦ ἐπρόσθεσεν εἰς τὸν ἀποτρόπαιον ἐκεῖνον φόνον τὸ ψέμα, ἐπέσυρε τὴν φοβερὰν ἐκείνην τιμωρίαν, καὶ κατέστησε τὸν ἑαυτόν του γυμνὸν καὶ ἔρημον

νισμοῦ πᾶσι τοῖς μετὰ ταῦτα προκείμενος, καὶ διὰ τῆς ἀποφάσεως, ἧς ἐδέξατο, παντὶ τῷ τῶν ἀνθρώπων γένει διαλεγόμενος, καὶ μονονουχὶ βοῶν καὶ λέγων· μηδεὶς ὑμῶν τοιοῦτόν τι τολμήσῃ ποτέ, ἵνα μὴ τοῖς τοιούτοις περιπέσῃ. Εἴδετε Δεσπότου φιλανθρωπίαν, ὅπως διὰ τῆς εἰς ἐκεῖνον τιμωρίας οὐκ ἐκεῖνον μόνον σωφρονίσαι ἠβουλήθη, ἀλλὰ καὶ τοὺς εἰς τὸ ἑξῆς ἅπαντας διδάξαι, πάντῃ φεύγειν τὸ τολμηθὲν τοῦτο ἐπιχείρημα; Φέρε λοιπὸν τῶν ἑξῆς ἁψώμεθα, καὶ ἴδωμεν τί καὶ σήμερον διηγεῖται ἡμῖν ὁ μακάριος οὗτος προφήτης, ὑπὸ τῆς τοῦ Πνεύματος ἐνηχούμενος ἐνεργείας. Ἐπειδὴ γὰρ τὴν ἀπόφασιν ἐδέξατο ὁ Κάϊν, «Ἐξῆλθε», φησίν, «ἀπὸ προσώπου τοῦ Θεοῦ». Τί ἐστιν, «Ἐξῆλθεν ἀπὸ προσώπου τοῦ Θεοῦ»; Τουτέστιν, ἐγυμνώθη τῆς παρ' αὐτοῦ προστασίας διὰ τὴν μυσαρὰν ἐκείνην πρᾶξιν. «Καὶ ᾤκησεν ἐν γῇ Ναΐδ, κατέναντι Ἐδέμ». Λέγει ἡμῖν καὶ τὸν τόπον ἔνθα λοιπὸν τὴν κατοίκησιν ἐποιήσατο, καὶ διδάσκει πῶς καὶ οὗτος οὐ πόρρω τοῦ παραδείσου διῆγεν, ἵνα κατέναντι αὐτοῦ ὤν, διηνεκῆ τὴν ὑπόμνησιν ἔχῃ καὶ τῶν τῷ πατρὶ συμβεβηκότων διὰ τὴν παράβασιν, καὶ τοῦ μεγέθους τῶν αὐτῷ τετολμημένων· τὴν τοσαύτην τιμωρίαν, ἣν ἐδέξατο μηδὲ τῇ τοῦ πατρὸς τιμωρίᾳ σωφρονισθείς. Καὶ αὐτὸς δὲ ὁ τόπος, ἔνθα κατῴκει, ὑπόμνησις ἀδιάλειπτος ἦν οὐκ αὐτῷ μόνῳ, ἀλλὰ καὶ ταῖς μετὰ ταῦτα γενεαῖς, τοῦ σάλου καὶ τοῦ τρόμου. Τὸ γὰρ Ναΐδ ὄνομα Ἑβραϊκὴ λέξις ἐστίν, ἑρμηνεύεται δὲ σάλος. Ἵν' οὖν ὥσπερ ἐν στήλῃ χαλκῇ ἀνέκλειπτον ἔχῃ καὶ ἀπὸ τοῦ τόπου τὴν κατηγορίαν, ἐκεῖ αὐτὸν κατῴκισε. Εἶτά φησι· «Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ». Θνητοὶ λοιπὸν γεγονότες, εἰκότως περὶ τὴν τῶν τέκνων διαδο-

ἀπὸ τὴν προστασίαν τοῦ Θεοῦ, προβαλλόμενος ὡς παράδειγμα σωφρονισμοῦ εἰς ὅλους τοὺς μεταγενεστέρους, καὶ μὲ τὴν ἀπόφασιν, ποὺ ἐδέχθη, ὁμιλῶν εἰς ὅλον τὸ ἀνθρώπινον γένος, καὶ σχεδὸν κραυγάζων καὶ λέγων: κανεὶς ἀπὸ σᾶς νὰ μὴ τολμήσῃ ποτὲ κάτι τὸ παρόμοιον, διὰ νὰ μὴ περιπέσῃ εἰς τὰς συμφορὰς αὐτάς. Εἴδατε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, κατὰ ποῖον τρόπον ἠθέλησε μὲ τὴν ἐπιβληθεῖσαν εἰς ἐκεῖνον τιμωρίαν νὰ σωφρονίσῃ ὄχι μόνον αὐτόν, ἀλλὰ καὶ εἰς τὸ μέλλον, ὅλους νὰ διδάξῃ, νὰ ἀποφεύγουν μὲ κάθε τρόπον αὐτὴν τὴν πρᾶξιν, ποὺ ἐτόλμησεν ὁ ἴδιος; Ἐμπρὸς λοιπὸν ἂς καταπιασθοῦμεν μὲ τὰ ἑπόμενα, καὶ ἂς ἰδοῦμεν τί μᾶς διηγεῖται σήμερα ὁ μακάριος αὐτὸς προφήτης, ὁ ὁποῖος διδάσκεται ἀπὸ τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος. Ἀφοῦ λοιπὸν ἐδέχθη τὴν ἀπόφασιν ὁ Κάιν, «Ἀπεμακρύνθη, λέγει, ἀπὸ προσώπου τοῦ Θεοῦ». Τί σημαίνει, «Ἀπεμακρύνθη ἀπὸ προσώπου τοῦ Θεοῦ»; Δηλαδή, ἀπεγυμνώθη ἀπὸ τὴν προστασίαν του ἐξ αἰτίας τῆς βδελυρᾶς ἐκείνης πράξεως. «Καὶ ἐκατοίκησεν εἰς τὴν χώραν Ναΐδ, ἀπέναντι ἀπὸ τὴν Ἐδέμ». Λέγει εἰς ἡμᾶς καὶ τὸν τόπον, ὅπου ἐκατοίκησεν εἰς τὸ ἑξῆς, καὶ διδάσκει πῶς καὶ αὐτὸς δὲν ἔζουσε μακρὰν ἀπὸ τὸν παράδεισον, ὥστε εὑρισκόμενος ἀπέναντι ἀπὸ αὐτὸν νὰ ἔχῃ διαρκῆ τὴν ὑπενθύμισιν καὶ ἐκείνων, τὰ ὁποῖα συνέβησαν εἰς τὸν πατέρα του ἐξ αἰτίας τῆς παραβάσεως τῆς ἐντολῆς, καὶ τοῦ μεγέθους ἐκείνων ποὺ ὁ ἴδιος εἶχε τολμήσει· δηλαδὴ τὴν τόσον μεγάλην τιμωρίαν, τὴν ὁποίαν ἐδέχθη χωρὶς νὰ σωφρονισθῇ ἀπὸ τὴν τιμωρίαν τοῦ πατρός του. Καὶ ὁ τόπος αὐτός, ὅπου ἐκατοικοῦσε, ἦτο ὄχι μόνον εἰς αὐτόν, ἀλλὰ καὶ εἰς τὰς ἑπομένας γενεάς, διαρκὴς ὑπενθύμισις τῆς ταραχῆς καὶ τοῦ τρόμου. Διότι τὸ ὄνομα Ναΐδ εἶναι ἑβραϊκὴ λέξις καὶ ἑρμηνεύεται ταραχή. Διὰ νὰ ἔχῃ λοιπὸν ὡσὰν εἰς χαλκίνην στήλην ἀκατάπαυστον τὴν κατηγορίαν καὶ ἀπὸ τὸν τόπον, ἐκεῖ ἔβαλεν αὐτὸν νὰ κατοικήσῃ. Ἔπειτα λέγει· «Καὶ συνευρέθη ὁ Κάιν μὲ τὴν γυναῖκα του, ἡ ὁποία ἀφοῦ συνέλαβε ἐγέννησε τὸν Ἐνώχ». Ἀφοῦ εἰς τὸ ἑξῆς ἔγιναν θνητοί, εὐλόγως ἐπάσχιζαν διὰ τὴν δια-

χὴν τὴν ἅπασαν σπουδὴν εἶχον. Ἀλλ' ἴσως εἴποι τις ἂν πῶς, οὐδαμοῦ τῆς Γραφῆς μνημονευσάσης ἑτέρας γυναικός, ὁ Κάϊν ἔσχε τὴν γυναῖκα; Μή σε ξενίση τοῦτο, ἀγαπητέ. Οὐδαμοῦ γὰρ θηλειῶν τέως κατάλογον ποιεῖται μετὰ ἀκριβείας, ἀλλὰ τὸ πέριττον φυγοῦσα ἡ θεία Γραφὴ ἐκ μέρους τῶν ἀρρένων μνημονεύει, καὶ οὐδὲ αὐτῶν πάντων, ἀλλὰ συντομώτερον ἡμῖν διηγεῖται λέγουσα, ὅτι ὁ δεῖνα ἐγέννησεν υἱοὺς καὶ θυγατέρας τεκεῖν μετὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ἣν εἰς γυναῖκα ἔλαβε Κάϊν. Ἐπειδὴ γὰρ προοίμια ἦν, καὶ ἔδει λοιπὸν αὐξηθῆναι τὸ γένος, καὶ ταῖς ἀδελφαῖς συγγενέσθαι συνεχώρουν. Διά τοι τοῦτο καταλιποῦσα ἡ Γραφὴ ἡμῖν συνιδεῖν τὸ ἀκόλουθον, τοῦτο μόνον διηγεῖται λέγουσα, «Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ· καὶ ἦν οἰκοδομῶν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ». Ὅρα πῶς σοφίζονται λοιπὸν κατὰ μικρόν. Ἐπειδὴ γὰρ θνητοὶ γεγόνασι, διηνεκῆ αὐτῶν σώζεσθαι τὴν μνήμην βούλονται ἀπό τε τῶν τικτομένων, ἀπό τε τῆς ὀνομασίας τῶν τόπων, οἷς τὰς προσηγορίας ἐπιτιθέασι τῶν παίδων. Ταῦτα πάντα ὑπομνήματα ἄν τις εἴποι δικαίως εἶναι τῶν ἡμαρτημένων αὐτοῖς, καὶ τῆς ἐκπτώσεως τῆς δόξης ἐκείνης, ἐν ᾗ τυγχάνοντες οὐδενὸς τούτων ἐδέοντο ὅ τε Ἀδὰμ ἥ τε Εὔα, ἀλλ' ἀνωτέρω πάντων «καθειστήκεσαν. «Ἐγεννήθη δὲ τῷ Ἐνώχ», φησί, «Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ». Ὁρᾷς πῶς παρέδραμε τὰς γενεαλογίας, τῶν ἀρρένων μόνον μνημονεύσας ὁ μακάριος οὗτος, καὶ οὐδαμοῦ τῶν θηλειῶν ἐπιμνησθείς. Ἀλλὰ καθάπερ ἐπὶ τοῦ Κάϊν εἶπεν, ὅτι «Ἔγνω τὴν γυναῖκα αὐτοῦ», μηδὲν διδάξας ἡμᾶς, μηδὲ εἰπὼν πόθεν ἔσχε τὴν γυναῖκα, οὕτω δὴ καὶ

δοχὴν τῶν παιδιῶν. Ἴσως ὅμως θὰ ἠμποροῦσε νὰ ἐρωτήσῃ κανείς· πῶς, ἐνῷ ἡ Ἁγία Γραφὴ δὲν ἀνέφερεν ἄλλην γυναῖκα, ὁ Κάϊν ἀπέκτησε γυναῖκα; Μὴ σὲ παραξενεύῃ αὐτό, ἀγαπητέ. Διότι πουθενὰ μέχρι τώρα δὲν κάνει κατάλογον τῶν γυναικῶν μὲ ἀκρίβειαν, ἀλλὰ ἀποφεύγουσα ἡ Ἁγία Γραφὴ τὸ περιττὸν ἀναφέρει μόνον τοὺς ἄνδρας, καὶ ὄχι αὐτοὺς ὅλους, ἀλλὰ μᾶς διηγεῖται συντομώτερα λέγουσα, ὅτι ὁ τάδε ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε. Φυσικὸν λοιπὸν ἦτο καὶ τώρα ἡ Εὔα νὰ ἐγέννησε θυγατέρα μετὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, τὴν ὁποίαν ἔλαβεν ὡς σύζυγον ὁ Κάϊν. Ἐπειδὴ λοιπὸν ἦτο ἀρχὴ καὶ ἔπρεπε νὰ αὐξηθῇ τὸ ἀνθρώπινον γένος εἰς τὸ μέλλον, ἐπετρέπετο νὰ συνέρχωνται εἰς σαρκικὴν μεῖξιν καὶ μὲ τὰς ἀδελφάς. Διὰ τοῦτο βεβαίως ἡ Γραφή, ἀφοῦ ἀφήσῃ νὰ γνωρίσωμεν ἡμεῖς τὰ ἑπόμενα, διηγεῖται αὐτὸ μόνον λέγουσα· «Καὶ συνευρέθη ὁ Κάϊν μὲ τὴν γυναῖκα του, ἡ ὁποία ἀφοῦ συνέλαβεν ἐγέννησε τὸν Ἐνώχ· καὶ ἔκτισε πόλιν, τὴν ὁποίαν ἐκ τοῦ ὀνόματος τοῦ υἱοῦ του ὠνόμασαν Ἐνώχ». Πρόσεχε πῶς γίνονται σοφοὶ εἰς τὸ ἑξῆς αιγὰ σιγὰ οἱ ἄνθρωποι. Ἐπειδὴ λοιπὸν ἔχουν γίνει θνητοί, θέλουν νὰ διατηρῆται παντοτινὴ ἡ μνήμη των καὶ ἀπὸ τὰ παιδιά των καὶ ἀπὸ τὴν ὀνομασίαν τῶν τοποθεσιῶν, εἰς τὰς ὁποίας θέτουν τὰ ὀνόματα τῶν παιδιῶν των. Ὅλα αὐτὰ θὰ ἠμποροῦσε νὰ εἴπῃ δίκαια κανείς, ὅτι εἶναι ὑπενθύμισις τῶν ἁμαρτημάτων, ποὺ ἔχουν διαπράξει, καὶ τῆς ἐκπτώσεως ἀπὸ τὴν δόξαν ἐκείνην, εἰς τὴν ὁποίαν εὑρισκόμενοι δὲν εἶχαν τὴν ἀνάγκην κανενὸς ἀπὸ αὐτὰ καὶ ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ἀλλὰ ἦσαν ὑπεράνω ὅλων. «Ἐγεννήθη δὲ ἀπὸ τὸν Ἐνώχ, λέγει ἡ Γραφή, ὁ Γαϊδάδ, καὶ ὁ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεὴλ καὶ ὁ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα καὶ ὁ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ». Βλέπεις πῶς ἀνέφερε γρήγορα τὰς γενεαλογίας καὶ ἐμνημόνευσε μόνον τοὺς ἄνδρας ὁ μακάριος Μωυσῆς καὶ δὲν ἀνέφερε πουθενὰ τὰς γυναῖκας; Ἀλλὰ ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τοῦ Κάϊν εἶπεν, ὅτι «Συνευρέθη μὲ τὴν γυναῖκα του», χωρὶς νὰ μᾶς διδάξῃ τίποτε, οὔτε νὰ μᾶς εἴπῃ ἀπὸ ποῦ εἶχε τὴν γυναῖ-

ἐνταῦθα πάλιν φησί· «Καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ, δύο γυναῖκας· ὄνομα τῇ μιᾷ Ἀδά, καὶ ὄνομα τῇ δευτέρᾳ Σελλά. Καὶ ἔτεκεν Ἀδά, φησί, τὸν Ἰωβήλ· οὗτος ἦν πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. Καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰωβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν».

2. Σκόπει τῆς Γραφῆς τὴν ἀκρίβειαν. Ἐδίδαξεν ἡμᾶς καὶ τὰ ὀνόματα τῶν τεχθέντων ὑπὸ τῆς γυναικὸς τοῦ Λάμεχ, καὶ τίνα τὰ ἐπιτηδεύματα ἔσχον, καὶ ὅτι ὁ μὲν περὶ τὴν κτηνοτροφίαν ἑαυτὸν ἐξέδωκεν, ὁ δὲ ἐπενόησε ψαλτήριον καὶ κιθάραν. «Σελλὰ δέ», φησίν, «ἔτεκε καὶ αὐτὴ τὸν Θοβέλ, καὶ ἦν σφυροκόπος, χαλκεὺς χαλκοῦ καὶ σιδήρου». Πάλιν καὶ τοῦ παρὰ τῆς Σελλᾶς τεχθέντος τὸ ἐπιτήδευμα ἡμῖν ἐδήλωσεν, ὅτι τὴν χαλκευτικὴν τέχνην εἵλετο. Ὅρα πῶς κατὰ μικρὸν τὰ τῆς συστάσεως τοῦ τῶν ἀνθρώπων γένους ὠκονόμητο. Καὶ πρῶτον μὲν ὁ Κάϊν τῷ ὑπ' αὐτοῦ τεχθέντι τὴν ὑπ' αὐτοῦ οἰκοδομουμένην πόλιν ἐπωνόμασεν. Εἶτα οἱ ὑπὸ τῶν γυναικῶν τοῦ Λάμεχ τεχθέντες, ὁ μὲν τῇ κτηνοτροφίᾳ ἑαυτὸν ἐξέδωκεν, ὁ δὲ ἕτερος τὴν χαλκευτικὴν εἵλετο, ὁ δὲ ψαλτήριον καὶ κιθάραν κατέδειξεν. «Ἀδελφὴ δέ», φησί, «Θόβελ Νοεμάν». Τί τὸ καινὸν καὶ παράδοξον; Νῦν γὰρ ἡμῖν πρῶτον δείκνυται θηλείας μνήμην ὀνομαστὶ ποιησάμενον. Οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλά τι κεκρυμμένον ἡμῖν ἐντεῦθεν ἐμφαίνων τοῦτο πεποίηκεν ὁ μακάριος προφήτης, ὅπερ εἰς ἕτερον καιρὸν ὑμῖν ταμιευσάμενοι, νῦν τῆς ἀκολουθίας ἐχώμεθα· οὐδὲ γὰρ τὸ τυχόν ἐστι τὸ ἐπαγόμενον, ἀλλὰ καὶ σφόδρα πολλοῦ τοῦ ἀγῶνος δεόμενον, καὶ ἀκριβεστέρας τῆς ἑρμηνείας, ὥστε δυνηθῆναι μετὰ σαφηνείας ἅπαντα διερευνησαμένους πολλὴν ἡμῖν τὴν ὠφέλειαν ἐντεῦθεν παρασχεῖν. «Εἶπε γάρ», φησί, «Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν Ἀδᾷ καὶ Σελλᾷ· ἀκούσατέ μου τῆς

κα, ἔτσι λοιπὸν καὶ ἐδῶ πάλιν λέγει· «Καὶ ἐνυμφεύθη ὁ Λάμεχ δύο γυναῖκας· ἡ μία ὠνομάζετο 'Αδὰ καὶ ἡ ἄλλη Σελλά. Καὶ ἐγέννησεν ἡ 'Αδά, λέγει, τὸν 'Ιωβήλ· αὐτὸς ἦτο ὁ πρόγονος τῶν κτηνοτρόφων, οἱ ὁποῖοι ἐκατοικοῦσαν εἰς σκηνάς. Καὶ ὁ ἀδελφός του ὠνομάζετο 'Ιουβάλ· αὐτὸς πρῶτος ἔδειξε τὴν χρῆσιν τοῦ ψαλτηρίου καὶ τῆς κιθάρας».

2. Σκέψου τὴν ἀκρίβειαν τῆς Γραφῆς. Μᾶς ἐδίδαξε καὶ τὰ ὀνόματα τῶν παιδιῶν, τὰ ὁποῖα ἐγεννήθησαν ἀπὸ τὴν γυναῖκα τοῦ Λάμεχ, καὶ ποῖα ἐπαγγέλματα εἶχαν καὶ ὅτι ὁ μὲν ἕνας ἐπεδόθη εἰς τὴν κτηνοτροφίαν, ὁ δὲ ἄλλος ἐπενόησε τὸ ψαλτήριον καὶ τὴν κιθάραν. «Ἡ Σελλὰ δέ, λέγει, ἐγέννησε καὶ αὐτὴ τὸν Θοβέλ, ὁ ὁποῖος ἦτο σφυροκόπος, δηλαδὴ χαλκουργὸς καὶ σιδηρουργός». Πάλιν μᾶς ἐδήλωσε τὸ ἐπάγγελμα τοῦ γεννηθέντος ἀπὸ τὴν Σελλάν, ὅτι ἐπροτίμησε τὴν τέχνην τοῦ χαλκέως. Πρόσεξε πῶς σιγὰ σιγὰ ἔχουν ἐξευρεθῆ τὰ ἀπαραίτητα διὰ τὴν ὕπαρξιν τοῦ ἀνθρωπίνου γένους. Καὶ πρῶτον μὲν ὁ Κάιν ὠνόμασε τὴν πόλιν, ποὺ ὁ ἴδιος ἔκτισεν, ἀπὸ τὸ ὄνομα τοῦ παιδιοῦ του. Ἔπειτα οἱ γεννηθέντες ἀπὸ τὰς γυναῖκας τοῦ Λάμεχ, ὁ μὲν ἕνας ἐπεδόθη εἰς τὴν κτηνοτροφίαν, ὁ δὲ ἄλλος ἐπροτίμησε τὴν τέχνην τοῦ χαλκέως καὶ ὁ τρίτος ἔδειξε τὴν χρῆσιν τοῦ ψαλτηρίου καὶ τῆς κιθάρας. «Καὶ ἀδελφή, λέγει, τοῦ Θοβὲλ ἦτο ἡ Νοεμά». Τί εἶναι τὸ νέον καὶ παράδοξον; Τώρα λοιπὸν διὰ πρώτην φορὰν παρουσιάζει γυναῖκα καὶ τὴν ἀναφέρει ὀνομαστικῶς. Δὲν ἔχει κάμει αὐτὸ ὁ μακάριος προφήτης ἁπλᾶ καὶ τυχαῖα, ἀλλὰ ἐπειδὴ ἤθελε νὰ μᾶς φανερώσῃ κάτι τὸ κρυμμένον, τὸ ὁποῖον ἀφοῦ διαφυλάξωμεν θὰ σᾶς τὸ παρουσιάσωμεν εἰς ἄλλην εὐκαιρίαν· τώρα ἂς συνεχίσωμεν, διότι αὐτὸ ποὺ ὑποκρύπτεται δὲν εἶναι τυχαῖον, ἀλλὰ ἔχει ἀνάγκην ἀπὸ πολὺ μεγάλην προσπάθειαν καὶ ἀκριβεστέραν ἑρμηνείαν, ὥστε νὰ ἠμπορέσωμεν, ἀφοῦ ἐξετάσωμεν τὰ πάντα μὲ σαφήνειαν, νὰ σᾶς δώσωμεν μεγάλην ὠφέλειαν ἀπὸ αὐτό. «Εἶπε λοιπόν, λέγει ἡ Γραφή, ὁ Λάμεχ εἰς τὰς γυναῖκας του, εἰς τὴν 'Αδὰν καὶ τὴν Σελλάν· ἀκούσατε τὴν φωνήν μου, γυναῖκες τοῦ Λάμεχ, καὶ δώσατε προσοχὴν

φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους· ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. Ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά». Συντείνατέ μοι τὴν διάνοιαν, παρακαλῶ, καὶ πάντα τὸν βιωτικὸν λογισμὸν ἀπωσάμενοι μετὰ ἀκριβείας τὰ εἰρημένα διερευνησώμεθα, ἵνα μηδὲν ἡμᾶς λαθεῖν δυνηθῇ, ἀλλ' ὅσον ἡμῖν οἷόν τε πρὸς τὸ βάθος αὐτὸ καθιέντες ἑαυτούς, θηρᾶσθαι δυνηθῶμεν τὸν ἐγκεκρυμμένον θησαυρὸν τοῖς βραχέσι τούτοις ῥήμασιν. «Εἶπε δέ», φησί, «Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν Ἀδᾷ καὶ Σελλᾷ· ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους». Σκόπει μοι εὐθέως ἐκ προοιμίων πόσον ὤνησε τοῦτον ἡ εἰς τὸν Κάϊν γεγενημένη τιμωρία. Οὐ μόνον γὰρ οὐ περιμένει τὸν παρ' ἑτέρου ἔλεγχον, ὡς τῷ αὐτῷ ἁμαρτήματι ἢ καὶ χείρονι περιπεσών, ἀλλὰ καὶ μηδενὸς ἐγκαλοῦντος, μηδὲ ἐπιτιμῶντος, αὐτὸς ἑαυτὸν κατάδηλον ποιεῖ, καὶ ἐξαγορεύει τὰ εἰργασμένα, καὶ ταῖς γυναιξὶ διηγεῖται τοῦ πλημμελήματος τὸ μέγεθος, μονονουχὶ ἐκεῖνο πληρῶν τὸ εἰρημένον παρὰ τοῦ προφήτου, ὅτι «Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ». Μέγιστον γάρ ἐστιν εἰς διόρθωσιν τῶν ἡμαρτημένων ἡ ὁμολογία. Ὥσπερ οὖν βαρύτερον τῶν ἡμαρτημένων τυγχάνει τὸ μετὰ τὴν πρᾶξιν τῆς ἁμαρτίας ἐπὶ τὴν ἄρνησιν ἔρχεσθαι· ὅπερ καὶ ὁ ἀδελφοκτόνος ἐκεῖνος πέπονθε, καὶ ἐρωτώμενος παρὰ τοῦ φιλανθρώπου Θεοῦ, οὐ μόνον οὐχ ὡμολόγησε τὸ ὑπ' αὐτοῦ τολμηθέν, ἀλλὰ καὶ ἐτόλμησε ψεύσασθαι Θεῷ, καὶ διὰ τοῦτο παραταθῆναι αὐτοῦ τὴν ζωὴν ἐποίησεν. Ὁ τοίνυν Λάμεχ τοῖς αὐτοῖς περιπεσών, καὶ εἰς ἐκείνην ἐλθὼν τὴν ἔννοια, ὅτι ἐκεῖνον ἡ ἄρνησις χαλεπωτέραν δέξασθαι παρεσκεύασε τὴν τιμωρίαν, καλέσας τὰς ἑαυτοῦ γυναῖκας, οὐδενὸς καταναγκά-

1. Παροιμ. 18, 17.

εἰς τὰ λόγια μου· ὅτι ἐφόνευσα ἄνδρα, ἐπειδὴ μὲ ἐτραυμάτισε, καὶ νέον, ἐπειδὴ μὲ ἐκτύπησε. Ἐὰν ἔχει πληρωθῆ ἀπὸ τὸν Κάϊν ἑπταπλασία ἐκδίκησις, ἀπὸ τὸν Λάμεχ δὲ θὰ πληρωθῆ ἑβδομήντα φορὰς ἑπταπλασία». Σᾶς παρακαλῶ, ἐντείνατε τὴν προσοχήν σας, καὶ ἀφοῦ ἀπομακρύνωμεν κάθε βιωτικὴν σκέψιν, ἂς ἐξετάσωμεν μὲ ἀκρίβειαν τὰ λεχθέντα, διὰ νὰ μὴ ἠμπορέσῃ νὰ διαφύγῃ τίποτε, ἀλλά, ὅσον μᾶς εἶναι δυνατόν, ἀφοῦ κατέλθωμεν εἰς τὸ βάθος αὐτό, νὰ ἠμπορέσωμεν νὰ συλλέξωμεν τὸν θησαυρόν, ποὺ εἶναι κρυμμένος μέσα εἰς τὰ ὀλίγα αὐτὰ λόγια. «Καὶ εἶπε, λέγει, ὁ Λάμεχ εἰς τὰς γυναῖκας του, Ἀδὰν καὶ Σελλάν· ἀκούσατε τὴν φωνήν μου, γυναῖκες τοῦ Λάμεχ, καὶ δώσατε προσοχὴν εἰς τὰ λόγια μου». Πρόσεξε, παρακαλῶ, ἀμέσως ἀπὸ τὴν ἀρχὴν πόσον ὠφέλησεν αὐτὸν ἡ ἐπιβληθεῖσα τιμωρία εἰς τὸν Κάϊν. Διότι ὄχι μόνον δὲν περιμένει τὸν ἔλεγχον ἀπὸ κανένα ἄλλον, ἐπειδὴ περιέπεσε εἰς τὸ ἴδιον ἢ καὶ χειρότερον ἁμάρτημα, ἀλλὰ καὶ χωρὶς νὰ τὸν κατηγορῆ κανείς, οὔτε νὰ τὸν ἐπικρίνῃ, μόνος του φανερώνει τὸν ἑαυτόν του καὶ ἀποκαλύπτει αὐτὰ ποὺ εἶχε πράξει, καὶ εἰς τὰς γυναῖκας διηγεῖται τὸ μέγεθος τοῦ ἁμαρτήματός του, ἐκπληρώνων σχεδὸν ἐκεῖνο ποὺ ἔχει εἰπῆ ὁ προφήτης, ὅτι «Δίκαιος εἶναι ἐκεῖνος ὁ ὁποῖος πρῶτος εἰς τὸ δικαστήριον κατηγορεῖ τὸν ἑαυτόν του»[1]. Εἶναι πολὺ μεγάλη ὑπόθεσις διὰ τὴν διόρθωσιν τῶν σφαλμάτων ἡ ὁμολογία. Ὅπως ἀκριβῶς λοιπὸν εἶναι βαρύτερον ἀπὸ τὰ ἁμαρτήματα τὸ νὰ ἀρνῆται κανεὶς τὴν ἐνοχήν του μετὰ τὴν διάπραξιν τῆς ἁμαρτίας, πρᾶγμα ποὺ βεβαίως καὶ ὁ ἀδελφοκτόνος ἐκεῖνος εἶχε πάθει, καὶ ἐνῷ ἠρωτᾶτο ἀπὸ τὸν φιλάνθρωπον Θεόν, ὄχι μόνον δὲν ὡμολόγησεν αὐτὸ ποὺ ὁ ἴδιος ἐτόλμησεν, ἀλλὰ καὶ ἐτόλμησε νὰ εἰπῆ ψέματα εἰς τὸν Θεόν, ὁ ὁποῖος διὰ τοῦτο ἔκαμε νὰ παραταθῆ ἡ ζωή του. Ὁ Λάμεχ λοιπόν, ἀφοῦ περιέπεσε εἰς τὰ ἴδια ἁμαρτήματα καὶ ἀφοῦ ἐσκέφθη ἐκείνην τὴν περίπτωσιν, ὅτι δηλαδὴ ἡ ἄρνησις ἔκαμεν ἐκεῖνον νὰ δεχθῆ βαρυτέραν τιμωρίαν, ἀφοῦ ἐκάλεσε τὰς γυναῖκας του, χωρὶς νὰ τὸν ἀναγκάζῃ κανείς, οὔτε νὰ τὸν ἐλέγχῃ, ὁ ἴδιος μὲ τὴν

ζοντος, οὐδὲ διελέγχοντος, αὐτὸς διὰ τῆς οἰκείας γλώττης καὶ τὴν ὁμολογίαν τῶν ἡμαρτημένων ποιεῖται, καὶ συγκρίνων τὰ ὑπ' αὐτοῦ εἰργασμένα τοῖς παρὰ τοῦ Κάϊν πεπραγμένοις, ἑαυτῷ τὴν τιμωρίαν ὁρίζει. Εἶδες κηδεμονίαν Δεσπότου, πῶς καὶ αἱ τιμωρίαι αὐτοῦ φιλανθρωπίας ὑποθέσεις εἰσί, καὶ ὅτι οὐ μέχρι τοῦ τὴν τιμωρίαν δεχομένου τὰ τῆς φιλανθρωπίας ἵσταται, ἀλλὰ καὶ τοῖς λοιποῖς χρήσιμον κατασκευάζει τὸ φάρμακον, εἰ βουληθεῖεν τὴν ἐξ αὐτοῦ ὠφέλειαν καρπώσασθαι; Πόθεν γάρ, εἰπέ μοι, ὁ Λάμεχ ἑτέρωθεν ἐπὶ τὴν τοσαύτην ἐξομολόγησιν ἐπείχθη, εἰ μὴ τὴν ἐκ τῶν ἐκείνῳ συμβάντων ὑπόμνησιν εἶχε διηνεκῶς αὐτοῦ τὴν διάνοιαν κατασείουσαν; «Εἶπε», φησίν· «ἀκούσατέ μου τῆς φωνῆς, καὶ ἐνωτίσασθέ μου τοὺς λόγους». Ὅρα πῶς καθ' ἑαυτὸν δικαστήριον καθίσας, οὕτω τὴν παράκλησιν αὐταῖς προσάγει, ὥστε μὴ παρέργως δέξασθαι τὰ λεγόμενα. Τὸ γὰρ εἰπεῖν, «Ἀκούσατέ μου τῆς φωνῆς, καὶ ἐνωτίσασθέ μου τοὺς λόγους», τοῦτο δηλοῦντός ἐστι, συντείνατε ὑμῶν, φησί, τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας προσέχετε οἷς ἐρεῖν μέλλω. Οὐδὲ γὰρ περὶ τῶν τυχόντων ὑμῖν διαλέξομαι, ἀλλὰ πράγματα ὑμῖν ἐξαγορεύσω λανθάνοντα, καὶ ἃ μηδεὶς ἕτερος οἶδεν, ἀλλ' ἢ μόνος ἐγώ, καὶ ὁ ἀκοίμητος ἐκεῖνος ὀφθαλμός, ὃν δεδοικὼς σπεύδω καὶ ἐπείγομαι φανερὰ ὑμῖν καταστῆσαι τὰ ὑπ' ἐμοῦ πεπραγμένα, καὶ ὅσαις τιμωρίαις ἑαυτὸν ὑπεύθυνον κατέστησα διὰ τῶν ἀνοσίων πράξεων. «Ὅτι ἄνδρα ἀπέκτεινα», φησίν, «εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. Ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά». Μέγα τὸ εἰρημένον, καὶ σφόδρα μέγα, καὶ πολλὴ τοῦ ἀνδρὸς ἡ εὐγνωμοσύνη. Οὐ μόνον γὰρ ὁμολογεῖ τὸ γεγονός, καὶ τοὺς φόνους εἰς μέσον ἄγει, οὓς εἰργάσατο, ἀλλὰ καὶ διὰ τῆς συγκρίσεως τῶν ὑπ' ἐκείνου καὶ ὑπ' αὐτοῦ γεγονότων τὸ ἐπιτίμιον ἑαυτῷ ἐπιτίθησι. Ποίας γὰρ ἂν εἴη, φησί, συγγνώμης ἄξιος ὁ μηδὲ τῇ ἑτέρου τιμωρίᾳ σωφρονισθείς, ἀλλὰ

2. Δηλαδὴ ὁ Κάϊν.

ἰδικήν του γλῶσσαν κάνει τὴν ὁμολογίαν τῶν ἁμαρτημάτων του, καὶ συγκρίνων τὰς πράξεις του πρὸς ἐκείνας ποὺ εἶχε διαπράξει ὁ Κάιν, ὁρίζει εἰς τὸν ἑαυτόν του τὴν τιμωρίαν. Εἶδες τὴν φροντίδα τοῦ Θεοῦ, πῶς καὶ αἱ τιμωρίαι του γίνονται προϋποθέσεις φιλανθρωπίας, καὶ ὅτι αἱ ἐκδηλώσεις τῆς φιλανθρωπίας δὲν σταματοῦν μέχρι τὴν τιμωρίαν ἐκείνου ποὺ τὴν δέχεται, ἀλλὰ εἰς τοὺς ὑπολοίπους καθιστᾷ χρήσιμον τὸ φάρμακον, ἐὰν θὰ θελήσουν νὰ ἐπωφεληθοῦν ἀπ᾽ αὐτό; Ἀπὸ ποῦ ἀλλοῦ λοιπόν, εἰπέ μου, ἔσπευσεν ὁ Λάμεχ εἰς τόσον μεγάλην ἐξομολόγησιν, ἐὰν δὲν εἶχε τὴν ὑπενθύμισιν ὅσων συνέβησαν εἰς ἐκεῖνον νὰ ταράσσῃ διαρκῶς τὸν νοῦν του; «Εἶπε, λέγει ἡ Γραφή· ἀκούσατε τὴν φωνήν μου καὶ δώσατε προσοχὴν εἰς τὰ λόγια μου». Πρόσεξε πῶς ἀφοῦ ἔστησε τὸ δικαστήριον ἐναντίον του, ἔτσι προσάγει τὴν παράκλησιν εἰς αὐτάς, ὥστε νὰ μὴ δεχθοῦν τὰ λόγια του μὲ ἀμέλειαν. Διότι τὸ νὰ εἰπῇ «Ἀκούσατε τὴν φωνήν μου καὶ ἀκροασθῆτε τὰ λόγια μου», τοῦτο σημαίνει, ἐντείνατε, λέγει, τὴν προσοχήν σας καὶ προσέχετε μὲ ἀκρίβειαν εἰς ἐκεῖνα τὰ ὁποῖα πρόκειται νὰ εἰπῶ. Βέβαια δὲν θὰ συζητήσω μαζί σας διὰ τυχαῖα πράγματα, ἀλλὰ θὰ σᾶς ἀποκαλύψω πράγματα κρυφὰ καὶ τὰ ὁποῖα κανεὶς ἄλλος δὲν γνωρίζει, παρὰ μόνον ἐγὼ καὶ ὁ ἀκοίμητος ἐκεῖνος ὀφθαλμός, τὸν ὁποῖον ἐπειδὴ φοβοῦμαι σπεύδω καὶ ἐπείγομαι νὰ σᾶς γνωστοποιήσω αὐτὰ ποὺ ἔχω πράξει καὶ εἰς πόσας τιμωρίας κατέστησα τὸν ἑαυτόν μου ὑπεύθυνον μὲ τὰς βδελυρὰς πράξεις μου. «Ἐφόνευσα ἄνδρα, λέγει, ἐπειδὴ μὲ ἐτραυμάτισε, καὶ νέον ἐπειδὴ μὲ ἐκτύπησεν. Ἐὰν ἔχῃ πληρωθῆ ἑπταπλασία ἐκδίκησις ἀπὸ τὸν Κάιν, ἀπὸ δὲ τὸν Λάμεχ ἑβδομήντα φορὰς ἑπτά». Μεγάλος ὁ λόγος καὶ μάλιστα πολὺ μεγάλος, καὶ μεγάλη ἡ εὐγνωμοσύνη τοῦ ἀνδρός. Διότι ὄχι μόνον ὁμολογεῖ τὴν πρᾶξιν καὶ φανερώνει τοὺς φόνους, τοὺς ὁποίους διέπραξεν, ἀλλὰ καὶ διὰ τῆς συγκρίσεως ἐκείνων, τὰ ὁποῖα ἔπραξεν ἐκεῖνος· καὶ αὐτός, ἐπιβάλλει εἰς τὸν ἑαυτόν του τὴν τιμωρίαν. Διὰ ποίαν λοιπὸν συγγνώμην, λέγει, θὰ ἠμποροῦσε νὰ εἶναι ἄξιος ἐκεῖνος, ποὺ δὲν ἐσωφρονίσθη

καὶ ἔναυλον ἔχων τὴν μνήμην, καὶ πρὸς ἐπὶ τούτοις διπλοῦν ἐργασάμενος φόνον; «Ὅτι ἄνδρα», φησίν, «ἀπέκτεινα εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί». Οὐ τοσοῦτον ἠδίκησα, φησίν, ἐκείνους οὓς ἀνεῖλον, ὅσον ἐμαυτόν. Εἰς ἄψυχον γὰρ τιμωρίαν αὐτὸν ἐνέβαλον, ἁμαρτήματα ἐργασάμενος συγγνώμης ἐπέκεινα. Εἰ γὰρ ἐκεῖνος ὑπὲρ τοῦ ἑνὸς φόνου ἑπτὰ τιμωρίαις ὑπεύθυνος γέγονεν, ἐγὼ δίκαιος ἂν εἴην ἑβδομηκοντάκις ἑπτὰ τιμωρίας ὑποσχεῖν. Τίνος ἕνεκεν καὶ διὰ τί; Εἰ γὰρ καὶ φόνον ἐκεῖνος εἰργάσατο, καὶ ἀδελφοῦ φόνον, ἀλλ' οὐδένα οὐδέποτε πρότερον θεασάμενος τοῦτο πεποιηκότα, οὐδὲ κατιδὼν ἕτερον διὰ τὴν πρᾶξιν τιμωρηθέντα, καὶ τοσαύτης πειραθέντα τῆς ἀγανακτήσεως, ἅπερ ἀμφότερα ἐμοὶ αὔξει τὰς τιμωρίας· ὅτι καὶ πρὸ τῶν ὀφθαλμῶν ἔχων τὸ ὑπ' ἐκείνου τολμηθέν, καὶ τὴν τιμωρίαν ὁρῶν οὕτως ἀνήκεστον οὖσαν, οὐδὲ οὕτως ἐσωφρονίσθην. Διὰ τοῦτο κἂν ἑβδομηκοντάκις ἑπτὰ τιμωρίας ἐκείνου ὑποσταίην, οὐδὲ οὕτω τὴν ἀξίαν δώσω δίκην.

3. Ὁρᾶς, ἀγαπητέ, πῶς αὐτεξούσιον ἡμῶν τὴν γνώμην ὁ Θεὸς ἐδημιούργησε, καὶ ὥσπερ ῥαθυμοῦντες ὑποσκελιζόμεθα, οὕτω καὶ νῆψαι βουληθέντες συνορῶμεν τὸ δέον; Τίς γάρ, εἰπέ μοι, τοῦτον ἐπὶ τὴν τοσαύτην ἐξομολόγησιν κατήπειγεν; Οὐδεὶς ἕτερος, ἀλλ' ἢ τὸ συνειδὸς καὶ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος. Ἐπειδὴ γὰρ εἰς ῥαθυμίαν ἀποκλίνας εἰς ἔργον ἤγαγε τὴν κακὴν ἐπιχείρησιν, εὐθέως κατεξανέστη τὸ συνειδὸς καταβοῶν, καὶ δεικνύον καὶ τῶν ἁμαρτηθέντων τὸ μέγεθος, καὶ ὅσαις τιμωρίαις ἑαυτὸν ὑπεύθυνον εἰργάσατο. Τοιοῦτον γὰρ ἡ ἁμαρτία· πρὶν ἢ μὲν γὰρ παραχθῆναι, καὶ εἰς ἔργον ἐλθεῖν, σκοτοῖ τὸν λογισμόν, καὶ ἀπατᾷ τὴν διάνοιαν, ἐπὰν δὲ τελειωθῇ, τότε δήλην ἡμῖν τὴν αὐτῆς ἀτοπίαν καθίστησι, καὶ ἡ βραχεῖα ἐκείνη καὶ ἄτοπος ἡδονὴ διηνεκῆ τὴν ὀδύνην ἡμῖν ἐντίθησι, καὶ τοῦ συνειδότος ἀφαιρεῖται τὴν παρ-

οὔτε ἀπὸ τὴν τιμωρίαν τοῦ ἄλλου, ἀλλά, ἐνῷ ἔχει ζωηρὰν τὴν ἀνάμνησιν, διέπραξεν ἐπὶ πλέον καὶ διπλὸν φόνον; «Ἐφόνευσα ἄνδρα, λέγει, ἐπειδὴ μὲ ἐτραυμάτισε, καὶ νέον, ἐπειδὴ μὲ ἐκτύπησε». Δὲν ἠδίκησα, λέγει, τόσον πολὺ ἐκείνους, ποὺ ἐφόνευσα, ὅσον τὸν ἑαυτόν μου. Ἔρριψα λοιπὸν τὸν ἑαυτόν μου εἰς ἀναπόφευκτον τιμωρίαν, ἐπειδὴ διέπραξα ἁμαρτήματα ποὺ δὲν συγχωροῦνται. Διότι ἐὰν ἐκεῖνος ἔγινεν ἔνοχος δι' ἑπτὰ τιμωρίας ἐξ αἰτίας τοῦ ἑνὸς φόνου, ἐγὼ θὰ εἶναι δίκαιον νὰ ὑποστῶ ἑβδομήντα φορὰς ἑπταπλασίαν τιμωρίαν. Διὰ ποῖον λόγον καὶ διατί; Διότι ἐὰν ἐκεῖνος διέπραξε καὶ φόνον, καὶ μάλιστα φόνον τοῦ ἀδελφοῦ του, χωρὶς ὅμως νὰ ἰδῇ ποτὲ κανένα νὰ ἔχῃ κάμει προηγουμένως αὐτό, οὔτε νὰ γνωρίσῃ ἄλλον νὰ ἐτιμωρήθη διὰ τὴν πρᾶξιν αὐτὴν καὶ νὰ ὑποστῇ τέτοιαν ἀγανάκτησιν, τὰ ὁποῖα καὶ τὰ δύο αὐξάνουν εἰς ἐμὲ τὴν τιμωρίαν· διότι ἂν καὶ εἶχα ὑπ' ὄψιν μου τὴν παράτολμον πρᾶξιν ἐκείνου καὶ ἔβλεπα τὴν τιμωρίαν νὰ εἶναι τόσον φοβερά, οὔτε ἔτσι ἐσωφρονίσθην. Δι' αὐτὸ καὶ ἂν ἀκόμη θὰ ὑποστῶ ἑβδομήντα φορὰς ἑπταπλασίας τὰς τιμωρίας ἐκείνου, οὔτε ἔτσι θὰ τιμωρηθῶ ὅπως ἀξίζει.

3. Βλέπεις, ἀγαπητέ, πῶς ἐδημιούργησεν ὁ Θεὸς ἐλευθέραν τὴν σκέψιν μας, καὶ ὅπως ὅταν εἴμεθα ἀδιάφοροι ὑποσκελιζόμεθα, ἔτσι καὶ ὅταν θελήσωμεν νὰ εἴμεθα νηφάλιοι κατανοοῦμεν αὐτὸ ποὺ πρέπει; Ποῖος λοιπόν, εἰπέ μου, ἠνάγκασεν αὐτὸν νὰ σπεύσῃ εἰς μίαν τέτοιαν ἐξομολόγησιν; Κανεὶς ἄλλος, παρὰ μόνον ἡ συνείδησις καὶ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος. Ἐπειδὴ λοιπόν, ἀφοῦ περιέπεσεν εἰς ραθυμίαν, ἐπραγματοποίησε τὴν κακὴν ἐνέργειαν, ἀμέσως ἐπανεστάτησεν ἡ συνείδησίς του κραυγάζουσα καὶ δεικνύουσα καὶ τὸ μέγεθος τῶν ἁμαρτημάτων καὶ εἰς πόσας τιμωρίας κατέστησε τὸν ἑαυτόν του ἔνοχον. Διότι τέτοια εἶναι ἡ ἁμαρτία· προτοῦ μὲν νὰ γίνῃ κάτι καὶ νὰ πραγματοποιηθῇ, θολώνει τὴν σκέψιν καὶ ἐξαπατᾷ τὸν νοῦν· ὅταν ὅμως ὁλοκληρωθῇ, τότε μᾶς φανερώνει τὴν ἰδιοτροπίαν της, καὶ ἡ μικρὰ ἐκείνη καὶ ἀνόητος εὐχαρίστησις ἐνσταλάζει μέσα μας συνεχῶς τὴν ὀδύνην, καὶ ἀ-

ρησίαν, καὶ αἰσχύνη περιβάλλει τὸν ἁλόντα. Ὁ γὰρ φιλάνθρωπος Δεσπότης τοιοῦτον ἡμῖν τὸν κατήγορον τοῦτον ἐπέστησεν, ὡς μηδέποτε ἠρεμεῖν, ἀλλ' ἀδιαλείπτως συνόντα καταβοᾶν, καὶ δίκην ἀπαιτεῖν τῶν πεπλημμελημένων. Καὶ τοῦτο ἄν τις ἴδοι σαφῶς ἐξ αὐτῶν τῶν πραγμάτων. Ὁ γὰρ πόρνος, ἢ ὁ μοιχός, ἢ ὁ ἕτερόν τι τοιοῦτον εἰργασμένος, κἂν πάντας λαθεῖν δυνηθῇ, οὐδὲ οὕτως ἐν ἠρεμίᾳ διάγει, ἀλλ' ἔχων τοῦτον τὸν σφοδρὸν κατήγορον τὰς ὑποψίας δέδοικε, τὰς σκιὰς τρέμει, τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας, διηνεκῆ χειμῶνα ἔχων ἐν ψυχῇ καὶ κύματα ἐπάλληλα. Καὶ οὔτε ὕπνος τῷ τοιούτῳ ἡδύς, ἀλλὰ φόβου καὶ δειμάτων πεπληρωμένος· οὔτε τροφὴ ἡδονὴν ἔχουσα, οὔτε διάλεξις φίλων τὸν τοιοῦτον μεταγαγεῖν δυνήσεται, ἢ ἀπαλλάξαι τοῦ ἀγῶνος τοῦ ἐπικειμένου· ἀλλὰ καθάπερ δήμιον περιφέρων καταξαίνοντα αὐτὸν καὶ μαστίζοντα διηνεκῶς, οὕτω μετὰ τὴν ἄτοπον πρᾶξιν ἐκείνην περιέρχεται, οὐδενὸς εἰδότος, τὰς ἀφορήτους ἐκείνας τιμωρίας ὑπέχων, καὶ δικαστὴς ἑαυτοῦ γινόμενος καὶ κατήγορος Ἀλλ' ὁ ταῦτα εἰργασμένος ἐὰν βουληθῇ εἰς δέον χρήσασθαι τῇ ἀπὸ τοῦ συνειδότος βοηθείᾳ, καὶ ἐπὶ τὴν ἐξομολόγησιν τῶν πεπραγμένων ἐπειχθῆναι, καὶ τῷ ἰατρῷ δεῖξαι τὸ ἕλκος, τῷ θεραπεύοντι καὶ μὴ ὀνειδίζοντι, καὶ τὰ παρ' ἐκείνου φάρμακα δέξασθαι, καὶ μόνος αὐτῷ διαλεχθῆναι, μηδενὸς εἰδότος, καὶ πάντα εἰπεῖν μετὰ ἀκριβείας, ταχεῖαν ποιήσεται τὴν διόρθωσιν τῶν ἐπταισμένων. Ἡ γὰρ ὁμολογία τῶν ἡμαρτημένων ἀφανισμὸς γίνεται τῶν πλημμελημάτων. Εἰ γὰρ δὴ ὁ Λάμεχ οὗτος ταῖς ἑαυτοῦ γυναιξὶ τοὺς παρ' αὐτοῦ γενομένους φόνους ἐξαγορεῦσαι οὐ παρῃτήσατο, ποίας ἂν εἴημεν συγγνώμης ἄξιοι, τῷ πάντα μετὰ ἀκριβείας εἰδότι τὰ ἡμέτερα πλημ-

φαιρεῖ τὴν παρρησίαν τῆς συνειδήσεως καὶ περιβάλλει μὲ ἐντροπὴν ἐκεῖνον, ποὺ ὑπέκυψεν εἰς αὐτήν. Διότι ὁ φιλάνθρωπος Θεὸς ἐτοποθέτησεν εἰς ἡμᾶς τὸν κατήγορον αὐτὸν ἔτσι, ὥστε ποτὲ νὰ μὴ ἡσυχάζῃ ἀλλὰ συνεχῶς εὑρισκόμενος μαζί μας νὰ φωνάζῃ δυνατὰ καὶ νὰ ἀπαιτῇ τὴν τιμωρίαν τῶν διαπραχθέντων σφαλμάτων. Καὶ τοῦτο θὰ ἠμπορέσῃ νὰ τὸ ἰδῇ κανεὶς μὲ σαφήνειαν ἀπὸ τὰ ἴδια τὰ πράγματα. Διότι ὁ πόρνος ἢ ὁ μοιχὸς ἢ ἐκεῖνος ποὺ διέπραξε κάτι ἄλλο παρόμοιον, καὶ ἂν ἀκόμη ἠμπορέσῃ νὰ διαφύγῃ τὴν προσοχὴν ὅλων, οὔτε ἔτσι ζῇ μὲ ἠρεμίαν, ἀλλά, ἐπειδὴ ἔχει τὸν σφοδρὸν αὐτὸν κατήγορον, φοβεῖται τὰς ὑποψίας, τρέμει τὰς σκιάς, τοὺς γνωρίζοντας καὶ μὴ γνωρίζοντας, ἔχων μέσα εἰς τὴν ψυχήν του διαρκῆ χειμῶνα καὶ ἀλλεπάλληλα κύματα. Καὶ οὔτε ὁ ὕπνος εἰς αὐτὸν εἶναι εὐχάριστος, ἀλλὰ γεμᾶτος φόβον καὶ τρόμον· οὔτε ἡ τροφή του ἔχει κάποιαν ἀπόλαυσιν, οὔτε ἡ συζήτησις τῶν φίλων θὰ ἠμπορέσῃ νὰ ἀλλάξῃ τὴν συμπεριφοράν, ἢ νὰ τὸν ἀπαλλάξῃ ἀπὸ τὸν ἐπικείμενον ἀγῶνα· ἀλλὰ ὅπως ἀκριβῶς ἐκεῖνος περιτριγυρίζει τὸν δήμιον, ὁ ὁποῖος τὸν βασανίζει καὶ διαρκῶς τὸν μαστιγώνει, ἔτσι ὕστερα ἀπὸ τὴν κακὴν πρᾶξιν περιτριγυρίζει αὐτήν, χωρὶς νὰ γνωρίζῃ κανείς, ὑποφέρων τὰς ἀνυποφόρους ἐκείνας τιμωρίας καὶ γινόμενος δικαστὴς καὶ κατήγορος τοῦ ἑαυτοῦ του. Ἀλλὰ ἐκεῖνος ποὺ ἔχει διαπράξει αὐτά, ἐὰν ἐπιθυμήσῃ νὰ χρησιμοποιήσῃ ὅπως πρέπει τὴν βοήθειαν ἀπὸ τὴν συνείδησιν, καὶ νὰ τρέξῃ γρήγορα εἰς ἐξομολόγησιν τῶν πράξεών του, καὶ νὰ δείξῃ τὴν πληγὴν εἰς τὸν ἰατρόν, ὁ ὁποῖος θεραπεύει καὶ δὲν ἐντροπιάζει, καὶ νὰ δεχθῇ ἀπ᾽ ἐκεῖνον τὰ φάρμακα καὶ μόνος του νὰ συζητήσῃ μὲ αὐτόν, χωρὶς νὰ γνωρίζῃ κανείς, καὶ νὰ εἰπῇ τὰ πάντα μὲ ἀκρίβειαν, θὰ διορθώσῃ γρήγορα τὰ σφάλματά του. Διότι ἡ ὁμολογία τῶν ἁμαρτημάτων ἀφανίζει τὰ σφάλματα. Διότι ἐὰν λοιπὸν ὁ Λάμεχ αὐτὸς δὲν ἀπέφυγε νὰ ἀποκαλύψῃ εἰς τὰς γυναῖκας του τοὺς φόνους, ποὺ ὁ ἴδιος διέπραξε, διὰ ποίαν συγγνώμην θὰ εἴμεθα ἄξιοι, ὅταν δὲν θέλωμεν νὰ ἀποκαλύψωμεν τὰ ἁμαρτήματα εἰς ἐκεῖνον, ὁ ὁποῖος γνωρίζει μὲ

μελήματα μὴ βουλόμενοι ἐξαγορεύειν τὰ ἡμαρτημένα; Μὴ γὰρ ἐπειδὴ ἀγνοεῖ, μαθεῖν βούλεται; Οὐκ ἐπειδὴ ἀγνοῖ, τὴν παρ' ἡμῶν ὁμολογίαν ἐπιζητεῖ ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, ἀλλὰ βουλόμενος ἡμᾶς ὁμοῦ καὶ αἴσθησιν λαβεῖν τῶν ἐπταισμένων διὰ τῆς ὁμολογίας, καὶ τὴν εὐγνωμοσύνην τὴν παρ' ἑαυτῶν ἐπιδείξασθαι. Μὴ γὰρ χρήματα ἔπεστιν ἐνταῦθα δαπανῆσαι; μὴ γὰρ ὁδὸν μακρὰν στείλασθαι; μὴ γὰρ ὀδύνην καὶ ἀλγήματα παρέχει ἡ ἰατρεία αὕτη; Καὶ ἀδάπανός ἐστι, καὶ ἀνώδυνος, καὶ ταχεῖαν παρέχουσα τὴν θεραπείαν. Πρὸς γὰρ τὸν τόνον τῆς διαθέσεως τοῦ προσιόντος, οὕτω καὶ τὰ φάρμακα τῶν τραυμάτων χαρίζεται ὁ Δεσπότης. Ὁ τοίνυν βουλόμενος θᾶττον πρὸς ὑγίειαν ἐπανελθεῖν, καὶ τὰ τῆς ψυχῆς ἕλκη θεραπεῦσαι, μετὰ νήψεως προσιέτω, πάντων ἑαυτὸν ἀποστήσας τῶν βιωτικῶν, θερμὰ δάκρυα προχεέτω, προσεδρίαν πολλὴν ἐπιδεικνύσθω, πίστιν ἀκριβῆ εἰσφερέτω, καὶ θαρρείτω τοῦ ἰατροῦ τῇ τέχνῃ, καὶ παραχρῆμα τῆς ὑγιείας ἀπολαύσεται. Εἶδες ἰατροῦ φιλοτιμίαν παντὸς πατρὸς φιλοστοργίαν ἀποκρύπτοντος; Μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς παρ' ἡμῶν ἐπιζητεῖ; Συντριβὴν καρδίας, λογισμοῦ κατάνυξιν, ὁμολογίαν πταίσματος, προσεδρίαν συντεταμένην· καὶ οὐ μόνον τῶν τραυμάτων τὴν θεραπείαν χαρίζεται, καὶ τῶν ἡμαρτημένων καθαροὺς ἀποδείκνυσιν, ἀλλὰ καὶ τὸν πρὸ τούτου μυρίοις βαρυνόμενον φορτίοις ἁμαρτημάτων δίκαιον ἀπεργάζεται. Ὦ φιλανθρωπίας μέγεθος· ὢ ἀγαθότητος ὑπερβολή. Τὸν ἡμαρτηκότα, ἐπειδὰν ὁμολογήσῃ τὰ ἡμαρτημένα συγγνώμην αἰτήσας, καὶ τὴν εἰς τὸ ἑξῆς ἀσφάλειαν ἐπιδείξηται, ἀθρόον δίκαιον ἀποφαίνει. Καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ἄκουε τοῦ προφήτου λέγοντος· «Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς». Οὐχ ἁπλῶς εἶπε, λέγε σὺ τὰς ἀνομίας σου, ἀλλὰ προσέθηκε, «Πρῶτος», τουτέστι, μὴ ἀναμείνῃς τὸν ἐλέγχοντα, μηδὲ ἐκδέξῃ τὸν

3. Ἡσ. 43, 26.

ἀκρίβειαν ὅλα τὰ ἰδικά μας σφάλματα; Μήπως λοιπὸν ἐπειδὴ δὲν γνωρίζει, θέλει νὰ μάθη; Δὲν ἐπιζητεῖ, ἐπειδὴ δὲν γνωρίζει, τὴν ὁμολογίαν ἀπὸ ἡμᾶς αὐτός, ποὺ γνωρίζει τὰ πάντα προτοῦ ἀκόμη γίνουν, ἀλλὰ ἐπειδὴ θέλει καὶ νὰ κατανοήσωμεν συγχρόνως τὰ σφάλματά μας μὲ τὴν ὁμολογίαν καὶ νὰ ἐπιδείξωμεν τὴν εὐγνωμοσύνην μας. Μήπως πρέπει νὰ δαπανήσῃ κανεὶς χρήματα εἰς τὴν περίπτωσιν αὐτήν; μήπως πρέπει νὰ βαδίσῃ μεγάλον δρόμον; μήπως λοιπὸν προκαλεῖ ἡ θεραπεία αὐτὴ ὀδύνην καὶ πόνους; Καὶ ἀδάπανος εἶναι καὶ ἀνώδυνος καὶ παρέχει σύντομα τὴν θεραπείαν. Διότι σύμφωνα μὲ τὴν διάθεσιν τοῦ προσερχομένου, ἔτσι καὶ ὁ Θεὸς χαρίζει τὰ φάρμακα τῶν τραυμάτων. Ἐκεῖνος λοιπὸν ποὺ ἐπιθυμεῖ νὰ ἀποκαταστήσῃ τὸ συντομώτερον τὴν ὑγείαν του καὶ νὰ θεραπεύσῃ τὰ τραύματα τῆς ψυχῆς του, ἄς προσέλθῃ μὲ νηφαλιότητα, ἀφοῦ ἀπομακρυνθῇ ἀπὸ ὅλα τὰ βιωτικά, ἄς χύνῃ προκαταβολικὰ θερμὰ δάκρυα, ἄς ἐπιδεικνύῃ μεγάλην φροντίδα διὰ τὸν ἑαυτόν του, ἄς προσφέρῃ εἰλικρινῆ πίστιν, καὶ ἄς ἔχῃ ἐμπιστοσύνην εἰς τὴν τέχνην τοῦ ἰατροῦ, καὶ ἀμέσως θὰ ἀπολαύσῃ τὴν ὑγείαν του. Εἶδες τὴν φιλοτιμίαν τοῦ ἰατροῦ, ὁ ὁποῖος ἐπισκιάζει τὴν στοργὴν κάθε πατρός; Μήπως λοιπὸν ἐπιζητεῖ ἀπὸ ἡμᾶς κάτι τὸ βαρὺ καὶ δύσκολον; Συντριβὴν τῆς καρδίας, κατάνυξιν τῆς σκέψεως, ὁμολογίαν τοῦ σφάλματος, ἔντονον προσπάθειαν· καὶ δὲν χαρίζει μόνον τὴν θεραπείαν τῶν τραυμάτων καὶ μᾶς ἀποδεικνύει καθαροὺς ἀπὸ τὰ ἁμαρτήματά μας, ἀλλὰ καθιστᾷ δίκαιον καὶ ἐκεῖνον, ποὺ ἐβαρύνετο προηγουμένως μὲ πάρα πολλὰ φορτία ἁμαρτημάτων. Τί μέγεθος φιλανθρωπίας, τί ὑπερβολικὴ ἀγαθότης! Ἐκεῖνον ποὺ ἔχει ἁμαρτήσει, ὅταν ἐξομολογηθῇ τὰ ἁμαρτήματά του καὶ ζητήσῃ συγγνώμην, καὶ ἐπιδείξῃ εἰς τὸ μέλλον σταθερότητα, ἀμέσως τὸν καθιστᾷ δίκαιον. Καὶ διὰ νὰ μάθῃς τοῦτο σαφέστερα, ἄκουε τὸν προφήτην, ποὺ λέγει· «Λέγε πρῶτος σὺ τὰς ἁμαρτίας σου, διὰ νὰ δικαιωθῇς»[3]. Δὲν εἶπεν ἁπλῶς, λέγε σὺ τὰς ἁμαρτίας σου, ἀλλὰ ἐπρόσθεσε, «Πρῶτος», δηλαδή, νὰ μὴ περιμένῃς ἐκεῖνον ποὺ θὰ σὲ ἐλέγξῃ, οὔτε νὰ δεχθῇς τὸν

κατήγορον· αὐτὸς προλαβὼν ἅρπασον τὴν πρωτολογίαν, ἵνα ἀποκλείσῃς τοῦ κατηγόρου τὴν γλῶτταν.

4. Εἶδες δικαστοῦ φιλανθρωπίαν; Ἐπὶ μὲν γὰρ τῶν ἀνθρωπίνων δικαστηρίων, ὅταν τις τοῦτο ποιῆσαι καταδέξηται, καὶ τοὺς ἐλέγχους προλαβὼν ὁμολογήσῃ τὰ εἰργασμένα, τὰς μὲν βασάνους καὶ τὰς ἐπαλλήλους τιμωρίας ἴσως διαφυγεῖν δυνήσεται, καὶ ταῦτα εἰ ἡμέρου τινὸς ἐπιτύχῃ δικαστοῦ, τὴν μέντοι ἀπόφασιν τὴν πρὸς θάνατον ἀπάγουσαν πάντως δέχεται· ἐπὶ δὲ τοῦ φιλανθρώπου Θεοῦ καὶ τοῦ ἰατροῦ τῶν ἡμετέρων ψυχῶν ἄφατος ἡ ἀγαθότης, καὶ πάντα λόγον ὑπερβαίνουσα ἡ φιλοτιμία. Ἐὰν γὰρ προλαβόντες τὸν ἀντίδικον τὸν ἡμέτερον, τὸν διάβολον λέγω, τὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κατὰ πρόσωπον ἡμῶν ἱστάμενον, καὶ ἤδη ἐν τῷ παρόντι βίῳ, πρὸ τῆς εἰς τὸ δικαστήριον εἰσόδου, ὁμολογήσωμεν τὰ πεπραγμένα, καὶ τὴν πρωτολογίαν ἁρπάσωμεν, καὶ αὐτοὶ ἑαυτῶν κατήγοροι γενώμεθα, εἰς τοσαύτην φιλανθρωπίαν ἐκκαλεσόμεθα τὸν Δεσπότην, ὡς μὴ μόνον τὴν ἐλευθερίαν τῶν ἡμαρτημένων ἡμῖν δωρήσασθαι, ἀλλὰ καὶ εἰς τὸν τῶν δικαίων κατάλογον ἡμᾶς καταριθμῆσαι. Εἰ γὰρ ὁ Λάμεχ οὗτος, μήτε νόμου δεδομένου τοῦ διδάσκειν δυναμένου, μήτε προφητῶν ἀκούσας, μήτε ἑτέρας τινὸς παραινέσεως, ἀπὸ τοῦ ἐγκειμένου τῇ φύσει κριτηρίου συνειδὼς ἅπερ ἐτόλμησε, καὶ εἰς μέσον ἤγαγε τὰ εἰργασμένα, καὶ ἑαυτοῦ κατεψηφίσατο· πῶς ἡμεῖς δυνησόμεθα ἀπολογίας τινὸς τυχεῖν μὴ κατὰ πάσης σπουδῆς τὰ ἡμέτερα τραύματα ἐπιδεικνύντες τῷ Δεσπότῃ, καὶ παρ' αὐτοῦ τὴν τούτων ἰατρείαν δεχόμενοι; Ὅπερ εἰ μὴ νῦν ποιήσαιμεν, ὅτε νηστείας καιρός, ὅτε τοσαύτη τῶν λογισμῶν ἡ γαλήνη, ὅτε πᾶσα τρυφὴ ἐκποδών· πότε δυνησόμεθα εἰς ἔννοιαν ἐλθεῖν τῶν ἡμῖν πεπραγμένων; Διὸ παρακαλῶ πάντοτε μὲν νήφειν καὶ ἐγρηγορέναι, καὶ τὴν παροῦσαν ζωὴν ἅπασαν εἰς τοῦτο καταδαπανᾶν, ἵνα τῇ προσεδρίᾳ δυνηθῶμεν τὴν ἀ-

κατήγορον· ὁ ἴδιος διὰ νὰ προλάβῃς ἅρπαξε πρῶτος τὸν λόγον, διὰ νὰ ἀποκλείσῃς τὴν γλῶσσαν τοῦ κατηγόρου.

4. Εἶδες φιλανθρωπίαν δικαστοῦ; Εἰς τὰ μὲν ἀνθρώπινα δικαστήρια, ὅταν κάποιος δεχθῇ νὰ κάμῃ αὐτὸ καί, ἀφοῦ προλάβῃ τοὺς ἐλέγχους, ὁμολογήσῃ τὰς πράξεις του, θὰ ἠμπορέσῃ ἴσως νὰ ἀποφύγῃ τὰ βασανιστήρια καὶ τὰς ἀλλεπαλλήλους τιμωρίας, καὶ αὐτὰ ἐὰν ἐπιτύχῃ κάποιον πρᾶον δικαστήν, τὴν ἀπόφασιν ὅμως ποὺ ὁδηγεῖ πρὸς τὸν θάνατον δέχεται ὁπωσδήποτε· εἰς τὴν περίπτωσιν ὅμως τοῦ φιλανθρώπου Θεοῦ καὶ τοῦ ἰατροῦ τῶν ἰδικῶν μας ψυχῶν εἶναι ἀνέκφραστος ἡ ἀγαθότης καὶ ἡ φιλοτιμία του ὑπερβαίνει κάθε λογικήν. Διότι ἐάν, ἀφοῦ προλάβωμεν τὸν ἰδικόν μας ἀντίδικον, ἐννοῶ τὸν διάβολον, ὁ ὁποῖος θὰ στέκεται ἀπέναντί μας κατὰ τὴν ἡμέραν ἐκείνην, καὶ ἤδη εἰς τὴν παροῦσαν ζωήν, πρὶν ἀπὸ τὴν εἴσοδόν μας εἰς τὸ δικαστήριον, ὁμολογήσωμεν τὰς πράξεις μας καὶ ἁρπάσωμεν τὸν λόγον πρῶτοι, καὶ γίνωμεν οἱ ἴδιοι κατήγοροι τοῦ ἑαυτοῦ μας, θὰ προσκαλέσωμεν τὸν Θεὸν εἰς τόσον μεγάλην φιλανθρωπίαν, ὥστε ὄχι μόνον νὰ μᾶς χαρίσῃ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ νὰ μᾶς λογαριάσῃ εἰς τὸν κατάλογον τῶν δικαίων. Ἐὰν βέβαια ὁ Λάμεχ αὐτός, χωρὶς νὰ ἔχῃ δοθῇ νόμος ποὺ ἠμποροῦσε νὰ διδάσκῃ, χωρὶς νὰ ἀκούσῃ τοὺς προφήτας, οὔτε κάποιαν ἄλλην συμβουλήν, ἀπὸ τὸ εὑρισκόμενον μέσα εἰς τὴν φύσιν μας κριτήριον ἐγνώρισεν ἐκεῖνα, ποὺ ἐτόλμησε, καὶ ἐφανέρωσε τὰς πράξεις του καὶ κατεδίκασε τὸν ἑαυτόν του· πῶς θὰ ἠμπορέσωμεν ἡμεῖς νὰ ἐπιτύχωμεν κάποιαν ἀπολογίαν χωρὶς νὰ ἐπιδεικνύωμεν μὲ κάθε προθυμίαν τὰ τραύματά μας εἰς τὸν Θεὸν καὶ νὰ δεχώμεθα ἀπὸ αὐτὸν τὴν θεραπείαν των; Πρᾶγμα ποὺ ἐὰν δὲν θὰ κάμωμεν τώρα, ὅταν εἶναι καιρὸς νηστείας, ὅταν τόσον μεγάλη εἶναι ἡ γαλήνη τῶν σκέψεων, ὅταν κάθε ἀπόλαυσις εὑρίσκεται μακράν, πότε θὰ ἠμπορέσωμεν νὰ κρίνωμεν τὰς πράξεις μας; Διὰ τοῦτο παρακαλῶ, πάντοτε μὲν νὰ εἴμεθα νηφάλιοι καὶ ἄγρυπνοι καὶ νὰ ἐξοδεύωμεν ὅλην τὴν παροῦσαν ζωὴν εἰς τοῦτο, διὰ νὰ ἠμπορέσωμεν δηλαδὴ νὰ ἀπο-

φόρητον ἐκείνην κόλασιν διαφυγεῖν, καὶ ἐκτὸς γενέσθαι τοῦ τῆς γεέννης πυρός. Μάλιστα δὲ νῦν μετὰ πλείονος τῆς σπουδῆς τοῦτο δεῖ ποιεῖν, ὅτε διὰ τὸν τῆς νηστείας καιρὸν καὶ πλείονος καὶ συνεχοῦς ἀπολαύετε τῆς διδασκαλίας. «Ἔγνω δέ», φησίν, Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα, ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν». Μέχρι τοῦ Λάμεχ τὴν γενεαλογίαν στήσασα ἡ θεία Γραφή, ἐπανῆλθε πάλιν ἐπὶ τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα αὐτοῦ, καί φησιν· «Ἔγνω δὲ Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα· ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν». «Ἔτεκε», φησίν, «υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ»· καὶ οὐκ ἀρκεσθεῖσα ἡ μήτηρ τῇ τεθείσῃ προσηγορίᾳ φησίν· «Ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν». Ὅρα καὶ τὴν μητέρα, ὅπως διὰ τῆς προσηγορίας τοῦ τεχθέντος παιδίου τὴν μνήμην τῆς πονηρᾶς ἐκείνης πράξεως διηνεκῆ ἐναποτίθεται, καὶ ἵνα καὶ οἱ εἰς τὰς ἑξῆς γενεὰς εἰδέναι ἔχωσι τὸ τολμηθὲν ὑπὸ τοῦ Κάϊν, φησίν· «Ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν». Ὀδυνωμένης ψυχῆς τὸ ῥῆμα, συγχεομένης ὑπὸ τῆς μνήμης τοῦ γεγονότος, καὶ εὐχαριστούσης μὲν ὑπὲρ τοῦ τεχθέντος, μονονουχὶ δὲ στηλιτευούσης ἐκεῖνον διὰ τῆς τοῦ παιδὸς προσηγορίας. Καὶ γὰρ ἀληθῶς οὐ τὸ τυχὸν πένθος εἰργάσατο τοῖς γονεῦσι, τὴν ἑαυτοῦ δεξιὰν ὁπλίσας κατὰ τοῦ ἀδελφοῦ, καὶ τὸν ποθεινὸν καὶ ἐπέραστον δείξας αὐτοῖς χαμαὶ ἐρριμμένον, νεκρὸν καὶ ἀναίσθητον. Εἰ γὰρ καὶ τὸ ἐπιτίμιον ἐδέξατο ὁ Ἀδάμ, «Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ»· καί, «Ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε»· ἀλλ' ὅμως

φύγωμεν μὲ τὴν ἐπιμονήν μας τὴν ἀνυπόφορον ἐκείνην κόλασιν καὶ νὰ εὑρεθοῦμεν ἔξω ἀπὸ τὴν γέενναν τοῦ πυρός. Μάλιστα δὲ πρέπει νὰ κάμνετε τοῦτο μὲ μεγαλυτέραν προθυμίαν τώρα, ὅταν ἀπολαμβάνετε ἐξ αἰτίας τοῦ καιροῦ τῆς νηστείας καὶ περισσοτέραν καὶ συνεχῆ διδασκαλίαν. «Συνευρέθη δέ, λέγει ἡ Γραφή, ὁ Ἀδὰμ μὲ τὴν γυναῖκα του τὴν Εὔαν, ἡ ὁποία ἀφοῦ συνέλαβεν ἐγέννησεν υἱὸν καὶ ἔδωσεν εἰς αὐτὸν τὸ ὄνομα Σήθ, λέγουσα, ὁ Θεὸς μοῦ ἔδωσεν ἄλλο παιδὶ εἰς τὴν θέσιν τοῦ Ἄβελ, τὸν ὁποῖον ἐφόνευσεν ὁ Κάϊν». Ἀφοῦ ἐσταμάτησε τὴν γενεαλογίαν ἡ Ἁγία Γραφὴ μέχρι τὸν Λάμεχ, ἐπανῆλθε πάλιν εἰς τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα του, καὶ λέγει· «Συνευρέθη δὲ ὁ Ἀδὰμ μὲ τὴν γυναῖκα του, ἡ ὁποία ἀφοῦ συνέλαβεν ἐγέννησεν υἱὸν καὶ ὠνόμασεν αὐτόν Σήθ, λέγουσα· ὁ Θεὸς μοῦ ἔδωσεν ἄλλο παιδὶ εἰς ἀντικατάστασιν τοῦ Ἄβελ, τὸν ὁποῖον ἐφόνευσεν ὁ Κάϊν». «Ἐγέννησε, λέγει, υἱὸν καὶ ὠνόμασεν αὐτόν Σήθ» καὶ ἐπειδὴ δὲν ἱκανοποιήθη ἡ μητέρα ἀπὸ τὸ ὄνομα, ποὺ τοῦ ἐδόθη, λέγει· «Ὁ Θεὸς μοῦ ἔδωσεν ἄλλο παιδὶ εἰς ἀντικατάστασιν τοῦ Ἄβελ, τὸν ὁποῖον ἐφόνευσεν ὁ Κάϊν». Πρόσεξε πῶς καὶ ἡ μητέρα μὲ τὸ ὄνομα τοῦ γεννηθέντος παιδιοῦ ἐγκαταλείπει διαρκῆ τὴν ἀναμνησιν τῆς πονηρᾶς ἐκείνης πράξεως, καὶ διὰ νὰ ἠμποροῦν νὰ γνωρίζουν οἱ ἄνθρωποι εἰς τὰς ἐπομένας γενεὰς τὴν πρᾶξιν, ποὺ ἐτόλμησεν ὁ Κάϊν, λέγει· «Εἰς ἀντικατάστασιν τοῦ Ἄβελ, τὸν ὁποῖον ἐφόνευσεν ὁ Κάϊν». Τὰ λόγια προέρχονται ἀπὸ ψυχήν, ποὺ θλίβεται, καὶ συνταράσσεται ἀπὸ τὴν ἀνάμνησιν τῆς πράξεως καὶ εὐχαριστεῖ μὲν διὰ τὸ γεννηθὲν παιδί, σχεδὸν δὲ στηλιτεύει ἐκεῖνον μὲ τὴν ὀνομασίαν τοῦ παιδιοῦ. Καὶ εἶναι ἀλήθεια, ὅτι δὲν ἐπροξένησε τυχαῖον πένθος εἰς τοὺς γονεῖς, ὅταν ὥπλισε τὸ δεξιόν του χέρι ἐναντίον τοῦ ἀδελφοῦ του καὶ τὸν περιπόθητον καὶ ἀξιαγάπητον ἔδειξεν εἰς αὐτοὺς κείμενον κατὰ γῆς, νεκρὸν καὶ ἀναίσθητον. Ἂν καὶ βέβαια ὁ Ἀδὰμ ἐδέχθη τὴν τιμωρίαν, «Ὅτι εἶσαι χῶμα καὶ εἰς τὸ χῶμα θὰ ἐπιστρέψῃς»· καί, «Τὴν ἡμέραν, κατὰ τὴν ὁποίαν θὰ φάγετε, θὰ ἀποθάνετε»[4]· ἀλλ' ὅμως ἡ ἀπειλὴ τῆς απο-

ἐν ῥήμασιν ἦν τέως τὰ τῆς ἀποφάσεως, καὶ οὐδέπω ᾔδεισαν, τί ἦν τοῦ θανάτου τὸ εἶδος· ἀλλ᾿ οὗτος προλαβὼν διὰ τὸ μῖσος τὸ περὶ τὸν ἀδελφόν, καὶ τὸν φθόνον τὸν ἔνδοξον αὐτὸν τήκοντα, ἐπὶ σφαγὴν ὥρμησε τοῦ Ἄβελ, καὶ δεινὸν θέαμα παρέσχε τοῖς γονεῦσιν ἰδεῖν. Διά τοι τοῦτο ἡ μήτηρ μικρὸν ἀνανεύσασα, καὶ μόλις ὀψέ ποτε τοῦ ἀφορήτου πένθους ἐκείνου παραμυθίαν εὑρεῖν δυνηθεῖσα διὰ τοῦ τεχθέντος παιδός, καὶ τὴν εὐχαριστίαν ἀναφέρει τῷ Δεσπότῃ, καὶ τοῦ ἀδελφοκτόνου στηλιτεύει τὴν πρᾶξιν, ταύτην αὐτῷ καὶ αὐτὴ μεγίστην τιμωρίαν ἐπάγουσα, τὸ διηνεκῆ τὴν μνήμην ἐναποθέσθαι τῷ παρ᾿ αὐτοῦ γεγενημένῳ. Εἴδετε ὅσον κακόν ἐστιν ἁμαρτία; πῶς εἰς αἰσχύνην καὶ ὄνειδος προτίθησι τοὺς ταύτην εἰργασμένους; εἴδετε πῶς τῆς ἄνωθεν χάριτος διὰ ταύτην γυμνὸς γέγονε, καὶ ἅπασι προκείμενος εἰς καταγέλωτα; εἴδετε πῶς καὶ τοῖς γονεῦσι τοῖς ὑπὸ τῆς φύσεως αὐτῆς ὠθουμένοις εἰς φιλοστοργίαν βδελυκτὸς κατέστη διὰ τὴν κακὴν ἐπιχείρησιν; Φεύγωμεν τοίνυν, παρακαλῶ, τὴν ἁμαρτίαν τὴν τοσούτοις ἡμᾶς περιβάλλουσαν κακοῖς, καὶ τὴν ἀρετὴν ἑλώμεθα, ἵνα καὶ τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα, καὶ τὴν κόλασιν διαφύγωμεν.

«Καὶ τῷ Σήθ, φησίν, ἐγένετο υἱός· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ». Ὅρα πῶς κατὰ μικρὸν λοιπὸν παιδεύονται ταῖς προσηγορίαις τῶν τικτομένων ἐναποτίθεσθαι τῆς οἰκείας εὐγνωμοσύνης τὴν ἀπόδειξιν. Καὶ οὗτος γάρ, φησίν, ὁ Σήθ, γεννήσας υἱόν, ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐνώς. Εἶτα ἑρμηνεῦσαι ἡμῖν βουλομένη ἡ θεία Γραφὴ τοῦ ὀνόματος τὴν προσηγορίαν φησίν· «Οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ». Καὶ γὰρ ἐκ τούτου λοιπὸν τὴν ἀρχὴν μέλλει ποιεῖσθαι ὁ μακάριος προφήτης τῆς γενεαλογίας, τοῦ Κάϊν τὴν μνήμην ἀποπεμψάμενος, καὶ τῶν ἐξ αὐτοῦ μέχρι τοῦ Λάμεχ

---

4. Γεν. 3, 19 καὶ 2, 17.

φάσεως περιωρίζετο μέχρι τότε είς τὰ λόγια καὶ ποτὲ μέχρι τώρα δὲν ἐγνώρισαν, ποῖον ἦτο τὸ εἶδος τοῦ θανάτου. Ἀλλὰ αὐτὸς ἀφοῦ ἐπρόλαβεν ἐξ αἰτίας τοῦ μίσους του διὰ τὸν ἀδελφὸν καὶ τοῦ φθόνου ποὺ τὸν ἔτρωγε τὰ σωθικά του, ὥρμησε πρὸς τὴν σφαγὴν τοῦ Ἄβελ καὶ ἔδωσεν εἰς τοὺς γονεῖς νὰ ἰδοῦν φοβερὸν θέαμα. Διὰ τοῦτο λοιπὸν ἡ μητέρα, ἀφοῦ συνῆλθεν ὀλίγον καὶ μόλις ἀργὰ ἠμπόρεσε νὰ εὑρῇ κάποτε παρηγορίαν ἀπὸ τὸ ἀνυπόφορον ἐκεῖνο πένθος μὲ τὸ γεννηθὲν παιδί, καὶ τὴν εὐχαριστίαν της ἀναπέμπει εἰς τὸν Θεόν, καὶ στηλιτεύει τὴν πρᾶξιν τοῦ ἀδελφοκτόνου, ἐπιβάλουσα καὶ ἡ ἰδία εἰς αὐτὸν τὴν μεγίστην αὐτὴν τιμωρίαν, τὸ νὰ ἐγκαταλείψῃ δηλαδὴ διαρκῆ τὴν ἀνάμνησιν εἰς τὸν φόνον, ποὺ ἔγινεν ἀπὸ αὐτόν. Εἴδατε πόσον κακὸν εἶναι ἡ ἁμαρτία; πῶς εἰς αἰσχύνην καὶ ἐντροπὴν ἐκθέτει ἐκείνους, οἱ ὁποῖοι ἔχουν διαπράξει αὐτήν; εἴδατε πῶς ἔχει ἀπογυμνωθῆ ἀπὸ τὴν χάριν τοῦ Θεοῦ ἐξ αἰτίας αὐτῆς καὶ ἔγινεν εἰς ὅλους καταγέλαστος; εἴδατε πῶς καὶ εἰς τοὺς γονεῖς, οἱ ὁποῖοι ἀπὸ αὐτὴν τὴν φύσιν ὠθοῦνται εἰς τρυφερὰν στοργὴν πρὸς τὰ παιδιά, ἔγινεν ἄξιος βδελυγμοῦ ἐξ αἰτίας τῆς κακῆς του πράξεως; Ἂς ἀποφεύγωμεν λοιπόν, παρακαλῶ, τὴν ἁμαρτίαν, ἡ ὁποία μᾶς περιβάλλει μὲ τόσον πολλὰ κακά, καὶ ἂς προτιμήσωμεν τὴν ἀρετήν, ὥστε καὶ τὴν εὔνοιαν τοῦ Θεοῦ νὰ προκαλέσωμεν καὶ τὴν κόλασιν νὰ ἀποφύγωμεν. «Καὶ ὁ Σήθ, λέγει, ἀπέκτησεν υἱὸν καὶ ὠνόμασε αὐτὸν Ἐνώς· αὐτὸς ἤλπισεν ὅτι θὰ προσεύχεται εἰς τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ». Πρόσεχε πῶς σιγὰ σιγὰ εἰς τὸ ἑξῆς ἐκπαιδεύονται οἱ ἄνθρωποι νὰ ἐναποθέτουν εἰς τὰ ὀνόματα τῶν παιδιῶν τὴν ἀπόδειξιν τῆς ἰδικῆς των εὐγνωμοσύνης. Καὶ αὐτὸς λοιπόν, λέγει, ὁ Σήθ, ἀφοῦ ἐγέννησεν υἱόν, ὠνόμασεν αὐτὸν Ἐνώς. Εἰς τὴν συνέχειαν ἐπιθυμοῦσα ἡ Ἁγία Γραφὴ νὰ μᾶς ἑρμηνεύσῃ τὴν σημασίαν τοῦ ὀνόματος, λέγει· «Αὐτὸς ἤλπισεν, ὅτι θὰ προσεύχεται εἰς τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ». Καὶ πράγματι ἀπὸ αὐτὸν εἰς τὸ ἑξῆς πρόκειται νὰ κάμῃ τὴν ἀρχὴν τῆς γενεαλογίας του ὁ μακάριος προφήτης, παραλείψας τὴν ἀνάμνησιν τοῦ Κάιν

γεγονότων, καὶ ἐπειδὴ τὴν ἀπὸ τῆς φύσεως αὐτῷ προεδρίαν χαρισθεῖσαν, τὴν τῶν πρωτοτόκων λέγω, τῇ κακίᾳ τῆς προαιρέσεως ἐλυμήνατο, ἐκβάλλεται μὲν αὐτός, καὶ οἱ ἐξ αὐτοῦ, τοῦ καταλόγου· ὁ δὲ Σὴθ λοιπὸν ὅπερ οὐκ εἶχεν ἀπὸ τῆς φύσεως, τούτου διὰ τὴν τῆς προαιρέσεως εὐγνωμοσύνην ἀξιοῦται, καὶ εἰς τοῦτον μεθίσταται λοιπὸν τὰ τῆς πρωτοτοκίας, εἰ καὶ μὴ διὰ τὴν φύσιν, ἀλλὰ διὰ τὴν τῆς προαιρέσεως γνώμην, καὶ οἱ ἐκ τούτου τικτόμενοι τῆς γενεαλογίας ἀξιοῦνται. Καὶ ὥσπερ οὗτος Ἐνὼς ἐκλήθη διὰ τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ, οὕτω καὶ οἱ ἐκ τούτου λοιπὸν τὸ γένος καταγόμενοι τῆς αὐτῆς ἀξιοῦνται προσηγορίας. Διὰ τοῦτο καὶ ὁ μακάριος οὗτος προφήτης ἐνταῦθα στήσας τὴν διήγησιν, πάλιν ἀρχὴν ἑτέραν ποιεῖται.

5. Ἀλλ' ἵνα μὴ ἀρξάμενοι τοῦ διηγήματος εἰς πολὺ μῆκος ἐκτείνωμεν τὴν διδασκαλίαν, ἐνταῦθα καὶ ἡμεῖς καθάπερ ὁ μακάριος οὗτος προφήτης καταπαύσωμν τὸν λόγον, εἰς τὴν ἑξῆς, ἐὰν ὁ Θεὸς ἐπιτρέπῃ, τῶν ἑπομένων τὴν ἑρμηνείαν ταμιευσάμενοι. Τέως δὲ ἐπὶ τοῦ παρόντος ἐκεῖνο παρακαλέσαι τὴν ὑμετέραν ἀγάπην βούλομαι, ὥστε καρποῦσθαί τι πλέον ἐκ τῶν παρ' ἡμῶν λεγομένων, καὶ καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς διερευνᾶσθαι, τί μὲν ἐκ ταύτης τῆς διδασκαλίας ἐκερδάνατε, τί δὲ ἐκ τῆς ἑτέρας, καὶ μὴ μόνον μέχρι τῆς ἀκοῆς δέχεσθαι τὰ παρ' ἡμῶν λεγόμενα, ἀλλὰ καὶ εἰς τὴν διάνοιαν ὑμῶν αὐτὰ ἐναποτίθεσθαι, καὶ τῇ συνεχεῖ μελέτῃ παγίαν αὐτῶν τὴν μνήμην ποιεῖσθαι. Βούλομαι γὰρ ὑμᾶς μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ ἑτέροις διδασκάλους γίνεσθαι, ὥστε δύνασθαι καὶ ἑτέρους νουθετεῖν, καὶ μὴ διὰ λόγων μόνον τοῦτο ποιεῖν, ἀλλὰ καὶ διὰ τῶν ἔργων παιδεύειν τοὺς πλησίον πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν. Ἐννόησον γάρ μοι, ὅτι εἰ βουληθείητε καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγενόμενοι μικρόν

καὶ ὅσων ἐγεννήθησαν ἀπὸ αὐτὸν μέχρι τὸν Λάμεχ· καὶ ἐπειδὴ τὸ προνόμιον ποὺ ἀπὸ τὴν φύσιν ἐδόθη εἰς αὐτόν, δηλαδὴ τὸ προνόμιον νὰ εἶναι πρωτότοκος, ἐξ αἰτίας τῆς κακίας τῆς διαθέσεώς του ἐξηυτέλισε, παραλείπεται μὲν αὐτός, καὶ οἱ καταγόμενοι ἀπὸ αὐτόν, ἀπὸ τὸν κατάλογον· ὁ δὲ Σὴθ εἰς τὸ μέλλον ἐκεῖνο, τὸ ὁποῖον δὲν εἶχεν ἀπὸ τὴν φύσιν, αὐτὸ ἐξ αἰτίας τῆς εὐγνωμοσύνης τῆς διαθέσεώς του ἀξιώνεται, καὶ εἰς αὐτὸν μεταφέρονται εἰς τὸ ἑξῆς τὰ προνόμια τῆς πρωτοτοκίας, ἂν καὶ ὄχι ἐξ αἰτίας τῆς φύσεως, ἀλλὰ ἐξ αἰτίας τῆς γνώμης καὶ διαθέσεώς του, καὶ οἱ γεννώμενοι ἀπὸ αὐτὸν θεωροῦνται ἄξιοι τοῦ γενεαλογικοῦ καταλόγου. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ὠνομάσθη Ἐνώς, ἐξ αἰτίας τοῦ ὅτι ἠμποροῦσε νὰ προσεύχεται εἰς τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ, ἔτσι καὶ οἱ καταγόμενοι ἀπὸ τὸ γένος αὐτοῦ ἀξιώνονται εἰς τὸ ἑξῆς μὲ τὴν ἰδίαν ὀνομασίαν. Διὰ τοῦτο καὶ ὁ μακάριος αὐτὸς προφήτης, τελειώσας ἐδῶ τὴν διήγησιν, κάνει πάλιν ἄλλην ἀρχήν.

5. Ἀλλὰ διὰ νὰ μὴ παρατείνωμεν κατὰ πολὺ τὴν διδασκαλίαν, ἐὰν ἀρχίσωμεν τὴν διήγησιν, ἐδῶ καὶ ἡμεῖς, καθὼς ἀκριβῶς ὁ μακάριος αὐτὸς προφήτης, ἂς σταματήσωμεν τὸν λόγον, ἀφοῦ καθορίσωμεν τὴν ἑρμηνείαν τῶν ἑπομένων εἰς τὸ μέλλον, ἐὰν ὁ Θεὸς ἐπιτρέπῃ. Πρὸς τὸ παρὸν ὅμως ἐπιθυμῶ κατὰ πρῶτον νὰ παρακαλέσω ἐκεῖνο τὴν ἀγάπην σας, ὥστε νὰ ὠφελῆσθε κάτι περισσότερον ἀπὸ τὰ λεγόμενά μου, καὶ καθημερινὰ νὰ ἐξετάζετε τοὺς ἑαυτούς σας, τί ἐκερδίσατε ἀπὸ αὐτὴν τὴν διδασκαλίαν καὶ τί ἀπὸ τὴν ἄλλην, καὶ νὰ μὴ δέχεσθε τὰ λεγόμενά μου μέχρι τὰ αὐτιά σας, ἀλλὰ νὰ ἐναποθέτετε αὐτὰ εἰς τὸν νοῦν σας καὶ μὲ τὴν συνεχῆ μελέτην νὰ ἐνθυμῆσθε αὐτὰ μόνιμα. Ἐπιθυμῶ βέβαια νὰ μὴ προστατεύετε μόνον τοὺς ἑαυτούς σας, ἀλλὰ καὶ νὰ γίνεσθε διδάσκαλοι εἰς ἄλλους, ὥστε νὰ ἠμπορῆτε καὶ ἄλλους νὰ συμβουλεύετε, καὶ νὰ μὴ κάνετε τοῦτο μόνον μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα νὰ διδάσκετε τοὺς πλησίον διὰ τὴν ἐπίτευξιν τῆς ἀρετῆς. Ἔχετε, παρακαλῶ, ὑπ' ὄψιν σας ὅτι, ἐὰν θὰ θέλετε, ἐρχόμενοι καθημερινὰ ἐδῶ, νὰ λαμβάνετε κάποιο μικρὸν κέρ-

τι μέρος καρποῦσθαι, καὶ τῶν ἐνοχλούντων ὑμῖν παθῶν διόρθωσιν ποιήσασθαι, πῶς κατ' ὀλίγον εἰς αὐτὴν τῆς ἀρετῆς τὴν ἄκραν κορυφὴν ἐλεύσεσθε. Οὐδὲ γὰρ παυόμεθα ἐφ' ἑκάστης διαλεγόμενοι, καὶ περὶ τῆς ἀρίστης πολιτείας ὑμῖν ἐνηχοῦντες, ὥστε τὰ ὀλέθρια ταῦτα πάθη ἐκκόπτειν, τὸν θυμὸν λέγω, τὴν βασκανίαν, τὸν φθόνον. Τούτων γὰρ ἀναιρεθέντων, εὐκολώτερον καὶ ἡ περὶ τὰ χρήματα μανίας πάλιν παυθείσης, μετὰ πλείονος τῆς ἀδείας οἱ ἄτοποι λογισμοὶ καὶ αἱ αἰσχραὶ ἐνθυμήσεις κατασταλήσονται· «Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία». Ἂν τοίνυν τὴν ῥίζαν ἐκτέμωμεν, καὶ ἐξ αὐτοῦ τοῦ βάθους αὐτὴν ἀνασπάσωμεν, εὐκολώτερον τῶν κλάδων περιεσόμεθα. Ἡ γὰρ ἀκρόπολις τῶν κακῶν, καὶ ὁ κολοφών, ὡς εἰπεῖν, τῶν ἁμαρτημάτων, ἡ λύσσα τῶν χρημάτων ἐστίν, ἧς εἰ βουληθείημεν περιγενέσθαι, οὐδὲν τὸ κωλῦον καὶ ταύτην τὴν μανίαν ἐκφυγεῖν, καὶ μετὰ ταύτης συνανασπάσαι καὶ ἐκτεμεῖν πάντα τὰ ὀλέθρια πάθη. Καὶ μὴ νομίσητε μέγα τι καὶ φορτικὸν εἶναι τὸ χρημάτων ὑπεριδεῖν. Ὅταν γὰρ ἐννοήσω, ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ κενὴν καὶ ἀνόητον φιλοτιμίαν πολλὰ χρυσίου τάλαντα ἐξέχεον εἰς οὐδὲν δέον, ἀλλ' ἵνα τὴν παρὰ τῶν ἀγοραίων καὶ τριοβολιμαίων πολλάκις ἀνθρώπων εὐφημίαν καρπώσωνται, τὴν πρὸ τῆς ἑσπέρας τέλος λαμβάνουσαν, πολλάκις δὲ οὐδὲ μέχρι τῆς ἑσπέρας διαμείνασαν, ἀλλὰ καὶ πρὶν ἢ πληρωθῆναι τὴν ἡμέραν μυρίοις αὐτοὺς περιβάλλουσαν κακοῖς· ἕτεροι δὲ τῶν ἐπὶ τῇ πλάνῃ τῇ Ἑλληνικῇ προκατειλημμένων, πάλιν διὰ τὸ πρὸς τὴν τῶν ἀνθρώπων ἐπτοῆσθαι δόξαν, καὶ ταύτην περὶ πολλοῦ ποιεῖσθαι, πάντα τὰ ὄντα ῥίψαντες, καὶ ἓν μόνον τριβώνιον ἑαυτοῖς καταλιπόντες καὶ βακτηρίαν, οὕτω τὸν ἅπαντα βίον διάγουσι, πάντα τὸν πόνον ἐκεῖνον καὶ τὴν ταλαιπωρίαν διὰ τὴν παρὰ τῶν ἀνθρώπων εὐφημίαν ὑπομένειν αἱρούμενοι· ὅταν τοίνυν ταῦτα λογίσωμαι, οὐκ οἶδα ποίαν

---

5. Α΄ Τιμ. 6, 10.

δος καὶ νὰ διορθώσετε τὰ πάθη, ποὺ σᾶς ἐνοχλοῦν, πῶς σιγὰ σιγὰ θὰ φθάσετε εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς. Διότι δὲν θὰ παύσωμεν καθημερινὰ νὰ λέγωμεν καὶ νὰ φωνάζωμεν εἰς σᾶς διὰ τὴν ἀρίστην συμπεριφοράν, ὥστε νὰ ἀποκόψετε τελείως τὰ καταστρεπτικὰ αὐτὰ πάθη, δηλαδὴ τὸν θυμόν, τὸν φθόνον, τὸ μῖσος. Διότι, ἐὰν ἀποκοποῦν αὐτά, εὐκολώτερα θὰ διορθωθῇ καὶ ἡ μανία διὰ τὰ χρήματα· καὶ ὅταν πάλιν ἡ μανία πρὸς τὰ χρήματα παύσῃ, θὰ νικηθοῦν μὲ μεγαλυτέραν εὐχέρειαν καὶ αἱ ἀνόητοι σκέψεις καὶ αἱ αἰσχραὶ ἀναμνήσεις, «διότι ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία»[5]. Ἐὰν λοιπὸν ἀποκόψωμεν τὴν ρίζαν, καὶ τὴν ἐκριζώσωμεν ἀπὸ τὸ βάθος της, εὐκολώτερα θὰ καταβάλλωμεν τὰ κλαδιά. Διότι ἡ ἀκρόπολις τῶν κακῶν καὶ ἡ κορυφή, κατὰ κάποιον τρόπον, τῶν ἁμαρτημάτων, εἶναι ἡ παραφροσύνη τῶν χρημάτων, τὴν ὁποίαν ἐὰν θελήσωμεν νὰ καταβάλωμεν, τίποτε δὲν ἐμποδίζει νὰ ἀποφύγωμεν καὶ τὴν μανίαν αὐτήν, καὶ μαζὶ μὲ αὐτὴν νὰ ἐκριζώσωμεν καὶ νὰ ἀποκόψωμεν ὅλα τὰ καταστρεπτικὰ πάθη. Καὶ μὴ νομίσετε ὅτι εἶναι μέγα καὶ ἐνοχλητικὸν πρᾶγμα τὸ νὰ περιφρονήσωμεν τὰ χρήματα. Διότι ὅταν βλέπω, ὅτι πολλοὶ ἄνθρωποι ἐξ αἰτίας τῆς ἀνοήτου καὶ ἀνωφελοῦς κενοδοξίας σπαταλοῦν πολλὰ τάλαντα χρυσοῦ ἐκεῖ ποὺ δὲν ὑπάρχει καμμία ἀνάγκη, ἀλλὰ διὰ νὰ λάβουν πολλὰς φορὰς ἀπὸ ἀνθρώπους ἀργοσχόλους καὶ ἀσημάντους τὴν καλὴν φήμην, ἡ ὁποία μέχρι τὸ βράδυ τελειώνει, πολλάκις δὲ οὔτε μέχρι τὸ βράδυ δὲν διαρκεῖ, ἀλλὰ καὶ προτοῦ νὰ τελειώσῃ ἡ ἡμέρα περιβάλλει αὐτοὺς μὲ ἄπειρα κακά· ἄλλοι δὲ ποὺ ἔχουν ἀσπασθῇ τὴν πλάνην τῶν ἐθνικῶν, ἐπειδὴ πάλιν ἔχουν συγκινηθῇ ἀπὸ τὴν φήμην τῶν ἀνθρώπων καὶ φροντίζουν δι' αὐτὴν ὑπερβολικά, ἀφοῦ ἐγκαταλείψουν ὅλα τὰ ὑπάρχοντά των καὶ ἀφοῦ ἀφήσουν εἰς τὸν ἑαυτόν των ἕνα μόνον παλαιὸν ἐπανωφόρι καὶ ραβδί, ἔτσι ζοῦν ὅλην τὴν ζωήν των, προτιμῶντες νὰ ὑπομένουν ὅλον ἐκεῖνον τὸν κόπον καὶ τὴν ταλαιπωρίαν προκειμένου νὰ ἐπαινοῦνται ἀπὸ τοὺς ἀνθρώπους· ὅταν λοιπὸν σκέπτωμαι αὐτά, δὲν γνωρίζω ποίαν θὰ ἔχωμεν ἀπολογίαν ἢ συγ-

ἕξομεν ἀπολογίαν ἢ συγγνώμην, οὐδὲ τὸ πολλοστὸν ἐκείνων διὰ τὴν παρὰ τοῦ Θεοῦ δοθεῖσαν ἐντολὴν προέσθαι ἀνεχόμενοι, καὶ διὰ τὴν δόξαν ἐκείνην τὴν ἀθάνατον καὶ πέρας οὐκ ἔχουσαν, ἀλλὰ καὶ ἐκείνων χεῖρους γινόμενοι, καὶ μηδὲ ὅσον τὸ μέσον ἐννοοῦντες· ὅτι ἐκεῖνοι μὲν διὰ τὴν παρὰ τῶν ἀνθρώπων τῶν ὁμογενῶν ἀνόνητον εὐφημίαν τοσαῦτα προΐενται· ἡμεῖς δὲ διὰ τὸν Δεσπότην τὸν ἡμέτερον, τὸν καὶ τῶν ὑπηργμένων χορηγόν, καὶ ἐκείνας τὰς ἀπορρήτους δωρεὰς ἐπαγγελλόμενον, οὐδὲ τὸ τυχὸν πολλάκις μεταδιδόναι τοῖς πενομένοις αἱρούμεθα. Καὶ ποίοις ὀφθαλμοῖς ὀψόμεθα τὸν κριτὴν τῆς οὕτως εὐκόλου ἐντολῆς καταμελοῦντες; Μὴ γὰρ πάντα τὰ ὄντα ῥίψαι προτρέπω; Ἀπόλαυε πάσης ἀνέσεως, καὶ τὴν ἑαυτοῦ χρείαν πληρώσας τὰ περιττὰ καὶ εἰκῇ κείμενα ταῦτα ἀναγκαῖα ποίησον, καὶ τοῖς λιμῷ πιεζομένοις καὶ ὑπὸ τοῦ κρυμοῦ πηγνυμένοις τούτοις διάνειμαι, καὶ διὰ τῆς τούτων χειρὸς εἰς τὴν ἑαυτοῦ πατρίδα διαπέμπου, ἣν μετ' οὐ πολὺ λήψῃ. Οὗτοι γὰρ μάλιστα δυνήσονταί σοι χρησιμεῦσαι πρὸς τὴν ἐκεῖ μετακομιδήν, ἵν' ὅταν ἀπέλθῃς ἐκεῖ, ἅπαντα εὕρῃς εὐτρεπισμένα, καὶ πλείονος ἀπολαύσῃς ἐκεῖ τῆς εὐπορίας, ὁρῶν ταῦτα ὑπὸ τῶν μετακομισάντων, μᾶλλον δὲ ὑπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας πολυπλασιασθέντα. Μὴ γὰρ κάματον ἔχει τὸ πρᾶγμα; μὴ γὰρ φροντίδα τινὰ καὶ μέριμναν; Οὐχ ὑποζυγίων σοι χρεία πρὸς τὴν μετακομιδήν, οὐ τοῦ φυλάττοντος, οὐκ ἄλλου οὐδενὸς τοιούτου. Οὔτε γὰρ λῃστής, οὔτε τοιχωρύχος ἐκείνην βαδίζει τὴν ὁδόν, ἵνα λυμαίνηται τοῖς παρὰ σοῦ πεμπομένοις· ἀλλ' ἅπερ ἂν ἀποθῇ εἰς τὰς τῶν πενήτων χεῖρας, ταῦτα εἰς ἀσφαλὲς ταμιεῖον ἀποθήσῃ τὴν τοῦ Θεοῦ χεῖρα. Αὕτη γὰρ ἀκέραιον καὶ τὴν τούτων φυλακὴν παρέξει, καὶ ἐπειδὰν ἐπανέλθῃς εἰς τὴν οἰκείαν πατρίδα, μετὰ τῆς ἐκείνων ἀποδόσεως καὶ ἀνακηρύξει, καὶ στεφανώ-

γνώμην, ἐπειδὴ δὲν ἀνεχόμεθα νὰ ἀποβάλωμεν οὔτε τὸ ἐλάχιστον ἀπὸ ἐκεῖνα διὰ τὴν δοθεῖσαν ἀπὸ τὸν Θεὸν ἐντολὴν καὶ διὰ τὴν ἀθάνατον ἐκείνην δόξαν καὶ ἡ ὁποία δὲν ἔχει τέλος, ἀλλὰ γινόμεθα χειρότεροι καὶ ἀπὸ ἐκείνους καὶ οὔτε ἐννοοῦμεν ποῖον εἶναι τὸ κανονικόν, διότι ἐκεῖνοι μὲν ἐγκαταλείπουν τόσα πολλὰ διὰ τὸν ἀνωφελῆ ἔπαινον ἀπὸ τοὺς ἀνθρώπους, ποὺ εἶναι τοῦ αὐτοῦ γένους μὲ ἡμᾶς, ἡμεῖς ὅμως διὰ τὸν Κύριόν μας, ὁ ὁποῖος εἶναι χορηγὸς καὶ ὅσων ὑπάρχουν καὶ ὑπόσχεται τὰς ἀπορρήτους ἐκείνας δωρεάς, δὲν θέλομεν νὰ δώσωμεν οὔτε τὸ παραμικρὸν πολλάκις εἰς ἐκείνους ποὺ ζοῦν μὲ στερήσεις. Καὶ μὲ ποῖα μάτια θὰ ἀντικρύσωμεν τὸν κριτήν, ὅταν παραμελοῦμεν τὴν τόσον εὔκολον ἐντολήν; Μήπως λοιπὸν σᾶς προτρέπω νὰ σκορπίσετε ὅλα τὰ ὑπάρχοντά σας; Ἀπολάμβανε κάθε ἄνεσιν, καὶ ὅταν ἱκανοποιήσῃς τὴν ἀνάγκην σου τὰ πλεονάζοντα καὶ τὰ ἄχρηστα κάμε τα ἀναγκαῖα, καὶ μοίραζέ τα εἰς ἐκείνους ποὺ πιέζονται ἀπὸ τὴν πεῖναν καὶ παγώνουν ἀπὸ τὸ ψῦχος, καὶ μὲ τὰ χέρια αὐτῶν ἀποστέλλεσαι πρὸς τὴν ἰδικήν σου πατρίδα, εἰς τὴν ὁποίαν θὰ φθάσῃς ὕστερα ἀπὸ ὀλίγον. Αὐτοὶ βέβαια θὰ ἠμπορέσουν πρὸ πάντων νὰ χρησιμεύσουν εἰς σὲ διὰ τὴν μετάβασιν ἐκεῖ, ὥστε ὅταν ἀπέλθῃς ἐκεῖ, θὰ εὕρῃς τὰ πάντα εὐπρεπισμένα, καὶ θὰ ἀπολαύσῃς ἐκεῖ περισσότερον πλοῦτον, ὅταν βλέπῃς αὐτὰ νὰ ἔχουν πολλαπλασιασθῆ ἀπὸ ἐκείνους ποὺ τὰ μετέφεραν, μᾶλλον δὲ ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Μήπως λοιπὸν περιέχει τὸ πρᾶγμα κούρασιν; μήπως βέβαια κάποιαν φροντίδα καὶ μέριμναν; Δὲν σοῦ χρειάζονται ζῶα διὰ τὴν μεταφοράν, οὔτε ὁ φύλακας οὔτε κανένας ἄλλος τέτοιος. Διότι τὸν δρόμον ἐκεῖνον δὲν βαδίζει οὔτε λῃστὴς οὔτε κλέπτης, διὰ νὰ ἁρπάζῃ ἐκεῖνα τὰ ὁποῖα σὺ στέλλεις· ἀλλὰ ἐκεῖνα τὰ ὁποῖα θὰ βάλῃς εἰς τὰ χέρια τῶν πτωχῶν, αὐτὰ θὰ τοποθετήσῃς εἰς ἀσφαλὲς ταμεῖον, δηλαδὴ εἰς τὸ χέρι τοῦ Θεοῦ. Διότι τοῦτο θὰ φυλάξῃ αὐτὰ ἀκέραια καὶ ὅταν ἐπανέλθῃς εἰς τὴν ἰδικήν σου πατρίδα, μαζὶ μὲ τὴν ἀπόδοσιν ἐκείνων καὶ θὰ σὲ ἀναγγείλῃ καὶ θὰ σὲ στεφανώσῃ καὶ θὰ σὲ ἐγκαταστήσῃ μὲ κάθε εὐρυχωρίαν καὶ ἄνε-

σει, καὶ ἐν πάσῃ εὐρυχωρίᾳ καὶ ἀνέσει καταστήσει. Ἐκχέωμεν τοίνυν, παρακαλῶ, τὰ ἀποκείμενα εἰς τὰς τῶν πενήτων γαστέρας, καὶ σπείρωμεν ὡς ἔτι καιρός, ἵνα εἰς τὸν δέοντα καιρὸν θερίσωμεν, καὶ μὴ προϊέμενοι τὴν παροῦσαν εὐκαιρίαν ὕστερον ἀνόνητα μεταμελώμεθα. Μὴ γὰρ διὰ τοῦτο πλείονά σοι κεχάρισται ὁ φιλάνθρωπος Δεσπότης, ἵνα εἰς τὴν ἑαυτοῦ μόνον χρείαν καταναλώσῃς τὰ δοθέντα, καὶ τὰ λοιπὰ ταμιείοις καὶ κιβωτίοις ἐναποκλείσῃς· Οὐ διὰ τοῦτο, ἀλλ' ἵνα, κατὰ τὴν παραίνεσιν τὴν ἀποστολικήν, τὸ σὸν περίσσευμα γένηται εἰς τὸ τῶν ἄλλων ὑστέρημα. Καὶ σὺ μὲν ἴσως καὶ ὑπὲρ τὴν χρείαν ἀπολαύεις, καὶ ἐν τῇ τρυφῇ καὶ ἐν τοῖς ἐσθήμασι καὶ ἐν ἄλλῃ πολυτελείᾳ πολλῷ τῷ ἀργύρῳ κεχρημένος, καὶ μέχρι τῶν οἰκετῶν καὶ τῶν ἀλόγων τοῦτον κερματίζων· ὁ δὲ πένης οὐδὲν τούτων ζητεῖ παρὰ σοῦ, ἢ μόνον λιμὸν παραμυθήσασθαι, καὶ τὴν ἀναγκαίαν χρείαν καὶ τὴν ἐφήμερον αὐτῷ τροφὴν παρασχεῖν, ὥστε συστῆναι καὶ μὴ διαφθαρῆναι· καὶ οὐδὲ τοῦτο ἀνέχῃ ποιῆσαι, οὐδὲ λογίζῃ, ὅτι πολλάκις ἀθρόον ἀναρπασθεὶς τὰ μὲν συλλεγέντα ἅπαντα ἐντεῦθεν καταλιμπάνεις, καὶ ἐνίοτε εἰς ἐχθροὺς καὶ πολεμίους ταῦτα μεταστήσεται· αὐτὸς δὲ τὰ ἁμαρτήματα ἅπαντα, ἐξ ὧν ταῦτα συλλέγεις, μεθ' ἑαυτοῦ λαβὼν ἄπει. Καὶ τί ποτε ἐρεῖς κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; τί δὲ ἀπολογήσῃ οὕτω ῥαθύμως τὰ κατὰ τὴν ἑαυτοῦ σωτηρίαν οἰκονομήσας; Διὰ τοῦτο ἐμοὶ πείθετο, καὶ ὡς ἔτι καιρὸν ἔχεις, διάνειμαι τὰ περιττὰ τῶν χρημάτων, ἵνα τὴν ἐκεῖ σαυτῷ προαποθῇ σωτηρίαν, καὶ τῶν αἰωνίων ἀγαθῶν εὑρήσῃς τὴν ἀνταπόδοσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Β' Κορ. 8, 13.

σιν. Ἂς ἀδειάζωμεν λοιπόν, σᾶς παρακαλῶ, τὰ περισσεύματα εἰς τὰς κοιλίας τῶν πτωχῶν, καὶ ἂς σπείρωμεν, ὅσον εἶναι καιρὸς ἀκόμη, διὰ νὰ θερίσωμεν εἰς τὸν κατάλληλον καιρόν, καὶ ἀφήνοντες τὴν παροῦσαν εὐκαιρίαν νὰ μὴ μετανοοῦμεν ὕστερα ἀνώφελα. Μήπως λοιπὸν διὰ τοῦτο ὁ φιλάνθρωπος Θεὸς ἔχει χαρίσει εἰς σὲ περισσότερα ἀγαθά, διὰ νὰ δαπανήσῃς αὐτά, ποὺ σοῦ ἐδόθησαν, μόνον διὰ τὴν ἰδικήν σου ἀνάγκην καὶ νὰ κρύψῃς τὰ ὑπόλοιπα μέσα εἰς θησαυροφυλάκια καὶ κιβώτια; Ὄχι δι' αὐτό, ἀλλὰ διὰ νὰ γίνῃ, σύμφωνα μὲ τὴν προτροπὴν τοῦ ἀποστόλου, τὸ ἰδικόν σου περίσσευμα συμπλήρωμα τοῦ ὑστερήματος τῶν ἄλλων[6]. Καὶ σὺ μὲν ἴσως ἀπολαμβάνεις καὶ περισσότερον ἀπὸ τὴν ἀνάγκην σου καὶ χρησιμοποιεῖς πολλὰ χρήματα εἰς τὰς ἀπολαύσεις καὶ εἰς τὰ ἐνδύματα καὶ εἰς τὴν ἄλλην πολυτέλειαν, καὶ σπαταλᾷς αὐτὰ μέχρι τοὺς ὑπηρέτας καὶ τὰ ζῶα· ὁ πτωχὸς ὅμως δὲν σοῦ ζητεῖ τίποτε ἀπὸ αὐτά, παρὰ μόνον νὰ καταπραΰνῃς τὴν πεῖναν του καὶ νὰ προσφέρῃς εἰς αὐτὸν τὴν ἀναγκαίαν βοήθειαν καὶ τὴν καθημερινὴν τροφήν, ὥστε νὰ ζήσῃ καὶ νὰ μὴ ἀποθάνῃ. Καὶ οὔτε αὐτὸ ἠμπορεῖς νὰ κάμῃς, οὔτε σκέπτεσαι, ὅτι πολλάκις ἀναρπασθεὶς αἰφνιδίως ἐκεῖνα μὲν ποὺ συνέλεξες ὅλα ἐδῶ ἐγκαταλείπεις, καὶ θὰ περιέλθουν κάποτε αὐτὰ εἰς τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους σου· σὺ ὅμως ὁ ἴδιος θὰ ἀπέλθῃς ἀφοῦ λάβῃς μαζί σου ὅλα τὰ ἁμαρτήματα ἐκείνων, ἀπὸ τοὺς ὁποίους συγκεντρώνεις τὰ πλούτη. Καὶ τί θὰ εἴπῃς τότε κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; καὶ τί θὰ ἀπολογηθῇς ὅταν μὲ τόσην ἀδιαφορίαν ἐτακτοποίησες τὰ τῆς ἰδικῆς σου σωτηρίας; Διὰ τοῦτο νὰ πείθεσαι εἰς ἐμέ, καὶ ὅταν ἀκόμη ἔχῃς καιρόν, νὰ διαμοιράζῃς τὰ πλεονάζοντα χρήματα, διὰ νὰ ἐξασφαλίσῃς ἀπὸ πρὶν εἰς τὸν ἑαυτόν σου τὴν αἰωνίαν σωτηρίαν, καὶ διὰ νὰ εὕρῃς τὴν ἀνταπόδοσιν τῶν αἰωνίων ἀγαθῶν. Αὐτὴν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΑ΄
(Γεν. 5, 1 - 31)

«Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς».

1. Πολὺς καὶ ἄφατος ὁ θησαυρός, ἀγαπητοί, ἐν τοῖς πρόσφατον ἀναγνωσθεῖσι. Καὶ οἶδα μὲν ὅτι πολλοὶ πρὸς τὸν τῶν ὀνομάτων κατάλογον ἀφορῶντες, καὶ ἐξεπιπολῆς τοῖς ἀνεγνωσμένοις προσέχοντες νομίζουσι μηδὲν πλέον ἔχειν τὰ εἰρημένα, ἀλλ' ἢ ἁπλῶς ὀνομάτων εἶναι προσηγορίας· ἐγὼ δὲ παρακαλῶ πάντας ὑμᾶς μὴ ἁπλῶς παρατρέχειν τὰ ἐν ταῖς θείαις Γραφαῖς κείμενα. Οὐδὲν γὰρ τῶν ἐνταῦθα γεγραμμένων ἐστίν, ὃ μὴ πολὺν νοημάτων πλοῦτον ἔχει· ἐπειδὴ γὰρ Πνεύματι θείῳ ἐνηχούμενοι ἐξέθεντο οἱ μακάριοι προφῆται, διὰ τοῦτο ἅτε Πνεύματι γεγραμμέναι πολὺν ἔχουσιν ἐγκεκρυμμένον θησαυρόν. Καὶ μὴ θαυμάσῃς, εἰ ἐν τῷ καταλόγῳ τῶν ὀνομάτων νῦν ἐπαγγέλλομαι ὑμῖν δεικνύναι πολὺν ἐγκεκρυμμένον πλοῦτον νοημάτων. Οὐδὲ γὰρ συλλαβή, οὐδὲ κεραία μία ἐστὶν ἐγκειμένη παρὰ τῇ Γραφῇ, ᾗ μὴ πολὺς ἐναπόκειται θησαυρὸς ἐν τῷ βάθει. Διά τοι τοῦτο προσήκει ἡμᾶς ὑπὸ τῆς ἄνωθεν χάριτος ὁδηγουμένους, καὶ τὴν παρὰ τοῦ ἁγίου Πνεύματος ἔλλαμψιν δεξαμένους, οὕτως ἐπιέναι τὰ θεῖα λόγια. Οὐδὲ γὰρ σοφίας ἀνθρωπίνης δεῖται ἡ θεία Γραφὴ πρὸς τὴν κατανόησιν τῶν γεγραμμένων, ἀλλὰ τῆς

ΟΜΙΛΙΑ ΚΑ΄
(Γεν. 5, 1 - 31)

Αὐτὸς εἶναι ὁ γεναλογικὸς κατάλογος τῶν ἀνθρώπων· ὅταν ὁ Θεὸς ἐδημιούργησε τὸν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐδημιούργησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐδημιούργησεν αὐτούς· καὶ ὠνόμασεν αὐτοὺς Ἀδάμ, ὅταν ἐδημιούργησεν αὐτούς».

1. Ὑπάρχει μεγάλος καὶ ἀνυπολόγιστος θησαυρός, ἀγαπητοί, μέσα εἰς τὰ λόγια ποὺ μόλις ἀνεγνώσθησαν. Καὶ γνωρίζω μέν, ὅτι πολλοὶ ἀποβλέποντες πρὸς τὸν κατάλογον τῶν ὀνομάτων καὶ προσέχοντες ἐπιπόλαια εἰς τὰ ἀναγνώσματα νομίζουν ὅτι τίποτε περισσότερον δὲν ἔχουν τὰ λεχθέντα, παρὰ μόνον τὴν ὀνομασίαν τῶν ὀνομάτων· ἐγὼ ὅμως σᾶς παρακαλῶ ὅλους νὰ μὴ διέρχεσθε ἁπλῶς τὰ κείμενα τῆς Ἁγίας Γραφῆς. Διότι τίποτε ἀπὸ τὰ γραμμένα ἐδῶ δὲν ὑπάρχει, τὸ ὁποῖον νὰ μὴ ἔχῃ μεγάλον πλοῦτον νοημάτων· ἐπειδὴ βεβαίως οἱ μακάριοι προφῆται ἔγραψαν αὐτὰ φωτιζόμενοι ἀπὸ τὸ Ἅγιον Πνεῦμα, διὰ τοῦτο ἡ Ἁγία Γραφή, ἐπειδὴ ἔχει γραφῆ ἀπὸ τὸ Ἅγιον Πνεῦμα, ἔχει μέσα της κρυμμένον μεγάλον θησαυρόν. Καὶ μὴ ἀπορῆς, ἐὰν ὑπόσχωμαι τώρα νὰ σᾶς ἀποκαλύψω, ὅτι εἰς τὸν κατάλογον τῶν ὀνομάτων εἶναι κρυμμένος μεγάλος πλοῦτος νοημάτων. Διότι οὔτε μία συλλαβή, οὔτε ἕνα κόμμα ὑπάρχει μέσα εἰς τὴν Γραφήν, ποὺ νὰ μὴ ἔχῃ κρυμμένον εἰς τὸ βάθος της μεγάλον θησαυρόν. Διὰ τοῦτο λοιπὸν πρέπει ἡμεῖς ποὺ ὁδηγούμεθα ἀπὸ τὴν χάριν τοῦ Θεοῦ καὶ ἐδέχθημεν τὸν φωτισμὸν τοῦ Ἁγίου Πνεύματος, ἔτσι νὰ διερχώμεθα τὰ θεῖα λόγια. Διότι διὰ τὴν κατανόησιν τοῦ περιεχομένου της ἡ Ἁγ. Γραφὴ δὲν ἔχει ἀνάγκην τῆς ἀνθρωπίνης σοφίας, ἀλλὰ τῆς ἀποκαλύψεως τοῦ Πνεύμα-

τοῦ Πνεύματος ἀποκαλύψεως, ἵνα τὸν ἀληθῆ νοῦν τῶν ἐγκειμένων καταμαθόντες πολλὴν ἐκεῖθεν δεξώμεθα τὴν ὠφέλειαν.

2. Εἰ γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασι τὰ ὑπὸ τῶν ἀνθρώπων συντελούμενα γραμματεῖα πολλάκις τῷ χρόνῳ διαφθαρέντα, ὑπὸ τοῦ ἐγκειμένου χρόνου τῷ προοιμίῳ τοῦ γραμματείου, καὶ ἀπὸ μιᾶς συλλαβῆς πολλὴν ἔσχε τὴν ἰσχύν· πολλῷ μᾶλλον ἐπὶ τῶν θείων Γραφῶν τῶν Πνεύματι ἁγίῳ συγκειμένων τοῦτό ἐστιν εὑρεῖν, μόνον ἐὰν νήφωμεν, καὶ μὴ ἁπλῶς παρατρέχωμεν, ἀλλὰ συντείνοντες ἡμῶν τὸν λογισμὸν κατοπτεύσωμεν ἅπαντα μετὰ ἀκριβείας, καὶ μὴ χείρους γινώμεθα τῶν περὶ τὰ αἰσθητὰ τοσαύτην τὴν σπουδὴν ἐπιδεικνυμένων. Καὶ γὰρ οἱ τὴν μεταλλικὴν γῆν ἀνορύττοντες οὐ μέχρι τῆς ἐπιφανείας ἵστανται, ἀλλ' ἐπειδὰν πολὺ βάθος κατέλθωσι, καὶ καταλαβεῖν δυνηθῶσι τοῦ χρυσίου τὰ ψήγματα, μετὰ πολλοῦ τοῦ πόνου καὶ τῆς εὐτονίας τῆς γῆς χωρίζουσι, καὶ μετὰ τὸν πολὺν ἐκεῖνον πόνον, βραχεῖάν τινα τῶν πόνων εὑρίσκουσι παραμυθίαν· καὶ ὅμως εἰδότες ὅτι ἐλάττονα τῶν πόνων καρποῦνται τὴν ὠφέλειαν, πολλάκις δὲ καὶ μετὰ τὴν πολλὴν ἀγρυπνίαν καὶ τὸν κάματον, καὶ τῆς προσδοκίας διήμαρτον, καὶ οὐδὲ οὕτως ἀφίστανται, ἀλλὰ τῇ ἐλπίδι τρεφόμενοι, τῶν πόνων αἴσθησιν οὐ λαμβάνουσιν. Εἰ τοίνυν ἐκεῖνοι περὶ τὰ φθαρτὰ καὶ ἐπίκηρα, ἔνθα καὶ ἀδηλία πολλή, τοσαύτην ἐπιδείκνυνται τὴν σπουδήν, πολλῷ μᾶλλον προσήκει ἡμᾶς ὅπου καὶ ὁ πλοῦτος ἀναφαίρετος, καὶ ὁ θησαυρὸς ἀδαπάνητος, καὶ διαμαρτεῖν οὐκ ἔνι, τὴν ἴσην καὶ πλείονα σπουδὴν ἐπιδείκνυσθαι, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν σπουδαζομένων, καὶ τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, καὶ καταμαθόντες τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, εὐγνώμονές τε γενώμεθα περὶ τὸν ἡμέτερον Δεσπότην, καὶ τὴν ἐκεῖθεν εὔνοιαν

τος, διὰ νὰ δεχθοῦμεν ἀπὸ ἐκεῖ μεγάλην ὠφέλειαν, ἀφοῦ κατανοήσωμεν τὴν ἀληθινὴν σημασίαν τῶν εὑρισκομένων εἰς αὐτήν.

2. Ἐὰν λοιπὸν εἰς τὰς καθημερινὰς ἀσχολίας τὰ συντασσόμενα ἀπὸ τοὺς ἀνθρώπους συμβόλαια, πολλὰς φοράς, ὅταν καταστραφοῦν ἀπὸ τὸν χρόνον, ἔχουν ἀπὸ τὴν ἡμερομηνίαν, ποὺ εὑρίσκεται εἰς τὸ προοίμιον τοῦ συμβολαίου, καὶ ἀπὸ μίαν συλλαβὴν μεγάλην ἰσχύν· πολὺ περισσότερον εἰς τὰς Ἁγίας Γραφάς, ποὺ ἔχουν γραφῇ μὲ τὸν φωτισμὸν τοῦ Ἁγίου Πνεύματος, εἶναι δυνατὸν νὰ εὑροῦμεν αὐτό, μόνον ἐὰν εἴμεθα προσεκτικοὶ καὶ δὲν διερχώμεθα ἁπλῶς αὐτάς, ἀλλὰ ἐὰν ἐντείνοντες τὴν προσοχήν μας ἐξετάσωμεν ὅλα μὲ ἀκρίβειαν καὶ δὲν γινώμεθα χειρότεροι ἀπὸ ἐκείνους, ποὺ ἐκδηλώνουν τόσον μεγάλην φροντίδα διὰ τὰ αἰσθητὰ πράγματα. Καὶ εἶναι ἀλήθεια ὅτι ἐκεῖνοι ποὺ σκάπτουν τὴν γῆν διὰ μεταλλεύματα δὲν σταματοῦν μέχρι τὴν ἐπιφάνειαν, ἀλλὰ ὅταν κατέλθουν εἰς πολὺ βάθος καὶ κατορθώσουν νὰ εὑροῦν ψήγματα χρυσοῦ, τὰ ἀποχωρίζουν ἀπὸ τὸ χῶμα μὲ πολὺν κόπον καὶ ὑπομονήν, καὶ ὕστερα ἀπὸ τὸν πολὺν ἐκεῖνον κόπον, εὑρίσκουν κάποιαν μικρὰν ἀνακούφισιν τῶν προσπαθειῶν των· καὶ ὅμως, ἂν καὶ γνωρίζουν ὅτι λαμβάνουν μικροτέραν ὠφέλειαν ἀπὸ τοὺς κόπους των, καὶ πολλὰς φορὰς δὲ ὕστερα ἀπὸ πολλὴν ἀγρυπνίαν καὶ κούρασιν διεψεύσθησαν αἱ προσδοκίαι των, οὔτε καὶ τότε σταματοῦν τὸ ἔργον των, ἀλλὰ τρεφόμενοι μὲ τὴν ἐλπίδα, δὲν ἀντιλαμβάνονται τοὺς κόπους. Ἐὰν λοιπὸν ἐκεῖνοι ἐπιδεικνύουν τέτοιαν φροντίδα διὰ τὰ φθαρτὰ καὶ πρόσκαιρα, ὅπου ὑπάρχει καὶ μεγάλη ἀβεβαιότης, πολὺ περισσότερον πρέπει ἡμεῖς ἐκεῖ, ποὺ καὶ ὁ πλοῦτος εἶναι ἀναφαίρετος καὶ ὁ θησαυρὸς ἀνεξάντλητος καὶ δὲν εἶναι δυνατὸν νὰ διαψευσθοῦν αἱ ἐλπίδες μας, νὰ ἐπιδείξωμεν ἴσην καὶ μεγαλυτέραν προσπάθειαν, διὰ νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν ἐκεῖνα, τὰ ὁποῖα ἐπιδιώκομεν, καὶ ἀφοῦ λάβωμεν ἀπὸ αὐτὰ τὴν ὠφέλειαν καὶ κατανοήσωμεν τὴν ἄπειρον φιλανθρωπίαν τοῦ Θεοῦ, καὶ θὰ γίνωμεν εὐγνώμονες πρὸς τὸν Κύριόν μας, καὶ ἀφοῦ

ἐπισπασάμενοι, ἀχείρωτοι καταστῶμεν ταῖς τοῦ διαβόλου παγίσι. Φέρε οὖν τὰ πρόσφατον ἀναγνωσθέντα εἰς μέσον προθέντες, διερευνησώμεθα μετὰ ἀκριβείας ἕκαστον, ἵνα τῆς συνήθους ἀπολαύσαντες διδασκαλίας, οὕτως οἴκαδε ἀναχωρήσητε. «Αὕτη ἡ βίβλος», φησί, «γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς». Θέα μοι τοῦ θαυμαστοῦ τούτου προφήτου τὴν σύνεσιν· μᾶλλον δὲ τοῦ ἁγίου Πνεύματος τὴν Διδασκαλίαν. Ἐκεῖθεν γὰρ ἐνηχούμενος ἅπαντα ἡμῖν φθέγγεται· καὶ τὴν γλῶτταν μὲν οὗτος ἐδάνεισεν, ἡ δὲ τοῦ Πνεύματος χάρις πάντα σαφῶς διὰ τούτου τὴν ἡμετέραν διδάσκει φύσιν. Σκόπει τοίνυν πῶς εἰς ἀρχὴν τὸν λόγον ἀνήγαγε, καὶ ἄνωθεν, ὡς εἰπεῖν, πάλιν τὴν διήγησιν ποιήσασθαι βούλεται. Τίνος ἕνεκεν καὶ διὰ τί; Ἐπειδὴ γὰρ εἶδε τοὺς ἤδη γεγονότας πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδειξαμένους, καὶ μηδὲ τοῖς εἰς τὸν πρωτόπλαστον γεγενημένοις σωφρονισθέντας, ἀλλ' εἰς αὐτὸν τὸν κρημνὸν τῆς κακίας κατενεχθέντας· ὅ τε γὰρ ὑπ' αὐτοῦ τεχθεὶς εὐθέως διὰ βασκανίαν εἰς ἀδελφοκτονίαν ὥρμησε· διὸ καὶ τὴν τιμωρίαν ἐκείνην τὴν χαλεπωτάτην ἐδέξατο, καθὼς φθάσαντες ἐδιδάξαμεν τὴν ὑμετέραν ἀγάπην· εἶτα πάλιν οἱ μετ' ἐκεῖνον, οὐδὲ τῇ τούτου τιμωρίᾳ σωφρονισθέντες, χείροσι κακοῖς ἑαυτοὺς περιέβαλον, καθάπερ ἠκούσατε χθὲς τοῦ Λάμεχ τὴν οἰκείαν ἁμαρτίαν διηγουμένου ταῖς ἑαυτοῦ γυναιξί, καὶ καθ' ἑαυτοῦ τὸ ἐπιτίμιον ὁρίζοντος· ἐπεὶ κατὰ μικρὸν εἶδεν αὐξανομένην αὐτῶν τὴν κακίαν καθάπερ ῥεῦμα πονηρὸν μέλλον κατὰ παντὸς διατρέχειν τοῦ σώματος, ἵστησι τῆς κακίας τὴν φοράν, καὶ τὰς γενεὰς ταύτας λοιπὸν τὰς ἐκ τοῦ Κάϊν μέχρι τοῦ Λάμεχ γενομένας οὐδὲ μνήμης ἀξιοῖ,

1. Ὁμιλία ιθ'

ἀποσπάσωμεν ἀπὸ ἐκεῖ τὴν εὔνοιαν, θὰ καταστῶμεν ἀκατάβλητοι εἰς τὰς παγίδας τοῦ διαβόλου. Ἐμπρὸς λοιπόν, ἐκεῖνα ποὺ ἀνεγνώσθησαν πρὶν ἀπὸ ὀλίγον φέροντες ἐνώπιόν μας, ἂς ἐξετάσωμεν τὸ καθένα μὲ ἀκρίβειαν, ὥστε, ἀφοῦ ἀπολαύσετε τὴν συνηθισμένην διδασκαλίαν, νὰ ἐπιστρέψετε ἔτσι εἰς τὰ σπίτια σας. «Αὐτός, λέγει, εἶναι ὁ γενεαλογικὸς κατάλογος τῶν ἀνθρώπων· κατὰ τὴν ἡμέραν, κατὰ τὴν ὁποίαν ὁ Θεὸς ἐδημιούργησε τὸν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐδημιούργησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐδημιούργησεν αὐτούς. Καὶ ὠνόμασεν αὐτοὺς Ἀδάμ, κατὰ τὴν ἡμέραν ποὺ ἐδημιούργησεν αὐτούς». Πρόσεξε, παρακαλῶ, τὴν σύνεσιν τοῦ θαυμαστοῦ αὐτοῦ προφήτου· καλύτερα δὲ τὴν διδασκαλίαν τοῦ Ἁγίου Πνεύματος. Διότι φωτιζόμενος ἀπὸ αὐτὸ μᾶς τὰ διδάσκει ὅλα· καὶ αὐτὸς μὲν ἐδάνεισε τὴν γλῶσσαν, ἡ δὲ χάρις τοῦ Πνεύματος διδάσκει διὰ μέσου αὐτοῦ τὰ πάντα μὲ σαφήνειαν εἰς τὸ ἀνθρώπινον γένος. Σκέψου λοιπόν, πῶς ἐπανέφερε τὸν λόγον εἰς τὴν ἀρχὴν καὶ θέλει πάλιν ἐκ νέου, οὕτως εἰπεῖν, νὰ κάμῃ τὴν διήγησίν του. Διὰ ποῖον λόγον καὶ διατί; Ἐπειδὴ βεβαίως εἶδεν, ὅτι ἐκεῖνοι ποὺ εἶχαν δημιουργηθῆ ἤδη ἐπέδειξαν μεγάλην ἀχαριστίαν καὶ δὲν ἐσυνετίσθησαν οὔτε ἀπὸ τὰς ἐπιβληθείσας τιμωρίας εἰς τὸν πρωτόπλαστον, ἀλλὰ κατέπεσαν εἰς τὸν ἴδιον κρημνὸν τῆς κακίας· διότι καὶ ὁ γεννηθεὶς ἀπὸ αὐτὸν υἱὸς ἀμέσως ὥρμησεν εἰς ἀδελφοκτονίαν ἐξ αἰτίας τοῦ φθόνου, διὰ τοῦτο καὶ ἐδέχθη τὴν βαρυτάτην ἐκείνην τιμωρίαν, καθὼς εἰς προηγουμένην ὁμιλίαν[1] ἐδιδάξαμεν τὴν ἀγάπην σας· ἔπειτα πάλιν, οἱ μετὰ ἀπὸ ἐκεῖνον, χωρὶς νὰ σωφρονισθοῦν ἀπὸ τὴν τιμωρίαν του, περιέβαλαν τοὺς ἑαυτούς των μὲ χειρότερα κακά, ὅπως ἀκριβῶς ἠκούσατε χθὲς τὸν Λάμεχ νὰ διηγῆται τὴν ἰδικήν του ἁμαρτίαν εἰς τὰς γυναῖκας του καὶ νὰ ὁρίζῃ τὴν τιμωρίαν ἐναντίον τοῦ ἑαυτοῦ του· ἐπειδὴ εἶδε νὰ αὐξάνεται σιγὰ σιγὰ ἡ κακία αὐτῶν, ὡσὰν πονηρὸν ρεῦμα ποὺ πρόκειται νὰ διατρέξῃ ὁλόκληρον τὸ σῶμα, σταματᾷ τὴν ὁρμὴν τῆς κακίας καὶ δὲν θεωρεῖ ἀξίας οὔτε νὰ μνημονεύωνται εἰς τὸ ἑξῆς αἱ γενεαὶ ποὺ ὑπῆρξαν ἀπὸ τὸν Κάιν μέχρι τὸν Λάμεχ, ἀλλὰ

ἀλλ' ὥσπερ ἀρχήν τινα ποιούμενος, καὶ τὸ πένθος τοῦ Ἀδὰμ καὶ τῆς Εὔας παραμυθήσασθαι βουλόμενος, ᾧ περιβαλεῖν αὐτοὺς ἐτόλμησεν ὁ ἀδελφοκτόνος, τὴν δεξιὰν ὁπλίσας κατὰ τοῦ Ἄβελ, οὕτως ἄρχεται τῆς διηγήσεως, καί φησιν· «Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς».

3. Σκόπει πῶς τοῖς αὐτοῖς ῥήμασι κέχρηται, ὡς καὶ ἐν προοιμίοις, ἵνα διδάξῃ ἡμᾶς, ὅτι ὡς ἀδοκίμους γενομένας τὰς γενεὰς ἐκείνας οὐδὲ μνήμης λοιπὸν ἀξιοῖ, ἀλλ' ἐκ τοῦ νῦν τεχθέντος, τοῦ Σὴθ λέγω, τῆς γενεαλογίας ἄρχεται, ἵνα καὶ ἐκ τούτου μάθῃς, ὅσος τῷ Θεῷ λόγος τῆς ἀνθρωπίνης φύσεως, καὶ ὅπως ἀποστρέφεται τοὺς φονικὴν ἔχοντας τὴν γνώμην. Ὡς γὰρ μηδὲ παραχθέντων λοιπὸν ἐκείνων εἰς τὸν βίον, οὕτως αὐτῶν τὴν γνώμην παραλιμπάνει, δεικνὺς ἡμῖν, ὅσον ἐστὶ κακία χαλεπόν, καὶ ὅτι ἑαυτοῖς τὰ μέγιστα λυμαίνονται οἱ ταύτην ἀσπαζόμενοι. Ἰδοὺ γὰρ οὗτοι μὲν τοῦ καταλόγου λοιπὸν ἐξαλείφονται, ἐπὶ τοσοῦτον δὲ μνήμης ἠξιώθησαν μόνον, ὥστε τὴν κακίαν αὐτῶν στηλιτεύεσθαι, καὶ ταῖς εἰς τὸ ἑξῆς γενεαῖς γενέσθαι σωφρονισμοῦ ὑπόθεσιν. Ὁ δὲ ἀδίκως ἀναιρεθείς, καὶ ὑπὸ τῆς ἀδελφικῆς χειρὸς φονευθείς, ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἐν τοῖς ἁπάντων ᾄδεται στόμασι, καὶ οὔτε ὁ χρόνος τούτου τὴν μνήμην ἔσβεσεν, οὔτε ἐκείνου τὴν κατηγορίαν ὑπετέμετο, ἀλλὰ καὶ οὗτος καθ' ἑκάστην ἡμέραν παρὰ πάντων ἀνακηρύττεται, καὶ ἐκεῖνος διηνεκῶς στηλιτεύεται. Εἴδετε ὅση τῆς κακίας ἡ λύμη, καὶ ὅση τῆς ἀρετῆς ἡ ἰσχύς, καὶ ὅπως ἡ μέν, καὶ πολεμοῦσα καὶ περιγινομένη, σβέννυταί τε καὶ ἀφανίζεται, ἡ δέ, καὶ πολεμουμένη καὶ τὰ μυρία δεινὰ ὑπομένουσα ταύτῃ μᾶλλον καὶ λαμπροτέρα καὶ φαιδροτέρα γίνεται; Καὶ ἐνῆν μὲν καὶ ἐξ ἑτέρων πραγμάτων ὁμοίως συμβάντων τοῦτο δεῖξαι νῦν ἐπὶ τῆς ὑμετέρας

ὡσάν νὰ κάμῃ κάποιαν ἀρχὴν καὶ νὰ ἐπιθυμῇ νὰ παρηγορήσῃ τὸ πένθος τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, μὲ τὸ ὁποῖον ἐτόλμησε νὰ περιβάλῃ αὐτοὺς ὁ ἀδελφοκτόνος, ὁ ὁποῖος ὥπλισε τὸ χέρι του ἐναντίον τοῦ Ἄβελ, ἔτσι ἀρχίζει τὴν διήγησιν, καὶ λέγει· «Αὐτὸς εἶναι ὁ γενεαλογικὸς κατάλογος τῶν ἀνθρώπων· κατὰ τὴν ἡμέραν ποὺ ὁ Θεὸς ἐδημιούργησε τὸν Ἀδάμ, κατ᾽ εἰκόνα Θεοῦ ἐδημιούργησεν αὐτόν· ἄρρεν καὶ θῆλυ ἐδημιούργησεν αὐτούς· καὶ ὠνόμασεν αὐτοὺς Ἀδάμ, κατὰ τὴν ἡμέραν ποὺ τοὺς ἐδημιούργησε».

3. Πρόσεχε, πῶς χρησιμοποιεῖ τὰ ἴδια λόγια, ὅπως καὶ εἰς τὴν ἀρχήν, διὰ νὰ μᾶς διδάξῃ, ὅτι, ἐπειδὴ αἱ γενεαὶ ἐκεῖναι ἔγιναν ἀνάξιαι, δὲν τὰς ἀξιώνει οὔτε νὰ μνημονεύωνται εἰς τὸ ἑξῆς, ἀλλὰ ἀρχίζει τὴν γενεαλογίαν ἀπὸ τὸν γεννηθέντα τελευταῖα, ἐννοῶ τὸν Σήθ, διὰ νὰ μάθῃς καὶ ἀπ᾽ αὐτό, πόσον ὑπολογίζει ὁ Θεὸς τὸ ἀνθρώπινον γένος καὶ πῶς ἀποστρέφεται τοὺς ἔχοντας φονικὴν διάθεσιν. Ὡσὰν λοιπὸν νὰ μὴ ἦλθαν ἐκεῖνοι ποτὲ εἰς τὴν ζωήν, ἔτσι τοὺς ἀγνοεῖ αὐτούς, ἀποδεικνύων εἰς ἡμᾶς, πόσον φοβερὸν πρᾶγμα εἶναι ἡ κακία καὶ ὅτι καταστρέφουν ὑπερβολικὰ τοὺς ἑαυτούς των ἐκεῖνοι, ποὺ τὴν ἀσπάζονται. Ἰδοὺ λοιπόν, αὐτοὶ μὲν διαγράφονται εἰς τὸ ἑξῆς ἀπὸ τὸν κατάλογον, καὶ ἐθεωρήθησαν ἄξιοι νὰ μνημονευθοῦν τόσον μόνον, ὥστε νὰ στηλιτεύεται ἡ κακία αὐτῶν καὶ νὰ γίνουν εἰς τὰς ἑπομένας γενεὰς παράδειγμα σωφρονισμοῦ. Ἐκεῖνος ὅμως ποὺ ἐχάθη ἄδικα καὶ ἐφονεύθη ἀπὸ τὸ ἀδελφικὸν χέρι, ἀπὸ τότε μέχρι σήμερα ἀναφέρεται εἰς τὰ στόματα ὅλων, καὶ οὔτε ὁ χρόνος ἔσβησε τὴν ἀνάμνησίν του, οὔτε τὴν κατηγορίαν ἐκείνου ἀφήρεσεν, ἀλλὰ καὶ αὐτὸς καθημερινὰ ἐπαινεῖται ἀπὸ ὅλους καὶ ἐκεῖνος διαρκῶς στηλιτεύεται. Εἴδατε πόση εἶναι ἡ καταστροφὴ τῆς κακίας καὶ πόση ἡ δύναμις τῆς ἀρετῆς, καὶ πῶς ἡ μὲν κακία, ἂν καὶ μάχεται καὶ νικᾷ, καὶ σβήνεται καὶ ἐξαφανίζεται, ἡ δὲ ἀρετή, ἂν καὶ πολεμεῖται καὶ ὑπομένει ἄπειρα δεινά, μὲ τὸν τρόπον αὐτὸν γίνεται περισσότερον λαμπρὰ καὶ ἔνδοξος; Καὶ ἦτο δυνατὸν καὶ ἀπὸ ἄλλα πράγματα, τὰ ὁποῖα συνέβησαν κατὰ τὸν ὅμοιον τρόπον, νὰ ἀποδείξωμεν τώρα

ἀγάπης· ἀλλ' ἵνα μὴ τῆς προκειμένης ἀκολουθίας τέως ἐκπέσωμεν, φέρε πάλιν ἐπαναλάβωμεν αὐτὰ τὰ εἰρημένα. «Αὕτη ἡ βίβλος», φησί, «γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς». Ὅρα πῶς πάλιν τῆς διηγήσεως ἄνωθεν ἀρξαμένη ἡ θεία Γραφὴ ὑπομιμνήσκει ἡμᾶς, ὅσης ἠξίωται τιμῆς ὁ δημιουργηθεὶς ἄνθρωπος. «Ἧ ἡμέρᾳ», φησίν, «ἐποίησεν Ἀδάμ, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν», ἀντὶ τοῦ, ἄρχοντα αὐτὸν κατέστησε πάντων τῶν ὁρωμένων. Τοῦτο γάρ ἐστι «Κατ' εἰκόνα», κατά τε τὸν τῆς ἀρχῆς λόγον, καὶ κατὰ τὸν τῆς δεσποτείας. Ὥσπερ γὰρ ὁ τῶν ὅλων Θεὸς τὴν κατὰ πάντων ἀρχὴν ἔχει τῶν τε ὁρατῶν, τῶν τε ἀοράτων, δημιουργὸς ἁπάντων τυγχάνων, οὕτω καὶ τὸ ζῶον τοῦτο τὸ λογικὸν δημιουργήσας, ἐβουλήθη πάντων τῶν ὁρωμένων τὴν ἀρχὴν αὐτὸν ἔχειν. Διὸ καὶ τὴν τῆς ψυχῆς οὐσίαν αὐτῷ ἐχαρίσατο, βουληθεὶς αὐτὸν καὶ ἀθάνατον εἶναι εἰς τὸ διηνεκές· ἀλλ' ἐπειδὴ διὰ ῥᾳθυμίαν ὤλισθε, καὶ παρέβη τὴν δοθεῖσαν αὐτῷ ἐντολήν, οὐδὲ οὕτω τέλεον ἀπεστράφη τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, ἀλλὰ τῆς μὲν ἀθανασίας αὐτὸν ἀπεστέρησε, θανάτῳ δὲ καταδικάσας ἐπὶ τῆς αὐτῆς ἀρχῆς σχεδὸν ἀφῆκεν εἶναι. Εἶτα ἐπειδὴ ὁ ἐξ αὐτοῦ τεχθεὶς εἰς τοσαύτην μανίαν ἐξώκειλε, καὶ πρῶτος τὸ εἶδος τοῦ φόνου εἰσήνεγκε, καὶ τὸν βεβιασμένον ἐκεῖνον θάνατον κατέδειξε, καὶ πολλὴν ἐπεδείξατο τὴν ἀγνωμοσύνην ψεῦδος τῷ φόνῳ συνάψας, τῇ διηνεκεῖ τιμωρίᾳ σωφρονίσαι αὐτὸν ἠβουλήθη, ἵνα μὴ μόνον αὐτὸς κερδάνῃ ἐκ τῶν εἰς αὐτὸν γεγενημένων, ἀλλὰ καὶ τοὺς μετὰ ταῦτα διδάσκῃ καὶ τῶν τετολμημένων τὸ μέγεθος, καὶ τῆς ἀτοπίας τὴν ὑπερβολήν. Ἀλλ' ἐπειδὴ διὰ πολλὴν ῥᾳθυμίαν καὶ οἱ ἐκ τούτου γεγενημένοι κατὰ μικρὸν χείροσιν ἑαυτοὺς περιέβαλον κακοῖς, πα-

αὐτὸ εἰς τὴν ἀγάπην σας· ἀλλὰ διὰ νὰ μὴ φύγωμεν μέχρι τότε ἀπὸ τὴν συνέχειάν μας, ἂς ἐπαναλάβωμεν πάλιν αὐτὰ ποὺ ἐλέχθησαν. «Αὐτὸς εἶναι, λέγει, ὁ γενεαλογικὸς κατάλογος τῶν ἀνθρώπων· κατὰ τὴν ἡμέραν ποὺ ὁ Θεὸς ἐδημιούργησε τὸν Ἀδάμ, κατ᾽ εἰκόνα Θεοῦ ἐδημιούργησεν αὐτόν· ἄρρεν καὶ θῆλυ ἐδημιούργησεν αὐτούς· καὶ ὠνόμασεν αὐτοὺς Ἀδάμ, ὅταν τοὺς ἐδημιούργησε». Πρόσεξε πῶς ἡ Ἁγία Γραφή, ἀφοῦ ἄρχισε πάλιν τὴν διήγησίν της ἀπὸ τὴν ἀρχήν, μᾶς ὑπενθυμίζει πόσην τιμὴν εἶχεν ἀξιωθῆ ὁ δημιουργηθεὶς ἄνθρωπος. «Τὴν ἡμέραν κατὰ τὴν ὁποίαν, λέγει, ἐδημιούργησε τὸν Ἀδάμ, κατ᾽ εἰκόνα Θεοῦ ἐδημιούργησεν αὐτόν», ἀντὶ νὰ εἰπῇ, ὅτι κατέστησεν αὐτὸν κυρίαρχον ὅλων τῶν ὁρατῶν. Διότι αὐτὸ σημαίνει τὸ «κατ᾽ εἰκόνα», δηλαδὴ καὶ ἐξ αἰτίας τῆς ἀρχῆς καὶ ἐξ αἰτίας τῆς ἐξουσίας. Διότι ὅπως ἀκριβῶς ὁ Θεὸς τῶν πάντων ἔχει τὴν ἐξουσίαν ἐπάνω εἰς ὅλα, καὶ εἰς τὰ ὁρατὰ καὶ εἰς τὰ ἀόρατα, καθόσον εἶναι ὁ δημιουργὸς τῶν πάντων, ἔτσι καὶ τὸ λογικὸν αὐτὸ ζῶον, ἀφοῦ τὸ ἐδημιούργησεν, ἠθέλησε νὰ ἔχῃ αὐτὸς τὴν ἐξουσίαν ὅλων τῶν ὁρατῶν. Διὰ τοῦτο καὶ ἐχάρισεν εἰς αὐτὸν τὴν οὐσίαν τῆς ψυχῆς, ἐπειδὴ ἠθέλησε νὰ εἶναι αὐτὸς καὶ ἀθάνατος αἰωνίως· ἐπειδὴ ὅμως ἐξ αἰτίας τῆς ἀδιαφορίας ὠλίσθησε καὶ παρέβη τὴν δοθεῖσαν εἰς αὐτὸν ἐντολήν, οὔτε τότε τὸν ἀπεστράφη τελείως μεταχειριζόμενος τὴν ἰδικήν του φιλανθρωπίαν, ἀλλὰ ἐστέρησεν ἀπὸ αὐτὸν τὴν ἀθανασίαν, καὶ ἀφοῦ μὲ θάνατον τὸν κατεδίκασεν, τὸν ἄφησε σχεδὸν νὰ ἔχῃ τὴν ἰδίαν ἐξουσίαν. Ἔπειτα, ἐπειδὴ ὁ γεννηθεὶς ἀπὸ αὐτὸν παρεκτράπη εἰς τόσον μεγάλην μανίαν καὶ εἰσήγαγε πρῶτος τὸ εἶδος τοῦ φόνου καὶ ἐπαρουσίασε τὸν βίαιον ἐκεῖνον θάνατον καὶ ἐπέδειξε μεγάλην ἀχαριστίαν, ἐπειδὴ συνέδεσεν εἰς τὸν φόνον τὸ ψέμα, ἠθέλησε νὰ συνετίσῃ αὐτὸν μὲ τὴν διαρκῆ τιμωρίαν, διὰ νὰ μὴ κερδίσῃ μόνον αὐτὸς ἀπὸ ὅσα ἔχουν γίνει εἰς αὐτόν, ἀλλὰ καὶ νὰ διδάσκῃ τοὺς μεταγενεστέρους καὶ τὸ μέγεθος τῶν πράξεων, ποὺ εἶχε τολμήσει, καὶ τὴν ὑπερβολὴν τῆς ἀνοησίας του. Ἀλλὰ ἐπειδὴ καὶ οἱ καταγόμενοι ἀπ᾽ αὐτὸν ἐξ αἰτίας τῆς μεγάλης ἀδιαφορίας

ραμυθήσασθαι, ὡς εἰπεῖν, βουλόμενος τὸν Ἀδὰμ οὐ μόνον διὰ τὴν οἰκείαν παράβασιν ἐν τοσαύτῃ τυγχάνοντα κατηφείᾳ, ἀλλὰ καὶ διὰ τὸ τόλμημα τοῦ Κάϊν, καὶ τὸ πένθος ἐκεῖνο τὸ ἀφόρητον, ὅπερ εἶδε τοῖς οἰκείοις ὀφθαλμοῖς· οὔτε γὰρ τοῦ θανάτου ἤδεσαν τὸ εἶδος, εἰ καὶ τὴν ἀπόφασιν ἐδέξαντο· καὶ διπλοῦν αὐτῷ, καὶ τριπλοῦν τὸ πένθος ἐγένετο, ὅτι τε καὶ τὸν θάνατον πρῶτον εἶδον εἰσενεχθέντα εἰς τὸν βίον, καὶ βίαιον θάνατον, καὶ ὑπὸ τοῦ παιδὸς τολμηθέντα, καὶ εἰς ἀδελφὸν ὁμομήτριον καὶ ὁμοπάτριον, καὶ οὐδὲν ἠδικηκότα· βουλόμενος τοίνυν ὁ φιλάνθρωπος Θεὸς ἀντίρροπον αὐτῷ τῶν λυπηρῶν τὴν παραμυθίαν εἰσαγαγεῖν, ἕτερον αὐτῷ παρέχει παῖδα τὸν Σήθ, καὶ ἀρκοῦσαν αὐτῷ τὴν παράκλησιν ἐντεῦθεν ποιησάμενος, ἀπὸ τούτου λοιπὸν τῆς γενέσεως τὴν ἀρχὴν συνίστησι. Διὰ τοῦτο καὶ ὁ μακάριος προφήτης οὕτως ἤρξατο λέγων· «Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων». Εἶτα ἐπαγγειλάμενος τὴν γένεσιν τῶν ἀνθρώπων διηγεῖσθαι, σκόπει οἵᾳ κέχρηται ἀκολουθίᾳ· «Ἔζησε», φησίν, «Ἀδὰμ ἔτη διακόσια τριάκοντα, καὶ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ. Ἐγένοντο δὲ αἱ ἡμέραι αὐτοῦ ἔτη ἑπτακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἀδὰμ ἔτη ἐννακόσια τριάκοντα, καὶ ἀπέθανεν».

4. Οὐ καλῶς ἔλεγον ἐν τοῖς προοιμίοις, ὅτι οὐδέν ἐστιν εὑρεῖν ἁπλῶς καὶ εἰκῇ γεγραμμένον ἐν τῇ θείᾳ Γραφῇ; Ἰδοὺ γὰρ καὶ νῦν πόσῃ τῇ ἀκριβείᾳ ἐχρήσατο ὁ μακάριος οὗτος προφήτης. «Ἐγέννησε δέ», φησίν, «Ἀδὰμ κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ»· ἐπὶ δὲ τοῦ πρότερον τεχθέντος, τοῦ Κάϊν λέγω, οὐδὲν τοιοῦτον ἐπισημηνάμενος, ἀλλ' ἄνωθεν προμηνύων αὐτοῦ τὴν ἐπὶ τὴν κακίαν ὁρμήν· καὶ εἰκότως· οὐ γὰρ

των σιγά σιγά περιέβαλαν τοὺς ἑαυτούς των μὲ χειρότερα κακά, ἐπιθυμῶν νὰ παρηγορήσῃ, κατὰ κάποιον τρόπον, τὸν Ἀδάμ, ὁ ὁποῖος εὑρίσκετο εἰς τόσον μεγάλην στενοχωρίαν ὄχι μόνον διὰ τὴν ἰδικήν του παράβασιν, ἀλλὰ καὶ διὰ τὸ τόλμημα τοῦ Κάιν καὶ τὸ ἀνυπόφορον ἐκεῖνο πένθος, τὸ ὁποῖον εἶδε μὲ τὰ δικά του μάτια· διότι δὲν ἐγνώριζαν οὔτε τὸ εἶδος τοῦ θανάτου, ἂν καὶ ἐδέχθησαν τὴν ἀπόφασιν· καὶ ἔγινεν εἰς αὐτὸν διπλὸν καὶ τριπλὸν τὸ πένθος, καὶ διότι εἶδαν τὸν θάνατον νὰ εἰσάγεται διὰ πρώτην φορὰν εἰς τὴν ζωήν των, καὶ τὸν βίαιον θάνατον, καὶ νὰ τὸν ἔχῃ τολμήσει τὸ παιδί του καὶ εἰς βάρος ἀδελφοῦ, ὁ ὁποῖος ἐγεννήθη ἀπὸ τὴν ἰδίαν μητέρα καὶ τὸν ἴδιον πατέρα, καὶ ὁ ὁποῖος δὲν τὸν εἶχεν ἀδικήσει καθόλου· ἐπιθυμῶν λοιπὸν ὁ φιλάνθρωπος Θεὸς νὰ δώσῃ εἰς αὐτὸν ὡς ἀντίρροπον τῶν θλίψεών του τὴν παρηγορίαν, δίδει εἰς αὐτὸν ἄλλον υἱὸν τὸν Σήθ, καὶ ἀφοῦ ἔκαμεν ἔτσι ἐπαρκῆ εἰς αὐτὸν τὴν παρηγορίαν, ἀπὸ τὸ σημεῖον αὐτὸ ἀρχίζει εἰς τὸ ἑξῆς τὴν γενεαλογίαν. Δι' αὐτὸ καὶ ὁ μακάριος προφήτης ἔτσι ἤρχισε λέγων· «Αὐτὸς εἶναι ὁ γενεαλογικὸς κατάλογος τῶν ἀνθρώπων». Ἔπειτα ὑποσχεθεὶς νὰ διηγηθῇ τὴν γενεαλογίαν τῶν ἀνθρώπων, πρόσεξε, ποίαν συνέχειαν χρησιμοποιεῖ· «Ἔζησε, λέγει, ὁ Ἀδὰμ διακόσια τριάντα ἔτη καὶ ἐγέννησεν υἱὸν καθ' ὁμοίωσιν αὐτοῦ καὶ κατ' εἰκόνα αὐτοῦ καὶ ὠνόμασεν αὐτὸν Σήθ. Ἔζησε δὲ αὐτός, μετὰ τὴν γέννησιν τοῦ Σήθ, ἑπτακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. Καὶ ἔζησεν ὁ Ἀδὰμ συνολικὰ ἐννεακόσια τριάντα ἔτη καὶ ἀπέθανε».

4. Δὲν ἔλεγα καλὰ εἰς τὴν ἀρχήν, ὅτι δὲν εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς τίποτε ποὺ νὰ ἔχῃ γραφῆ ἁπλῶς καὶ τυχαίως εἰς τὴν Ἁγίαν Γραφήν; Ἰδοὺ λοιπὸν καὶ τώρα πόσην ἀκρίβειαν ἐχρησιμοποίησεν ὁ μακάριος αὐτὸς προφήτης. «Ἐγέννησε δέ, λέγει, ὁ Ἀδὰμ υἱὸν καθ' ὁμοίωσιν αὐτοῦ καὶ κατ' εἰκόνα αὐτοῦ, καὶ ὠνόμασεν αὐτὸν Σήθ». Διὰ τὸν γεννηθέντα ὅμως προηγουμένως, ἐννοῶ τὸν Κάιν, δὲν ἐσημείωσε τίποτε παρόμοιον, ἀλλὰ προαναγγέλλει ἀπὸ τὴν ἀρχὴν τὴν ῥοπὴν αὐτοῦ πρὸς τὴν κακίαν· καὶ ἦτο φυ-

ἔσωζε τοὺς πατρικοὺς χαρακτῆρας, ἀλλ' εὐθέως πρὸς τὴν κακίαν ηὐτομόλησεν. Ἐνταῦθα δέ φησι, «Κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ», τουτέστιν ὁμότροπον τῷ γεγεννηκότι, τοὺς αὐτοὺς τῆς ἀρετῆς χαρακτῆρας διασώζοντα, τὴν εἰκόνα τὴν πατρικὴν διὰ τῶν ἔργων δεικνύντα, ἀνακαλέσασθαι δυνάμενον διὰ τῆς οἰκείας ἀρετῆς τοῦ προλαβόντος τὸ πλημμέλημα. Οὐδὲ γὰρ περὶ σωματικῶν χαρακτήρων ἐνταῦθα ἡμῖν διαλέγεται ἡ Γραφὴ λέγουσα, «Κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ»· ἀλλὰ περὶ τῆς ἐν τῇ ψυχῇ καταστάσεως, ἵνα μάθωμεν, ὅτι οὗτος οὐκ ἔσται τοιοῦτος. Διὸ καὶ ἡ μήτηρ τὴν προσηγορίαν ἐπιθεῖσα τῷ παιδὶ μετ' εὐχαριστίας ταύτην ἐπιτίθησι, καὶ οὐ τῇ φύσει, οὐδὲ τῷ τόκῳ λογίζεται τὸ τεχθὲν παιδίον, ἀλλὰ τῇ τοῦ Θεοῦ δυνάμει. Ἐκείνη γὰρ καὶ τὴν φύσιν διήγειρε πρὸς τὸν τόκον, καί φησιν· «Ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σὴθ λέγουσα· ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν». Ὅρα τοῦ ῥήματος τὴν ἀκρίβειαν. Οὐκ εἶπεν, ἔδωκέ μοι ὁ Θεός, ἀλλ' «Ἐξανέστησέ μοι». Σκόπει πῶς ἀμυδρῶς τὰ προοίμια τῆς ἀναστάσεως ἐντεῦθεν δείκνυται ἤδη διὰ τοῦ ῥήματος. Ὡς γὰρ ἂν εἴποι τις ἔλεγεν· ἀντὶ τοῦ πεσόντος ἀνέστησέ μοι τοῦτον. Εἰ καὶ ἐκεῖνος, φησίν, ὑπὸ τῆς ἀδελφικῆς δεξιᾶς εἰς τὴν γῆν κατέπεσε, καὶ τοῦ θανάτου πεῖραν ἔλαβεν, ἀλλ' ἡ τοῦ Θεοῦ δύναμις ἀντὶ τοῦ πεσόντος τοῦτον ἤγειρεν. Ἐπειδὴ γὰρ οὐδέπω καιρὸς ἦν τῆς ἀναστάσεως, οὐχὶ τὸν πεσόντα ἤγειρεν, ἀλλ' ἕτερον ἀντ' ἐκείνου· διὸ καὶ αὐτή φησιν· «Ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν». Εἶδες εὐγνωμοσύνην γυναικός; εἶδες φιλανθρωπίαν Δεσπότου; πῶς ταχεῖαν αὐτοῖς τὴν παραμυθίαν ἐπενόησε; Ταύτην μιμώμεθα ἅπαντες, καὶ τὸ πᾶν τῇ ἄνωθεν χάριτι λογιζώμεθα. Εἰ γὰρ καὶ ἡ φύσις ἐργάζεται, ἀλλ' οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῷ

2. Γεν. 4, 25.

σικόν, διότι δέν διετηροῦσε τά χαρακτηριστικά τοῦ πατρός του, ἀλλά ἀμέσως ηὐτομόλησε πρός τήν κακίαν. Ἐδῶ ὅμως λέγει, «Καθ' ὁμοίωσιν αὐτοῦ καί κατ' εἰκόνα αὐτοῦ», δηλαδή ὅμοιον πρός τόν πατέρα, ὁ ὁποῖος διατηρεῖ τά αὐτά χαρακτηριστικά τῆς ἀρετῆς, ἀποδεικνύει μέ τά ἔργα τήν πατρικήν εἰκόνα καί ἠμπορεῖ μέ τήν ἰδικήν του ἀρετήν νά ἀποκαταστήσῃ τό ἁμάρτημα τοῦ προηγουμένου ἀδελφοῦ του. Διότι δέν ὁμιλεῖ ἐδῶ ἡ Ἁγία Γραφή διά τά χαρακτηριστικά τοῦ σώματος, ὅταν λέγῃ, «Καθ' ὁμοίωσιν αὐτοῦ καί κατ' εἰκόνα αὐτοῦ», ἀλλά διά τήν κατάστασιν τῆς ψυχῆς, διά νά μάθωμεν, ὅτι αὐτός δέν θά εἶναι τέτοιος. Διά τοῦτο καί ἡ μητέρα, ὅταν δίδῃ τό ὄνομα εἰς τό παιδί της, δίδει αὐτό μέ εὐγνωμοσύνην, καί δέν ἀποδίδεται τό γεννηθέν παιδί οὔτε εἰς τήν φύσιν, οὔτε εἰς τόν τοκετόν, ἀλλά εἰς τήν δύναμιν τοῦ Θεοῦ, διότι αὐτή διήγειρε καί τήν φύσιν πρός τόν τοκετόν, καί λέγει ἡ Γραφή· «Ὠνόμασεν αὐτόν Σήθ λέγουσα· ὁ Θεός λοιπόν μοῦ ἐξανέστησεν ἄλλο παιδί εἰς ἀντικατάστασιν τοῦ Ἄβελ, τόν ὁποῖον ἐφόνευσεν ὁ Κάϊν»[2]. Πρόσεξε τήν ἀκρίβειαν τῆς λέξεως. Δέν εἶπε, μοῦ ἔδωσεν ὁ Θεός, ἀλλά «μοῦ ἐξανέστησε». Σκέψου πῶς ἀπό ἐδῶ ἀποδεικνύεται ἤδη μέ τήν λέξιν ἀμυδρῶς ἡ ἀρχή τῆς ἀναστάσεως. Διότι θά ἠμποροῦσε κανείς νά εἰπῇ ὅτι ἔλεγεν· ἀντί ἐκείνου, πού ἐφονεύθη, μοῦ ἀνέστησεν αὐτόν. Ἄν καί ἐκεῖνος, λέγει, ἔπεσεν εἰς τό χῶμα ἀπό ἀδελφικόν χέρι, καί ἐγνώρισε τόν θάνατον, ἡ δύναμις ὅμως τοῦ Θεοῦ μοῦ ἐξανέστησεν αὐτόν ἀντί τοῦ φονευθέντος. Ἐπειδή λοιπόν δέν ἦτο ἀκόμη ὁ καιρός τῆς ἀναστάσεως, δέν ἀνέστησεν ἐκεῖνον, ἀλλά ἄλλον εἰς τήν θέσιν ἐκείνου· διά τοῦτο καί αὐτή λέγει, «μοῦ ἔδωσε λοιπόν ὁ Θεός ἄλλο παιδί εἰς ἀντικατάστασιν τοῦ Ἄβελ, τόν ὁποῖον ἐφόνευσεν ὁ Κάϊν». Εἶδες τήν εὐγνωμοσύνην τῆς γυναικός; εἶδες τήν φιλανθρωπίαν τοῦ Θεοῦ; πῶς ἐπενόησε γρήγορα τήν παρηγορίαν εἰς αὐτούς; Ἄς μιμούμεθα αὐτήν ὅλοι, καί ἄς ἀποδίδωμεν τά πάντα εἰς τήν χάριν τοῦ Θεοῦ. Διότι ἄν καί ἡ φύσις ἐργάζεται, δέν ἐργάζεται μέ τήν ἰδικήν της δύναμιν, ἀλλά ὑπακούουσα εἰς τό πρόσταγμα

προστάγματι τοῦ δημιουργήσαντος εἴκουσα· καὶ μηδέποτε ἀλγείτωσαν γυναῖκες, ἐπειδὰν μὴ τίκτωσιν, ἀλλὰ γνώμην εὐχάριστον ἐπιδεικνύμεναι ἐπὶ τὸν τῆς φύσεως δημιουργὸν καταφευγέτωσαν, καὶ παρ' ἐκείνου αἰτείτωσαν τοῦ τῆς φύσεως Δεσπότου, καὶ μήτε τῇ συνουσίᾳ τῶν συνοικούντων, μήτε ἑτέρῳ τινὶ λογιζέσθωσαν τὴν τῶν παίδων γονήν, ἀλλὰ τῷ δημιουργῷ τῶν ὅλων τῷ καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντι τὴν φύσιν τὴν ἡμετέραν, καὶ χωλεύουσαν πάλιν διορθῶσαι δυναμένῳ· ἐπεὶ καὶ αὕτη τὴν τοῦ πένθους ὑπόθεσιν δοξολογίας ἀφορμὴν ἐποιήσατο, καὶ τῷ Δεσπότῃ τὸ πᾶν λογίζεται λέγουσα, «Ἐξανέστησέ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν». Ὁρᾷς πῶς οὐ μόνον οὐκ ἐδυσχέρανεν, οὐδὲ ἐφθέγξατό τι λυπηρὸν (οὐ γὰρ ἂν παρέλιπεν ἡ θεία Γραφή, εἴ γέ τι τοιοῦτον εἴρητο παρ' αὐτῆς), ἀλλὰ γενναίως ἐνεγκοῦσα τὸ συμβάν, ταχείας ἀξιοῦται τῆς παραμυθίας, καὶ πλείονα τὴν εὐγνωμοσύνην ἐπιδείκνυται, ἀνακηρύττουσα τοῦ Δεσπότου τὴν εὐεργεσίαν; Ὅρα γὰρ μεθ' ὅσης φιλοτιμίας ὁ Δεσπότης τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυται. Οὐ μόνον γὰρ υἱὸν ἕτερον ἐχαρίσατο, ἀλλὰ καὶ ἐνάρετον αὐτὸν ἔσεσθαι ἤδη προμηνύει. «Ἐγέννησε γάρ», φησί, «κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ». Καὶ ἵνα μάθωμεν εὐθέως τοῦ τεχθέντος τὴν ἀρετήν, ὅρα καὶ αὐτὸν πάλιν διὰ τῆς προσηγορίας τοῦ ὑπ' αὐτοῦ τεχθέντος δεικνύντα τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης. «Καὶ τῷ Σήθ», φησίν, «ἐγένετο υἱός, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐνώς. Οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ». Εἶδες προσηγορίαν διαδήματος λαμπροτέραν, ἁλουργίδος φαιδροτέραν; Τί γὰρ ἂν εἴη μακαριστότερον τοῦ τοιούτου τοῦ τῇ ἐπικλήσει τοῦ Θεοῦ καλλωπιζομένου, καὶ τοῦτο ἀντὶ ὀνόματος κεκτημένου; Ὁρᾷς πῶς, ὅπερ ἐξ ἀρχῆς ἔλεγον, καὶ ἐν αὐταῖς ψιλαῖς ταῖς προσηγορίαις πολὺς ἐναπόκειται πλοῦτος νοημάτων; Οὐ μόνον γὰρ τῶν γονέων ἐντεῦθεν δείκνυται

τοῦ δημιουργοῦ' καὶ ποτὲ ἂς μὴ στενοχωροῦνται αἱ γυναῖκες, ὅταν δὲν γεννοῦν, ἀλλὰ ἂς καταφεύγουν εἰς τὸν δημιουργὸν τῆς φύσεως ἀποδεικνύουσαι ἀγαθὴν διάθεσιν, καὶ ἂς ζητοῦν ἀπὸ ἐκεῖνον, ποὺ εἶναι ὁ Κύριος τῆς φύσεως, καὶ ἂς μὴ ἀποδίδουν τὴν γέννησιν τῶν παιδιῶν οὔτε εἰς τὴν συνουσίαν τῶν συζύγων, οὔτε εἰς κάποιον ἄλλον, ἀλλὰ εἰς τὸν δημιουργὸν τῶν πάντων, ὁ ὁποῖος ἀπὸ τὸ μηδὲν ἔφερεν εἰς τὴν ζωὴν τὸ ἀνθρώπινον γένος καὶ ἠμπορεῖ νὰ τὸ διορθώσῃ πάλιν ὅταν παρουσιάζῃ κάποιαν ἀδυναμίαν. Ἐπειδὴ καὶ αὐτὴ τὴν ὑπόθεσιν τοῦ πένθους ἔκαμεν ἀφορμὴν δοξολογίας, καὶ εἰς τὸν Θεὸν ἀποδίδει τὰ πάντα, ὅταν λέγῃ, «μοῦ ἔδωσεν ὁ Θεὸς ἄλλο παιδὶ εἰς ἀντικατάστασιν τοῦ Ἄβελ, τὸν ὁποῖον ἐφόνευσεν ὁ Κάιν». Βλέπεις πῶς ὄχι μόνον δὲν ἐδυσανασχέτησεν, οὔτε εἶπε κάτι ὀδυνηρὸν (διότι δὲν θὰ τὸ παρέλιπεν ἡ Ἁγία Γραφή, ἐὰν βέβαια εἶχε λεχθῆ κάτι τέτοιο ἀπ' αὐτήν), ἀλλὰ φέρουσα γενναίως αὐτὸ ποὺ συνέβη, ἀξιώνεται γρήγορα τὴν παρηγορίαν, καὶ ἐπιδεικνύει μεγαλυτέραν εὐγνωμοσύνην, ἀναγνωρίζουσα τὴν εὐεργεσίαν τοῦ Θεοῦ; Πρόσεξε λοιπὸν μὲ πόσην γενναιοδωρίαν ἐπιδεικνύει τὴν ἀγάπην του. Διότι δὲν ἐχάρισεν μόνον ἄλλον υἱόν, ἀλλὰ καὶ προλέγει ἤδη ὅτι αὐτὸς θὰ εἶναι ἐνάρετος. «Ἐγέννησε λοιπόν, λέγει, καθ' ὁμοίωσιν αὐτοῦ καὶ κατ' εἰκόνα αὐτοῦ». Καὶ διὰ νὰ μάθωμεν ἀμέσως τὴν ἀρετὴν τοῦ γεννηθέντος, πρόσεξε ὅτι καὶ αὐτὸς πάλιν μὲ τὸ ὄνομα τοῦ παιδιοῦ, ποὺ ἐγεννήθη ἀπ' αὐτόν, ἀποδεικνύει τὴν θεοσεβῆ αὐτοῦ διάθεσιν. «Καὶ ὁ Σὴθ, λέγει, ἀπέκτησεν υἱὸν καὶ ὠνόμασεν αὐτὸν Ἐνώς. Ἤλπισεν ὅτι, αὐτὸς θὰ προσεύχεται εἰς τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ». Εἶδες ὀνομασίαν λαμπροτέραν ἀπὸ τὸ διάδημα τοῦ βασιλέως, ἀπαστράπτουσαν περισσότερον ἀπὸ τὴν πορφύραν; Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ εἶναι εὐτυχέστερον ἀπ' αὐτό, ποὺ καλλωπίζεται μὲ τὴν ἐπίκλησιν τοῦ Θεοῦ καὶ ἔχει αὐτὸ ἀντὶ ὀνόματος; Βλέπεις πῶς, ἐκεῖνο ποὺ ἀπὸ τὴν ἀρχὴν ἔλεγα, καὶ εἰς αὐτὰς τὰς ἁπλᾶς ὀνομασίας ὑπάρχει μέγας πλοῦτος νοημάτων; Διότι δὲν ἀποδεικνύεται ἀπ' αὐτὸ μόνον ἡ εὐσέβεια τῶν γονέων ἀλ-

τὸ φιλόθεον, ἀλλὰ καὶ ἡ πολλὴ περὶ τοὺς παῖδας αὐτῶν ἐπιμέλεια· καὶ ὅπως ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπαίδευον τὰ τικτόμενα παιδία διὰ τῆς προσηγορίας, ἣν αὐτοῖς ἐπετίθεσαν, τῆς ἀρετῆς ἀντέχεσθαι, καὶ οὐ καθάπερ οἱ νῦν ἁπλῶς καὶ ὡς ἔτυχε τὰς προσηγορίας ποιοῦνται. Εἰς τὸ ὄνομα, φησί, τοῦ πάππου, καὶ τοῦ ἐπιπάππου καλείσθω τὸ παιδίον· ἀλλ' οἱ παλαιοὶ οὐχ οὕτως, ἀλλὰ πᾶσαν σπουδὴν ἐποιοῦντο τοιαύτας προσηγορίας ἐπιτιθέναι τοῖς τικτομένοις, αἳ μὴ μόνον αὐτοὺς τοὺς τὴν προσηγορίαν δεχομένους εἰς ἀρετὴν ἐνῆγον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι καὶ ταῖς μετὰ ταῦτα γενεαῖς διδασκαλία φιλοσοφίας ἁπάσης ἐγίνοντο. Καὶ τοῦτο εἰσόμεθα κατὰ μικρὸν προϊόντος τοῦ λόγου. Μὴ τοίνυν μηδὲ ἡμεῖς τὰς τυχούσας προσηγορίας ἐπιτιθῶμεν τοῖς παισίν, μηδὲ τῶν πάππων, καὶ τῶν ἐπιπάππων, καὶ τῶν πρὸς γένος διαφερόντων τὰς ὀνομασίας αὐτοῖς χαριζώμεθα, ἀλλὰ τῶν ἁγίων ἀνδρῶν τῶν ἐν ἀρετῇ διαλαμψάντων, τῶν πολλὴν παρρησίαν πρὸς τὸν Θεὸν ἐσχηκότων· μᾶλλον δὲ μηδὲ ταῖς τούτων προσηγορίαις ἁπλῶς θαρρείτωσαν μήτε οἱ γονεῖς, μήτε οἱ παῖδες, οἱ τὰς προσηγορίας δεχόμενοι. Οὐδὲ γὰρ ὀνίνησί τι προσηγορία ἀρετῆς ἔρημος οὖσα, ἀλλὰ δεῖ ἐν τῇ κατορθώσει τῆς ἀρετῆς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, καὶ μήτε ἐπὶ προσηγορίᾳ μέγα φρονεῖν, μήτε ἐπὶ συγγενείᾳ τῶν ἁγίων ἀνδρῶν, μήτε ἐπ' ἄλλῳ μηδενί, ἀλλ' ἐπὶ τῇ τῶν οἰκείων ἔργων παρρησίᾳ· μᾶλλον δὲ μηδὲ ἐπὶ ταύτῃ ***μέγα φρονεῖν, ἀλλὰ*** *τότε μᾶλλον κατεστάλθαι καὶ μετριάζειν, ὅταν πολὺν τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγεῖν δυνηθῶμεν· οὕτω γὰρ καὶ αὐτοὶ μετὰ ἀσφαλείας τὸν συλλεγέντα πλοῦτον συνάξομεν, καὶ τὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν ἐπισπασόμεθα. Διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς, «Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν»· πανταχοῦ καταστέλλων αὐτῶν τὰ φρονήματα, καὶ πείθων μὲν μετριοφρονεῖν, καὶ μὴ ἐπαίρεσθαι*

3. Λουκᾶ 17, 10.

λὰ καὶ ἡ μεγάλη φροντίδα πρὸς τὰ παιδιά των· καὶ πῶς ἀμέσως ἀπὸ τὴν ἀρχὴν ἐδίδασκαν τὰ παιδιά των μὲ τὴν ὀνομασίαν, τὴν ὁποίαν ἔδιδον εἰς αὐτά, νὰ ἐπιδίδωνται εἰς τὴν ἀρετήν, καὶ ὄχι ὅπως δίδουν σήμερα οἱ ἄνθρωποι ἁπλῶς καὶ τυχαίως τὰς ὀνομασίας. Μὲ τὸ ὄνομα τοῦ πάππου, θὰ εἰπῇ κάποιος, καὶ τοῦ προπάππου ἂς ὀνομάζεται τὸ παιδί. Οἱ ἀρχαῖοι ὅμως δὲν ἔκαμαν ἔτσι, ἀλλὰ ἔκαμαν κάθε προσπάθειαν νὰ δίδουν εἰς τὰ παιδιά, ποὺ ἐγεννῶντο, τέτοια ὀνόματα, τὰ ὁποῖα δὲν ὠθοῦσαν μόνον αὐτοὺς ποὺ τὰ ἔφεραν εἰς τὴν ἀρετήν, ἀλλὰ καὶ εἰς ὅλους τοὺς ἄλλους καὶ εἰς τὰς μεταγενεστέρας γενεὰς ἐγίνοντο μάθημα ὅλης τῆς φιλοσοφίας. Καὶ αὐτὸ θὰ γνωρίσωμεν σιγὰ σιγὰ ὅταν θὰ προχωρῇ ἡ ὁμιλία. Ἂς μὴ δίδωμεν λοιπὸν οὔτε ἡμεῖς εἰς τὰ παιδιά μας τὰ τυχαῖα ὀνόματα, οὔτε τῶν πάππων καὶ τῶν προπάππων, καὶ ἂς μὴ χαρίζωμεν εἰς αὐτὰ τὰ ὀνόματα ἐκείνων, ποὺ διαφέρουν κατὰ τὴν καταγωγήν, ἀλλὰ τῶν ἁγίων ἀνδρῶν, οἱ ὁποῖοι διέπρεψαν κατὰ τὴν ἀρετὴν καὶ εἶχαν ἐπιδείξει μεγάλην παρρησίαν πρὸς τὸν Θεόν. Μᾶλλον δὲ ἂς μὴ ἐνθαρρύνωνται μόνον μὲ τὰς ὀνομασίας αὐτῶν οὔτε οἱ γονεῖς, οὔτε τὰ παιδιά, τὰ ὁποῖα δέχονται τὰς ὀνομασίας αὐτάς. Οὔτε βέβαια προσφέρει κάποιαν ὠφέλειαν τὸ ὄνομα, ὅταν στερῆται τὴν ἀρετήν, ἀλλὰ πρέπει νὰ στηρίζωμεν τὰς ἐλπίδας τῆς σωτηρίας εἰς τὴν ἐπίτευξιν τῆς ἀρετῆς καὶ οὔτε νὰ καυχώμεθα διὰ τὸ ὄνομα, οὔτε διὰ τὴν συγγένειαν μὲ ἁγίους ἄνδρας, οὔτε διὰ τίποτε ἄλλο, ἀλλὰ διὰ τὴν παρρησίαν τῶν ἰδικῶν μας ἔργων· μᾶλλον δὲ οὔτε δι' αὐτὴν πρέπει νὰ καυχώμεθα, ἀλλὰ τότε περισσότερον πρέπει νὰ εἴμεθα συγκρατημένοι καὶ μετριόφρονες, ὅταν θὰ ἠμπορέσωμεν νὰ συγκεντρώσωμεν πολὺν πλοῦτον τῆς ἀρετῆς. Ἔτσι λοιπὸν καὶ ἡμεῖς οἱ ἴδιοι θὰ φυλάξωμεν μὲ ἀσφάλειαν τὸν συγκεντρωθέντα πλοῦτον καὶ θὰ ἀποσπάσωμεν τὴν εὔνοιαν τοῦ Θεοῦ. Διὰ τοῦτο βέβαια καὶ ὁ Χριστὸς ἔλεγεν εἰς τοὺς μαθητάς του, «Ὅταν κάμετε ὅλα, πρέπει νὰ λέγετε, ὅτι εἴμεθα δοῦλοι ἀχρηστοι»[3], συγκρατῶν παντοῦ τὰς σκέψεις των καὶ πείθων μὲν αὐτοὺς νὰ εἶναι μετριόφρονες καὶ νὰ μὴ καυχῶν-

ἐπὶ κατορθώμασιν, ἀλλ' εἰδέναι ὡς ἡ μεγίστη ἀρετὴ αὕτη μάλιστα πάντων ἐστὶ τὸ ἐν κατορθώμασιν ὄντα τινὰ μετριάζειν.

5. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν πάλιν ἐπανέλθωμεν τοῦ λόγου, καὶ ἴδωμεν τοὺς ἑξῆς τεχθέντας. Εἰκὸς γὰρ κατὰ μικρὸν προϊόντας μείζονα θησαυρὸν εὑρεῖν, καὶ πολὺν καὶ ἄφατον πλοῦτον. «Καὶ ἔζησε», φησίν, «Ἐνώς, οὗτος ὁ τοῦ Σὴθ υἱός, ἔτη ἑκατὸν ἐνενήκοντα, καὶ ἐγέννησε τὸν Καϊνᾶν, καὶ Καϊνᾶν ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Ἰαρέδ, καὶ Ἰαρὲδ ἐγέννησε τὸν Ἐνώχ. Καὶ ἔζησεν Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα. Εὐηρέστησε δέ, φησί, τῷ Θεῷ Ἐνώχ, καὶ ἔζησεν Ἐνὼχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα ἔτη διακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἐγένοντο αἱ ἡμέραι Ἐνὼχ ἔτη τριακόσια ἑξήκοντα πέντε. Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός». Οὐ καλῶς ἔλεγον, ὅτι προϊόντες πολὺν καὶ ἄφατον εὑρήσομεν πλοῦτον πνευματικὸν ἐν τούτοις τοῖς ὀνόμασιν; Ἐννόει γάρ μοι ἐνταῦθα, ἀγαπητέ, καὶ τοῦ δικαίου τὴν ἀρετήν, καὶ τοῦ ἀγαθοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν. «Ἔζησε», φησίν, «Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα, καὶ εὐηρέστησε, φησίν, Ἐνὼχ τῷ Θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα». Ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες, καὶ παιδευέσθωσαν τοῦ δικαίου τὴν ἀρετήν, καὶ μὴ νομιζέτωσαν τὸν γάμον κώλυμα εἶναι πρὸς τὴν εὐαρέστησιν τὴν πρὸς τὸν Θεόν. Διὰ γὰρ τοῦτο καὶ ἅπαξ καὶ δεύτερον ἐπεσημήνατο λέγουσα ἡ θεία Γραφή, ὅτι ἐγέννησε τὸν Μαθουσάλα, καὶ τότε εὐηρέστησε, καὶ πάλιν τὸ αὐτὸ ἐδιπλασίασε λέγουσα, «Καὶ εὐηρέστησε μετὰ τὸ γεννῆσαι αὐτὸν», ἵνα μή τις νομίσῃ ἐμποδίζεσθαι πρὸς τὴν ταύτης κατόρθωσιν. Ἐὰν γὰρ νήφωμεν, οὔτε γάμος, οὔτε ἀνατροφή, οὔτε ἕτερόν τι ἐμπο-

ται διὰ τὰ κατορθώματά των, ἀλλὰ νὰ γνωρίζουν, ὅτι ἡ μεγίστη ἀρετὴ αὐτὴ εἶναι, τὸ νὰ εἶναι προπάντων κανεὶς μετριόφρων, ὅταν εὑρίσκεται ἀνάμεσα εἰς τὰ κατορθώματά του.

5. Ἀλλὰ ἂς ἐπανέλθωμεν πάλιν εἰς τὴν συνέχειαν τῆς ὁμιλίας καὶ ἂς γνωρίσωμεν ἐκείνους, ποὺ ἐγεννήθησαν ἔπειτα. Διότι εἶναι φυσικόν, σιγὰ σιγὰ ὅταν προχωροῦμεν, νὰ εὑροῦμεν μεγαλύτερον θησαυρὸν καὶ πλοῦτον πολὺν καὶ ἀπερίγραπτον. «Καὶ ἔζησε, λέγει ἡ Γραφή, ὁ Ἐνώς, αὐτὸς ὁ υἱὸς τοῦ Σήθ, ἑκατὸν ἐνενήντα ἔτη καὶ ἐγέννησε τὸν Καϊνᾶν, καὶ Καϊνᾶν ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Ἰαρέδ, καὶ Ἰαρὲδ ἐγέννησε τὸν Ἐνώχ. Καὶ ἔζησεν ὁ Ἐνὼχ ἑκατὸν ἐξήντα πέντε ἔτη, καὶ ἐγέννησε τὸν Μαθουσάλα. Καὶ ηὐχαρίστησε, λέγει, ὁ Ἐνὼχ τὸν Θεόν, καὶ ἔζησεν ὁ Ἐνὼχ μετὰ ἀπὸ τὴν γέννησιν τοῦ Μαθουσάλα διακόσια ἔτη, καὶ ἀπέκτησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἔζησε συνολικὰ ὁ Ἐνὼχ τριακόσια ἐξήντα πέντε ἔτη. Καὶ ἦτο εὐάρεστος ὁ Ἐνὼχ εἰς τὸν Θεὸν καὶ δὲν εὑρίσκετο, διότι ὁ Θεὸς μετέθεσεν αὐτόν». Δὲν ἔλεγα ὀρθῶς ὅτι καθὼς προχωροῦμεν θὰ εὑροῦμεν πολὺν καὶ ἀπερίγραπτον πνευματικὸν πλοῦτον εἰς αὐτὰ τὰ ὀνόματα; Πρόσεχε λοιπὸν ἐδῶ, σὲ παρακαλῶ ἀγαπητέ, καὶ τὴν ἀρετὴν τοῦ δικαίου καὶ τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ ἀγαθοῦ Θεοῦ καὶ τὴν ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς. «Ἔζησε, λέγει, ὁ Ἐνὼχ ἑκατὸν ἐξήντα πέντε ἔτη καὶ ἐγέννησε τὸν Μαθουσάλα, καὶ ηὐχαρίστησε, λέγει, ὁ Ἐνὼχ τὸν Θεὸν μετὰ ἀπὸ τὴν γέννησιν τοῦ Μαθουσάλα». Ἂς ἀκούουν καὶ ἄνδρες καὶ γυναῖκες καὶ ἂς διδάσκωνται τὴν ἀρετὴν τοῦ δικαίου καὶ ἂς μὴ θεωροῦν ὅτι ὁ γάμος εἶναι ἐμπόδιον διὰ τὴν εὐαρέστησιν πρὸς τὸν Θεόν. Διὰ τοῦτο λοιπὸν καὶ διὰ πρώτην καὶ διὰ δευτέραν φορὰν ἐπεσήμανεν ἡ Ἁγία Γραφὴ λέγουσα, ὅτι ἐγέννησε τὸν Μαθουσάλα, καὶ τότε ἔγινεν εὐάρεστος, καὶ πάλιν τὸ αὐτὸ ἐπανέλαβε λέγουσα, «Καὶ ἔγινεν εὐάρεστος μετὰ ἀπὸ τὴν γέννησιν τοῦ Μαθουσάλα», διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ἐμποδίζεται διὰ τὴν ἐπίτευξιν τῆς ἀρετῆς. Διότι ἐὰν εἴμεθα προσεκτικοί, οὔτε ὁ γάμος,

δίσαι ἡμῖν δυνήσεται εἰς τὴν εὐαρέστησιν τὴν πρὸς τὸν Θεόν. Ἰδοὺ γὰρ καὶ οὗτος τῆς αὐτῆς ἡμῖν φύσεως τυγχάνων, καὶ οὔτε νόμου δοθέντος, οὔτε Γραφῶν κειμένων τῶν διδασκουσῶν, οὔτε ἑτέρου τινὸς εἰς φιλοσοφίαν ἐνάγοντος, οἴκοθεν καὶ ἀπὸ προαιρέσεως τοσαύτην ἐπεδείξατο τὴν εὐαρέστησιν, ὡς μέχρι τῆς σήμερον διαρκέσαι, καὶ μηδέπω καὶ νῦν πεῖραν θανάτου λαβεῖν. Εἰ γὰρ ὁ γάμος, ἀγαπητέ, καὶ ἡ παιδοτροφία κώλυμα ἤμελλε γίνεσθαι πρὸς τὴν τῆς ἀρετῆς ὁδόν, οὐκ εἰσήνεγκε γάμον εἰς τὸν βίον τὸν ἡμέτερον ὁ τῶν ὅλων δημιουργός, ἵνα μὴ ἐν τοῖς καιρίοις καὶ σφόδρα ἀναγκαιοτέροις ἡμᾶς λυμήνηται. Ἀλλ' ἐπειδὴ οὐ μόνον οὐδὲν ἡμῖν ἐμποδίζει πρὸς τὴν κατὰ Θεὸν φιλοσοφίαν, ἐὰν βουλώμεθα νήφειν, ἀλλὰ καὶ πολλὴν ἡμῖν εἰσάγει τὴν παραμυθίαν μαινομένην τὴν φύσιν καταστέλλουσα, καὶ οὐκ ἀφιεῖσα πελάγιον σαλεύειν, ἀλλὰ διηνεκῶς ἐν λιμένι τὸ σκάφος ὁρμᾶν παρασκευάζουσα, διὰ τοῦτο τὴν ἐντεῦθεν παραμυθίαν ἐχαρίσατο τῷ τῶν ἀνθρώπων γένει. Ὅτι γὰρ ἀληθῆ τὰ παρ' ἡμῶν λεγόμενα, δείκνυσιν ὁ δίκαιος οὗτος. «Μετὰ γὰρ τὸ γεννῆσαι», φησί, «τὸν Μαθουσάλα, εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ», καὶ οὐ βραχύν τινα ἀριθμὸν διήρκεσε τὴν ἀρετὴν μετιών, ἀλλά, φησί, διακόσια ἔτη. Καὶ ἐπειδὴ μετὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν εὑρέθη ἄνθρωπος πρὸς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς ἀνιών, καὶ τὴν τοῦ προπάτορος ἁμαρτίαν ἀνακαλούμενος διὰ τῆς οἰκείας εὐαρεστήσεως, ὅρα τοῦ ἀγαθοῦ Θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν. Ἐπειδὴ εὗρε δυνηθέντα ἀνακαλέσασθαι τὸ ἁμάρτημα τοῦ Ἀδάμ, δεικνὺς δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ βουλόμενος τὸν θάνατον ἐπαγαγεῖν τῷ γένει τῷ ἡμετέρῳ διὰ τὴν τῆς ἐντολῆς παράβασιν, τοῦτον κατεδίκασε, τὸν τὴν ἐντολὴν δεξάμενον, τοῦτον ζῶντα μεθίστησι. «Καὶ εὐηρέστησε», φησίν, «Ἐνὼχ τῷ Θεῷ, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός».

4. Ἀπὸ τὴν γέννησιν δηλαδὴ καὶ τὴν ἀνατροφὴν τῶν παιδιῶν.

οὔτε ἡ ἀνατροφὴ τῶν παιδιῶν, οὔτε τίποτε ἄλλο θὰ ἠμπορέση νὰ μᾶς ἐμποδίση εἰς τὴν εὐαρέστησιν πρὸς τὸν Θεόν. Διότι ἰδοὺ καὶ αὐτός, ἐνῷ εἶναι τῆς αὐτῆς φύσεως μὲ ἡμᾶς καὶ χωρὶς νὰ ἔχη δοθῆ ὁ νόμος, χωρὶς νὰ ὑπάρχη ἡ διδασκαλία τῶν Γραφῶν, οὔτε κάποιος ἄλλος ποὺ νὰ τὸν ὁδηγῆ εἰς τὴν φιλοσοφίαν, μόνος του καὶ κατὰ τὴν προαίρεσίν του ἐπέδειξε τόσην εὐαρέστησιν, ὥστε νὰ διαρκέση μέχρι σήμερα καὶ ποτὲ μέχρι τώρα νὰ μὴ γνωρίση τὸν θάνατον. Ἂν λοιπὸν ὁ γάμος, ἀγαπητέ, καὶ ἡ ἀνατροφὴ τῶν παιδιῶν ἐπρόκειτο νὰ γίνουν ἐμπόδιον εἰς τὸν δρόμον τῆς ἀρετῆς, δὲν θὰ εἰσήγαγε τὸν γάμον εἰς τὴν ζωήν μας ὁ δημιουργὸς τῶν ὅλων, διὰ νὰ μὴ μᾶς βλάψη εἰς τὰ σπουδαῖα καὶ πάρα πολὺ ἀναγκαιότερα ζητήματα. Ἐπειδὴ ὅμως ὄχι μόνον δὲν μᾶς ἐμποδίζει καθόλου εἰς τὴν κατὰ Θεὸν ζωήν, ἐὰν θέλωμεν νὰ εἴμεθα προσεκτικοί, ἀλλὰ καὶ εἰσάγει μέσα μας μεγάλην παρηγορίαν, ἡ ὁποία καταστέλλει τὴν μαινομένην φύσιν καὶ δὲν ἀφήνει τὸ σκάφος νὰ ταλαντεύεται εἰς τὸ πέλαγος, ἀλλὰ διαρκῶς τὸ προετοιμάζει νὰ κατευθύνεται εἰς τὸ λιμάνι, διὰ τοῦτο ἐχάρισεν ἀπὸ ἐκεῖ[4] τὴν παρηγορίαν εἰς τὸ ἀνθρώπινον γένος. Ὅτι βέβαια εἶναι ἀληθινὰ τὰ λεγόμενά μου, ἀποδεικνύει ὁ δίκαιος αὐτός. «Μετὰ ἀπὸ τὴν γέννησιν, λέγει, τοῦ Μαθουσάλα ἔγινεν εὐάρεστος ὁ Ἐνὼχ εἰς τὸν Θεόν», καὶ δὲν ἤσκησεν ἐπ' ὀλίγον μόνον χρόνον τὴν ἀρετήν, ἀλλά, λέγει, διακόσια ἔτη. Καὶ ἐπειδὴ μετὰ τὴν παράβασιν τοῦ πρωτοπλάστου εὑρέθη ἄνθρωπος νὰ ἀνέρχεται εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς καὶ νὰ ἀνακαλῆ τὴν ἁμαρτίαν τοῦ προπάτορος μὲ τὴν ἰδικήν του εὐαρέστησιν, πρόσεχε τὴν ὑπερβολικὴν φιλανθρωπίαν τοῦ ἀγαθοῦ Θεοῦ. Ἐπειδὴ εὗρεν ἐκεῖνον ποὺ ἠμπόρεσε νὰ ἀνακαλέση τὸ ἁμάρτημα τοῦ Ἀδάμ, ἀποδεικνύων μὲ αὐτὰ τὰ πράγματα, ὅτι χωρὶς νὰ θέλη νὰ εἰσαγάγη τὸν θάνατον εἰς τὸ ἀνθρώπινον γένος ἐξ αἰτίας τῆς παραβάσεως τῆς ἐντολῆς, κατεδίκασεν ἐκεῖνον, ποὺ ἐδέχθη τὴν ἐντολήν, αὐτὸν μεταφέρει ζῶντα εἰς τοὺς οὐρανούς. «Καὶ ἔγινεν εὐάρεστος, λέγει, ὁ Ἐνὼχ εἰς τὸν Θεὸν καὶ δὲν εὑρίσκετο, διότι μετέθεσεν αὐτὸν ὁ Θεὸς εἰς τοὺς οὐ-

Ὁρᾶς σοφίαν Δεσπότου; Μετέθηκε ζῶντα, οὐχὶ ἀθανασίαν ἐχαρίσατο, ἵνα μὴ ἐκλύσῃ τοῦ πλημμελήματος τὸν φόβον, ἀλλ' ἀφῆκεν ἀκμάζειν τῷ τῶν ἀνθρώπων γένει. Διὰ τοῦτο πάλιν ἀμυδρῶς, ὡς εἰπεῖν, καὶ λανθανόντως ἀνακαλέσασθαι βούλεται τὴν ἀπόφασιν, ἣν κατὰ τοῦ Ἀδὰμ ἐξήνεγκε. Ἀλλ' οὐ ποιεῖ αὐτὸ φανερόν, ἵνα ὁ φόβος ἀντὶ σωφρονισμοῦ γένηται. Διὰ τοῦτο εὐαρεστήσαντα τὸν Ἐνὼχ μετέθηκεν. Εἰ δέ τις βούλοιτο περιεργάζεσθαι, καὶ λέγειν, καὶ ποῦ αὐτὸν μετέθηκε; καὶ εἰ μέχρι τοῦ παρόντος διήρκεσε; μανθανέτω μὴ λογισμοῖς ἀνθρωπίνοις κατακολουθεῖν, καὶ τὰ περὶ τοῦ Θεοῦ πολυπραγμονεῖν, ἀλλὰ πιστεύειν τοῖς λεγομένοις. Ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηταί τι, οὐ δεῖ ἀντιβλέπειν τοῖς ῥηθεῖσιν, ἀλλὰ τὰ παρὰ τοῦ Θεοῦ λεγόμενα ἀξιοπιστότερα ἡγεῖσθαι, κἂν μὴ φαίνηται, τῶν ὑπὸ τοῖς ὀφθαλμοῖς κειμένων τοῖς ἡμετέροις. Ὅτι γὰρ μετέθηκεν αὐτὸν εἶπεν ἡ θεία Γραφή, καὶ ὅτι ζῶντα μετέθηκε, καὶ πεῖραν μὴ λαβόντα θανάτου, ἀλλὰ διὰ τῆς οἰκείας εὐαρεστήσεως ἀνώτερον γεγονότα τῆς ἐξενεχθείσης ἀποφάσεως κατὰ τοῦ τῶν ἀνθρώπων γένους. Ποῦ δὲ αὐτὸν μετέθηκεν, καὶ ὅπως νῦν διάγει, τοῦτο οὐ προσέθηκεν.

6. Εἶδες ἀγαθότητα Δεσπότου, πῶς εὑρὼν ἄνδρα τὴν ἀρετὴν κατωρθωκότα, οὐκ ἀπεστέρησεν αὐτὸν τῆς ἀξίας, ἣν τῷ πρωτοπλάστῳ ἐχαρίσατο πρὸ τῆς παραβάσεως τῆς ἐντολῆς, διδάσκων ἡμᾶς, ὅτι κἀκεῖνος, εἰ μὴ τὴν ἀπάτην προετίμησε τῆς δοθείσης ἐντολῆς, τῶν αὐτῶν ἂν ἠξίωτο ἢ καὶ μειζόνων; «Καὶ ἔζησε», φησί, «Μαθουσάλα ἔτη ἑκατὸν ὀγδοήκοντα ἑπτά, καὶ ἐγέννησε τὸν Λάμεχ· καὶ ἔζησε Λάμεχ ἔτη ἑκατὸν ὀγδοήκοντα, καὶ ἐγέννησεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Νῶε, λέγων· οὗτος δὴ ἀναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ τῶν λυπηρῶν τῶν χειρῶν ἡμῶν, καὶ

ρανούς». Βλέπεις τὴν σοφίαν τοῦ Θεοῦ; Τὸν μετέφερε ζωντανόν, δὲν ἐχάρισε τὴν ἀθανασίαν, διά νά καταργήσῃ τὸν φόβον τῆς ἁμαρτίας, ἀλλὰ ἄφησεν αὐτόν νά ἀκμάζῃ εἰς τό γένος τῶν ἀνθρώπων. Διὰ τοῦτο πάλιν ἀμυδρῶς, κατὰ κάποιον τρόπον, καὶ χωρὶς νὰ γίνεται ἀντιληπτὸν ἐπιθυμεῖ νὰ ἀνακαλέσῃ τὴν ἀπόφασιν, τὴν ὁποίαν ἔλαβεν ἐναντίον τοῦ Ἀδάμ. Ὅμως δὲν καθιστᾷ αὐτὸ φανερόν, διὰ νὰ ὑπάρχῃ ὁ φόβος ἀντὶ σωφρονισμοῦ. Διὰ τοῦτο μετέθεσε τὸν Ἐνώχ, ὁ ὁποῖος τὸν εὐηρέστησε. Καὶ ἐάν θά ἤθελε κανεὶς νὰ ἐρωτᾷ μὲ περιέργειαν καὶ νὰ λέγῃ, καὶ ποὺ μετέθεσεν αὐτόν; καὶ ἐὰν μέχρι τώρα διετήρησε τὴν ζωήν του; ἂς πληροφορηθῇ ὅτι δὲν πρέπει νά ἀκολουθῇ πιστὰ τὰς ἀνθρωπίνας σκέψεις καὶ νὰ μὴ περιεργάζεται τὰς ἐνεργείας τοῦ Θεοῦ, ἀλλὰ νά πιστεύῃ εἰς τά λεγόμενα. Διότι ὅταν ὁ Θεός ἀποκαλύπτῃ κάτι, δὲν πρέπει νά ἀντιλέγῃ εἰς τὰ λεχθέντα, ἀλλὰ νά θεωρῇ περισσότερον ἀξιόπιστα τὰ λεγόμενα ἀπὸ τὸν Θεόν, καὶ ἂν ἀκόμη δὲν φαίνωνται, ἀπὸ ὅσα βλέπομεν μὲ τὰ ἰδικά μας μάτια. Διότι ἡ Ἁγία Γραφὴ εἶπεν ὅτι μετέθεσεν αὐτὸν καὶ ὅτι ζωντανὸν τόν μετέθεσε καὶ δὲν ἐγνώρισε τὸν θάνατον, ἀλλὰ μὲ τὴν ἰδικήν του εὐαρέστησιν ἔχει γίνει ἀνώτερος ἀπὸ τὴν ληφθεῖσαν ἀπόφασιν ἐναντίον τοῦ ἀνθρωπίνου γένους. Ποῦ ὅμως μετέθεσεν αὐτόν καὶ πῶς τώρα ζῇ, αὐτὸ δὲν ἐπρόσθεσεν.

6. Εἶδες τὴν ἀγαθότητα τοῦ Θεοῦ, πῶς ὅταν εὗρεν ἄνδρα, ὁ ὁποῖος ἔχει κατορθώσει τὴν ἀρετήν, δὲν τοῦ ἐστέρησε τὴν ἀξίαν, τὴν ὁποίαν ἐχάρισεν εἰς τό πρωτόπλαστον πρὶν ἀπὸ τὴν παράβασιν τῆς ἐντολῆς, διὰ νὰ μᾶς διδάσκῃ, ὅτι καὶ ἐκεῖνος, ἐὰν δὲν ἐπροτιμοῦσε τὴν ἀπάτην ἀπὸ τὴν ἐντολήν, ποὺ τοῦ ἐδόθη, θὰ ἐκρίνετο ἄξιος δι' αὐτὰ ἢ καὶ διὰ μεγαλύτερα ἀγαθά; «Καὶ ἔζησε, λέγει, ὁ Μαθουσάλα ἑκατὸν ὀγδόντα ἑπτὰ ἔτη καὶ ἐγέννησε τὸν Λάμεχ· καὶ ἔζησεν ὁ Λάμεχ ἑκατὸν ὀγδόντα ἔτη καὶ ἐγέννησεν υἱὸν καὶ ὠνόμασεν αὐτὸν Νῶε λέγων· αὐτὸς λοιπὸν θά μᾶς ἀνακουφίσῃ ἀπὸ τὰ ἔργα μας καὶ ἀπὸ τὸν κόπον τῶν χεριῶν μας καὶ ἀπὸ τὴν γῆν, τὴν ὁποίαν κατηράσθη Κύριος

ἀπὸ τῆς γῆς, ἧς κατηράσατο Κύριος ὁ Θεός». Ὅρα πάλιν διὰ τῆς προσηγορίας τοῦ νῦν τεχθέντος ὑπὸ τοῦ Λάμεχ μυστηρίων τὸ μέγεθος, καὶ προρρήσεως ὑπερβολήν, καὶ φιλανθρωπίαν ἄφατον τοῦ ἀγαθοῦ Θεοῦ. Ἐπειδὴ γὰρ τῇ οἰκείᾳ προγνώσει τὰ μέλλοντα προεώρα, ἰδὼν τὴν κακίαν τῶν ἀνθρώπων αὐξανομένην, προλέγει διὰ τῆς τοῦ παιδὸς προσηγορίας τὰ μέλλοντα καταλήψεσθαι κακὰ ἅπαν τὸ τῶν ἀνθρώπων γένος, ἵνα κἂν τῷ φόβῳ σωφρονισθέντες ἀπόσχωνται τῆς κακίας, ἕλωνται δὲ τὴν ἀρετήν. Καὶ ὅρα μακροθυμίαν Δεσπότου, πρὸ πόσου χρόνου τὴν πρόρρησιν γενέσθαι ποιεῖ, ἵνα καὶ τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ πάσης ἀπολογίας ἀποστερήσῃ τοὺς τὴν τιμωρίαν μέλλοντας δέχεσθαι. Ἀλλ' ἴσως ἄν τις εἴποι, καὶ πόθεν τῷ Λάμεχ τὸ τοσοῦτον μέγεθος τῆς προρρήσεως; μὴ γὰρ μέμνηται ἡ Γραφή, ὅτι ἐνάρετός τις ἦν καὶ θαυμαστός; Μὴ ξενισθῇς, ἀγαπητέ· σοφὸς γὰρ ὢν καὶ εὐμήχανος ὁ Δεσπότης, καὶ δι' ἀναξίων πολλάκις συγχωρεῖ προλέγεσθαι θαυμαστὰ καὶ μεγάλα πράγματα, καὶ οὐκ ἐν τῇ Παλαιᾷ μόνον τοῦτο, ἀλλὰ καὶ ἐν τῇ Καινῇ. Ἄκουε γὰρ τοῦ εὐαγγελιστοῦ περὶ τοῦ Καϊάφα τοῦ τῶν Ἰουδαίων ἀρχιερέως λέγοντος· «Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν, ὅτι ἤμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν, οὐχ ὑπὲρ τοῦ λαοῦ μόνον, ἀλλ' ἵνα καὶ τὰ ἔθνη τὰ ἐσκορπισμένα συναγάγῃ εἰς ἕν». Εὑρήσεις τοιοῦτόν τι πάλιν καὶ ἐπὶ τοῦ Βαρλαὰμ γινόμενον. Κληθεὶς γὰρ ὥστε καταράσασθαι τὸν λαόν, οὐ μόνον οὐ κατηράσατο, ἀλλὰ καὶ προεφήτευσε μεγάλα καὶ θαυμαστὰ πράγματα, οὐ περὶ τοῦ λαοῦ μόνον, ἀλλὰ καὶ περὶ τῆς τοῦ Σωτῆρος ἐπιδημίας. Μὴ τοίνυν ξενίζου, εἰ καὶ νῦν ὁ Λάμεχ προσηγορίαν ἐπιθεὶς τῷ παιδὶ τοιαύτην ἐπιτίθησιν, ἀλλὰ τῷ Θεῷ

---

5. Ἰω. 11, 51 - 52.

6. Βαλαάμ· υἱὸς Βεὼρ ἀπὸ τὴν Μεσοποταμίαν. Προεῖπε τὴν προέλευσιν ἀπὸ τοὺς Ἑβραίους κάποιου σπουδαίου προσώπου, ποὺ παρωμοίασε μὲ ἄστρον (Ἀρ. 24, 17). Εἰς τὴν προφητείαν αὐτὴν ἐδόθη μεσσιανικὸν νόημα. Εἰς τὴν Κ. Διαθήκην ἀναφέρεται εἰς Β΄ Πέτρ. 2, 15· Ἰούδα 11, Ἀποκ. 2, 14.

ὁ Θεός». Πρόσεχε πάλιν μὲ τὴν ὀνομασίαν τοῦ υἱοῦ, ποὺ ἐγεννήθη τώρα ἀπὸ τὸν Λάμεχ, τὸ μέγεθος τῶν μυστηρίων καὶ τὴν μεγάλην δύναμιν τῆς προφητείας καὶ τὴν ἀνέκφραστον φιλανθρωπίαν τοῦ Παναγάθου Θεοῦ. Ἐπειδὴ βεβαίως προέβλεπε τὰ μέλλοντα μὲ τὴν ἰδικήν του ἐκ τῶν προτέρων γνῶσιν, ἀφοῦ εἶδεν ὅτι αὐξάνεται ἡ κακία τῶν ἀνθρώπων, προλέγει μὲ τὴν ὀνομασίαν τοῦ παιδιοῦ τά κακά, ποὺ πρόκειται νὰ ἐπιπέσουν εἰς ὅλον τὸ ἀνθρώπινον γένος, διὰ νὰ ἀπομακρύνωνται ἀπὸ τὴν κακίαν ἀφοῦ συνετισθοῦν τουλάχιστον ἀπὸ τὸν φόβον, καὶ νὰ προτιμοῦν τὴν ἀρετήν. Καὶ πρόσεξε τὴν μακροθυμίαν τοῦ Θεοῦ, πρὶν ἀπὸ πόσον χρόνον κάμει τὴν προφητείαν, διὰ νὰ ἐπιδείξῃ καὶ τὴν ἰδικήν του φιλανθρωπίαν καὶ νὰ στερήσῃ ἀπὸ κάθε ἀπολογίαν ἐκείνους ποὺ πρόκειται νὰ δεχθοῦν τὴν τιμωρίαν. Ἴσως ὅμως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, καὶ ἀπὸ ποῦ εἰς τὸν Λάμεχ τὸ τόσον μέγεθος τῆς προφητείας; μήπως λοιπὸν μνημονεύει ἡ Γραφὴ ὅτι ἦτο ἄνθρωπος ἐνάρετος καὶ θαυμαστός; Μὴ παραξενεύεσαι, ἀγαπητέ· ἐπειδὴ βεβαίως ὁ Θεὸς εἶναι σοφὸς καὶ ἐπινοητικός, ἐπιτρέπει πολλάς φοράς νὰ προλέγωνται ἀξιοθαύμαστα καὶ μεγάλα πράγματα καὶ διὰ μέσου ἀναξίων ἀνθρώπων· καὶ δὲν συμβαίνει αὐτὸ μόνον εἰς τὴν Παλαιάν, ἀλλὰ καὶ εἰς τὴν Καινὴν Διαθήκην. Ἄκουσε λοιπὸν τὸν εὐαγγελιστήν, ὁ ὁποῖος λέγει διὰ τὸν Καϊάφα, τὸν ἀρχιερέα τῶν Ἰουδαίων· «Τοῦτο δὲ δὲν τὸ εἶπεν ἀπὸ τὸν ἑαυτόν του, ἀλλ' ἐπειδὴ ἦτο ἀρχιερεὺς ἐκείνου τοῦ ἔτους, ἐπροφήτευσεν, ὅτι ὁ Ἰησοῦς ἐπρόκειτο νὰ ἀποθάνῃ, ὄχι μόνον διὰ τὴν σωτηρίαν τοῦ ἰουδαϊκοῦ λαοῦ, ἀλλὰ καὶ διὰ νὰ συναθροίσῃ εἰς ἕνα ποίμνιον τοὺς διασκορπισμένους ἐθνικούς»[5]. Θὰ εὕρῃς κάτι παρόμοιον πάλιν καὶ εἰς τὸν Βαλαὰμ[6] νὰ ἔγινε. Διότι ὅταν ἐκλήθη νὰ καταρασθῇ τὸν λαόν, ὄχι μόνον δὲν κατηράσθη, ἀλλὰ καὶ ἐπροφήτευσε μεγάλα καὶ θαυμαστὰ πράγματα, ὄχι μόνον διὰ τὸν λαόν, ἀλλὰ καὶ διὰ τὴν ἔλευσιν τοῦ Σωτῆρος. Μὴ παραξενεύεσαι λοιπόν, ἐὰν καὶ τώρα ὁ Λάμεχ, ὅταν δίδῃ τὴν ὀνομασίαν εἰς τὸ παιδί, δίδῃ τέτοιαν ὀνομασίαν, ἀλλὰ νὰ ἀποδώσῃς τὰ πάντα εἰς Θεόν, ὁ ὁποῖ-

λόγισαι τὸ πᾶν τῷ διὰ τῆς εὐμηχάνου αὐτοῦ σοφίας πάντα οἰκονομοῦντι. Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νῶε· ἑρμηνεύεται γὰρ αὐτοῦ τὸ ὄνομα ἀνάπαυσις. Τὴν οὖν πανωλεθρίαν ἐκείνην, τὴν μετὰ τοσούτων ἐτῶν ἀριθμὸν συμβήσεσθαι μέλλουσαν ἀνάπαυσιν καλεῖ· καθάπερ καὶ Ἰώβ φησι· «Θάνατος ἀνδρὶ ἀνάπαυσις». Ἐπειδὴ γὰρ πολὺν καὶ σφόδρα μέγαν ἔχει τὸν κάματον ἡ κακία, τὴν ταύτης ἀποχὴν καὶ τὴν ἀναίρεσιν, ἣν διὰ τοῦ κλυδωνίου ἐκείνου ἔμελλον ὑφίστασθαι, ἀνάπαυσιν καλεῖ. «Καὶ ἐκάλεσε», φησί, «τὸ ὄνομα αὐτοῦ Νῶε». Εἶτα ἑρμηνεύων ἡμῖν τοῦ ὀνόματος τὴν προσηγορίαν, φησίν· Οὗτος δὲ ἀναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν· ἀπὸ τῆς κακίας, φησίν, ἀποστήσει, «Καὶ ἀπὸ τῶν λυπηρῶν τῶν χειρῶν ἡμῶν»· καὶ πάλιν τὸ αὐτό, ἀπὸ τῶν πράξεων, φησί, τῶν πονηρῶν. Οὐδὲ γὰρ ἐπειδὴ αἱ χεῖρες ἐλυποῦντο, οὕτω τοῦτό φησιν, ἀλλ' ἐπειδὴ διὰ τῆς τούτων ἐργασίας καὶ τῆς πονηρᾶς πράξεως τὰ τῆς λύπης αὐτοῖς ηὔξετο. «Καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο Κύριος ὁ Θεός». Ἐλευθερώσει ἡμᾶς πάντων, φησί, τῶν ἐπικειμένων κακῶν, καὶ τοῦ περὶ τὴν γῆν πονεῖσθαι καὶ ταλαιπωρεῖσθαι τὴν κατάραν δεξαμένην διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν. Ἐννόει γάρ μοι λοιπόν, ἀγαπητέ, πῶς τὸ παιδίον τοῦτο κατὰ μικρὸν αὐξανόμενον διδασκαλίας ὑπόθεσις ἅπασι τοῖς ὁρῶσιν ἐγίνετο. Μόνον γάρ τις ἐπυνθάνετο τοῦ παιδίου τὴν προσηγορίαν, καὶ εὐθέως ἡ ἑρμηνεία τῆς προσηγορίας ἐδίδασκε τῶν μελλόντων συμβήσεσθαι τὸν ὄλεθρον. Εἰ μὲν γάρ τις ἁπλῶς εἶπεν ἐνηχηθείς, ὅτι τόδε ἔσται, κἂν λήθῃ παραδοθῇ τὸ ῥηθέν, καὶ οὐκ ἂν πάντες ἐγίνωσκον τῆς τιμωρίας τὸ ἀφόρητον· νυνὶ δὲ οὗτος ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς στρεφόμενος, εὐκαίρως, ἀκαίρως ὑπόμνησις ἐγίνετο τῆς τοῦ Θεοῦ ἀγανακτήσεως. Καὶ ἵνα μάθωμεν ἀκριβῶς ἐπὶ πόσον χρόνον διήρκεσεν ὁ υἱὸς διὰ τῆς προσηγορίας τῆς ἑαυτοῦ πᾶσι παραινῶν ἀποστῆναι μὲν τῆς κακίας, ἑλέσθαι δὲ τὴν ἀρετήν, καὶ διαφυγεῖν τὴν τοσαύτην ἀγανάκτησιν, φησί·

7. Ἰώβ 3, 23.

ος ρυθμίζει τά πάντα μέ τήν ἐπινοητικήν του πανσοφίαν. Καί ὠνόμασεν αὐτόν Νῶε, διότι ἑρμηνεύεται τό ὄνομά του ἀνάπαυσις. Τήν ὁλοσχερῆ ἐκείνην καταστροφήν, ἡ ὁποία ἐπρόκειτο νά συμβῆ ὕστερα ἀπό τόσα πολλά ἔτη, ὀνομάζει ἀνάπαυσιν, ὅπως ἀκριβῶς καί ὁ Ἰώβ λέγει· «Ὁ θάνατος εἶναι ἀνάπαυσις εἰς τόν ἄνθρωπον»[7]. Ἐπειδή λοιπόν ἡ κακία ἔχει πολύν καί ὑπερβολικά μεγάλον μόχθον, ὀνομάζει ἀνάπαυσιν τήν ἀποχήν ἀπό αὐτήν καί τήν καταστροφήν, τήν ὁποίαν ἐπρόκειτο νά ὑποστῆ ὁ ἄνθρωπος διά τῆς συμφορᾶς ἐκείνης. «Καί ὠνόμασε, λέγει, αὐτόν Νῶε». Ἔπειτα ἑρμηνεύων εἰς ἡμᾶς τήν σημασίαν τοῦ ὀνόματος, λέγει· «Αὐτός δέ θά μᾶς ἀνακουφίση ἀπό τά ἔργα μας», θά μᾶς ἀπομακρύνη, λέγει, ἀπό τήν κακίαν, «Καί ἀπό τούς κόπους τῶν χεριῶν μας» καί πάλιν τό αὐτό λέγει, θά μᾶς ἀπομακρύνη ἀπό τάς πονηράς πράξεις. Δέν λέγει λοιπόν αὐτό, ἐπειδή ἐκοπίαζαν τά χέρια, ἀλλά ἐπειδή μέ τήν ἐργασίαν αὐτῶν καί τήν πονηράν πρᾶξιν ηὐξάνετο ἡ λύπη των. «Καί ἀπό τήν γῆν, τήν ὁποίαν κατηράσθη ὁ Κύριος ὁ Θεός». Θά μᾶς ἐλευθερώση, λέγει, ἀπό ὅλα τά ἐπικείμενα κακά, καί ἀπό τόν κόπον καί τήν ταλαιπωρίαν διά τήν γῆν, ἡ ὁποία ἐδέχθη τήν κατάραν ἐξ αἰτίας τῆς παραβάσεως τοῦ πρωτοπλάστου. Σκέψου λοιπόν, σέ παρακαλῶ ἀγαπητέ, πῶς τό παιδί αὐτό καθώς ἐμεγάλωνε σιγά σιγά ἐγίνετο ἀντικείμενον διδασκαλίας εἰς ὅλους πού τό ἔβλεπαν. Διότι μόλις ἐπληροφορεῖτο κανείς τό ὄνομα τοῦ παιδιοῦ, ἀμέσως ἡ ἑρμηνεία τοῦ ὀνόματος ἐδίδασκε τήν καταστροφήν πού θά συμβῆ εἰς τό μέλλον. Ἐάν μέν λοιπόν κάποιος ἔλεγεν, ὅτι θά γίνη αὐτό, ἐπειδή ἁπλῶς ἐνεπνεύσθη, καί ἄν ἀκόμη λησμονηθῆ τό λεχθέν, δέν θά ἐγνώριζαν τό ἀνυπόφορον τῆς τιμωρίας· τώρα ὅμως αὐτός περιφερόμενος κάτω ἀπό τά μάτια ὅλων, ὑπενθύμιζεν εἰς κάθε κατάλληλον ἤ ἀκατάλληλον καιρόν τήν ἀγανάκτησιν τοῦ Θεοῦ. Καί διά νά μάθωμεν μέ ἀκρίβειαν πόσον χρόνον ὁ υἱός τοῦ Λάμεχ συνεβούλευε μέ τό ὄνομά του ὅλους νά ἀποφύγουν μέν τήν κακίαν, νά προτιμήσουν δέ τήν ἀρετήν καί νά ἀποφύγουν τήν τόσον μεγάλην ἀγανά-

«Καὶ ἦν Νῶε ἐτῶν πεντακοσίων καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς». Ὅρα πάλιν ἄλλον δίκαιον μετὰ γυναικὸς καὶ τέκνων, πολλὴν τὴν περὶ τὸν Θεὸν εὐαρέστησιν κατωρθωκότα, καὶ ἀπεναντίας ἅπασι τὴν τῆς ἀρετῆς ὁδὸν ἑλόμενον, καὶ οὐδὲν οὔτε ὑπὸ τοῦ γάμου, οὔτε ὑπὸ τῆς παιδοτροφίας κωλυθέντα. Τέως δὲ ἀναγκαῖον ἐκπλαγῆναι τοῦ Θεοῦ τὴν ἄφατον μακροθυμίαν, καὶ τῶν τότε ἀνθρώπων τὴν ἀγνωμοσύνην τὴν ὑπερβάλλουσαν. Ἰδοὺ γὰρ πεντακόσια ἔτη τέως διήρκεσεν ὁ δίκαιος οὗτος βοῶν, καὶ διαμαρτυρόμενος διὰ τῆς ἑαυτοῦ προσηγορίας τὸ μέλλον ἔσεσθαι κλυδώνιον κατὰ πᾶσαν τὴν οἰκουμένην διὰ τὴν τῆς κακίας ἐπίτασιν, καὶ οὐδὲ οὕτως ἀποστῆναι τῆς κακίας ἠβουλήθησαν. Ἀλλ' ὁ φιλάνθρωπος Θεὸς οὐδὲ μετὰ τὴν τοσαύτην πρόρρησιν, οὐδὲ μετὰ τὸν τοσούτων ἀριθμὸν ἐτῶν τὴν τιμωρίαν ἐπάγει, ἀλλὰ πάλιν αὔξων αὐτοῦ τὴν μακροθυμίαν, καὶ ἕτερον οὐκ ὀλίγων ἐτῶν ἀριθμὸν προστίθησι τῇ οἰκείᾳ ἀνεξικακίᾳ. Οὐ γὰρ διὰ τοῦτο παρήγαγε τὴν τῶν ἀνθρώπων φύσιν, ὥστε τιμωρήσασθαι, ἀλλὰ τοὐναντίον ἅπαν, ὥστε τῶν μυρίων ἀγαθῶν τὴν ἀπόλαυσιν δωρήσασθαι. Διὰ τοῦτο ὁρᾷς αὐτὸν πανταχοῦ μέλλοντα, καὶ ἀναβαλλόμενον ἐν ταῖς τιμωρίαις. Ἀλλ' ἵνα μὴ τῷ πλήθει τῶν λεγομένων καταχώσωμεν ὑμῶν τὴν μνήμην, μέχρι τούτου στήσαντες τὸν λόγον εἰς τὴν ἐπιοῦσαν τὰ λειπόμενα ταμιευσόμεθα.

7. Ταῦτα δὲ μὴ ἁπλῶς ἀκούωμεν, ἀγαπητοί, ἀλλὰ παιδευώμεθα τῆς ἀρετῆς ἐπιμελεῖσθαι, καὶ τὴν περὶ τὸν Θεὸν εὐαρέστησιν περὶ πολλοῦ ποιεῖσθαι, καὶ μήτε οἰκίας προστασίαν, μήτε γυναικὸς φροντίδα, μήτε παίδων ἐπιμέλειαν, μήτε ἄλλο μηδὲν προβαλλώμεθα, καὶ νομίσωμεν ἀρκεῖν ἡμῖν εἰς ἀπολογίαν τοῦ ῥαθύμως καὶ ἠμελημένως ζῆν, μηδὲ τὰ ψυχρὰ ἐκεῖνα καὶ ἀνόητα ῥήματα προφέρωμεν, καὶ λέγωμεν· κοσμικός εἰμι, γυναῖκα ἔχω, καὶ τέκνων φροντίδα ποιοῦμαι.

κτησιν, λέγει· «Καὶ ἦτο ὁ Νῶε πεντακοσίων ἐτῶν καὶ ἐγέννησεν ὁ Νῶε τρεῖς υἱούς». Βλέπε πάλιν ἄλλον δίκαιον μὲ τὴν γυναῖκα καὶ τὰ παιδιά του, ὁ ὁποῖος ἔχει κατορθώσει τὴν μεγάλην εὐαρέστησιν πρὸς τὸν Θεὸν καὶ ἐπροτίμησε τὸν δρόμον τῆς ἀρετῆς ἀντιθέτως πρὸς ὅλους καὶ δὲν ἠμποδίσθη καθόλου οὔτε ἀπὸ τὸν γάμον, οὔτε ἀπὸ τὴν ἀνατροφὴν τῶν παιδιῶν. Τελικὰ δὲ πρέπει νὰ ἐκπλήσσεται κανεὶς ἀπὸ τὴν ἀνέκφραστον μακροθυμίαν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν ὑπερβολικὴν ἀχαριστίαν τῶν τότε ἀνθρώπων. Διότι ἰδού, ἐπὶ πεντακόσια ἔτη ἐφώναζε μέχρι τότε ὁ δίκαιος αὐτὸς καὶ διεβεβαίωνε μὲ τὸ ὄνομά του, ὅτι τὸ μέλλον θὰ εἶναι συγκλονιστικὸν δι' ὅλην τὴν οἰκουμένην ἐξ αἰτίας τῆς ἐντάσεως τῆς κακίας, καὶ οὔτε ἔτσι ἠθέλησαν νὰ ἀπομακρυνθοῦν ἀπὸ τὴν κακίαν. Ἀλλὰ ὁ φιλάνθρωπος Θεὸς οὔτε ὕστερα ἀπὸ τὴν προφητείαν αὐτήν, οὔτε ὕστερα ἀπὸ τὴν παρέλευσιν τόσων ἐτῶν ἐπιβάλλει τὴν τιμωρίαν, ἀλλὰ αὐξάνων πάλιν τὴν μακροθυμίαν του, προσθέτει καὶ ἄλλα πολλὰ ἔτη εἰς τὴν ἰδικήν του ἀνεξικακίαν. Διότι δὲν ἐδημιούργησε δι' αὐτὸ τὸ ἀνθρώπινον γένος, διὰ νὰ τὸ τιμωρῇ, ἀλλὰ ὅλως ἀντιθέτως, διὰ νὰ χαρίσῃ τὴν ἀπόλαυσιν τῶν μυρίων ἀγαθῶν. Διὰ τοῦτο βλέπεις παντοῦ αὐτὸν νὰ ἀναβάλλῃ καὶ νὰ ἐπιβραδύνῃ τὰς τιμωρίας. Ἀλλὰ διὰ νὰ μὴ καλύψωμεν ἐντελῶς τὴν μνήμην σας μὲ τὰ πολλὰ λόγια, ἀφοῦ σταματήσωμεν τὴν ὁμιλίαν μέχρι τὸ σημεῖον αὐτό, θὰ κρατήσωμεν τὰ ὑπόλοιπα διὰ τὴν ἐπομένην ἡμέραν.

7. Ἂς μὴ ἀκούωμεν αὐτὰ ἁπλῶς, ἀγαπητοί, ἀλλὰ ἂς διδασκώμεθα νὰ φροντίζωμεν διὰ τὴν ἀρετὴν καὶ νὰ ἐνδιαφερώμεθα πολὺ διὰ τὴν εὐαρέστησίν μας πρὸς τὸν Θεόν, καὶ οὔτε τὴν προστασίαν τοῦ σπιτιοῦ, οὔτε τὴν περιποίησιν τῆς γυναικός, οὔτε τὴν φροντίδα τῶν παιδιῶν, οὔτε τίποτε ἄλλο ἂς μὴ προβάλλωμεν, καὶ ἂς μὴ τὰ νομίσωμεν, ὅτι εἶναι ἀρκετὰ εἰς ἡμᾶς διὰ τὴν ἀπολογίαν τοῦ ὅτι ζῶμεν κατὰ τρόπον ἀδιάφορον καὶ ἀμελῆ, οὔτε νὰ προφέρωμεν τὰ ψυχρὰ ἐκεῖνα καὶ ἀνώφελα λόγια, καὶ νὰ λέγωμεν· «εἶμαι κοσμικός, ἔχω γυναῖκα καὶ φροντίζω τὰ παιδιά μου»,

Ταῦτα τοῖς πλείοσιν ἔθος λέγειν, ἐπειδὰν αὐτοὺς παρακαλῶμεν εἰς τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους, ἢ περὶ τὴν τῶν Γραφῶν ἀνάγνωσιν πολλὴν ποιεῖσθαι τὴν σπουδήν. Οὐκ ἔστιν ἐμὸν τοῦτο, φησί· μὴ γὰρ ἀπεταξάμην; μὴ γὰρ μοναχός εἰμι; Τί λέγεις, ἄνθρωπε; Ἐκείνοις μόνοις ἀποκεκλήρωται τὸ τῆς πρὸς τὸν Θεὸν εὐαρεστήσεως; Πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ οὐδένα βούλεται ἀρετῆς ἀμελεῖν. Ἄκουε γὰρ αὐτοῦ διὰ τοῦ προφήτου λέγοντος· «Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Μή τι γέγονεν, εἰπέ μοι, τούτῳ τῷ δικαίῳ κώλυμα ἡ συνουσία τῆς γυναικός, ἢ ἡ τῶν παίδων φροντίς; Μὴ τοίνυν, παρακαλῶ, μηδὲ ἡμεῖς ἀπατῶμεν ἑαυτούς, ἀλλ' ὅσῳ ταύταις φροντίσιν ἐνεχόμεθα, τοσούτῳ μᾶλλον τὰ ἀπὸ τῆς ἀναγνώσεως τῶν θείων Γραφῶν δεχόμεθα φάρμακα. Μὴ γὰρ καὶ οὗτοι οὐ τῆς αὐτῆς ἡμῖν φύσεως ἦσαν, καὶ οὐδὲ τοσαύτας ἀφορμὰς εἶχον τὰς ἐναγούσας αὐτοὺς πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν; Ποίας οὖν ἂν εἴημεν συγγνώμης ἄξιοι, οἱ καὶ διδασκαλίας τοσαύτης ἀπολαύοντες, καὶ τοσαύτης χάριτος ἀξιωθέντες, καὶ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν τὴν ἐπαγγελίαν δεξάμενοι ἐὰν μὴ πρὸς τὸ τῶν παλαιῶν ἀνδρῶν φθάσωμεν τῆς ἀρετῆς μέτρον; Εἰ γὰρ βουλοίμεθα νήφειν, ἱκανὰ τὰ σήμερον ἡμῖν κινηθέντα διεγεῖραι ἡμᾶς πρὸς τὸν πόθον τῆς ἀρετῆς, καὶ μηδέποτε νομίζειν κώλυμα ἡμῖν γενέσθαι πρὸς τὴν ταύτης ὁδόν. Εἰ γὰρ οἱ πρὸ τοῦ νόμου ἀπὸ τῆς ἐν τῇ φύσει κειμένης διδασκαλίας εἰς τοσαύτην ἔφθασαν ἀρετήν, τί ἔχομεν εἰπεῖν ἡμεῖς οἱ μετὰ τοσαύτην βοήθειαν, καὶ τὴν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὰ μυρία θαύματα πόρρω τῆς ἀρετῆς τυγχάνοντες; Διό, παρακαλῶ, μὴ ἁπλῶς ἐπερχώμεθα τὰ ἐν ταῖς θείαις Γραφαῖς κείμενα, ἀλλὰ μετὰ προσοχῆς ἀναγινώσκωμεν τὰ ἐγκείμενα, ἵνα τὴν ἐξ αὐτῶν ὠφέ-

---

6. Α΄ Τιμ. 2, 4.
9. Ἰεζ. 18, 23.
10. Ἀναφέρεται εἰς τὸν Μωσαϊκὸν Νόμον.

Εἶναι συνήθεια νὰ λέγουν αὐτὰ οἱ περισσότεροι, ὅταν τοὺς προτρέπωμεν εἰς τοὺς κόπους διὰ τὴν ἀρετὴν ἢ νὰ ἐνδιαφερθοῦν πολὺ διὰ τὴν μελέτην τῆς Ἁγίας Γραφῆς. Δὲν εἶναι ἰδικόν μου ἔργον αὐτό, θὰ εἰπῇ κάποιος· μήπως λοιπὸν ἀπεκήρυξα τὸν κόσμον; μήπως εἶμαι μοναχός; Τί λέγεις, ἄνθρωπε; Εἰς ἐκείνους μόνον ἔχει τύχει τὸ νὰ εἶναι εὐάρεστοι πρὸς τὸν Θεόν; Ὁ Θεὸς θέλει ὅλοι οἱ ἄνθρωποι νὰ σωθοῦν καὶ νὰ λάβουν πλήρη γνῶσιν τῆς ἀληθείας, καὶ κανεὶς δὲν θέλει νὰ εἶναι ἀμελὴς διὰ τὴν ἀρετήν[8]. Διότι ἄκουε αὐτόν, ὁ ὁποῖος διὰ μέσου τοῦ προφήτου λέγει· «Δὲν ἐπιθυμῶ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὅσον τὴν ἐπιστροφὴν καὶ τὴν ζωήν του»[9]. Μήπως ἔχει γίνει, εἰπέ μου, εἰς αὐτὸν τὸν δίκαιον ἄνδρα ἐμπόδιον ἡ σαρκικὴ του μεῖξις πρὸς τὴν γυναῖκα ἢ ἡ φροντίδα τῶν παιδιῶν; Μὴ λοιπόν, σᾶς παρακαλῶ, οὔτε ἡμεῖς νὰ ἀπατώμεθα, ἀλλὰ ὅσον μετέχομεν εἰς αὐτὰς τὰς φροντίδας, τόσον περισσότερον νὰ δεχώμεθα τὰ φάρμακα, ποὺ προέρχονται ἀπὸ τὴν μελέτην τῆς Ἁγίας Γραφῆς. Μήπως λοιπὸν καὶ αὐτοὶ δὲν ἦσαν τῆς αὐτῆς φύσεως μὲ ἡμᾶς καὶ δὲν εἶχαν τόσον πολλὰς ἀφορμάς, αἱ ὁποῖαι ὠθοῦν πρὸς τὴν πραγμάτωσιν τῆς ἀρετῆς; Διὰ ποίαν λοιπὸν συγγνώμην θὰ εἴμεθα ἄξιοι ἡμεῖς, οἱ ὁποῖοι ἀκούομεν καὶ τόσας διδασκαλίας καὶ ἠξιώθημεν τόσας δωρεὰς καὶ ἀπολαμβάνομεν τὴν συμμαχίαν τοῦ Θεοῦ καὶ ἐλάβαμεν τὴν ὑπόσχεσιν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, ἐὰν δὲν φθάσωμεν τὸ μέτρον τῆς ἀρετῆς τῶν παλαιῶν ἀνθρώπων; Διότι ἐὰν θὰ ἠθέλαμεν νὰ εἴμεθα σώφρονες, εἶναι ἱκανὰ τὰ λεχθέντα σήμερα νὰ μᾶς διεγείρουν τὸν πόθον τῆς ἀρετῆς καὶ ποτὲ νὰ μὴ νομίζωμεν ὅτι θὰ ὑπάρξῃ ἐμπόδιον εἰς τὸν δρόμον αὐτῆς. Ἐὰν λοιπὸν οἱ ζήσαντες πρὶν ἀπὸ τὸν νόμον[10] ἔφθασαν εἰς τόσον μεγάλην ἀρετήν, ὠθούμενοι ἀπὸ τὴν ἔμφυτον διδασκαλίαν, τί ἠμποροῦμεν νὰ εἰποῦμεν ἡμεῖς, οἱ ὁποῖοι, ὕστερα ἀπὸ τόσην βοήθειαν καὶ τὴν παρουσίαν τοῦ Χριστοῦ καὶ τὰ ἄπειρα θαύματα, εὑρισκόμεθα μακρὰν τῆς ἀρετῆς; Διὰ τοῦτο, παρακαλῶ, νὰ μὴ παρερχώμεθα ἐπιπόλαια τὰ κείμενα τῆς Ἁγίας Γραφῆς, ἀλλὰ νὰ μελετῶμεν μὲ προσοχὴν τὰ εὑρισκόμενα μέσα

λειαν καρπούμενοι, ὀψὲ γοῦν ποτε τῆς κατὰ Θεὸν ἀρετῆς ἀντιλαβέσθαι δυνηθῶμεν. Εἰ γὰρ δὴ μέλλοιμεν ἡμεῖς καθ' ἑκάστην ἡμέραν ὑμῖν ἐνηχεῖν τὴν πνευματικὴν ταύτην διδασκαλίαν, καὶ ὑμεῖς ἐπὶ τῆς αὐτῆς ῥαθυμίας μείνητε, ποῖον ὑμῖν ὄφελος ἔσται ἐκ τῆς συνεχοῦς διδασκαλίας; ἢ ἡμῖν τίς ἔσται παραμυθία ὁρῶσι τὸν τοσοῦτον ἡμῶν κάματον ἀνόνητον γινόμενον, καὶ οὐδεμίαν προκοπὴν γινομένην ἐκ τῆς ἡμετέρας σπουδῆς; Εἰπὲ γάρ μοι, οὐχὶ ἀπὸ δύο οὐσιῶν συνεστήκαμεν, ἐκ ψυχῆς λέγω καὶ σώματος; Τίνος οὖν ἕνεκεν μὴ τὴν ἴσην αὐτοὶ πρόνοιαν ἀμφοτέροις ἀπονέμομεν, ἀλλὰ τὸ μὲν σῶμα παντὶ τρόπῳ θεραπεύειν σπουδάζομεν, καὶ ἰατροῖς χρήματα διδόντες, καὶ αὐτοὶ πολλὴν περὶ αὐτὸ τὴν ἐπιμέλειαν ἐπιδεικνύμενοι, καὶ ἐσθῆτι πολυτελεῖ περιβάλλοντες, καὶ τροφὴν πλέον τοῦ δέοντος παρέχοντες, καὶ ἐν ἀνέσει διηνεκεῖ αὐτὸ εἶναι βουλόμεθα, καὶ ὑπὸ μηδενὸς ὅλως ἐνοχλεῖσθαι νοσήματος· ἀλλὰ κἂν τὸ τυχὸν τὸ ἐνοχλοῦν ᾖ, πᾶσαν κινοῦμεν μηχανήν, ὥστε τὸ λυποῦν διορθώσασθαι; Καὶ ἐπὶ μὲν τοῦ σώματος, τοῦ ἐλάττονος λέγω τὴν οὐσίαν· τί γὰρ ἴσον, εἰπέ μοι, ψυχὴ καὶ σῶμα; Εἰ γὰρ βούλει τὴν διαφορὰν ἰδεῖν, σκόπει πῶς οὐδενὸς λόγου ἄξιον εὑρίσκεται τὸ σῶμα τῆς ψυχῆς ἀναχωρησάσης. Ὁ τοίνυν τοῦ σώματος τοσαύτην πρόνοιαν ποιούμενος, τίνος ἕνεκεν, καὶ διὰ τί τοσαύτῃ περὶ τὴν τῆς ψυχῆς πρόνοιαν ὑπεροψίᾳ κεχρῆσθαι βούλει, καὶ οὔτε τροφὴν αὐτῇ κατάλληλον προσάγειν, τὴν ἐκ τῶν θείων Γραφῶν λέγω παραίνεσιν, οὔτε τοῖς τραύμασιν αὐτῆς, καὶ τοῖς ἕλκεσι τοῖς καθαιροῦσιν αὐτῆς τὴν ἰσχύν, καὶ τὴν παρρησίαν ὑποτεμνομένοις τὰ ἐπιτήδεια φάρμακα ἐπιτιθέναι, ἀλλὰ καὶ περιορᾶν ἀνέχῃ αὐτήν, καὶ λιμῷ τηκομένην, καὶ ὑπὸ τῶν ἑλκῶν διαφθειρομένην, καὶ προκειμένην, ὡς εἰπεῖν, καθάπερ κυσί,

εἰς αὐτὰ νοήματα, ὥστε, ἀφοῦ λαμβάνωμεν τὴν ὠφέλειαν ἀπὸ αὐτά, νὰ ἠμπορέσωμεν λοιπὸν κάποτε νὰ κατανοήσωμεν τὴν κατὰ Θεὸν ἀρετήν. Διότι, ἐὰν θὰ πρόκειται καὶ ἡμεῖς καθημερινὰ νὰ σᾶς λέγωμεν τὴν πνευματικὴν αὐτὴν διδασκαλίαν, καὶ σεῖς θὰ παραμένετε εἰς τὴν ἰδίαν ἀδιαφορίαν, ποῖον θὰ εἶναι τὸ κέρδος σας ἀπὸ τὴν συνεχῆ διδασκαλίαν; ἢ ποία ἱκανοποίησις θὰ εἶναι εἰς ἡμᾶς, ὅταν θὰ βλέπωμεν νὰ γίνεται ἀνώφελος ὁ τόσος κόπος μας καὶ νὰ μὴ παρατηρῆται καμμία πρόοδος ἀπὸ τὴν ἰδικήν μας προσπάθειαν; Διότι εἰπέ μου, δὲν ἔχομεν δημιουργηθῆ ἀπὸ δύο οὐσίας, ἐννοῶ ἀπὸ τὴν ψυχὴν καὶ τὸ σῶμα; Διατί λοιπὸν δὲν προσφέρομεν ἡμεῖς οἱ ἴδιοι ἴσην φροντίδα καὶ εἰς τὰς δύο, ἀλλὰ τὸ μὲν σῶμα προσπαθοῦμεν νὰ ὑπηρετήσωμεν μὲ κάθε τρόπον καὶ δίδοντες χρήματα εἰς τοὺς ἰατροὺς καὶ οἱ ἴδιοι ἐπιδεικνύοντες μεγάλην φροντίδα δι' αὐτὸ καὶ ἐνδύοντες αὐτὸ μὲ πολυτελῆ ἐνδύματα καὶ παρέχοντες τροφὴν περισσότερον ἀπὸ τὴν κανονικήν, καὶ θέλομεν νὰ εὑρίσκεται εἰς διαρκῆ ἄνεσιν καὶ νὰ μὴ ἐνοχλῆται γενικῶς ἀπὸ κανένα νόσημα· ἀλλὰ καὶ ἂν ἀκόμη τύχη νὰ τὸ ἐνοχλῆ κάτι, μεταχειριζόμεθα κάθε μέσον, ὥστε νὰ θεραπεύσωμεν αὐτὸ ποὺ προκαλεῖ λύπην; Καὶ διὰ μὲν τὸ σῶμα, τὸ ὁποῖον εἶναι κατώτερον κατὰ τὴν οὐσίαν, ἔτσι ἔχουν τὰ πράγματα· κατὰ τί λοιπόν, εἰπέ μου, εἶναι ἴσα ἡ ψυχὴ καὶ τὸ σῶμα; Διότι ἐὰν θέλης νὰ ἰδῆς τὴν διαφοράν, σκέψου πῶς τίποτε δὲν ἀξίζει τὸ σῶμα ὅταν ἡ ψυχὴ ἀναχωρήση. Σὺ λοιπόν, ὁ ὁποῖος φροντίζεις τόσον πολὺ τὸ σῶμα, διὰ ποῖαν αἰτίαν καὶ διατί θέλεις νὰ συμπεριφέρεσαι μὲ τόσον μεγάλην περιφρόνησιν διὰ τὴν φροντίδα τῆς ψυχῆς, καὶ δὲν προσφέρεις εἰς αὐτὴν οὔτε τὴν κατάλληλον τροφήν, δηλαδὴ τὴν παραίνεσιν ἀπὸ τὴν Ἁγίαν Γραφήν, οὔτε εἰς τὰ τραύματά της καὶ τὰς πληγάς, αἱ ὁποῖαι καταλύουν τὴν δύναμίν της καὶ ἀφαιροῦν τὴν παρρησίαν της, νὰ ἐπιθέτης τὰ κατάλληλα φάρμακα· ἀλλὰ ἀνέχεσαι καὶ νὰ περιφρονοῦν αὐτὴν καὶ νὰ ἐξασθενίζη ἀπὸ τὴν πεῖναν, καὶ νὰ καταστρέφεται ἀπὸ τὰς πληγὰς καὶ νὰ ἐκτίθεται, κατὰ κάποιον τρόπον ὡσὰν εἰς τὰ σκυλιά, εἰς τὰς πονηρὰς καὶ

τοῖς πονηροῖς καὶ ἀτόποις λογισμοῖς, ὥστε διασπᾶν, καὶ τὸν τόνον αὐτῆς ἅπαντα καθαιρεῖν; Διὰ τί μὴ καθάπερ τοῦ σώματος τοῦ ὁρωμένου ποιούμεθα τὴν πρόνοιαν, τὸν αὐτὸν δὴ τρόπον καὶ τῆς ψυχῆς τῆς ἀσωμάτου, καὶ μὴ ὁρωμένης, ὁπότε καὶ ἡ περὶ ταύτην ἐπιμέλεια οὐ μόνον εὔκολος καὶ κούφη, ἀλλὰ καὶ ἀδάπανος, καὶ οὐδενὸς καμάτου δεομένη; Καὶ ἐνταῦθα μὲν ἐπὶ τῆς τοῦ σώματος ἐπιμελείας, καὶ τῶν τοῦ σώματος ἀρρωστημάτων ἀνάγκη καὶ χρημάτων πολλὴν δαπάνην γενέσθαι, καὶ τὰ μὲν αὐτῶν τοῖς ἰατροῖς προσαναλίσκειν, τὰ δὲ εἰς τὴν ἄλλην ἅπασαν θεραπείαν, πρὸς τροφὴν λέγω καὶ πρὸς ἐνδύματα, καὶ οὔπω φημί, ὅτι καὶ ὑπὲρ τὴν χρείαν οἱ πλείους ταῦτα δαπανῶσιν ἀμετρίᾳ πολλῇ κεχρημένοι· ἐπὶ δὲ τῆς ψυχῆς οὐδενὸς τῶν τοιούτων δεῖ, ἀλλ' εἰ βουληθείης, καθάπερ ἐφ' ἑκάστης ἡμέρας τῷ σώματι τὴν τροφὴν χορηγεῖς, καὶ τὰ χρήματα καταναλίσκων, οὕτω καὶ τὴν ψυχὴν μὴ περιορᾶν λιμῷ φθειρομένην, καὶ παρέχειν αὐτῇ τὴν κατάλληλον τροφὴν τὴν ἐκ τῆς τῶν Γραφῶν ἀναγνώσεως, καὶ τῆς πνευματικῆς νουθεσίας παραίνεσιν· «Οὐκ ἐπ' ἄρτῳ μόνον γάρ, φησί, ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ»· ἄριστα περὶ τούτων διατιθέμενος ἔφη, καὶ περὶ τοῦ παρ' ἡμῖν οἰκειοτέρου προσηκόντως διανοούμενος. Ὥσπερ τοίνυν τῷ σώματι διάφορα παρέχεις ἐνδύματα, καὶ ἐπιτηδεύεις πρὸς τὴν τῶν καιρῶν τροπήν, καὶ τὴν τῶν ἐνδυμάτων ποικιλίαν, κατὰ τὸ αὐτὸ μηδὲ τὴν ψυχὴν περιόρα γυμνὴν περιιοῦσαν τῶν ἀγαθῶν πράξεων, ἀλλὰ καὶ αὐτὴν περίβαλλε ἐνδύμασι τοῖς αὐτῇ πρέπουσι· ταχέως αὐτὴν ἀνακτήσῃ, καὶ πρὸς τὴν κατὰ φύσιν ὑγίειαν ἐπαναγάγῃς. Ποῖα δὲ ἂν εἴη ταύτης ἐνδύματα; Ἐλεημοσύνη καὶ ἡ περὶ τοὺς πένητας δαψίλεια· τοῦτο τὸ μέγιστον τῆς ψυχῆς περιβόλαιον, τοῦτο τὸ φαιδρὸν αὐτῆς ἱμάτιον. Εἰ δὲ βούλει μὴ μόνον ἐνδύματα παρέχειν, ἀλλ' ὁμοίως τῷ σώματι καλλωπίζειν, προστίθει καὶ τὴν διὰ τῶν εὐχῶν βοήθειαν,

11. Δευτ. 8, 3. Ματθ. 4, 4.

ἀνοήτους σκέψεις, ὥστε νὰ ξεσχίζουν αὐτὴν καὶ νὰ καταλύουν ὅλην τὴν δύναμίν της; Διατί δὲν φροντίζομεν ὅπως ἀκριβῶς τὸ ὁρατόν σῶμα, κατὰ τὸν ἴδιον τρόπον καὶ τὴν ἀσώματον καὶ ἀόρατον ψυχήν, ὁπότε καὶ ἡ φροντίδα δι' αὐτὴν ὄχι μόνον εὔκολος καὶ ἐλαφρὰ εἶναι, ἀλλὰ καὶ ἀδάπανος εἶναι καὶ δὲν χρειάζεται κανένα κόπον; Καὶ ἐδῶ μέν, εἰς τὴν φροντίδα τοῦ σώματος καὶ τῶν ἀσθενειῶν αὐτοῦ, εἶναι ἀνάγκη νὰ δαπανῶνται καὶ πολλὰ χρήματα, ἄλλα μὲν νὰ ἐξοδεύωνται εἰς τούς ἰατρούς, ἄλλα δὲ εἰς ὅλην τὴν ἄλλην φροντίδα, δηλαδὴ διὰ τὴν τροφὴν καὶ τὰ ἐνδύματα, καὶ δὲν λέγω ἀκόμη, ὅτι οἱ περισσότεροι ἐπὶ πλέον ἀπὸ τὰ ἀναγκαῖα ἐξοδεύουν αὐτὰ μὲ μεγάλην σπατάλην· εἰς τὴν περίπτωσιν τῆς ψυχῆς ὅμως δὲν χρειάζεται τίποτε ἀπὸ αὐτά, ἀλλά, ἐὰν ἤθελες, ὅπως ἀκριβῶς καθημερινὰ παρέχεις εἰς τὸ σῶμα τὴν τροφὴν καὶ τὰ χρήματα ἐξοδεύεις, ἔτσι καὶ ἡ ψυχὴ νὰ μὴ ἀνέχεσαι νὰ καταστρέφεται ἀπὸ τὴν πεῖναν καὶ νὰ παρέχῃς εἰς αὐτὴν τὴν κατάλληλον τροφὴν ἀπὸ τὴν μελέτην τῆς Γραφῆς καὶ τὴν παραίνεσιν τῆς πνευματικῆς νουθεσίας. «Διότι δὲν θὰ ζήσῃ, λέγει, ὁ ἄνθρωπος μόνον μὲ ἄρτον, ἀλλὰ μὲ κάθε λόγον ποὺ ἐξέρχεται ἀπὸ τὸ στόμα τοῦ Θεοῦ»[11]. Δι' αὐτὰ θὰ ἔχῃς ἀρίστας διαθέσεις καὶ θὰ σκέπτεσαι ὅπως πρέπει δι' ἐκεῖ-ποὺ εἶναι καταλληλότερα εἰς ἡμᾶς. Ὅπως λοιπὸν παρέχεις εἰς τὸ σῶμα διάφορα ἐνδύματα καὶ φροντίζεις σύμφωνα μὲ τὴν ἀλλαγὴν τοῦ καιροῦ καὶ τὸ εἶδος τῶν ἐνδυμάτων, κατὰ τὸν ἴδιον τρόπον νὰ μὴ ἀνέχεσαι νὰ περιέρχεται ἡ ψυχὴ γυμνὴ ἀπὸ ἀγαθὰς πράξεις, ἀλλὰ νὰ ἐνδύῃς καὶ αὐτὴν μὲ τὰ ἐνδύματα ποὺ ἁρμόζουν εἰς αὐτήν· θὰ ἀνακτήσῃς αὐτὴν γρήγορα καὶ θὰ τὴν ἐπαναφέρῃς εἰς τὴν φυσικήν της ὑγείαν. Ποῖα ὅμως θὰ ἠμποροῦσαν νὰ εἶναι τὰ ἐνδύματα αὐτῆς; Ἡ ἐλεημοσύνη καὶ ἡ ἄφθονος παροχὴ ἀγαθῶν εἰς τοὺς πτωχούς· αὐτὸ εἶναι τὸ κάλλιστον ἔνδυμα τῆς ψυχῆς, αὐτὸ εἶναι τὸ λαμπρὸν ἱμάτιόν της. Ἐὰν ὅμως θέλῃς νὰ μὴ παρέχῃς μόνον ἐνδύματα, ἀλλὰ νὰ καλλωπίζῃς αὐτὴν ὁμοίως μὲ τὸ σῶμα, πρόσθεσε καὶ τὴν βοήθειαν τῆς προσευχῆς, καὶ τὴν ἐξομολόγησιν τῶν ἁμαρτη-

καὶ τὴν τῶν ἁμαρτημάτων ἐξομολόγησιν, καὶ τῇ συνεχείᾳ τῶν δακρύων ἀποσμήχων αὐτῆς τὸ πρόσωπον μὴ διαλίπῃς. Καθάπερ γὰρ πάσῃ σπουδῇ τὴν ὄψιν τοῦ σώματος καθ' ἑκάστην ἡμέραν ἐκπλύνεις, ὥστε μηδαμοῦ ῥύπον τινὰ ἐπικείμενον τῇ ὄψει δυσειδῆ αὐτὴν δεικνύναι· ὡσαύτως καὶ ἐπὶ τῆς ψυχῆς ποιεῖν σπούδαζε, καὶ καθ' ἑκάστην αὐτὴν ἀπόπλυνε θερμὰ δάκρυα προσχέων. Τούτῳ γὰρ τῷ ὕδατι ἐκείνη τὸν ῥύπον ἀποτιθεμένη φαιδροτέρα γίνεται. Καὶ ἐπειδὴ αἱ πλείους τῶν γυναικῶν διὰ πολλὴν βλακείαν τοῦ παραγγέλματος τοῦ ἀποστολικοῦ ὑπερφρονοῦσαι τοῦ κελεύοντος, «Μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ ἑαυτὰς κοσμεῖν», μετὰ πολλῆς τῆς δαψιλείας τοῦτο ἐργάζονται, οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἀνδρῶν ὅσοι βλακώδεις, καὶ πρὸς τὴν τῶν γυναικῶν εὐτέλειαν ἑαυτοὺς κατάγουσι, δακτυλίους περιτιθέμενοι, καὶ τῷ μεγέθει καὶ τῷ ὄγκῳ τῶν λίθων καλλωπιζόμενοι, ἐφ' οἷς αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι ἐχρῆν· καὶ οὗτοι τοίνυν κἀκεῖναι εἰ τῶν ἡμετέρων ἀνάσχοιντο λόγων, τὰ χρυσία ταῦτα τὰ πολλὴν καὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ τὴν λύμην παρέχοντα εἰς τὸν τῆς ψυχῆς κόσμον μᾶλλον μεταγέτωσαν, καὶ ἐκείνην διὰ τούτων καλλωπιζέτωσαν. Ὥσπερ γὰρ τῷ σώματι περικείμενα, κἂν εὔμορφον ᾖ, δυσειδέστερον τοῦτο ἀπεργάζεται· οὕτω τῇ ψυχῇ περιτεθέντα, κἂν ἄμορφος ᾖ, εἰς τὴν ἄκραν εὐμορφίαν αὐτὴν μεθίστησι. Καὶ πῶς, φησί, δυνατὸν τῇ ψυχῇ περιθεῖναι τὰ χρυσία; Πάλιν διὰ τῆς τῶν πενήτων χειρός. Οὗτοι γὰρ δεχόμενοι τὴν ταύτης εὐμορφίαν κατασκευάζουσιν. Ἐκείνοις ἐγχείρισον τὰ χρυσία καὶ διάνειμαι εἰς τὰς αὐτῶν γαστέρας, καὶ τοσαύτην τῆς ψυχῆς εὐμορφίαν σοι παραδιδόασιν, ὡς αὐτὸν τὸν ἀληθῆ νυμφίον διὰ τῆς ὥρας ἐπισπάσασθαι, καὶ τὰ μυρία σοι ἀγαθὰ

12. Α΄ Τιμ. 2, 9.

μάτων, καὶ νὰ μὴ παύσης μὲ τὰ συνεχῆ σου δάκρυα νὰ καθαρίζης ἐντελῶς τὸ πρόσωπον αὐτῆς. Διότι ὅπως ἀκριβῶς μὲ κάθε φροντίδα καθημερινὰ πλύνεις τὸ πρόσωπόν σου, διὰ νὰ μὴ φαίνεται αὐτὸ ἄσχημον, ἀφοῦ δὲν μείνη πουθενὰ ἐπάνω του κάποια ἀκαθαρσία· ἔτσι φρόντιζε νὰ κάμνης καὶ εἰς τὴν ψυχήν, καὶ καθημερινὰ καθάριζε αὐτὴν χύνων θερμὰ δάκρυα. Διότι μὲ αὐτὸ τὸ ὕδωρ ἐκείνη, ἀφοῦ ἀποβάλη τὸν ρύπον, γίνεται λαμπροτέρα. Καὶ ἐπειδὴ αἱ περισσότεραι γυναῖκες ἐξ αἰτίας τῆς μεγάλης των βλακείας, περιφρονοῦσαι τὸ ἀποστολικὸν παράγγελμα, τὸ ὁποῖον προτρέπει, «Νὰ μὴ στολίζουν τὸν ἑαυτόν τους μὲ φιλάρεσκα πλεξίματα τῶν μαλλιῶν ἢ μὲ χρυσᾶ κοσμήματα ἢ μὲ μαργαριτάρια ἢ μὲ πολυτελῆ ἐνδύματα»[12], κάμνουν αὐτὸ μὲ μεγάλην σπατάλην· ὄχι μόνον δὲ αἱ γυναῖκες, ἀλλὰ καὶ ἀπὸ τοὺς ἄνδρας ὅσοι εἶναι ἀνόητοι, κατεβάζουν τὸν ἑαυτόν τους εἰς τὴν μικροπρέπειαν τῶν γυναικῶν φέροντες δακτυλίδια καὶ καλλωπιζόμενοι μὲ τὸ μέγεθος καὶ τὸν ὄγκον τῶν πολυτίμων λίθων, διὰ τοὺς ὁποίους ἔπρεπε νὰ ἐντρέπωνται καὶ νὰ σκεπάζουν τὸ πρόσωπόν των· καὶ αὐτοὶ λοιπὸν καὶ ἐκεῖναι ἐὰν θὰ ἤθελαν νὰ τηρήσουν τὰ ἰδικά μου λόγια, ἂς μεταφέρουν καλύτερα εἰς τὸν κόσμον τῆς ψυχῆς τὰ χρυσᾶ αὐτὰ κοσμήματα, τὰ ὁποῖα προκαλοῦν μεγάλην καταστροφὴν καὶ εἰς τοὺς ἄνδρας καὶ εἰς τὰς γυναῖκας, καὶ ἂς καλλωπίζουν τὴν ψυχὴν μὲ αὐτά. Διότι, ὅπως βεβαίως ὅταν αὐτὰ περιβάλλουν τὸ σῶμα, καὶ ἂν ἀκόμη εἶναι ὄμορφον, κάμνουν αὐτὸ περισσότερον ἄσχημον, ἔτσι ὅταν περιβάλλουν τὴν ψυχήν, καὶ ἂν ἀκόμη εἶναι ἄσχημος, καθιστοῦν αὐτὴν ὑπερβολικὰ ὄμορφον. Καὶ πῶς εἶναι δυνατόν, θὰ εἰπῇ κάποιος, νὰ περιβάλουν μὲ τὰ χρυσᾶ κοσμήματα τὴν ψυχήν; Πάλιν μὲ τὴν βοήθειαν τῶν πτωχῶν. Διότι ὅταν αὐτοὶ λαμβάνουν, κατασκευάζουν τὴν ὀμορφιάν τῆς ψυχῆς. Εἰς ἐκείνους δῶσε τὰ χρυσᾶ κοσμήματα καὶ διαμοίρασε αὐτὰ διὰ νὰ ἱκανοποιήσης τὴν πεῖναν των, καὶ θὰ σοῦ παραδώσουν τόσον μεγάλην ὀμορφιὰν τῆς ψυχῆς, ὥστε μὲ τὸ κάλλος αὐτῆς νὰ προκαλέσης αὐτὸν τὸν ἀληθινὸν νυμφίον καὶ νὰ χορηγήσῃ μὲ αὐτὸ εἰς σὲ

διὰ τούτου προξενῆσαι. Ὅταν γὰρ διὰ τοῦ κάλλους ἐπισπάσῃ τὸν Δεσπότην, πάντων τῶν ἀγαθῶν ἔχεις τὴν χορηγίαν, καὶ τὴν ἄφατον εὐπορίαν ἐκτήσω· εἰ τοίνυν βουλόμεθα ἐπέρασιοι γενέσθαι τῷ Δεσπότῃ, καταλιπόντες τὸ περὶ τὸν τοῦ σώματος καλλωπισμὸν ἐπιτοῆσθαι, τὴν ἐκείνης εὐμορφίαν καθ' ἑκάστην ἡμέραν περισκοπῶμεν, ἵνα καὶ τὴν εὔνοιαν ἐπισπασώμεθα τοῦ φιλανθρώπου Θεοῦ, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, κράτος, τιμή, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὰ ἄπειρα ἀγαθά. Διότι ὅταν μὲ τὸ κάλλος τῆς ψυχῆς προκαλέσῃς τὸν Θεόν, ἔχεις τὴν ἀφθονίαν ὅλων τῶν ἀγαθῶν καὶ ἀπέκτησες τὸν ἀνυπολόγιστον πλοῦτον. Ἐὰν λοιπὸν θέλωμεν νὰ γίνωμεν ἀγαπητοὶ εἰς τὸν Θεόν, ἀφοῦ σταματήσωμεν νὰ συγκινούμεθα διὰ τὸν καλλωπισμὸν τοῦ σώματος, ἂς ἐξετάζωμεν καθημερινῶς τὴν ὀμορφιὰν τῆς ψυχῆς, διὰ νὰ προκαλέσωμεν καὶ τὴν εὔνοιαν τοῦ φιλανθρώπου Θεοῦ καὶ νὰ ἐπιτύχωμεν τὰ ἀπόρρητα ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, συγχρόνως καὶ εἰς τὸ Ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΒ΄
(Γεν. 5, 32 - 6, 8)

«Καὶ ἦν Νῶε ἐτῶν πεντακοσίων, καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. Καὶ ἐγένετο, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεται ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς».

1. Τὰ λείψανα τῆς χθεσινῆς τραπέζης ὑμῖν παραθεῖναι βούλομαι τήμερον· ἀλλὰ μὴ δυσχεράνῃς, ἀγαπητέ, λείψανα ἀκούων. Ἐπὶ μὲν γὰρ τῶν αἰσθητῶν ἐδεσμάτων μετὰ μίαν καὶ δευτέραν ἡμέραν ἕωλα πολλάκις γενόμενα τὰ ἐδέσματα, ἄχρηστα γέγονε, καὶ ἀνεπιτήδεια πρὸς τροφήν· ἐπὶ δὲ τῆς πνευματικῆς τραπέζης οὐδέν ἐστι τοιοῦτον δεῖσαι, ἀλλ' ὅσος ἂν παρέλθῃ χρόνος, τοσούτῳ μᾶλλον πλείονα τὴν χάριν ἐπιδείκνυται, καὶ νεαρώτερα καὶ ἀκμαιότερα εὑρίσκεται. Φέρε οὖν τὴν ὑπόσχεσιν ἥνπερ χθὲς ὑπεσχόμεθα, εἰς ἔργον ἀγάγωμεν, καὶ τὸ χρέος τῆς διδασκαλίας καταβάλωμεν, καὶ τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα. Οὐδὲ γὰρ τοῖς ὑποδεχομένοις μόνον λυσιτελὴς αὕτη τυγχάνει καθάπερ ἐπὶ τῶν χρεῶν, ἀλλὰ καὶ ἐμοὶ τῷ καταβάλλοντι. Καὶ τί λέγω ἐμοὶ τῷ καταβάλλοντι; Τοιαύτη τούτου τοῦ χρέους τοῦ πνευματικοῦ ἡ φύσις, ὅτι ὅσῳ ἂν καταβάλληται, τοσούτῳ μᾶλλον αὔξεται, καὶ πλείονα τὴν περιουσίαν ἐργάζεται, καὶ ἄφατον τὸν πλοῦτον καὶ τῷ καταβάλλοντι καὶ τοῖς ὑποδεχομένοις. Εἶδες καινὴν χρέους φύσιν καὶ ξένον καταβολῆς εἶδος; Τοιαῦτα γὰρ τὰ πνευματικά· τῇ διανομῇ μᾶλλον αὔξεται, καὶ τῇ τῶν πλειόνων

ΟΜΙΛΙΑ ΚΒ΄
(Γεν. 5, 32 - 6, 8)

«Καὶ ἦτο ὁ Νῶε πεντακοσίων ἐτῶν, καὶ ἐγέννησε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. Καὶ συνέβη, ὅταν ἤρχισαν οἱ ἄνθρωποι νὰ γίνωνται πολλοὶ ἐπάνω εἰς τὴν γῆν, καὶ ἀπέκτησαν θυγατέρας».

1. Ἐπιθυμῶ σήμερα νὰ σᾶς παρουσιάσω τὰ ὑπόλοιπα τῆς χθεσινῆς τραπέζης· ἀλλὰ μὴ δυσανασχετήσῃς, ἀγαπητέ, ὅταν ἀκούῃς ὑπόλοιπα. Βέβαια εἰς μὲν τὰ ὑλικὰ τρόφιμα, ὕστερα ἀπὸ μίαν καὶ δύο ἡμέρας ἀφοῦ ἀποσυντεθοῦν πολλὰς φορὰς τὰ τρόφιμα, γίνονται ἄχρηστα καὶ ἀκατάλληλα πρὸς βρῶσιν· εἰς τὴν πνευματικὴν ὅμως τράπεζαν δὲν ὑπάρχει τίποτε τέτοιο νὰ φοβηθῇς, ἀλλὰ ὅσος χρόνος ἂν περάσῃ, τόσον περισσότερον παρουσιάζουν μεγαλυτέραν τὴν ἀπόλαυσιν καὶ εἶναι νωπότερα καὶ καταλληλότερα πρὸς βρῶσιν. Ἐμπρὸς λοιπόν, ἂς πραγματοποιήσωμεν τὴν ὑπόσχεσιν, τὴν ὁποίαν ἐδώσαμεν χθές, καὶ ἂς καταβάλωμεν τὸ χρέος τῆς διδασκαλίας καὶ ἂς ἐπιδείξωμεν τὴν εὐγνωμοσύνην μας. Διότι ἡ διδασκαλία δὲν εἶναι ὠφέλιμος μόνον εἰς ἐκείνους ποὺ τὴν δέχονται, ὅπως συμβαίνει εἰς τὰ χρέη, ἀλλὰ καὶ εἰς ἐμὲ ποὺ τὴν προσφέρω. Καὶ διατί λέγω εἰς ἐμὲ ποὺ τὴν προσφέρω; Τέτοιος εἶναι ὁ χαρακτήρας τοῦ πνευματικοῦ χρέους, ὥστε ὅσον θὰ προσφέρεται, τόσον περισσότερον αὐξάνει, καὶ κάνει μεγαλυτέραν τὴν περιουσίαν καὶ ἀνυπολόγιστον τὸν πλοῦτον καὶ εἰς ἐκεῖνον ποὺ προσφέρει καὶ εἰς ἐκείνους ποὺ δέχονται. Εἶδες νέον εἶδος χρέους καὶ παράξενον μορφὴν πληρωμῆς; Τέτοια λοιπὸν εἶναι τὰ πνευματικὰ πράγματα· μὲ τὴν διανομὴν αὐξάνει

μεταλήψει πλείων ἡ περιουσία γίνται, καὶ οὔτε ὁ καταβάλλων αἴσθησίν τινα τῆς καταβολῆς λαμβάνει, ἀλλὰ καὶ αὔξεται αὐτῷ τὰ τῆς περιουσίας, καὶ οἱ ὑποδεχόμενοι ἐν πλείονι περιουσίᾳ καθίστανται. Ἐπεὶ οὖν τοιαύτη τῶν πνευματικῶν τούτων ἡ φύσις, μετὰ πάσης προθυμίας καὶ ἡμεῖς πρὸς τὴν ἔκτισιν σπεύδωμεν, καὶ ὑμεῖς πρὸς τὴν ὑποδοχὴν τὰς ἀκοὰς εὐτρεπίσατε, ἵνα ἕκαστος ὑμῶν ἡπλωμένοις τοῖς τῆς διανοίας κόλποις ὑποδεξάμενος τὰ παρ' ἡμῶν λεγόμενα, οὕτως οἴκαδε ἀναχωρήσῃ. Πάλιν γὰρ τὴν κατὰ τὸν δίκαιον Νῶε ὑπόθεσιν εἰς μέσον ἀγαγεῖν βούλομαι, ἵνα τοῦ δικαίου τὴν πολλὴν ἀρετὴν καταμάθητε, καὶ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν μακροθυμίαν τὴν πάντα λόγον ὑπερβαίνουσαν. Ἐμάθετε χθές, πῶς ἐκ προοιμίων τῆς γεννήσεως ὁ δίκαιος οὗτος δεξάμενος παρὰ τοῦ πατρὸς τὴν προσηγορίαν, πᾶσι τοῖς τότε ἀνθρώποις οὗσι περιήει διδάσκαλος τῶν συμφορῶν, μονονουχὶ βοῶν καὶ λέγων διὰ τοῦ οἰκείου ὀνόματος· ἀπόστητε τῆς κακίας, μετέρχεσθε τὴν ἀρετήν, φοβήθητε τὴν ἐπηρτημένην κόλασιν· κοινὸν ἅπασαν τὴν οἰκουμένην καταλήψεται κλυδώνιον. Πολλὴ τῆς ἀγανακτήσεως ἡ ὑπερβολή, ἐπειδὴ καὶ πολλὴ τῆς κακίας ἡ φορά. Καὶ τοῦτο οὐκ ἐπὶ δυσὶν ἢ τρισὶν ἔτεσιν ἐποίει, ἀλλ' ἐπὶ πεντακόσια ἔτη διήρκεσε ταῦτα παραινῶν. Εἴδετε μακροθυμίαν Δεσπότου; εἴδετε ἀγαθότητος ὑπερβολήν; εἴδετε ἀνεξικακίαν ἄφατον; εἴδετε κακίας ἐπίτασιν; εἴδετε ἀγνωμοσύνης μέγεθος; Μέχρι γὰρ τούτου, ὡς ἴστε, χθὲς ἡμῖν τὰ τῆς διδασκαλίας τέλος ἔλαβεν· ἀναγκαῖον τοίνυν σήμερον καταμαθεῖν, ὅπως ὁ φιλάνθρωπος Δεσπότης τὴν οἰκείαν ἀγαθότητα μιμούμενος οὐδὲ μέχρι τῶν πεντακοσίων ἐτῶν ἔστη, ἀλλὰ καὶ ἑτέραν προσθήκην περὶ τοὺς τοσαῦτα ἡμαρτηκότας προνοίας ἐπεδείξατο. «Καὶ ἦν Νῶε», φησίν, «ἐτῶν πεντακοσίων». Ἐπίτηδες ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δι-

περισσότερον καὶ μὲ τὴν συμμετοχὴν τῶν περισσοτέρων γίνεται μεγαλυτέρα ἡ περιουσία, καὶ οὔτε ἐκεῖνος ποὺ προσφέρει λαμβάνει κάποιαν αἴσθησιν τῆς πληρωμῆς, ἀλλὰ καὶ εἰς αὐτὸν αὐξάνουν τὰ περιουσιακὰ στοιχεῖα καὶ ἐκεῖνοι ποὺ δέχονται, ἀποκτοῦν μεγαλυτέραν περιουσίαν. Ἐπειδὴ λοιπὸν τέτοια εἶναι ἡ φύσις τῶν πνευματικῶν ἀγαθῶν, ἂς σπεύδωμεν μὲ κάθε προθυμίαν καὶ ἡμεῖς διὰ τὴν πληρωμήν, καὶ σεῖς ἑτοιμάσατε τὰ αὐτιά σας διὰ τὴν παραλαβήν, ὥστε ὁ καθένας σας, ἀφοῦ δεχθῇ μὲ ἀνοικτὰς τὰς ἀγκάλας τῆς διανοίας τὰ λεγόμενα ἀπὸ ἡμᾶς, ἔτσι νὰ ἐπιστρέψῃ εἰς τὸ σπίτι του. Ἐπιθυμῶ καὶ πάλιν νὰ φέρω ἐνώπιόν σας τὴν ὑπόθεσιν ποὺ ἀναφέρεται εἰς τὸν δίκαιον Νῶε, διὰ νὰ μάθετε καλὰ τὴν μεγάλην ἀρετὴν τοῦ δικαίου αὐτοῦ καὶ τὴν ἀνέκφραστον φιλανθρωπίαν τοῦ Θεοῦ καὶ τὴν μακροθυμίαν του ποὺ ὑπερβαίνει κάθε λογικήν. Ἐμάθατε χθές, πῶς ἀμέσως μὲ τὴν γέννησίν του ὁ δίκαιος αὐτός, ἀφοῦ ἔλαβεν ἀπὸ τὸν πατέρα του τὸ ὄνομα, περιεφέρετο διδάσκαλος τῶν συμφορῶν εἰς ὅλους τοὺς τότε ζῶντας ἀνθρώπους, μὲ τὸ ἰδικόν του δηλαδὴ ὄνομα κραυγάζων καὶ λέγων· ἀπομακρυνθῆτε ἀπὸ τὴν κακίαν, ἐπιδιώκετε τὴν ἀρετήν, φοβηθῆτε τὴν ἐπικειμένην τιμωρίαν· γενικὴ ἀναταραχὴ θὰ καταλάβῃ ὅλον τὸν κόσμον. Εἶναι πολὺ ὑπερβολικὴ ἡ ἀγανάκτησις, ἐπειδὴ εἶναι μεγάλη καὶ τῆς κακίας ἡ ἔκτασις. Καὶ αὐτὸ δὲν τὸ ἔκανε διὰ δύο ἢ τρία ἔτη, ἀλλὰ διὰ πεντακόσια ἔτη ἐσυμβούλευσεν αὐτά. Εἴδατε τὴν μακροθυμίαν τοῦ Θεοῦ; εἴδατε τὸ μέγεθος τῆς ἀγαθότητος; εἴδατε ἀνέκφραστον ἀνεξικακίαν; εἴδατε τὴν ἔκτασιν τῆς κακίας; εἴδατε τὸ μέγεθος τῆς ἀχαριστίας; Εἰς τὸ σημεῖον λοιπὸν αὐτό, καθὼς γνωρίζετε, ἔλαβε τέλος χθὲς ἡ διδασκαλία μας· ὅθεν εἶναι ἀνάγκη σήμερα νὰ μάθετε, πῶς ὁ φιλάνθρωπος Θεός, ἐνθυμούμενος τὴν ἰδικήν του ἀγαθότητα, δὲν ἐσταμάτησεν οὔτε μέχρι τὰ πεντακόσια ἔτη, ἀλλὰ ἐπρόσθεσε καὶ ἄλλην πρόνοιαν δι᾽ ἐκείνους ποὺ εἶχαν ἁμαρτήσει τόσον πολύ. «Καὶ ἦτο ὁ Νῶε, λέγει, πεντακοσίων ἐτῶν». Ἐπίτηδες ἡ Ἁγία Γραφὴ μᾶς ἐπεσήμανε

καίου ἐπεσημήνατο ἡ θεία Γραφή, ἵνα μάθωμεν ἐν πόσῳ χρόνῳ διετέλεσε παραινῶν αὐτοῖς, καὶ πῶς ἐκεῖνοι μὲν τὴν τῆς κακίας ὁδὸν ἑλόμενοι, ἐν ταύτῃ κατεδαπανῶντο· ὁ δὲ δίκαιος ἀπεναντίας ἅπασι πορευόμενος τὴν ἄκραν ἀρετὴν ἐπεδείξατο, ὥστε καὶ τὴν παρὰ τοῦ Θεοῦ ἐπισπάσασθαι εὔνοιαν, καὶ πάντων ὑπευθύνων τῇ τιμωρίᾳ γενομένων, αὐτὸν μόνον διαφυγεῖν μετὰ τῶν αὐτῷ προσηκόντων. Ἐντεῦθεν μανθάνομεν, ὅτι ἐὰν νήφωμεν καὶ μὴ ῥαθυμῶμεν, οὐ μόνον οὐδὲν ἡμᾶς βλάπτει τὸ μεταξὺ τῶν κακῶν ἀναμεμίχθαι, ἀλλὰ καὶ ἀκριβεστέρους περὶ τὴν ἀρετὴν ἐργάζεται. Διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος Θεὸς οὕτως ᾠκονόμησε, κατὰ ταὐτὸν ἅπαντας εἶναι καὶ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθούς, ἵνα καὶ τῶν πονηρῶν ἡ κακία ἐγκόπτηται, καὶ τῶν ἀγαθῶν ἡ ἀρετὴ λαμπροτέρα δεικνύηται, καὶ τὰ μέγιστα κερδάνωσιν οἱ ῥάθυμοι, ἐὰν βούλωνται, ἀπὸ τῆς τῶν σπουδαίων συνουσίας. Ἐννόει γάρ μοι τοῦ δικαίου τούτου τὸ ἐνάρετον, ὅπως ἐν πλήθει τοσούτῳ πολλῇ τῇ ῥύμῃ πρὸς τὴν κακίαν φερομένων μόνος αὐτὸς τὴν ἐναντίαν ἦλθεν ὁδόν, τὴν ἀρετὴν προτιμοτέρα τῆς κακίας ἑλόμενος, καὶ οὔτε ἡ συμφωνία, οὔτε τὸ τοσοῦτον πλῆθος ὀκνηρότερον αὐτὸν εἰργάσατο πρὸς τὴν τῆς ἀρετῆς ὁδόν, ἀλλ' ἤδη προλαβὼν ἐπλήρου τὸ παρὰ τοῦ μακαρίου Μωϋσέως μᾶλλον ῥηθήσεσθαι, ὅτι «Οὐκ ἔσῃ μετὰ πολλῶν ἐπὶ κακίᾳ»[1]. Καὶ τὸ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ πολλοὺς ἔχων, μᾶλλον δὲ ἅπαντας ἐπὶ τὴν κακίαν προτρεπομένους καὶ τὴν τῶν πονηρῶν πράξεων ἐργασίαν, καὶ οὐδενὸς ὄντος τοῦ πρὸς τὴν ἀρετὴν ἐνάγοντος, οἴκοθεν ἐπὶ ταύτην μετὰ τοσαύτης ὥρμησε τῆς σφοδρότητος, ὥστε τοσούτῳ πλήθει ἀπεναντίας ἐλθεῖν· καὶ οὔτε ἔδεισεν, οὔτε ὑπείδετο τὴν κακὴν συμφωνίαν, οὔτε ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν τοὺς

1. Ἐξ. 23, 2.

τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δικαίου αὐτοῦ, διὰ νὰ μάθωμεν ἐπὶ πόσον χρόνον ἐσυμβούλευσεν αὐτούς, καὶ πῶς ἐκεῖνοι ἀφοῦ ἐπροτίμησαν μὲν τὸν δρόμον τῆς κακίας, κατηναλώθησαν εἰς αὐτόν· ὁ δίκαιος ὅμως βαδίζων ἀντίθετα πρὸς ὅλους ἐπέδειξε τὴν ὑψίστην ἀρετήν, ὥστε καὶ τὴν εὔνοιαν τοῦ Θεοῦ νὰ προκαλέσῃ καί, ἐνῷ ὅλοι κατέστησαν ἔνοχοι τῆς τιμωρίας, αὐτός μόνον νὰ τὴν ἀποφύγῃ μαζὶ μὲ τούς συγγενεῖς του. Ἀπὸ ἐδῶ διδασκόμεθα, ὅτι ἐὰν εἴμεθα νηφάλιοι καὶ δὲν ἀδιαφοροῦμεν, ὄχι μόνον δὲν μᾶς βλάπτει καθόλου ἡ συναναστροφὴ μὲ τοὺς κακούς, ἀλλὰ καὶ μᾶς καθιστᾶ περισσότερον προσεκτικοὺς διὰ τὴν ἐπίτευξιν τῆς ἀρετῆς. Διὰ τοῦτο βεβαίως καὶ ὁ φιλάνθρωπος Θεὸς ἔτσι ἐρρύθμισε τὰ πράγματα, εἰς τὸ αὐτὸ μέρος νὰ εὑρίσκωνται ὅλοι καὶ οἱ πονηροὶ καὶ οἱ ἀγαθοί, διὰ νὰ ἐμποδίζεται καὶ ἡ κακία τῶν πονηρῶν καὶ νὰ φαίνεται λαμπροτέρα ἡ ἀρετὴ τῶν ἀγαθῶν, καὶ νὰ κερδίσουν πάρα πολλὰ οἱ ἀδιάφοροι, ἐὰν θέλουν, ἀπὸ τὴν συναναστροφὴν τῶν ἐναρέτων. Διότι σκέψου, σὲ παρακαλῶ, τὴν ἀρετὴν τοῦ δικαίου αὐτοῦ, πῶς ἀνάμεσα εἰς τόσον μέγα πλῆθος ἀνθρώπων, ποὺ ἐφέροντο μὲ μεγάλην ὁρμὴν πρὸς τὴν κακίαν, μόνον αὐτὸς ἐβάδισε τὸν ἀντίθετον δρόμον, προτιμήσας τὴν ἀρετὴν ἀπὸ τὴν κακίαν· καὶ οὔτε ἡ συμφωνία, οὔτε τὸ τόσον μέγα πλῆθος ἔκαμεν αὐτὸν ὀκνηρότερον πρὸς τὸν δρόμον τῆς ἀρετῆς, ἀλλὰ ἐκ τῶν προτέρων ἤδη ἐξεπλήρωνεν ἐκεῖνο, τὸ ὁποῖον ἐπρόκειτο νὰ λεχθῇ ἀπὸ τὸν μακάριον Μωυσῆν, ὅτι «Δὲν θὰ εἶσαι μὲ τοὺς πολλοὺς εἰς τὸν δρόμον τῆς κακίας»[1]. Καὶ τὸ παράδοξον καὶ περίεργον εἶναι, ὅτι, ἐνῷ εἶχε πολλούς, μᾶλλον δὲ ὅλους νὰ τὸν προτρέπουν πρὸς τὴν κακίαν καὶ τὴν ἐκτέλεσιν τῶν πονηρῶν πράξεων, καὶ δὲν ὑπῆρχε κανεὶς νὰ τὸν ὠθῇ πρὸς τὴν ἀρετήν, κατὰ τὴν ἰδικήν του κρίσιν ὥρμησε μὲ τόσην σφοδρότητα πρὸς αὐτήν, ὥστε ἦλθεν ἀντίθετος μὲ τόσον πολὺ πλῆθος· καὶ δὲν ἐφοβήθη, οὔτε ἔβλεπεν ὕποπτα τὴν κακὴν συμφωνίαν, οὔτε ἔπαθε κάτι τέτοιο, τὸ ὁποῖον ἦτο φυ-

ῥαθυμοῦντας παθεῖν, οἳ ἐπειδὰν ἴδωσι πολλοὺς κατὰ ταὐτὸ συμφωνίαν ἐπιδεικνυμένους, ταύτην ἀφορμὴν καὶ προκάλυμμα τῆς οἰκείας ῥαθυμίας προβαλλόμενοί φασι· τί δὴ μέλλω ἐγὼ παρὰ τούτους ἅπαντας ξένον τι καὶ καινὸν βουλεύεσθαι, καὶ τοσούτῳ πλήθει ἐναντιοῦσθαι, καὶ πρὸς τοσοῦτον δῆμον πόλεμον ἀναδέχεσθαι; Μὴ γὰρ δικαιότερος ἐγὼ παρὰ τούτους ἅπαντας τυγχάνω; Τίς μοι χρεία τῆς τοσαύτης ἀπεχθείας; τί μοι ὄφελος τοῦ τοσούτου μίσους; Οὐδὲν τῶν ἀνοήτων τούτων ἐβουλεύσατο, οὐδὲ ἐνενόησεν· ἀλλὰ πάλιν ἐκεῖνο προλαβὼν ἐπλήρου τὸ εἰρημένον παρὰ τοῦ προφήτου, ὅτι «Κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι». Μὴ γὰρ ἡ κοινωνία, φησί, καὶ τὸ συγκατασπασθῆναι τῷ πλήθει πρὸς τὴν κακίαν αὐτομολοῦντι ἐξελέσθαι με δυνήσεται τῆς τιμωρίας; Ἤδει γάρ, ᾔδει σαφῶς ὅτι ἕκαστος ὑπὲρ τῆς οἰκείας σωτηρίας τὰς εὐθύνας δώσει, καὶ οὐκ ἔστιν ἕτερον ὑπὲρ τοῦ ἁμαρτάνοντος οὔτε κόλασιν ὑπομεῖναι, οὔτε ἀμοιβῆς τινος ἐπιτυχεῖν. Διὰ τοῦτο ὁ δίκαιος καθάπερ σπινθὴρ ἐν μέσῳ πελάγει τυγχάνων, οὐ μόνον οὐκ ἐσβέννυτο, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν λαμπρότερον ἠφίει τὸ φῶς, διδάσκαλος πᾶσι γινόμενος διὰ τῶν ἑαυτοῦ ἔργων. Εἶδες ὡς αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ Δεσπότης ἐδημιούργησε; Πόθεν γάρ, εἰπέ μοι, ἐκεῖνοι μὲν πρὸς τὴν κακίαν ἔσπευδον, καὶ τῇ τιμωρίᾳ ὑπευθύνους ἑαυτοὺς καθίστων, οὗτος δὲ τὴν ἀρετὴν ἑλόμενος, καὶ τὴν πρὸς ἐκείνους κοινωνίαν φυγών, τῆς τιμωρίας πεῖραν οὐκ ἐλάμβανεν; Οὐκ εὔδηλον, ὅτι διὰ τὸ ἕκαστον οἰκείᾳ προαιρέσει ἢ τὴν κακίαν ἢ τὴν ἀρετὴν αἱρεῖσθαι; Εἰ γὰρ μὴ τοῦτο ἦν, μηδὲ ἐν τῇ φύσει τῇ ἡμετέρᾳ τὰ τῆς ἐξουσίας ἔκειτο οὔτε ἐκείνους κολάζεσθαι ἔδει, οὔτε τούτους ἀμοιβὰς λαμβάνειν τῆς ἀρετῆς· ἀλλ' ἐπειδὴ ἐν τῇ προαιρέσει τῇ

2. Σοφ. Σειρ. 16, 3.

σικὸν νὰ πάθουν οἱ ἀδιαφοροῦντες, οἱ ὁποῖοι, ὅταν ἰδοῦν πολλοὺς νὰ ἐπιδεικνύουν συμφωνίαν εἰς τὸ ἴδιον πρᾶγμα, προβάλλουν αὐτὴν ὡς ἀφορμὴν καὶ πρόσχημα τῆς ἰδικῆς των ἀδιαφορίας καὶ λέγουν· διατί λοιπὸν ὀφείλω ἐγὼ νὰ σκέπτωμαι ἀντίθετα πρὸς ὅλους αὐτοὺς κάτι τὸ παράξενον καὶ νέον, καὶ νὰ ἐναντιώνωμαι εἰς τόσον πλῆθος καὶ νὰ ἀναλαμβάνω πόλεμον ἐναντίον τόσου λαοῦ; Μήπως λοιπὸν ἐγὼ εἶμαι δικαιότερος ἀπὸ ὅλους αὐτούς; Ποία ἀνάγκην ἔχω διὰ μίαν τόσον μεγάλην ἀπέχθειαν; Ποῖον τὸ ὄφελός μου ἀπὸ τόσον μῖσος; Τίποτε ἀπὸ τὰ ἀνώφελα αὐτὰ δὲν ἐσκέφθη, οὔτε διενοήθη· ἀλλὰ πάλιν ἐξεπλήρωνεν ἐκ τῶν προτέρων ἐκεῖνο ποὺ ἐλέχθη ἀπὸ τὸν προφήτην, ὅτι «Ἰσχυρότερος εἶναι ὁ ἕνας, ὁ ὁποῖος ἐκτελεῖ τὸ θέλημα τοῦ Κυρίου, παρὰ ἄπειροι παράνομοι»[2]. Μήπως λοιπὸν ἡ κοινωνία, λέγει, καὶ τὸ νὰ συμπορευθῇ μὲ τὸ πλῆθος, ποὺ βαδίζει πρὸς τὴν κακίαν, θὰ ἠμπορέσῃ νὰ μὲ ἐξαιρέσῃ ἀπὸ τὴν τιμωρίαν; Διότι ἐγνώριζεν, ἐγνώριζε καλά, ὅτι ὁ καθένας θὰ λογοδοτήσῃ διὰ τὴν ἰδικήν του σωτηρίαν καὶ δὲν εἶναι δυνατὸν ἄλλος ὑπὲρ τοῦ ἁμαρτωλοῦ οὔτε τιμωρίαν νὰ ὑπομείνῃ, οὔτε κάποιαν ἀμοιβὴν νὰ ἐπιτύχῃ. Διὰ τοῦτο ὁ δίκαιος, ὡσὰν νὰ εἶναι σπίθα εἰς τὸ μέσον τοῦ πελάγους, ὄχι μόνον δὲν ἔσβηνεν, ἀλλὰ καὶ καθημερινὰ ἐξέπεμπε λαμπρότερον τὸ φῶς, γινόμενος μὲ τὰ ἔργα του διδάσκαλος εἰς ὅλους τοὺς ἀνθρώπους. Εἶδες πόσον αὐτεξούσιον ἐδημιούργησεν ὁ Θεὸς τὴν φύσιν μας; Διότι ἀπὸ ποῦ, εἰπέ μου, ἐκεῖνοι μὲν ἔσπευδαν πρὸς τὴν κακίαν καὶ ἔκαμαν τοὺς ἑαυτούς των ἐνόχους τῆς τιμωρίας, αὐτὸς δέ, ἀφοῦ ἐπροτίμησε τὴν ἀρετὴν καὶ ἀπέφυγε τὴν συναναστροφὴν μὲ ἐκείνους, δὲν ἐγνώριζε τὴν τιμωρίαν; Δὲν εἶναι ὁλοφάνερον, ὅτι μὲ τὴν ἰδικήν του προαίρεσιν ἐκλέγει ὁ καθένας ἢ τὴν κακίαν ἢ τὴν ἀρετήν; Διότι ἐὰν δὲν συνέβαινεν αὐτὸ καὶ ἐὰν δὲν εἶχε τὴν ἐξουσίαν αὐτὴν τὸ ἀνθρώπινον γένος, δὲν θὰ ἔπρεπε οὔτε ἐκεῖνοι νὰ τιμωροῦνται, οὔτε αὐτοὶ νὰ λαμβάνουν ἀμοιβὴν διὰ τὴν ἀρετήν των· ἐπειδὴ ὅμως ἄφησε τὰ πάντα εἰς τὴν ἰδικήν μας προαίρε-

ἡμετέρα κατέλιπε μετὰ τὴν ἄνωθεν χάριν τὸ πᾶν, διὰ τοῦτο καὶ τοῖς ἁμαρτάνουσι κολάσεις ἀπόκεινται, καὶ τοῖς κατορθοῦσιν ἀντιδόσεις καὶ ἀμοιβαί. «Καὶ ἦν, φησί, Νῶε ἐτῶν πεντακοσίων, καὶ ἐγέννησε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ». Σκόπει τῆς θείας Γραφῆς τὴν ἀκρίβειαν. Ἐπειδὴ διηγήσατο ἡμῖν τῶν ἐτῶν τοῦ δικαίου τὸν ἀριθμόν, δεικνύουσα τῆς μακροθυμίας τοῦ Δεσπότου τὴν ὑπερβολήν, βούλεται πάλιν καὶ τὴν ἐπίτασιν τῆς ἀνεξικακίας τοῦ Δεσπότου δήλην ἡμῖν ποιῆσαι, καὶ τῆς κακίας τῶν ἀνθρώπων τὴν πολλὴν φοράν.

2. Ἀλλ' ἀκούσωμεν αὐτῶν τῶν παρὰ τοῦ Μωϋσέως ρηθέντων· Πνεύματι γὰρ φθεγγόμενος ἅπαντα μετὰ ἀκριβείας ἡμᾶς διδάξαι βούλεται. «Καὶ ἐγένετο», φησίν, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς». Οὐχ ἁπλῶς προσέθηκε τό, «Καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς», ἀλλ' ἵνα τὸ πολὺ πλῆθος ἡμῖν ἐμφήνῃ. Ὅπου γὰρ τοσοῦτον τὸ τῶν ριζῶν πλῆθος, ἀνάγκη πολλοὺς τίκτεσθαι τοὺς κλάδους. «Ἰδόντες δέ», φησίν, «οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο». Ἑκάστην λέξιν τῶν εἰρημένων σαφῶς κατοπτεύσωμεν, ἵνα μηδὲν ἡμᾶς παραδράμῃ τῶν ἐν τῷ βάθει κεκρυμμένων. Καὶ γὰρ ἀναγκαῖον τούτου τοῦ χωρίου πολλὴν τὴν ἔρευναν ποιήσασθαι, καὶ ἀνατρέψαι τὰς μυθολογίας τῶν ἀπερισκέπτως πάντα φθεγγομένων· καὶ πρῶτον μὲν εἰπεῖν ἅπερ λέγειν τολμῶσι, καὶ δείξαντας τὴν ἀτοπίαν τῶν παρ' αὐτῶν λεγομένων, οὕτω τὸν ἀληθῆ νοῦν τῆς Γραφῆς διδάξαι τὴν ὑμετέραν ἀγάπην, ὥστε μὴ ἁπλῶς ὑπέχειν τὰς ἀκοὰς τοῖς τὰ βλάσφημα ἐκεῖνα φθεγγομένοις, καὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς τολμῶσι λέγειν. Φασὶ γὰρ ὅτι οὐ περὶ ἀνθρώπων εἴρηται, ἀλλὰ περὶ ἀγγέλων· τούτους γὰρ υἱοὺς Θεοῦ προσηγόρευσε. Πρῶτον μὲν δειξά-

σιν μετὰ τὴν χάριν τοῦ Θεοῦ, δι' αὐτὸ καὶ εἰς τοὺς ἁμαρτάνοντας ἐπιφυλάσσονται τιμωρίαι καὶ εἰς τοὺς ἐπιτυγχάνοντας τὴν ἀρετὴν ἀμοιβαὶ καὶ μισθοί. «Καὶ ἦτο, λέγει, ὁ Νῶε πεντακοσίων ἐτῶν, καὶ ἐγέννησε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ». Πρόσεχε τὴν ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς. Ἐπειδὴ μᾶς ἐδιηγήθη τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δικαίου Νῶε, ἀποδεικνύουσα τὴν ὑπερβολικὴν μακροθυμίαν τοῦ Θεοῦ, ἐπιθυμεῖ πάλιν νὰ μᾶς καταστήσῃ φανερὰν τὴν ἔκτασιν τῆς ἀνεξικακίας τοῦ Θεοῦ καὶ τὴν μεγάλην ροπὴν τῶν ἀνθρώπων πρὸς τὴν κακίαν.

2. Ἂς ἀκούσωμεν ὅμως τὰ ἴδια ποὺ ἔχουν λεχθῆ ἀπὸ τὸν Μωυσῆν, διότι θέλει νὰ μᾶς διδάξῃ τὰ πάντα ἐμπνεόμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα. «Καὶ συνέβη, λέγει, ὅταν ἤρχισαν οἱ ἄνθρωποι νὰ γίνωνται πολλοὶ ἐπάνω εἰς τὴν γῆν καὶ ἀπέκτησαν θυγατέρας». Δὲν ἐπρόσθεσεν ἁπλῶς τὸ «Καὶ ἀπέκτησαν θυγατέρας», ἀλλὰ διὰ νὰ μᾶς φανερώσῃ τὸ μέγα πλῆθος. Διότι ὅπου τὸ πλῆθος τῶν ριζῶν εἶναι τόσον πολύ, εἶναι ἀνάγκη νὰ βλαστάνουν πολλὰ κλαδιά. «Ὅταν δὲ εἶδαν, λέγει, οἱ υἱοὶ τοῦ Θεοῦ, ὅτι αἱ θυγατέρες τῶν ἀνθρώπων εἶναι ὡραῖαι, ἔλαβαν γυναῖκας ἀπὸ ἐκείνας ποὺ ἐξεχώρισαν». Κάθε λέξιν ἀπὸ τὰ λεχθέντα, ἂς τὴν παρατηρήσωμεν μὲ ἀκρίβειαν, διὰ νὰ μὴ μᾶς διαφύγῃ τίποτε ἀπὸ τὰ κρυμμένα μέσα εἰς τὸ βάθος αὐτῶν. Καὶ πράγματι εἶναι ἀνάγκη νὰ ἐρευνήσωμεν πολὺ τὸ χωρίον αὐτὸ καὶ νὰ ἀνατρέψωμεν τὰς μυθολογίας ἐκείνων, ποὺ ὅλα τὰ λέγουν χωρὶς περίσκεψιν. Καὶ κατὰ πρῶτον μὲν νὰ εἰποῦμεν ἐκεῖνα, τὰ ὁποῖα τολμοῦν νὰ λέγουν, καὶ ἀφοῦ ἀποδείξωμεν τὴν ἀνοησίαν τῶν λεγομένων ἀπὸ αὐτούς, θὰ διδάξωμεν ἔτσι τὸ ἀληθινὸν νόημα τῆς Γραφῆς εἰς τὴν ἀγάπην σας, ὥστε νὰ μὴ ἐπιτρέπῃ τὰ αὐτιά σας νὰ ἀκούουν ἐπιπόλαια ἐκείνους, ποὺ λέγουν αὐτὰς τὰς βλασφημίας καὶ τολμοῦν νὰ ὁμιλοῦν ἐναντίον τοῦ ἑαυτοῦ τους. Διότι ἰσχυρίζονται, ὅτι δὲν ἔχει λεχθῆ αὐτὸ διὰ τοὺς ἀνθρώπους, ἀλλὰ διὰ τοὺς ἀγγέλους· αὐτοὺς λοιπὸν ὠνόμασεν υἱοὺς τοῦ Θεοῦ. Κατὰ πρῶτον μὲν ἂς μᾶς δείξουν, εἰς ποῖα χωρία οἱ ἄγγελοι

τωσαν, ποῦ ἄγγελοι υἱοὶ Θεοῦ προσηγορεύθησαν· ἀλλ' οὐκ ἂν ἔχοιεν οὐδαμοῦ δεῖξαι. Ἄνθρωποι μὲν γὰρ ἐκλήθησαν υἱοὶ Θεοῦ, ἄγγελοι δὲ οὐδαμῶς. Ἀλλὰ περὶ μὲν τῶν ἀγγέλων φησίν· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»· περὶ δὲ τῶν ἀνθρώπων, «Ἐγὼ εἶπα· θεοί ἐστε»· καὶ πάλιν· «Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα»· καὶ πάλιν· «Πρωτότοκος υἱός μου Ἰσραήλ»· ἄγγελος δὲ οὐδαμοῦ υἱὸς ἐκλήθη, οὐδὲ υἱὸς Θεοῦ. Ἀλλὰ τί φασι; Ναί, ἄγγελοι μὲν ἦσαν· διότι δὲ πρὸς τὴν παράνομον ταύτην πρᾶξιν κατῆλθον, τῆς ἀξίας ἐξέπεσον. Πάλιν ἕτερον μυθωδέστερον. Τί οὖν; νῦν ἐξέπεσον, καὶ αὕτη τῆς πτώσεως αὐτοῖς ἐστιν ἡ αἰτία; Καὶ μὴν ἡ Γραφὴ ἄλλως ἡμᾶς διδάσκει, ὅτι καὶ πρὸ τῆς τοῦ πρωτοπλάστου δημιουργίας τῆς ἀξίας ἐκείνης κατηνέχθησαν καὶ ὁ διάβολος, καὶ οἱ μετ' αὐτοῦ μεῖζον τῆς ἀξίας φρονήσαντες, καθάπερ καὶ σοφός τίς φησι· «Φθόνῳ δὲ τοῦ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν». Εἰπὲ γάρ μοι, εἰ μὴ ἦν πρὸ τῆς τοῦ ἀνθρώπου δημιουργίας ἐκπεπτωκώς, πῶς ἂν ἐπὶ τῆς ἀξίας μένων ἐβάσκηνε τῷ ἀνθρώπῳ; Ποῖον γὰρ ἂν ἔχοι λόγον, ἄγγελον ἀνθρώπῳ βασκῆναι, τὸν ἀσώματον καὶ ἐν τοσαύτῃ τιμῇ τυγχάνοντα, τῷ σῶμα περικειμένῳ; Ἀλλ' ἐπειδὴ ἀπὸ τῆς ἀνωτάτω δόξης εἰς ἐσχάτην ἀτιμίαν κατηνέχθη, καὶ ταῦτα ἀσώματος ὤν, εἶδε δὲ τὸν ἄνθρωπον δημιουργηθέντα, καὶ ἐν σώματι τοσαύτης τιμῆς ἀξιωθέντα διὰ τὴν τοῦ δημιουργήσαντος φιλανθρωπίαν, εἰς φθόνον ἐξήφθη, καὶ διὰ τῆς ἀπάτης, ἣν διὰ τοῦ ὄφεως προσήγαγε, τῷ τοῦ θανάτου ἐπιτιμίῳ ὑπεύθυνον τὸν ἄνθρωπον κατεσκεύασε. Τοιοῦτον γὰρ ἡ πονηρία· οὐ δύναται πράως φέρειν τὴν ἑτέρων εὐημερίαν. Ὅτι μὲν οὖν πάλαι καὶ ὁ διάβολος καὶ πᾶσα αὐτοῦ ἡ φάλαγξ ἐκ τῆς

3. Ψαλμ. 103, 4.
4. Ψαλμ. 81, 6.
5. Ἠσ. 1, 2.
6. Ἐξ. 4, 22.
7. Σοφ. Σολ. 2, 24.

ὠνομάσθησαν υἱοὶ τοῦ Θεοῦ˙ ἀλλὰ δὲν θὰ ἠμπορέσουν πουθενὰ νὰ δείξουν αὐτό. Διότι ἄνθρωποι μὲν ὠνομάσθησαν υἱοὶ τοῦ Θεοῦ, ἄγγελοι δὲ καθόλου. Ἀλλὰ διὰ μὲν τοὺς ἀγγέλους λέγει˙ «Ἐκεῖνος ὁ ὁποῖος κάμνει τοὺς ἀγγέλους του πνεύματα καὶ τοὺς λειτουργούς του φλόγα πυρός»[3]. Διὰ τοὺς ἀνθρώπους δέ, «Ἐγὼ εἶπα: εἴσθε θεοί»[4]˙ ἐπίσης «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα»[5]˙ καὶ πάλιν˙ «Πρωτότοκος υἱός μου εἶναι ὁ Ἰσραήλ»[6]. Ἄγγελος ὅμως πουθενὰ δὲν ὠνομάσθη υἱός, οὔτε υἱὸς τοῦ Θεοῦ. Ἀλλὰ τί λέγουν; Ναί, ἦσαν μὲν ἄγγελοι˙ ἐπειδὴ ὅμως κατῆλθαν εἰς τὴν παράνομον αὐτὴν πρᾶξιν, ἐξέπεσαν ἀπὸ τὸ ἀξίωμά των. Ἄλλο πάλιν περισσότερον μυθῶδες. Τί λοιπόν; τώρα ἐξέπεσαν, καὶ αὐτὴ εἶναι ἡ αἰτία τῆς πτώσεως εἰς αὐτούς; Καὶ ὅμως ἡ Ἁγία Γραφὴ μᾶς διδάσκει διαφορετικά, ὅτι δηλαδὴ πρὶν ἀπὸ τὴν δημιουργίαν τῶν πρωτοπλάστων ἐκρημνίσθησαν ἀπὸ τὸ ἀξίωμά των ἐκεῖνο καὶ ὁ διάβολος καὶ ἐκεῖνοι ποὺ ἦσαν μαζί του ἐπειδὴ ὑπερηφανεύθησαν, ὅπως ἀκριβῶς καὶ κάποιος σοφὸς λέγει. «Ἐξ αἰτίας τοῦ φθόνου τοῦ διαβόλου εἰσῆλθεν εἰς τὸν κόσμον ὁ θάνατος»[7]. Εἰπέ μου λοιπόν, ἐὰν δὲν εἶχεν ἐκπέσει πρὶν ἀπὸ τὴν δημιουργίαν τοῦ ἀνθρώπου, πῶς θὰ ἦτο δυνατὸν νὰ ἐφθόνησε τὸν ἄνθρωπον, ἐνῷ διετηροῦσε τὸ ἀξίωμά του; Διότι ποίαν δικαιολογίαν ἠμπορεῖ νὰ ἔχῃ, τὸ νὰ φθονήσῃ ἄγγελος τὸν ἄνθρωπον, ὁ ἀσώματος καὶ ὁ εὑρισκόμενος εἰς τόσον μεγάλην τιμὴν ἐκεῖνον, ποὺ περιβάλλεται σῶμα; Ἐπειδὴ ὅμως ἀπὸ τὴν ὑψίστην δόξαν κατέπεσεν εἰς τὴν ἐσχάτην καταισχύνην, καὶ αὐτὰ συνέβησαν ἐνῷ ἦτο ἀσώματος, καὶ εἶδε τὸν ἄνθρωπον ποὺ ἐδημιουργήθη καὶ ἠξιώθη τόσον μεγάλην τιμήν, ἂν καὶ εἶχε σῶμα, ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ δημιουργοῦ, ἐφθόνησε πολὺ καὶ μὲ τὴν ἀπάτην, τὴν ὁποίαν εἰσήγαγε διὰ τοῦ ὄφεως, κατέστησε τὸν ἄνθρωπον ἔνοχον τῆς τιμωρίας τοῦ θανάτου. Διότι τέτοια εἶναι ἡ πονηρία˙ δὲν ἠμπορεῖ νὰ ὑποφέρῃ μὲ ἠρεμίαν τὴν εὐτυχίαν τῶν ἄλλων. Ὅτι λοιπὸν κατὰ τὸν παλαιὸν χρόνον καὶ ὁ διάβολος καὶ ὅλος ὁ στρατός του ἐξέπεσαν ἀπὸ τὴν δόξαν ἐ-

δόξης ἐκείνης ἐξέπεσον, καὶ τῶν ἠτιμωμένων γεγόνασι, δῆλον ἅπασιν. Ἄλλως δὲ καὶ ποίας οὐκ ἂν εἴη ἀνοίας ἀνάμεστον τὸ λέγειν, ὅτι ἄγγελοι πρὸς συνουσίαν γυναικῶν κατηνέχθησαν, καὶ ἡ ἀσώματος ἐκείνη φύσις πρὸς τὴν συναλλαγὴν τῶν σωμάτων ὑπήχθη; Ἢ οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος περὶ τῆς τῶν ἀγγέλων οὐσίας· «Ἐὰν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι Θεοῦ»; Οὐδὲ γὰρ οἷόν τε τὴν ἀσώματον φύσιν ἐκείνην τοιαύτην ἐπιθυμίαν δέξασθαί ποτε. Πρὸς τούτοις δὲ κἀκεῖνο ἐννοῆσαι δεῖ, ὅτι πάντη τῶν ἀτοπωτάτων ἐστὶ τοῦτο δέξασθαι τῷ λογισμῷ. Εἰ γὰρ οἱ ἅγιοι καὶ Πνεύματος ἁγίου ἠξιωμένοι οὐδὲ ὀπτασίαν ἀγγέλων ἰδεῖν ἴσχυσαν· καὶ γὰρ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν θεασάμενος ἀγγέλου παρουσίαν, οὐκ αὐτὴν τὴν οὐσίαν (πῶς γὰρ οἷόν τε ἀσώματον οὐσίαν ἰδεῖν;), ἀλλὰ μετασχηματισθεῖσαν, τὴν ἐνέργειαν μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀφῆκεν, καὶ ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ ἄπνους σχεδὸν ἔκειτο· τίς ἂν κἂν σφόδρα μεμηνὼς ᾖ, κατεδέξαιτο τὸ βλάσφημον τοῦτο ῥῆμα καὶ πολλῆς γέμον τῆς ἀνοίας, ὅτι ἡ ἀσώματος φύσις καὶ νοερὰ σωμάτων συμπλοκῆς ἠνέσχετο;

3. Ἀλλ' ἵνα μὴ ἐπὶ πολὺ ταῦτα κινοῦντες καὶ αὐτοὶ δόξωμεν εἰκῇ τὸν χρόνον κατατρίβειν, φέρε ἐπειδὴ διὰ τῶν πραγμάτων ἐπληροφορήσαμεν ὑμῶν τὴν ἀγάπην, ὡς τῶν ἀδυνάτων τοῦτο καθέστηκε, τὴν ἀλήθειαν τῶν ἐγκειμένων διδάξωμεν ὑμᾶς, πάλιν ἀναγνόντες τὰ παρὰ τῆς θείας Γραφῆς εἰρημένα. «Καὶ ἐγένετο», φησίν, «ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς· ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο». Προλαβόντες ἐδιδάξαμεν ὑμᾶς, ὅτι

8. Ματθ. 22, 30.

9. Ἀναφέρεται εἰς τὸν προφήτην Δανιὴλ (Δαν. 10, 7-11).

κείνην καὶ ἔχουν καταντήσει ἀπὸ τοὺς στερημένους τὴν τιμήν, εἶναι φανερὸν εἰς ὅλους. Ἄλλωστε δὲ ποίαν μεγάλην ἀνοησίαν δὲν θὰ περιέχῃ τὸ νὰ λέγουν, ὅτι οἱ ἄγγελοι ἐκρημνίσθησαν διὰ τὴν συνουσίαν μὲ τὰς γυναῖκας καὶ ἡ ἀσώματος ἐκείνη φύσις ὑπετάχθη εἰς τὴν ἐπιμελείαν τῶν σωμάτων; Ἢ δὲν ἀκούεις τὸν Χριστόν, ὁ ὁποῖος λέγει διὰ τὴν οὐσίαν τῶν ἀγγέλων· «Κατὰ τὴν ἀνάστασιν οὔτε νυμφεύονται, οὔτε ὑπανδρεύονται, ἀλλὰ εἶναι ὡσὰν ἄγγελοι τοῦ Θεοῦ»[8]; Οὔτε βεβαίως ἦτο δυνατὸν νὰ δεχθῇ ποτὲ τέτοιαν ἐπιθυμίαν ἡ ἀσώματος ἐκείνη φύσις. Ἐπὶ πλέον δὲ πρέπει νὰ κατανοήσωμεν καὶ ἐκεῖνο, ὅτι ὁπωσδήποτε εἶναι ἀπρεπέστατον νὰ δεχθοῦμεν αὐτὸ μὲ τὴν σκέψιν μας. Διότι, ἐὰν οἱ ἅγιοι, οἱ ὁποῖοι εἶχαν ἀξιωθῆ τὸ Ἅγιον Πνεῦμα, δὲν ἠμπόρεσαν νὰ ἰδοῦν οὔτε τὴν ὄψιν τῶν ἀγγέλων· καθόσον πράγματι ὁ ἄνθρωπος τῶν ἐπιθυμιῶν, ὅταν εἶδε παρουσίαν ἀγγέλου, ὄχι τὴν ἰδίαν τὴν οὐσίαν του (διότι πῶς εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς ἀσώματον οὐσίαν;), ἀλλὰ αὐτὴν ποὺ ἤλλαξε σχῆμα, ἔχασε σχεδὸν τὴν ἐνέργειάν του καὶ αὐτὴν τὴν ζωήν, καὶ ὁ τόσον ἰσχυρὸς καὶ τόσον μέγας ἄνθρωπος ἔκειτο σχεδὸν νεκρός[9]· ποῖος θὰ ἠμποροῦσε νὰ δεχθῇ, καὶ ἂν ἀκόμη εἶναι ὑπερβολικὰ παράφρων, τὰ βλάσφημα αὐτὰ λόγια καὶ πολὺ ἀνόητα, ὅτι δηλαδὴ ἡ ἀσώματος καὶ νοερὰ φύσις τῶν ἀγγέλων ἠνέχθη καὶ τὴν σαρκικὴν μεῖξιν τῶν ἀνθρωπίνων σωμάτων;

3. Ἀλλὰ διὰ νὰ μὴ φανοῦμεν ὅτι σπαταλῶμεν ἄσκοπα τὸν χρόνον ἀναφερόμενοι ἐπὶ πολὺ εἰς αὐτά, ἐμπρός, ἀφοῦ ἐπληροφορήσαμεν τὴν ἀγάπην σας μὲ τὰ ἴδια τὰ πράγματα, ὅτι αὐτὸ ἔχει καταστῇ ἀδύνατον, ἂς διδάξωμεν τὴν ἀλήθειαν τοῦ κειμένου, ἀφοῦ ἀναγνώσωμεν πάλιν τὰ λεχθέντα ἀπὸ τὴν Ἁγίαν Γραφήν. «Καὶ συνέβη, λέγει, ὅταν ἤρχισαν οἱ ἄνθρωποι νὰ γίνωνται πολλοὶ ἐπάνω εἰς τὴν γῆν καὶ ἀπέκτησαν θυγατέρας· ὅταν οἱ υἱοὶ τοῦ Θεοῦ εἶδαν τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι εἶναι ὡραῖαι, ἔλαβαν γυναῖκας ἀπὸ ἐκείνας, ποὺ ἐξεχώρισαν». Προηγουμένως σᾶς ἐδιδάξαμεν, ὅτι ἡ Ἁγία Γραφὴ συνη-

ἔθος τῇ Γραφῇ, καὶ τοὺς ἀνθρώπους υἱοὺς Θεοῦ καλεῖν. Ἐπεὶ οὖν ἀπὸ τοῦ Σὴθ οὗτοι κατῆγον τὸ γένος, καὶ ἀπὸ τοῦ ὑπ' αὐτοῦ τεχθέντος καὶ προσαγορευθέντος Ἐνώς· «Οὗτος γάρ», φησίν, «ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ»· ἐξ ἐκείνου λοιπὸν οἱ ἑξῆς τικτόμενοι υἱοὶ Θεοῦ προσηγορεύθησαν παρὰ τῆς θείας Γραφῆς, διὰ τὸ μιμεῖσθαι μέχρις ἐκείνου τῶν προγόνων τὴν ἀρετήν· υἱοὺς δὲ ἀνθρώπων ἐκάλεσε τοὺς πρὸ τοῦ Σὴθ γεγονότας, τοὺς ἀπὸ τοῦ Κάϊν, καὶ τοὺς ἐξ ἐκείνου τὸ γένος κατάγοντας. «Ἐγένετο γάρ», φησίν, «ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς»· ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ, οἱ ἀπὸ τοῦ Σὴθ καὶ τοῦ Ἐνώς, τὰς θυγατέρας τῶν ἀνθρώπων, ἐκείνας τὰς ὑπ' ἐκείνων τεχθείσας, περὶ ὧν εἶπεν, ὅτι «Καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς», ὅτι καλαί εἰσιν. Ὅρα πῶς διὰ τῆς λέξεως ταύτης πᾶσαν ἡμῖν αὐτῶν τὴν ἀσέλγειαν ἐνέφηνεν. Οὐδὲ γὰρ δι' ἐπιθυμίαν παιδοποιίας ἐπὶ τὴν πρᾶξιν ταύτην ὥρμησαν, ἀλλὰ δι' ἀκρασίαν ἡδονῆς· «Ἰδόντες γάρ», φησί, «τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν». Ἡ ἐπιθυμία τῆς εὐμορφίας εἰς τὸν ὄλεθρον αὐτοὺς τοῦτον ἤνεγκε, καὶ τὸ κάλλος τῆς ὄψεως καὶ τῆς πορνείας καὶ τῆς ἀσελγείας αὐτοῖς γεγένηται αἴτιον. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ προσέθεσεν· «Ἔλαβον δὲ ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο». Καὶ τοῦτο πάλιν ἐμφαίνοντός ἐστι τὴν πολλὴν αὐτῶν ἀσέλγειαν, ὅτι τῷ κάλλει ἡττήθησαν, καὶ χαλινὸν ἐπιθεῖναι τῇ ἀτάκτῳ ἐπιθυμίᾳ οὐκ ἠβουλήθησαν· ἀλλὰ ὑποβρύχιοι γεγόνασι ὑπὸ τῆς θέας χειρωθέντες, καὶ διὰ τὴν παράνομον ταύτην πρᾶξιν ἐρήμους ἑαυτοὺς καταστήσαντες τῆς ἄνωθεν προνοίας. Καὶ ἵνα μάθωμεν ὅτι οὐ νόμῳ γάμου, οὐδὲ παιδοποιίας ἕνεκεν τοῦτο διεπράξαντο, διὰ τοῦτό φησιν· «Ἰδόντες ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο». Τί οὖν; τῶν

10. Γεν. 4, 26.

θίζει νὰ ὀνομάζῃ καὶ τοὺς ἀνθρώπους υἱοὺς τοῦ Θεοῦ. Ἐπειδὴ λοιπὸν αὐτοὶ κατήγοντο ἀπὸ τὴν γενεὰν τοῦ Σήθ, καὶ ἀπὸ τὸν υἱόν του, ποὺ ὠνομάσθη Ἐνώς· «διότι αὐτός, λέγει, ἤλπισεν ὅτι θὰ προσεύχεται εἰς τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ»[10]· ὅσοι λοιπὸν ἐγεννῶντο εἰς τὸ ἑξῆς ἀπὸ ἐκεῖνον ὠνομάσθησαν ἀπὸ τὴν Ἁγίαν Γραφὴν υἱοὶ τοῦ Θεοῦ, ἐπειδὴ ἐμιμοῦντο τὴν ἀρετὴν τῶν προγόνων των μέχρις ἐκεῖνον· υἱοὺς δὲ τῶν ἀνθρώπων ὠνόμασε τοὺς γεννηθέντας πρὶν ἀπὸ τὸν Σήθ, τοὺς γεννηθέντας ἀπὸ τὸν Κάϊν καὶ τοὺς ἀνήκοντας εἰς τὴν γενεάν του. «Καὶ συνέβη, λέγει, ὅταν ἤρχισαν οἱ ἄνθρωποι νὰ γίνωνται πολλοὶ ἐπάνω εἰς τὴν γῆν καὶ ἀπέκτησαν θυγατέρας·» ὅταν δὲ εἶδαν οἱ υἱοὶ τοῦ Θεοῦ, οἱ καταγόμενοι ἀπὸ τὸν Σὴθ καὶ τὸν Ἐνώς, τὰς θυγατέρας τῶν ἀνθρώπων, ἐκείνας δηλαδὴ ποὺ ἐγεννήθησαν ἀπὸ αὐτούς, διὰ τὰς ὁποίας εἶπεν, ὅτι «Καὶ θυγατέρας ἀπέκτησαν αὐτοί»,ὅτι εἶναι ὡραῖαι. Πρόσεχε πῶς μὲ τὴν λέξιν αὐτὴν μᾶς ἐφανέρωσεν ὅλην τὴν ἀσέλγειαν αὐτῶν. Διότι δὲν ὥρμησαν εἰς τὴν πρᾶξιν αὐτὴν ἐπειδὴ ἐπεθύμησαν νὰ ἀποκτήσουν παιδιά, ἀλλὰ ἐξ αἰτίας τῆς ἀκρατείας τῆς ἡδονῆς, «διότι εἶδαν, λέγει, ὅτι αἱ θυγατέρες τῶν ἀνθρώπων εἶναι ὡραῖαι». Ἡ ἐπιθυμία τῆς ὀμορφιᾶς ὡδήγησεν αὐτοὺς εἰς τὴν καταστροφὴν αὐτὴν καὶ ἡ ὀμορφιὰ τοῦ προσώπου ἔχει γίνει ἡ αἰτία καὶ τῆς πορνείας καὶ τῆς ἀσελγείας αὐτῶν. Καὶ δὲν ἠρκέσθη οὔτε εἰς αὐτό, ἀλλὰ ἐπρόσθεσεν· «Ἔλαβαν δὲ γυναῖκας ἀπὸ ἐκείνας, ποὺ ἐξεχώρισαν». Καὶ αὐτὸ πάλιν φανερώνει τὴν μεγάλην ἀσέλγειάν των, ὅτι ἐνικήθησαν ἀπὸ τὴν ὀμορφιὰν καὶ δὲν ἠθέλησαν νὰ θέσουν χαλινάρι εἰς τὴν ἄτακτον ἐπιθυμίαν των· ἀλλὰ κατεποντίσθησαν αἰχμαλωτισθέντες ἀπὸ τὴν θέαν, καὶ ἐξ αἰτίας τῆς παρανόμου αὐτῆς πράξεως ἀπογυμνώσαντες τοὺς ἑαυτούς των ἀπὸ τὴν πρόνοιαν τοῦ Θεοῦ. Καὶ διὰ νὰ μάθωμεν, ὅτι δὲν ἔκαμαν τοῦτο οὔτε μὲ νόμιμον γάμον, οὔτε ἕνεκα τῆς ἐπιθυμίας νὰ ἀποκτήσουν παιδιά, διὰ τοῦτο λέγει· «Ὅταν εἶδαν ὅτι εἶναι ὡραῖαι, ἔλαβαν διὰ τὸν ἑαυτόν τους γυναῖκας ἀπὸ ἐκείνας, ποὺ ἐξεχώρισαν». Τί λοιπόν; θὰ ἠμποροῦσε κανεὶς νὰ κατη-

ὀφθαλμῶν τὴν θέαν ἄν τις αἰτιάσαιτο; Οὐδαμῶς· οὐδὲ γὰρ ὁ ὀφθαλμὸς τοῦ ὀλίσθου αἴτιος γέγονεν, ἀλλ' ἡ τῆς προαιρέσεως ῥᾳθυμία, καὶ τὸ τῆς ἐπιθυμίας ἀχαλίνωτον. Ὁ γὰρ ὀφθαλμὸς διὰ τοῦτο ἐδημιουργήθη, ὥστε διὰ τούτου κατοπτεύσαντας τὰ τοῦ Θεοῦ δημιουργήματα, δοξάζειν τὸν τούτων ποιητήν. Τοῦ ὀφθαλμοῦ τοίνυν ἐστὶν ἔργον τὸ ὁρᾶν· τὸ δὲ κακῶς ὁρᾶν ἀπὸ τοῦ ἔνδοθεν ἡνιοχοῦντος λογισμοῦ γίνεται. Τὰ γὰρ μέλη πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἡμῖν εἶναι χρήσιμα ἐδημιούργησεν ὁ Δεσπότης, καὶ ἡνιοχεῖσθαι συνεχώρησεν ὑπὸ τῆς ἀσωμάτου οὐσίας, τῆς ψυχῆς λέγω. Ἐπειδὰν οὖν ἐκείνη εἰς ῥᾳθυμίαν ἀποκλίνῃ, καὶ τὰς ἡνίας χαλάσῃ, καθάπερ ἡνίοχος οὐκ εἰδὼς τὰ ἄτακτα τῶν ἵππων σκιρτήματα καταστέλλειν, ταῖς ἡνίαις ἐνδοὺς καὶ τοὺς ἵππους τοὺς τὸ ἅρμα ἕλκοντας καὶ ἑαυτὸν κατακρημνίζει· οὕτω δὴ καὶ ἡ προαίρεσις ἡ ἡμετέρα, ἐπειδὰν μὴ εἰδῇ τοῖς μέλεσι δεόντως κεχρῆσθαι, ταῖς ἀτάκτοις ἐπιθυμίαις ἐνδοῦσα ὑποβρύχιον ἑαυτὴν ἐργάζεται. Διὰ τοῦτο ὁ Δεσπότης ἡμῶν Χριστὸς εἰδὼς τῆς φύσεως ἡμῶν τὸ εὐεπηρέαστον καὶ τῆς προαιρέσεως τὴν ῥᾳθυμίαν, νόμον ἔθηκεν ἀποτειχίζοντα καὶ κωλύοντα τὴν περίεργον θεωρίαν, ἵνα ἐκ πολλοῦ τοῦ διαστήματος τὴν ἐν ἡμῖν τικτομένην πυρὰν σβέσῃ, καί φησιν· «Ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Διὰ τοῦτο, φησίν, ἀπαγορεύω τὴν ἀκόλαστον ὄψιν, ἵνα ἐλευθερώσω τῆς ἀτόπου πράξεως. Μὴ γὰρ δὴ νομίσῃς, φησίν, ὅτι ἡ συμπλοκὴ μόνον τὴν ἁμαρτίαν ἐργάζεται· ἡ γνώμη ἐστὶν ἡ τὴν κατάκρισιν δεχομένη. Καὶ οὗτοι τοίνυν ἐπειδὴ τὸ κάλλος εἴδοσαν, ἑάλωσαν τῇ θέᾳ. «Εἶδον γάρ», φησίν, «ὅτι καλαί εἰσι, καὶ ἔλαβον ἑαυτοῖς ἀπὸ πασῶν, ὧν ἐξελέξαντο». Ἀλλ' ἴδωμεν καὶ μετὰ τὴν ἄτοπον ταύτην πρᾶξιν, καὶ τὴν ἀκόλαστον γνώμην, τοῦ Θεοῦ τὴν ἀγαθότητα. «Καὶ εἶπε», φησί, Κύριος ὁ Θεός· οὐ μὴ καταμεί-

11. Ματθ. 5, 28.

γορήση τὴν θέαν τῶν ὀφθαλμῶν; Καθόλου· βέβαια δὲν ἔγινεν αἰτία τοῦ σφάλματος ὁ ὀφθαλμός, ἀλλὰ ἡ ἀδιαφορία τῆς προαιρέσεως καὶ ἡ ἀχαλίνωτος ἐπιθυμία. Διότι ὁ ὀφθαλμὸς δι' αὐτὸ ἐδημιουργήθη, ὥστε, ἀφοῦ μὲ αὐτὸν παρατηροῦμεν τὰ δημιουργήματα τοῦ Θεοῦ, νὰ δοξάζωμεν τὸν δημιουργόν των. Ἔργον λοιπὸν τοῦ ὀφθαλμοῦ εἶναι νὰ βλέπῃ· τὸ νὰ βλέπῃ ὅμως μὲ πονηρίαν, τοῦτο γίνεται ἀπὸ τὸν νοῦν, ὁ ὁποῖος κατευθύνει ἀπὸ μέσα. Διότι ὁ Θεὸς ἐδημιούργησε τὰ μέλη τοῦ σώματος διὰ νὰ εἶναι χρήσιμα εἰς τὴν ἐκτέλεσιν τῶν ἀγαθῶν πράξεων καὶ ἐπέτρεψε νὰ κατευθύνωνται ἀπὸ τὴν ἀσώματον οὐσίαν, δηλαδὴ τὴν ψυχήν. Ὅταν λοιπὸν ἐκείνη στραφῇ πρὸς τὴν ὀκνηρίαν καὶ χαλαρώσῃ τὰ ἡνία, ὅπως ἀκριβῶς ὁ ἡνίοχος ποὺ δὲν γνωρίζει νὰ συγκρατήσῃ τὰ ἄτακτα σκιρτήματα τῶν ἀλόγων, ἀφοῦ χαλαρώσῃ τὰ ἡνία κατακρημνίζει καὶ τὰ ἄλογα ποὺ σύρουν τὸ ἅρμα καὶ τὸν ἑαυτόν του· ἔτσι λοιπὸν καὶ ἡ ἰδική μας προαίρεσις, ὅταν δὲν γνωρίζῃ νὰ μεταχειρίζεται τὰ μέλη τοῦ σώματος, ὅπως πρέπει, ὑποχωροῦσα εἰς τὰς ἀτάκτους ἐπιθυμίας, καταποντίζεται. Διὰ τοῦτο ὁ Κύριος ἡμῶν Χριστός, ἐπειδὴ ἐγνώριζε τὸν εὔκολον ἐπηρεασμὸν τῆς φύσεώς μας καὶ τὴν ἀδιαφορίαν τῆς προαιρέσεως, ἔθεσε νόμον, ὁ ὁποῖος ἀποφράσσει καὶ ἐμποδίζει τὴν περίεργον θέαν, διὰ νὰ σβήσῃ τὴν φλόγα, ἡ ὁποία ἀπὸ μεγάλην ἀπόστασιν ἀνάπτει μέσα μας, καὶ λέγει· «Ἐκεῖνος, ὁ ὁποῖος εἶδε γυναῖκα διὰ νὰ τὴν ἐπιθυμήσῃ πρὸς ἁμαρτίαν, ἤδη ἐμοίχευσεν αὐτὴν μέσα εἰς τὴν καρδίαν του»[11]. Διὰ τοῦτο, λέγει, ἀπαγορεύω τὴν ἀκόλαστον θέαν, διὰ νὰ σᾶς ἀπαλλάξω ἀπὸ τὴν ἀπρεπῆ πρᾶξιν. Μὴ λοιπὸν νομίσῃς, λέγει, ὅτι μόνον ἡ σαρκικὴ μεῖξις ἐπιφέρει τὴν ἁμαρτίαν· ἡ γνώμη, ἡ ὁποία δέχεται τὴν κατάκρισιν, εἶναι ἐκείνη ποὺ τὴν προκαλεῖ. Καὶ αὐτοὶ λοιπὸν ἐπειδὴ ἐγνώρισαν τὴν ὀμορφιάν, ἠχμαλωτίσθησαν ἀπὸ τὴν θέαν. «Διότι εἶδαν, λέγει, ὅτι εἶναι ὡραῖαι καὶ ἔλαβαν γυναῖκας ἀπὸ ἐκείνας, ποὺ ἐξεχώρισαν». Ἀλλὰ ἂς ἰδοῦμεν, καὶ ὕστερα ἀπὸ τὴν ἀπρεπῆ αὐτὴν πρᾶξιν καὶ τὴν ἀκόλαστον γνώμην, τὴν ἀγαθότητα τοῦ Θεοῦ. «Καὶ εἶπε, λέγει,

νη τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι». Ἄβυσσον φιλανθρωπίας ἔστιν ἰδεῖν ἐν τοῖς βραχέσι τούτοις ῥήμασι. «Καὶ εἶπε», φησί, «Κύριος ὁ Θεός· οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας». Τὸ Πνεῦμα ἐνταῦθα τὴν προνοητικὴν αὐτοῦ δύναμιν ἐκάλεσε, τὴν ἀπώλειαν αὐτῶν ἤδη προμηνύων. Καὶ ἵνα μάθῃς ὅτι περὶ τούτου ἦν ὁ λόγος, ὅρα τὸ ἐπαγόμενον. «Διὰ τὸ εἶναι αὐτούς», φησί, «σάρκας»· τουτέστι, διὰ τὸ σαρκικαῖς πράξεσιν αὐτοὺς καταδεδαπανῆσθαι, καὶ μὴ εἰς δέον κεχρῆσθαι τῇ τῆς ψυχῆς οὐσίᾳ, ἀλλ' ὡς σάρκα μόνον περικειμένους καὶ ψυχῆς ἐρήμους ὄντας, οὕτω τὸν ἑαυτῶν βίον καταναλίσκειν. Ἔθος γὰρ ἀεὶ τῇ θείᾳ Γραφῇ σάρκα τοὺς σαρκικοὺς καλεῖν, ὥσπερ τοὺς ἐναρέτους ἀσάρκους ὀνομάζειν, καθάπερ ὁ Παῦλός φησιν, «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί»· οὐκ ἐπειδὴ σάρκα οὐ περιέκειντο, ἀλλ' ἐπειδὴ σάρκα περικείμενοι ἀνώτεροι τῶν σαρκικῶν ἦσαν φρονημάτων. Ὥσπερ οὖν καὶ τοῖσδε διὰ τὸ ὑπερορᾶν τῶν σαρκικῶν ἔλεγεν· «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί»· οὕτω καὶ ἐπὶ τούτων, ἐπειδὴ περὶ τὰς σαρκικὰς πράξεις διηνεκῶς ἦσαν ἠσχολημένοι, σάρκας αὐτοὺς ἐκάλεσε. Διὰ τὸ εἶναι αὐτοὺς σάρκας, οὐκ ἔτι συγχωρήσω ταῖς ἁμαρτίαις αὐτοὺς καταρρυπαίνεσθαι.

4. Εἶδες ἀγανακτήσεως μέγεθος; εἶδες ἀπειλῆς ὑπερβολήν; Σκόπει πῶς τῇ ἀπειλῇ καὶ τῇ ἀγανακτήσει τὴν φιλανθρωπίαν ἔμιξε. Τοιοῦτος γὰρ ὁ Δεσπότης ὁ ἡμέτερος· ἀπειλεῖ πολλάκις, οὐχ ἵνα εἰς ἔργον ἀγάγῃ τὴν ἀπειλήν, ἀλλ' ἵνα διορθωσάμενος αὐτοὺς μηκέτι τὴν ἀπειλὴν εἰς ἔργον ἐξενέγκῃ. Εἰ γὰρ ἐβούλετο τιμωρήσασθαι, τίνος ἕνεκεν καὶ προέλεγον; Ἀλλ' ἐπειδὴ μὴ βούλεται, διὰ τοῦτο ἀεὶ μέλλει καὶ

12. Ρωμ. 8, 9.

Κύριος ὁ Θεός· δὲν θὰ παραμείνῃ τὸ πνεῦμα μου εἰς τοὺς ἀνθρώπους αὐτοὺς αἰώνια, ἐπειδὴ εἶναι αὐτοὶ σαρκικοί. Θὰ εἶναι δὲ αἱ ἡμέραι τῆς ζωῆς των ἑκατὸν εἴκοσι ἔτη». Εἶναι δυνατὸν νὰ ἴδῃ κανεὶς εἰς τὰς ὀλίγας αὐτὰς λέξεις ἀπροσδιόριστον βάθος φιλανθρωπίας. «Καὶ εἶπε, λέγει, Κύριος ὁ Θεός· δὲν θὰ παραμείνῃ αἰώνια τὸ Πνεῦμα μου εἰς τοὺς ἀνθρώπους αὐτούς, ἐπειδὴ εἶναι σαρκικοί». Τὴν προνοητικὴν αὐτοῦ δύναμιν ὠνόμασεν ἐδῶ «τὸ Πνεῦμα», προαναγγέλλων ἤδη τὴν ἀπώλειαν αὐτῶν. Καὶ διὰ νὰ μάθῃς ὅτι ὁ λόγος ἔγινε δι᾽ αὐτό, πρόσεχε τὸ ἑπόμενον. «Ἐπειδὴ αὐτοὶ εἶναι σαρκικοί», λέγει· δηλαδή, ἐπειδὴ ἔχουν δαπανήσει τελείως τὸν ἑαυτόν τους εἰς τὰς σαρκικὰς πράξεις καὶ δὲν ἔχουν χρησιμοποιήσει ὅπως πρέπει τὴν οὐσίαν τῆς ψυχῆς, ἀλλὰ ὡσὰν νὰ περιβάλλωνται μόνον σάρκα καὶ νὰ εἶναι χωρὶς ψυχήν, καταναλώνουν ἔτσι τὴν ζωήν των. Συνηθίζει βεβαίως ἡ Ἁγία Γραφὴ νὰ ὀνομάζῃ σάρκα τοὺς σαρκικοὺς ἀνθρώπους, ὅπως ὀνομάζει τοὺς ἐναρέτους ἀσάρκους, καθὼς ὁ Παῦλος λέγει, «Σεῖς ὅμως δὲν εἴσθε αἰχμάλωτοι τῆς σαρκός»[12]· ὄχι ἐπειδὴ δὲν περιεβάλλοντο σάρκα, ἀλλὰ ἐπειδὴ εἶχαν φρονήματα ἀνώτερα ἀπὸ τὰς σαρκικὰς ἐπιθυμίας, ἂν καὶ περιεβάλλοντο σάρκα. Ὅπως λοιπὸν καὶ εἰς αὐτοὺς ἐδῶ ἔλεγεν, ἐπειδὴ ἐπεριφρονοῦσαν τὰς σαρκικὰς ἐπιθυμίας· «Σεῖς ὅμως δὲν εἴσθε αἰχμάλωτοι τῆς σαρκός»· ἔτσι καὶ εἰς αὐτούς, ἐπειδὴ ἠσχολοῦντο συνεχῶς μὲ τὰς σαρκικὰς πράξεις, ὠνόμασεν αὐτοὺς σαρκικούς. Ἐπειδὴ αὐτοὶ εἶναι σαρκικοί, δὲν θὰ ἐπιτρέψω πλέον νὰ ἀτιμάζωνται αὐτοὶ ἀπὸ τὰς ἁμαρτίας.

4. Εἶδες τὸ μέγεθος τῆς ἀγανακτήσεως; εἶδες ὑπερβολικὴν ἀπειλήν; Πρόσεχε πῶς ἀνέμειξε τὴν φιλανθρωπίαν μὲ τὴν ἀπειλὴν καὶ τὴν ἀγανάκτησιν. Διότι τέτοιος εἶναι ὁ ἰδικός μας Κύριος· πολλὰς φορὰς ἀπειλεῖ, ὄχι διὰ νὰ πραγματοποιήσῃ τὴν ἀπειλήν, ἀλλὰ ἀφοῦ διορθώσῃ αὐτούς, νὰ μὴ πραγματοποιήσῃ πλέον τὴν ἀπειλήν. Ἐὰν πράγματι ἤθελε νὰ τοὺς τιμωρήσῃ, διὰ ποῖον λόγον καὶ προέλεγε τὴν ἀπειλήν; Ἀλλὰ ἐπειδὴ δὲν θέλει, δι᾽ αὐτὸ

ἀναβάλλεται, καὶ προλέγει, ἀφορμὴν παρέχων τοῖς ὑπευθύνοις φυγεῖν μὲν τὴν κακίαν, ἑλέσθαι δὲ τὴν ἀρετήν, καὶ τῆς τιμωρίας τὴν πεῖραν διαφυγεῖν. Ἐπὶ οὖν ἠπείλησε τῇ παννωλεθρίᾳ αὐτοὺς παραδώσειν (τοῦτο γάρ ἐστιν, «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας»· ἀντὶ τοῦ, οὐκ ἐάσω αὐτοὺς λοιπὸν ζῆν), οὐκ ἀρκεσθεὶς τῇ τῶν πεντακοσίων ἐτῶν μακροθυμίᾳ, ἢ διὰ πάσης τῆς ζωῆς τοῦ Νῶε διὰ τῆς προσηγορίας ἐπαιδεύοντο, νῦν πάλιν ἐπιτείνων τὴν ἀγανάκτησιν, ἑτέραν αὐτοῖς προθεσμίαν ὁρίζει καὶ φησίν· ἠπειλησάμην, καὶ εἶπον. καὶ δήλην ἐποίησα τὴν ἐμὴν ἀγανάκτησιν, ἣν διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων τῶν εἰργασμένων ἐπαχθῆναι ὑμῖν ἐστιν ἀκόλουθον· ἀλλ' ἐπειδὴ καὶ τοὺς τὰ ἀνίατα ἡμαρτηκότας σωθῆναι βούλομαι, καὶ μηδένα ἀπόλλυσθαι, διὰ τοῦτο καὶ ἑκατὸν εἴκοσι ἐτῶν χρόνον πάλιν ἐνδίδωμι, ἵνα, εἰ βούλεσθε καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι διὰ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς, καὶ τὴν ἀρετὴν ἑλόμενοι, τῆς τιμωρίας τὴν πεῖραν ἐκφύγητε. «Ἔσονται γάρ», φησίν, «αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι. Οἱ δὲ γίγαντες, φησίν, ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις. Καὶ μετ' ἐκεῖνα, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς, ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί». Γίγαντας ἐνταῦθα τοὺς ἰσχυροὺς τὸ σῶμα οἶμαι λέγειν τὴν θείαν Γραφήν. Ἐξ ἐκείνων, φησίν, ἡ γενεὰ αὐτῶν ηὐξήθη. Καὶ γὰρ καὶ ἀλλαχοῦ ἐστιν ἰδεῖν εἰρημένον «Γίγαντες», φησίν, «ἔρχονται τὸν θυμόν μου παῦσαι». Τοῦτον δὲ τὸν τῶν ἑκατὸν εἴκοσι ἐτῶν ἀριθμόν τινες νομίζουσι τὸν ὅρον τῆς ζωῆς εἶναι· οὐ τοῦτο δὲ σημαίνει, ἀλλὰ τέως τὴν μακροθυμίαν ἐνδείξασθαι βούλεται, ἣν καὶ

13. Ἡσ. 13, 3.

πάντοτε ἀναβάλλει καὶ ἐπιβραδύνει καὶ προλέγει, μὲ σκοπὸν νὰ παρέχῃ εὐκαιρίαν εἰς τοὺς ὑπευθύνους νὰ ἀποφύγουν μὲν τὴν κακίαν, νὰ προτιμήσουν δὲ τὴν ἀρετὴν καὶ νὰ ἀποφύγουν τὴν δοκιμασίαν τῆς τιμωρίας. Ἐπειδὴ λοιπὸν ἠπείλησεν, ὅτι θὰ παραδώσῃ αὐτοὺς εἰς ὁλοσχερῆ καταστροφὴν (διότι αὐτὸ σημαίνει· «Δὲν θὰ παραμείνῃ τὸ Πνεῦμα μου εἰς τοὺς ἀνθρώπους αὐτούς, ἐπειδὴ εἶναι σαρκικοί»· ἀντὶ τοῦ, δὲν θὰ τοὺς ἀφήσω νὰ ζοῦν εἰς τὸ ἑξῆς), χωρὶς νὰ ἀρκεσθῇ εἰς τὴν μακροθυμίαν τῶν πεντακοσίων ἐτῶν, κατὰ τὴν ὁποίαν ἐδιδάσκοντο μὲ τὸ ὄνομα τοῦ Νῶε εἰς ὅλην τὴν ζωήν του, τώρα πάλιν ἐπαυξάνων τὴν ἀγανάκτησιν, ὁρίζει εἰς αὐτοὺς ἄλλην προθεσμίαν καὶ λέγει· σᾶς ἠπείλησα καὶ εἶπα καὶ ἔκανα φανερὰν τὴν ἀγανάκτησίν μου, ἡ ὁποία ἦτο ἑπόμενον νὰ ἐπέλθῃ ἐναντίον σας ἐξ αἰτίας τῶν πολλῶν ἁμαρτημάτων, τὰ ὁποῖα ἔχετε διαπράξει· ἐπειδὴ ὅμως θέλω νὰ σωθοῦν καὶ ἐκεῖνοι ποὺ ἔχουν διαπράξει ἀνίατα ἁμαρτήματα καὶ κανεὶς νὰ μὴ χαθῇ, διὰ τοῦτο καὶ πάλιν ὑποχωρῶ ἑκατὸν εἴκοσιν ἔτη, διὰ νὰ ἀποφύγετε τὴν δοκιμασίαν τῆς τιμωρίας, ἐὰν θέλετε νὰ ἀποπλύνετε τὰ ἁμαρτήματά σας μὲ τὴν μεταστροφὴν πρὸς τὸ ἀγαθὸν καὶ νὰ προτιμήσετε τὴν ἀρετήν. «Διότι θὰ εἶναι, λέγει, αἱ ἡμέραι τῆς ζωῆς των ἑκατὸν εἴκοσιν ἔτη. Ὑπῆρξαν δέ, λέγει, ἐπάνω εἰς τὴν γῆν γίγαντες κατὰ τὰς ἡμέρας ἐκείνας. Καὶ ἔπειτα ἀπὸ αὐτά, εὐθὺς ὡς συνευρίσκοντο οἱ υἱοὶ τοῦ Θεοῦ μὲ τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγεννοῦσαν ἐκείνους, οἱ ὁποῖοι ἦσαν οἱ παλαιοὶ γίγαντες, οἱ ἄνθρωποι οἱ ὀνομαστοί». Νομίζω, ὅτι ἡ Ἁγία Γραφὴ ὀνομάζει ἐδῶ γίγαντας τοὺς ἰσχυροὺς κατὰ τὸ σῶμα. Ἀπὸ ἐκείνους, λέγει, ηὐξήθη ἡ γενεά των. Καὶ πράγματι εἶναι δυνατὸν νὰ ἰδοῦμεν καὶ ἀλλοῦ αὐτὸ εἰπωμένον· «Γίγαντες, λέγει, ἔρχονται νὰ καταπαύσουν τὸν θυμόν μου»[18]. Μερικοὶ δὲ νομίζουν ὅτι ὁ ἀριθμὸς τῶν ἑκατὸν εἴκοσιν ἐτῶν εἶναι τὸ ὅριον τῆς ζωῆς τοῦ ἀνθρώπου· δὲν σημαίνει ὅμως αὐτό, ἀλλὰ ἐπιθυμεῖ νὰ ἐπιδείξῃ κατὰ πρῶτον τὴν μακροθυμίαν του, τὴν ὁποίαν μάλιστα ὕστερα ἀπὸ τόσα ἁμαρτήματα ἐκδηλώνει

μετὰ τοσαῦτα ἁμαρτήματα ἐπ᾽ αὐτοὺς ἐπιδείκνυται. Ἵν᾽ οὖν μάθωμεν καὶ μετὰ τὴν ἀγανάκτησιν, καὶ τὴν ἀπειλήν, καὶ τὴν τοσαύτην τοῦ χρόνου μακροθυμίαν, ἣν εἰς μετάνοιαν αὐτοῖς δέδωκεν, ὡς οὐ μόνον οὐδὲν ἐκέρδανον, ἀλλὰ καὶ τοῖς αὐτοῖς ἐπέμειναν, διὰ τοῦτό φησιν· «Ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς, ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ᾽ αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί». Εἶδες ἀγνωμοσύνης ὑπερβολήν; εἶδες ψυχὴν ἀνάλγητον; Οὔτε ὁ τῆς τιμωρίας φόβος, οὔτε ὁ τῆς μακροθυμίας χρόνος ἀπέστησεν αὐτοὺς τῶν πονηρῶν πράξεων· ἀλλ᾽ ἅπαξ κατὰ κρημνῶν κατενεχθέντες, καὶ τὸ τῆς διανοίας ὄμμα πηρωθέντες, οὐκ ἔτι λοιπόν, καθάπερ ὑπὸ μέθης τινὸς τῆς πονηρᾶς ἐπιθυμίας καταβαπτισθέντες, ἀνενεγκεῖν ἠβουλήθησαν, καθάπερ καὶ σοφός τίς φησιν· «Ἀσεβὴς ἐμπεσὼν εἰς βάθος κακῶν καταφρονεῖ». Δεινὸν γάρ, δεινόν, ἀγαπητέ, ἁλῶναι ταῖς τοῦ διαβόλου παγίσιν. Ἡ γὰρ ψυχὴ λοιπὸν καθάπερ ἐν δικτύοις ἀπειλημμένη, καὶ ὥσπερ ὗς ἐγκυλιομένη βορβόρῳ ἥδεται, οὕτω καὶ αὐτὴ ὑπὸ τῆς κακῆς συνηθείας καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἡμαρτηκότων δυσωδίας. Διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι, ὥστε μηδεμίαν τῷ πονηρῷ δαίμονι παρὰ τὴν ἀρχὴν εἴσοδον παρασχεῖν, ἵνα μὴ σκοτώσας ἡμῶν τὸν λογισμόν, καὶ τὸ διορατικὸν τῆς διανοίας ἀποτυφλώσας, παρασκευάσῃ, καθάπερ ἀπεστερημένους τοῦ ἡλιακοῦ τούτου φωτός, πρὸς τὰς ἀκτῖνας τοῦ τῆς δικαιοσύνης ἡλίου ὁρᾶν μὴ δυναμένους, κατὰ κρημνῶν φέρεσθαι, ὅπερ καὶ οὗτοι τότε πεπόνθασιν. Ἄκουε γὰρ πάλιν τῆς τοῦ Θεοῦ ἀγαθότητος τὴν ἀνεξικακίαν. «Ἰδὼν δέ», φησί, «Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς». Τί βούλεται τὸ εἰρημένον, «Ἰδὼν δέ»; Οὐκ ἐπειδὴ ἠγνόει ὁ Δεσπότης· μὴ γένοιτο· ἀλλὰ πρὸς τὴν

14. Παροιμ. 18,3.

πρὸς αὐτούς. Διὰ νὰ μάθωμεν λοιπὸν καὶ ὕστερα ἀπὸ τὴν ἀγανάκτησιν καὶ τὴν ἐπειλὴν καὶ τὴν ἐπὶ τόσον χρόνον μακροθυμίαν, τὴν ὁποίαν εἶχε δώσει εἰς αὐτοὺς διὰ νὰ μετανοήσουν, ὅτι ὄχι μόνον δὲν ἐκέρδισαν τίποτε, ἀλλὰ καὶ ἐπέμειναν εἰς τὰ ἴδια ἁμαρτήματα, διὰ τοῦτο λέγει· «Εὐθὺς ὡς συνερίσκοντο οἱ υἱοὶ τοῦ Θεοῦ μὲ τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγεννοῦσαν ἐκείνους, οἱ ὁποῖοι ἦσαν οἱ παλαιοὶ γίγαντες, οἱ ὀνομαστοὶ ἄνθρωποι». Εἶδες ὑπερβολικὴν ἀχαριστίαν; εἶδες ἀναίσθητον ψυχήν; Οὔτε ὁ φόβος τῆς τιμωρίας, οὔτε ὁ χρόνος τῆς μακροθυμίας ἀπεμάκρυνεν αὐτοὺς ἀπὸ τὰς πονηρὰς πράξεις· ἀλλὰ ἀφοῦ διὰ μίαν φορὰν κατέπεσαν εἰς τοὺς κρημνοὺς καὶ ἐτυφλώθησαν κατὰ τὸ βλέμμα τῆς διανοίας, δὲν ἠθέλησαν πλέον νὰ ἐπανέλθουν εἰς τὸ μέλλον εἰς τὴν προηγουμένην κατάστασιν, ὡσὰν νὰ ἐνεποτίσθησαν ἀπὸ κάποιαν μέθην τῆς πονηρᾶς ἐπιθυμίας, ὅπως ἀκριβῶς καὶ κάποιος σοφὸς λέγει· «Ὅταν ὁ ἀσεβὴς πέσῃ μέσα εἰς τὸ βάθος τῶν κακῶν, περιφρονεῖ τὰ πάντα»[14]. Εἶναι λοιπὸν φοβερόν, ἀγαπητέ, φοβερὸν νὰ αἰχμαλωτισθῇ κανεὶς εἰς τὰς παγίδας τοῦ διαβόλου. Διότι ἡ ψυχή, ὅπως ὅταν ἀποκλεισθῇ μέσα εἰς τὰ δίκτυα καὶ ὅπως ὁ χοῖρος εὐχαριστεῖται, ὅταν κυλίεται εἰς τὸν βόρβορον, ἔτσι καὶ αὐτὴ κατακλυσθεῖσα ἀπὸ τὴν κακὴν συνήθειαν, δὲν ἀντιλαμβάνεται οὔτε τὴν δυσωδίαν τῶν ἁμαρτημάτων. Διὰ τοῦτο πρέπει νὰ εἴμεθα νηφάλιοι καὶ ἄγρυπνοι, ὥστε νὰ μὴ ἐπιτρέψωμεν ἀπὸ τὴν ἀρχὴν καμμίαν εἴσοδον εἰς τὸν πονηρὸν δαίμονα, διὰ νὰ μὴ μᾶς κάμῃ, ἀφοῦ θανατώσῃ τὸν λογισμόν μας καὶ τυφλώσῃ τελείως τὴν ὅρασιν τῆς διανοίας, ὡσὰν νὰ ἔχωμεν στερηθῆ τὸ ὑλιακὸν αὐτὸ φῶς καὶ νὰ μὴ ἠμποροῦμεν νὰ βλέπωμεν πρὸς τὰς ἀκτῖνας τοῦ ἡλίου τῆς δικαιοσύνης, νὰ πίπτωμεν εἰς τοὺς κρημνούς, πρᾶγμα τὸ ὁποῖον βεβαίως καὶ αὐτοὶ εἶχαν πάθει τότε. Ἄκουε λοιπὸν πάλιν τὴν ἀνεξικακίαν τῆς ἀγαθότητος τοῦ Θεοῦ. «Καὶ εἶδε, λέγει, Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπάνω εἰς τὴν γῆν». Τί θέλουν νὰ μᾶς εἰποῦν αἱ λέξεις, «Καὶ εἶδε»; Ὄχι ἐπειδὴ

ἀσθένειαν τὴν ἡμετέραν ἅπαντα διηγεῖται ἡ θεία Γραφή ἵνα ἡμᾶς διδάξῃ, ὅτι καὶ μετὰ τὴν τοσαύτην αὐτοῦ μακροθυμίαν τοῖς αὐτοῖς ἐπέμενον, ἢ καὶ χείροσι περιέβαλον ἑαυτοὺς κακοῖς, φησίν· «Ἰδὼν δὲ ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς». Ἐκ γὰρ τῆς πονηρᾶς ταύτης πράξεως, καθάπερ ἀπὸ πηγῆς τινος, καὶ ἕτερα πολλὰ αὐτοῖς ἐτίκτετο ἁμαρτήματα· διὰ τοῦτό φησιν, «Αἱ κακίαι τῶν ἀνθρώπων». Ὅπου γὰρ πορνία, καὶ ἀσέλγεια, καὶ τοσαύτη ἀκολασία, εἰκὸς καὶ μέθην, καὶ παροινίαν, καὶ πολλὴν ἀδικίαν, καὶ πλεονεξίαν, καὶ τὰ μυρία τίκτεσθαι κακά. «Ἰδὼν δέ», φησί, «Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας».

5. Ὅρα πῶς ἕκαστον τῶν εἰρημένων δείκνυσι τὸ μέγεθος τῶν ἡμαρτημένων. Ἐπειδὴ γὰρ εἶπε καθολικῶς ὅτι «Ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς», ἐπήγαγε, «Καὶ πᾶς τις». Μεγάλη τοῦ ῥήματος ἡ ἔμφασις. Οὐχ ὁ νέος, φησίν, ἀλλὰ καὶ ὁ πρεσβύτης τὰ αὐτὰ τῷ νέῳ διαπράττεται· οὐδὲ ἀνὴρ μόνον, ἀλλὰ καὶ γυνή· οὐ δοῦλος, ἀλλὰ καὶ ἐλεύθερος· οὐ πλούσιος, ἀλλὰ καὶ πένης. Καὶ τό, «Διανοεῖται», πολλὴν ἔχει τὴν δύναμιν. Οὐ γὰρ ἐκ συναρπαγῆς τοῦτο ὑπομένουσιν, ἀλλ᾽ ἐν τῇ καρδίᾳ διανοούμενοι, καὶ ταῦτα καθ᾽ ἑκάστην ὥραν βουλόμενοι, καὶ ἐν τούτοις τὴν σπουδὴν ἔχοντες, καὶ οὐδὲ ἁπλῶς, καὶ ὡς ἔτυχεν ἅπαξ ἢ δεύτερον ὑποσκελισθέντες ὑπὸ τῆς ἁμαρτίας, ἵστανται τῆς κακίας, ἀλλ᾽ ἐπιμελῶς ταύτην μετέρχονται, καὶ τὰ πονηρὰ διαπράττονται· τοῦτ᾽ ἔστι μετὰ πολλῆς τῆς σπουδῆς, οὐδὲν παρέργως, οὐδὲν ἠμελημένως ὑπ᾽ αὐτῶν γίνεται, οὐδὲ πρὸς βραχὺν χρόνον, ἀλλὰ πάσας τὰς ἡμέρας, πᾶσαν αὐτῶν τὴν ζωὴν εἰς τοῦτο καταναλίσκουσιν. Εἶδες πονηρίας ἐπίτασιν; εἶδες πῶς

δὲν ἐγνώριζεν ὁ Θεός· μὴ γένοιτο νὰ εἴπουμεν κάτι τέτοιο· ἀλλὰ τὰ διηγεῖται ὅλα ἡ Ἁγία Γραφὴ ἐξ αἰτίας τῆς ἰδικῆς μας ἀδυναμίας· διὰ νὰ μᾶς διδάξῃ, ὅτι καὶ ἔπειτα ἀπὸ τὴν τόσον μεγάλην μακροθυμίαν τοῦ Θεοῦ ἐπέμεναν εἰς τὰ ἴδια ἁμαρτήματα ἢ περιέβαλαν τοὺς ἑαυτούς των καὶ μὲ χειρότερα κακά, λέγει· «Καὶ εἶδεν, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπάνω εἰς τὴν γῆν». Διότι ἀπὸ τὴν πονηρὰν αὐτὴν πρᾶξιν ὡσὰν ἀπὸ κάποιαν πηγήν, ἐγεννῶντο καὶ ἄλλα πολλὰ ἁμαρτήματα εἰς αὐτούς· διὰ τοῦτο λέγει, «Αἱ κακίαι τῶν ἀνθρώπων». Διότι ὅπου ὑπάρχει πορνεία καὶ ἀσέλγεια καὶ τόση ἀκολασία, εἶναι φυσικὸν νὰ γεννῶνται καὶ ἡ μέθη καὶ ἡ κραιπάλη καὶ ἡ μεγάλη ἀδικία καὶ πάρα πολλὰ κακά. «Καὶ εἶδε, λέγει, Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπάνω εἰς τὴν γῆν καὶ κάθε ἄνθρωπος συλλογίζεται μὲ ἐπιμέλειαν εἰς τὸ βάθος τῆς καρδίας του τὸ κακὸν ὅλας τὰς ἡμέρας».

5. Πρόσεχε, πῶς κάθε λέξις ἀποδεικνύει τὸ μέγεθος τῶν ἁμαρτημάτων. Ἐπειδὴ λοιπὸν εἶπε γενικῶς, ὅτι «Ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπάνω εἰς τὴν γῆν», ἐπρόσθεσε, «Καὶ ὁ καθένας». Εἶναι μεγάλη ἡ ἔμφασις τῶν λέξεων. Ὄχι μόνον ὁ νέος, ἀλλὰ καὶ ὁ γέρων διαπράττει τὰ ἴδια μὲ τὸν νέον· ὄχι μόνον ὁ ἄνδρας, ἀλλὰ καὶ ἡ γυναῖκα· ὄχι μόνον ὁ δοῦλος, ἀλλὰ καὶ ὁ ἐλεύθερος· ὄχι μόνον ὁ πλούσιος, ἀλλὰ καὶ ὁ πτωχός. Καὶ τό, «Συλλογίζεται», ἔχει μεγάλην δύναμιν. Δὲν ὑπομένουν βέβαια αὐτὸ ἀπὸ ἀπερισκεψίαν, ἀλλὰ ἀφοῦ συλλογίζωνται εἰς τὴν καρδίαν των καὶ σκέπτωνται αὐτὰ κάθε στιγμὴν καὶ σπεύδουν εἰς αὐτὰ· καὶ δὲν στέκονται εἰς τὴν κακίαν ἁπλὰ καὶ τυχαῖα, ἐπειδὴ ὑπεσκελίσθησαν διὰ μίαν ἢ δευτέραν σοφὰν ἀπὸ τὴν ἁμαρτίαν, ἀλλὰ ἀσκοῦν αὐτὴν μὲ ἐπιμέλειαν καὶ διαπράττουν τὰς πονηρὰς πράξεις· δηλαδὴ μὲ μεγάλην φροντίδα, τίποτε δὲν γίνεται ἀπὸ αὐτοὺς παρεμπιπτόντως καὶ μὲ ἀμέλειαν, οὔτε δι' ὀλίγον χρόνον, ἀλλὰ ὅλας τὰς ἡμέρας, ὅλην των τὴν ζωὴν σπαταλοῦν εἰς αὐτό. Εἶδες τὴν ἔντασιν τῆς πονηρίας; εἶδες

μελέτην τὸ πρᾶγμα ἐποιοῦντο, ἐπιμελῶς ἅπαντα τὰ πονηρὰ διαπραττόμενοι, καὶ πᾶσα ἡλικία τὴν τῆς κακίας ἐργασίαν ηὐτομόλει; «Πᾶς τις», φησίν· οὐδὲ ἡ ἄωρος ἡλικία, οὐδὲ ἡ ἀπειρόκακος ἄμοιρος ἦν, ἀλλ' εὐθέως καὶ ἐκ προοιμίων τὴν κακὴν ταύτην ἅμιλλαν πάντες ἐποιοῦντο, ἕκαστος τὸν πλησίον ὑπερβάλλεσθαι φιλονεικῶν ἐν τῇ τῶν πράξεων παρανομίᾳ. Ἐννόει γάρ μοι ἐνταῦθα τὴν ὑπερβάλλουσαν τοῦ δικαίου σοφίαν ὅτι ἐν τοσαύτῃ κακῶν συμφωνίᾳ ἴσχυσε τὴν λύμην διαφυγεῖν, καὶ μηδεμίαν ἐντεῦθεν δέξασθαι βλάβην, ἀλλὰ καθάπερ ἐξ ἑτέρας φύσεως συγκείμενος, οὕτως ἐρρωμένον φρόνημα ἀναλαβών, καὶ οἴκοθεν ἐπὶ τὴν τῆς ἀρετῆς κατόρθωσιν σπεύσας, καὶ τὴν κακὴν αὐτῶν συμφωνίαν διέφυγε, καὶ τῆς κατὰ πάντων ἐνεχθείσης πανωλεθρίας ἐκτὸς γέγονε. «Καὶ ἐνεθυμήθη», φησί, «Κύριος ὁ Θεός, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς». Ὅρα πάλιν λέξεως παχύτητα καὶ συγκατάβασιν. Ἐνεθυμήθη, φησίν, ἀντὶ τοῦ μεταμελήθη· οὐκ ἐπειδὴ μεταμελεῖται Θεός· μὴ γένοιτο· ἀλλὰ κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην ἡμῖν διαλέγεται ἡ θεία Γραφή, ἵνα διδάξῃ ἡμᾶς, ὅτι ἡ ὑπερβολὴ τῶν ἡμαρτημένων αὐτοῖς εἰς τοσαύτην ἀγανάκτησιν τὸν φιλάνθρωπον Θεὸν ἤγαγε. «Καὶ ἐνεθυμήθη», φησί, «Κύριος ὁ Θεός, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς». Μὴ γὰρ διὰ τοῦτο, φησί, αὐτὸν παρήγαγον, ἵνα εἰς τοσοῦτον ὄλισθον κατενεχθεὶς ἀπωλείας ἑαυτῷ αἴτιος καταστῇ; Διὰ τοῦτο ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τοσαύτης ἠξίωσα αὐτὸν τῆς τιμῆς, καὶ τοσαύτην περὶ αὐτὸν ἐπεδειξάμην τὴν πρόνοιαν ἵνα τὴν ἀρετὴν ἑλόμενος ἐκτὸς τῆς ἀπωλείας γένηται. Ἐπειδὴ δὲ οὐκ εἰς δέον ἐχρήσατο τῇ φιλανθρωπίᾳ τῇ ἐμῇ, βέλτιον λοιπὸν ἐκκοπῆναι αὐτοῦ τὴν κακὴν ἐπιχείρησιν. «Καὶ διενο-

πῶς ἔκαμαν τὸ πρᾶγμα αὐτὸ ἐπιστήμην, διαπράττοντες ὅλας τὰς πονηρὰς πράξεις μὲ ἐπιμέλειαν καὶ κάθε ἡλικία ἔσπευδε πρὸς τὴν διάπραξιν τῆς κακίας; «Ὁ καθένας», λέγει· οὔτε οἱ ἀνήκοντες εἰς ἀνώριμον ἡλικίαν, οὔτε οἱ μὴ ἔχοντες πεῖραν τῆς κακίας ἔμειναν ἀμέτοχοι, ἀλλὰ ἀμέσως ἀπὸ τὴν ἀρχὴν ὅλοι ἐλάμβαναν μέρος εἰς τὴν κακὴν αὐτὴν ἅμιλλαν, καὶ ὁ καθένας ἐφιλονεικοῦσε νὰ ὑπερβάλλῃ τὸν πλησίον του εἰς τὰς παρανόμους πράξεις. Πρόσεχε λοιπόν, σὲ παρακαλῶ, ἐδῶ τὴν ὑπερβολικὴν σύνεσιν τοῦ δικαίου ἀνθρώπου, διότι κατώρθωσε νὰ ἀποφύγῃ τὴν καταστροφὴν εὑρισκόμενος μέσα εἰς τόσον μεγάλην συμφωνίαν κακῶν, καὶ νὰ μὴ δεχθῇ ἀπὸ αὐτὴν καμμίαν βλάβην, ἀλλὰ ὡσὰν νὰ συνίστατο ἀπὸ ἄλλην φύσιν, ἀφοῦ ἀνέλαβεν τόσον ἰσχυρὸν φρόνημα καὶ ἔσπευσε πρὸς τὴν ἐπίτευξιν τῆς ἀρετῆς μὲ τὴν θέλησίν του, διέφυγε καὶ τὴν κακὴν συμφωνίαν αὐτῶν καὶ εὑρέθη ἔξω ἀπὸ τὴν στρεφομένην ἐναντίον ὅλων πανωλεθρίαν. «Καὶ ἐσκέφθη, λέγει, Κύριος ὁ Θεός, ὅτι ἐδημιούργησε τὸν ἄνθρωπον ἐπάνω εἰς τὴν γῆν». Πρόσεχε πάλιν τὴν παχύτητα τῆς λέξεως καὶ τὴν συγκατάβασιν τοῦ Θεοῦ. Ἐσκέφθη, λέγει, ἀντὶ τοῦ ἐμετανόησε· ὄχι ἐπειδὴ μετανοεῖ ὁ Θεός· μὴ γένοιτο, νὰ εἰποῦμεν κάτι τέτοιο· ἀλλὰ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν μᾶς ὁμιλεῖ ἡ Ἁγία Γραφή, διὰ νὰ μᾶς διδάξῃ, ὅτι τὰ πολλὰ ἁμαρτήματά των ὡδήγησαν τὸν φιλάνθρωπον Θεὸν εἰς τόσον μεγάλην ἀγανάκτησιν. «Καὶ ἐσκέφθη, λέγει, Κύριος ὁ Θεός, ὅτι ἐδημιούργησε τὸν ἄνθρωπον ἐπάνω εἰς τὴν γῆν». Μήπως λοιπὸν δι᾽ αὐτό, λέγει, ἐδημιούργησα τὸν ἄνθρωπον, ὥστε ἐπειδὴ κατέπεσεν εἰς τόσον βαρὺ παράπτωμα νὰ καταστῇ ὁ ἴδιος αἴτιος τῆς ἀπωλείας του; Διὰ τοῦτο ἀμέσως ἀπὸ τὴν ἀρχὴν ἠξίωσα αὐτὸν τόσον μεγάλης τιμῆς καὶ ἐπέδειξα δι᾽ αὐτὸν τόσην πρόνοιαν, διὰ νὰ εὑρεθῇ ἔξω ἀπὸ τὴν καταστροφήν, ἀφοῦ προτιμήσῃ τὴν ἀρετήν. Ἐπειδὴ ὅμως δὲν ἐχρησιμοποίησεν, ὅπως ἔπρεπε, τὴν φιλανθρωπίαν μου, εἶναι καλύτερον νὰ τοὺς ἀποκοπῇ εἰς τὸ ἑξῆς ἡ διάπραξις τοῦ κακοῦ. «Καὶ ἐσκέφθη καὶ εἶπε Κύριος ὁ

ἤθη, καὶ εἶπε Κύριος ὁ Θεός· ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ, ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτούς». Τὰ παρ' ἐμαυτοῦ πάντα, φησίν, ἐπεδειξάμην. Ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγον, τὴν γνῶσιν τῶν πρακτέων καὶ τῶν μὴ πρακτέων ἐνέθηκα τῇ φύσει, τὸ αὐτεξούσιον ἐδωρησάμην, ἀφάτῳ τῇ μακροθυμίᾳ ἐχρησάμην, καὶ μετὰ τὸν πολὺν χρόνον ἐκεῖνον, καὶ τὴν ἀγανάκτησιν, καὶ τὴν ἀπειλήν, ἣν εἶπον, καὶ ἑτέραν προθεσμίαν ὥρισα, βουλόμενος αὐτοὺς εἰς αἴσθησιν ἐλθόντας τῶν οἰκείων πταισμάτων ἀνακαλέσασθαι τὴν ἐμὴν ἀγανάκτησιν· ἐπειδὴ δὲ οὐδὲ οὕτως ἐκέρδανόν τι πλέον, ἀνάγκη τὴν ἀπειλὴν εἰς ἔργον ἀγαγεῖν, καὶ παντελῆ ἐξάλειψιν αὐτῶν ἐργάσασθαι, καὶ καθάπερ ζύμην τινὰ πονηρὰν ἀφανίσαι τούτων τὸ γένος, ἵνα μὴ καὶ ταῖς εἰς τὸ ἑξῆς γενεαῖς τῆς κακίας διδάσκαλοι γένωνται. «Καὶ εἶπε Κύριος ὁ Θεός, ἀπολείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους». Ἀλλ' ἴσως εἴποι τις ἄν· τίνος ἕνεκεν τοῦ ἀνθρώπου πρὸς κακίαν ἀποκλίναντος, καὶ τὰ ἄλογα τὴν αὐτὴν αὐτῷ τιμωρίαν ὑπομένει; Εἰκότως. Μὴ γὰρ διὰ τὴν ἑαυτῶν χρείαν τὰ ἄλογα γέγονε; Διὰ τὸν ἄνθρωπον ταῦτα παρήχθη· τούτου τοίνυν ἐκ τοῦ μέσου αἰρουμένου, ποία ἐκείνων χρεία γένοιτ' ἄν; Διὰ τοῦτο καὶ ταῦτα τῆς τιμωρίας κοινωνεῖ, ἵνα μάθητε τῆς ἀγανακτήσεως τὴν ὑπερβολήν. Καὶ καθάπερ ἐξ ἀρχῆς τοῦ πρωτοπλάστου ἁμαρτόντος, ἡ γῆ τὴν κατάραν ἐδέξατο, οὕτω καὶ νῦν τοῦ ἀνθρώπου μέλλοντος ἀφανίζεσθαι, καὶ τὰ ἄλογα κοινωνεῖ τῆς τιμωρίας. Ὥσπερ δὲ εὐδοκιμοῦντος τοῦ ἀνθρώπου, καὶ ἡ κτίσις κοινωνεῖ τῇ τοῦ ἀνθρώπου εὐημερίᾳ, καθάπερ καὶ ὁ Παῦλός φησιν· «Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν

Θεός· θὰ ἐξαλείψω τὸν ἄνθρωπον, τὸν ὁποῖον ἐδημιούργησα, ἀπὸ τὸ πρόσωπον τῆς γῆς· ἀπὸ τὸν ἄνθρωπον μέχρι καὶ τὰ κτήνη, καὶ ἀπὸ τὰ ἑρπετὰ μέχρι τὰ πτηνὰ τοῦ οὐρανοῦ, διότι μετενόησα ποὺ ἐδημιούργησα αὐτούς». Ἐπέδειξα, λέγει, ὅλας τὰς ἐνεργείας μου. Ἐδημιούργησα αὐτὸν εἰς τὴν ζωὴν ἀπὸ τὸ μηδέν, ἔβαλα μέσα εἰς τὴν φύσιν του τὴν γνῶσιν τῶν πρακτέων καὶ τῶν μὴ πρακτέων, ἐχάρισα τὸ αὐτεξούσιον, ἐχρησιμοποίησα ἀνέκφραστον μακροθυμίαν, καὶ ἔπειτα ἀπὸ τὸν πολὺν ἐκεῖνον χρόνον καὶ τὴν ἀγανάκτησιν καὶ τὴν ἀπειλήν, τὴν ὁποίαν ἀνέφερα, ὥρισα καὶ ἄλλην προθεσμίαν, διότι ἤθελα νὰ ἀνακαλέσω τὴν ἀγανάκτησίν μου ἂν αὐτοὶ ἀναγνωρίσουν τὰ ἰδικά των σφάλματα· ἐπειδὴ ὅμως οὔτε ἔτσι ἐκέρδισαν κάτι περισσότερον, εἶναι ἀνάγκη νὰ πραγματοποιήσω τὴν ἀπειλὴν καὶ νὰ ἐξαλείψω ἐντελῶς αὐτοὺς καὶ νὰ ἐξαφανίσω ὡσὰν κάποιαν πονηρὰν ζύμην τὸ ἀνθρώπινον γένος, διὰ νὰ μὴ γίνωνται καὶ εἰς τὰς ἑπομένας γενεὰς διδάσκαλοι τῆς κακίας. «Καὶ εἶπε Κύριος ὁ Θεός, θὰ ἐξαλείψω τὸν ἄνθρωπον, τὸν ὁποῖον ἐδημιούργησα, ἀπὸ τὸ πρόσωπον τῆς γῆς, ἀπὸ τὸν ἄνθρωπον μέχρι τὰ ζῶα». Ἀλλ' ἴσως θὰ ἠμποροῦσε νὰ εἰπῇ κάποιος· διὰ ποῖον λόγον, ἐνῷ ὁ ἄνθρωπος ἐξετράπη πρὸς τὴν ἁμαρτίαν, ὑπομένουν καὶ τὰ ζῶα τὴν ἰδίαν μὲ αὐτὸν τιμωρίαν; Εἶναι εὔλογον. Μήπως λοιπὸν τὰ ζῶα ἔγιναν διὰ τὴν ἰδικήν των ὠφέλειαν; Διὰ τὸν ἄνθρωπον ἐδημιουργήθησαν αὐτά· ἀφοῦ λοιπὸν ἐκλείπει αὐτὸς ἀπὸ τὸ μέσον, ποία θὰ ἠμποροῦσε νὰ εἶναι ἡ ὠφέλεια ἐκείνων; Διὰ τοῦτο γίνονται μέτοχα τῆς τιμωρίας καὶ τὰ ζῶα, διὰ νὰ μάθετε τὸ μέγεθος τῆς ἀγανακτήσεώς του. Καὶ ὅπως ἀκριβῶς ἀπὸ τὴν ἀρχὴν ἐδέχθη τὴν κατάραν ἡ γῆ, ὅταν ἡμάρτησεν ὁ πρωτόπλαστος, ἔτσι καὶ τώρα, ὅταν πρόκειται νὰ ἀφανισθῇ ὁ ἄνθρωπος, συμμετέχουν καὶ τὰ ζῶα εἰς τὴν τιμωρίαν. Ὅπως δὲ ὅταν προκόπτῃ ὁ ἄνθρωπος, καὶ ἡ κτίσις συμμετέχει εἰς τὴν εὐτυχίαν τοῦ ἀνθρώπου, καθὼς καὶ ὁ Παῦλος λέγει· «Ὅτι καὶ αὐτὴ ἡ κτίσις θὰ ἐλευθερωθῇ ἀπὸ τὴν ὑποδούλωσιν εἰς τὴν φθοράν, διὰ νὰ λάβῃ μέρος εἰς τὴν ἐλευθερίαν τῆς ἐνδό-

τῶν τέκνων τῆς δόξης τοῦ Θεοῦ· οὕτω καὶ νῦν διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων μέλλοντος τούτου κολάζεσθαι καὶ πανωλεθρίᾳ παραδίδοσθαι, καὶ τὰ κτήνη, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ συναπολαύει τοῦ κλυδωνίου τοῦ πᾶσαν τὴν οἰκουμένην καταλαμβάνειν μέλλοντος. Καὶ καθάπερ ἐν οἰκίᾳ, τοῦ προεστῶτος ὑπὸ τὴν δεσποτικὴν ἀγανάκτησιν γεγονότος, καὶ τοὺς συνυπηρετοῦντας πάντας εἰκὸς κοινωνεῖν τῆς κατηφείας, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα, καθάπερ ἐν οἰκίᾳ τῶν ἀνθρώπων ἀπολλυμένων, ἅπαντα τὰ ἐν τῇ οἰκείᾳ καὶ τὰ ὑπὸ τὴν τούτου δεσποτείαν τυγχάνοντα ἀνάγκη ὑπὸ τὴν αὐτὴν τιμωρίαν πεσεῖν. «Καὶ ἐνεθυμήθην», φησίν, «ὅτι ἐποίησα αὐτούς». Πόσης συγκαταβάσεως τουτὶ πεπλήρωται τὸ ῥῆμα; Μὴ γὰρ ἐβουλόμην, φησί, τοσαύτῃ τιμωρίᾳ αὐτοὺς περιβαλεῖν; Αὐτοί με τῇ ὑπερβολῇ τῆς παρανομίας εἰς τοσαύτην ἐξήνεγκαν τὴν ἀγανάκτησιν. Εἶτα ἵνα μὴ νομίσωμεν ἀφανισμὸν παντελῆ τοῦ τῶν ἀνθρώπων γίνεσθαι γένους, μηδὲ πρόρριζον τὴν ἡμετέραν φύσιν ἀφανίζεσθαι, ἀλλὰ μάθωμεν ὅσον κακὸν ἁμαρτία, καὶ ὅσον ἀγαθὸν ἀρετή, καὶ ὅτι «Κρείσσων εἷς ποιῶν θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι», φησί, «Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ». Εἰ καὶ τὸ πλῆθος ἅπαν, φησί, πρὸς τοσαύτην κακίαν ἐξώκειλεν, ἀλλ' ὁ δίκαιος οὗτος τὸν σπινθῆρα τῆς ἀρετῆς διετήρησεν ὁμοῦ, καὶ τούτοις ἅπασι διὰ παντὸς τοῦ χρόνου διαλεγόμενος, καὶ παραινῶν ἀπαλλαγῆναι τῆς κακίας, καὶ ἑαυτὸν τῆς ἀπ' αὐτῶν λύμης ἐλεύθερον καθιστάς. Καὶ ὥσπερ οὗτοι διὰ τῶν πονηρῶν πράξεων εἰς ἀγανάκτησιν τὸν φιλάνθρωπον Θεὸν ἐπεσπάσαντο· οὕτω καὶ οὗτος, τὴν ἀρετὴν ἑλόμενος, «Χάριν εὗρεν ἐναντίον Κυρίου Θεοῦ». Οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός, ἀλλὰ κἂν εὕρῃ ἐν τοσούτῳ πλήθει τὰ αὐτῷ δοκοῦντα διαπραττόμενον, οὐ περιορᾷ,

15. Ρωμ. 8, 21.
16. Σοφ. Σειρ. 16, 3.

ξου καταστάσεως τῶν τέκνων τοῦ Θεοῦ»[15]· ἔτσι καὶ τώρα ἐπειδὴ ἐξ αἰτίας τῶν πολλῶν ἁμαρτημάτων του πρόκειται ὁ ἄνθρωπος νὰ τιμωρηθῇ καὶ νὰ καταστραφῇ ὁλοσχερῶς, μαζὶ καὶ τὰ ζῶα καὶ τὰ ἑρπετὰ καὶ τὰ πτηνὰ δέχονται τὸν κλυδωνισμόν, ὁ ὁποῖος πρόκειται νὰ κυριεύσῃ ὅλην τὴν οἰκουμένην. Καὶ ὅπως ἀκριβῶς εἰς τὸ σπίτι, ὅταν ὁ ἀρχηγός του εὑρεθῇ κάτω ἀπὸ τὴν ἀγανάκτησιν τοῦ Κυρίου, εἶναι φυσικὸν νὰ μετέχουν εἰς τὴν στενοχωρίαν του ὅλοι ποὺ ὑπηρετοῦν μαζί του εἰς τὸ σπίτι· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον καὶ ἐδῶ, ὡσὰν νὰ χάνωνται οἱ ἄνθρωποι εἰς τὸ σπίτι, εἶναι ἀνάγκη νὰ περιέλθουν εἰς τὴν αὐτὴν τιμωρίαν ὅλα τὰ εὑρισκόμενα μέσα εἰς τὸ σπίτι καὶ κάτω ἀπὸ τὴν ἐξουσίαν του ὄντα. «Καὶ ἐσκέφθην, λέγει, ὅτι ἐδημιούργησα αὐτούς». Πόσην συγκατάβασιν περιέχει αὐτὴ ἡ λέξις; Μήπως λοιπὸν ἤθελα, λέγει, νὰ τοὺς ἐπιβάλω τόσον μεγάλην τιμωρίαν; Αὐτοὶ μὲ τὴν ὑπερβολικήν των παρανομίαν μὲ ἔφεραν εἰς αὐτὴν τὴν μεγάλην ἀγανάκτησιν. Ἔπειτα διὰ νὰ μὴ νομίσωμεν, ὅτι ἔγινεν ὁλοσχερὴς καταστροφὴ τοῦ ἀνθρωπίνου γένους, οὔτε ὅτι ἐξηφανίσθη ἐντελῶς ἡ ἀνθρωπίνη φύσις, ἀλλὰ διὰ νὰ μάθωμεν πόσον μέγα κακὸν εἶναι ἡ ἁμαρτία καὶ πόσον μέγα ἀγαθὸν ἡ ἀρετή, καὶ ὅτι «Εἶναι προτιμότερος ὁ ἕνας ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Κυρίου, παρὰ ἄπειροι ἀσεβεῖς»[16], λέγει· «Ὁ Νῶε ὅμως ἔτυχεν εὐνοίας ἐνώπιον Κυρίου τοῦ Θεοῦ». Ἂν καὶ τὸ πλῆθος ὅλον, λέγει, παρεκτράπη εἰς τόσον μεγάλην κακίαν, ὁ δίκαιος ὅμως αὐτὸς διετήρησε τὸν σπινθῆρα τῆς ἀρετῆς καὶ συζητῶν μὲ ὅλους αὐτοὺς εἰς ὅλην τὴν διάρκειαν τοῦ χρόνου καὶ συμβουλεύων συγχρόνως αὐτοὺς νὰ απομακρυνθοῦν ἀπὸ τὴν κακίαν, καὶ καταστήσας τὸν ἑαυτόν του ἐλεύθερον ἀπὸ τὴν καταστροφὴν αὐτῶν. Καὶ ὅπως ἀκριβῶς αὐτοὶ μὲ τὰς πονηράς των πράξεις ἐπροκάλεσαν τὴν ἀγανάκτησιν τοῦ φιλανθρώπου Θεοῦ· ἔτσι καὶ αὐτός, ἐπειδὴ ἐπροτίμησε τὴν ἀρετήν, «Ἐκέρδισε τὴν χάριν ἐνώπιον Κυρίου τοῦ Θεοῦ». Δὲν εἶναι βέβαια προσωποπολήπτης ὁ Θεός, ἀλλὰ καὶ ἂν ἀκόμη συναντήσῃ ἕνα εἰς τὸ τόσον μέγα πλῆθος νὰ ἐκτελῇ τὸ θέλημά του, δὲν τὸν περιφρονεῖ,

ἀλλὰ τῆς οἰκείας αὐτὸν ἀξιοῖ προνοίας, καὶ ταύτῃ μᾶλλον πλείονα τὴν περὶ αὐτὸν κηδεμονίαν ἐπιδείκνυται, ὅσῳ, καὶ τοσούτων ὄντων τῶν ἐπὶ τὴν κακίαν ἑλκόντων, τὴν τῆς ἀρετῆς αὐτὸς ὁδὸν εἵλετο.

6. Ὁ μὴ γινώσκοντες πρὸς ἓν μόνον ὁρῶμεν τὸ αὐτῷ δοκοῦν, καὶ τὸ ποιοῦν ἡμᾶς τὴν ἐκεῖθεν εὔνοιαν ἐπισπάσασθαι, καὶ μήτε φιλίᾳ χαριζόμενοι, μήτε συνηθείᾳ τινὶ δουλεύοντες ἀμελῶμεν τῆς ἀρετῆς, ἀλλὰ τῇ τοῦ Θεοῦ μακροθυμίᾳ εἰς δέον χρησώμεθα, καὶ ὡς ἔτι καιρὸν ἔχομεν, πᾶσαν ῥᾳθυμίαν ἀποθέμενοι ποθήσωμεν τὴν ἀρετήν, μισήσωμεν τὴν κακίαν. Ἐὰν γὰρ μὴ καὶ πρὸς ταύτην πόθῳ καὶ ἐπιθυμίᾳ μετέλθωμεν, καὶ πρὸς ἐκείνην μῖσος πολὺ κτησώμεθα, οὔτε ἐκείνης τὴν λύμην διαφυγεῖν, οὐδὲ ταύτης ἐπιλαβέσθαι δυνησόμεθα. Ὅτι γὰρ ἐπιθυμούντων χρείαν ἔχει ἡ ἀρετή, καὶ ἐκκαιομένων εἰς τὸν περὶ αὐτῆς πόθον, ἄκουε τοῦ προφήτου λέγοντος· «Τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό, ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν»· οὐκ ἐπειδὴ τοσοῦτον μόνον ἐστὶν ἐπιθυμητά, ἀλλ' ἐπειδὴ τούτων τῶν ὑλῶν οὐκ ἔστιν ἑτέραν εὑρεθῆναι παρ' ἡμῖν τιμιωτέραν· διὸ καὶ ἐπήγαγε, «Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον». Καὶ ἐνταῦθα πάλιν, ἐπειδὴ μὴ εἶχε φύσιν εὑρεῖν τοῦ μέλιτος γλυκυτέραν, ταύτῃ ἐχρήσατο τῇ εἰκόνι. Καθάπερ οὖν οἱ περὶ τὴν τῶν χρημάτων συλλογὴν μεμηνότες ἐπιθυμίᾳ τινὶ καὶ πόθῳ, ἐπὶ τούτῳ πᾶσαν τὴν ὁρμὴν ἔχειν σπουδάζουσι, καὶ οὐδέποτε κόρον λαμβάνουσι· μέθη γὰρ ἀκόρεστός ἐστιν ἡ φιλαργυρία· καὶ καθάπερ οἱ μεθύοντες ὅσῳ ἂν πλείονα τὸν ἄκρατον ἑαυτοῖς ἐγχέωσιν, τοσούτῳ μᾶλλον πρὸς τὸ δίψος ἐκκαίονται· οὕτω δὴ καὶ οὗτοι τὴν μανίαν ταύτην τὴν ἀκάθεκτον οὐδέποτε στῆ-

17. Ψαλμ. 18, 10-11.

ἀλλὰ ἀξιώνει αὐτὸν τῆς ἰδικῆς του φροντίδος, καὶ ἐπιδεικνύει τόσον μεγαλυτέραν τὴν κηδεμονίαν του πρὸς αὐτόν, ὅσον μόνος του ὁ ἴδιος ἐπροτίμησε τὸν δρόμον τῆς ἀρετῆς, ἐνῷ ὑπῆρχαν τόσον πολλοὶ πού παρέσυραν αὐτὸν εἰς τὴν κακίαν.

6. Αὐτὸ λοιπὸν γνωρίζοντες, ἂς προσέχωμεν μόνον ἕνα, ἐκεῖνο πού ἀρέσει εἰς αὐτὸν καὶ μᾶς κάμει νὰ ἀποσπάσωμεν τὴν εὔνοιαν ἀπ' αὐτόν· καὶ οὔτε χαριζόμενοι εἰς τὴν φιλίαν, οὔτε ὑπακούοντες εἰς κάποιαν συνήθειαν νὰ παραμελοῦμεν τὴν ἀρετήν, ἀλλὰ νὰ χρησιμοποιοῦμεν ὅπως πρέπει τὴν μακροθυμίαν τοῦ Θεοῦ, καί, ἐπειδὴ ἔχομεν ἀκόμη χρόνον, ἀφοῦ ἀποβάλωμεν τὴν ἀδιαφορίαν, ἂς ἐπιθυμήσωμεν τὴν ἀρετὴν καὶ μισήσωμεν τὴν κακίαν. Διότι ἐὰν δὲν ἐπιδιώξωμεν μὲ ἀγάπην καὶ πόθον τὴν ἀρετὴν καὶ δὲν ἀποκτήσωμεν πολὺ μῖσος πρὸς τὴν κακίαν, δὲν θὰ ἠμπορέσωμεν οὔτε τὴν καταστροφὴν ἐκείνης νὰ ἀποφύγωμεν, οὔτε αὐτὴν νὰ ἐπιδιώξωμεν. Ὅτι λοιπὸν ἡ ἀρετὴ ἔχει ἀνάγκην ἀπὸ ἀνθρώπους, οἱ ὁποῖοι τὴν ἐπιθυμοῦν καὶ φλέγονται ἀπὸ τὸν πόθον δι' αὐτήν, ἄκουε τὸν προφήτην, πού λέγει· «Αἱ κρίσεις τοῦ Κυρίου εἶναι ἀληθεῖς, εὑρίσκουν δικαίωσιν εἰς τὰ ἴδια τὰ πράγματα, εἶναι ποθηταὶ περισσότερον ἀπὸ τὸν χρυσὸν καὶ τοὺς πολυτίμους λίθους»[17]· ὄχι μόνον ἐπειδὴ εἶναι τόσον πολὺ ποθηταί, ἀλλὰ ἐπειδὴ δὲν εἶναι δυνατὸν νὰ εὑρεθῇ εἰς ἡμᾶς ἄλλη ὕλη πολυτιμοτέρα ἀπὸ αὐτάς, λέγει αὐτά· διὰ τοῦτο καὶ ἐπρόσθεσε, «Καὶ γλυκύτεραι ἀπὸ τὸ μέλι καὶ τὴν κηρήθραν». Καὶ ἐδῶ πάλιν, ἐπειδὴ δὲν ἠμποροῦσε νὰ εὕρῃ γλυκυτέραν οὐσίαν ἀπὸ τὸ μέλι, ἐχρησιμοποίησεν αὐτὴν τὴν εἰκόνα. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνοι, οἱ ὁποῖοι ἔχουν καταληφθῇ ἀπὸ κάποιαν ἐπιθυμίαν καὶ πόθον διὰ τὴν συγκέντρωσιν τῶν χρημάτων, προσπαθοῦν νὰ ἔχουν διὰ τὸν σκοπὸν αὐτὸν ὅλον τὸν ζῆλον των, καὶ ποτὲ δὲν τοὺς καταλαμβάνει ὁ κορεσμός, διότι ἡ φιλαργυρία εἶναι μέθη ἀκόρεστος· καὶ ὅπως ἀκριβῶς οἱ μέθυσοι ὅσον περισσότερον ἁγνὸν οἶνον πίνουν, τόσον περισσότερον ἐξάπτονται πρὸς τὴν δίψαν· ἔτσι λοιπὸν καὶ αὐτοὶ δὲν ἠμποροῦν ποτὲ νὰ σταμα-

σαι δύνανται, ἀλλ' ὅσῳ ἂν αὐξανομένην ἴδωσιν αὐτοῖς τὴν περιουσίαν, τοσούτῳ καὶ τὴν ἐπιθυμίαν ἀνάπτουσι, καὶ οὐ πρότερον λήγουσι τῆς πονηρᾶς ταύτης ὀρέξεως, μέχρις ἂν εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατενεχθῶσιν. Εἰ τοίνυν οὗτοι τὴν ὀλέθριον ταύτην ἐπιθυμίαν, καὶ πάντων τῶν κακῶν αἰτίαν γενομένην, μετὰ τοσούτου ἐπιδείκνυνται τοῦ τόνου, πολλῷ μᾶλλον ἡμᾶς δίκαιον τὰ κρίματα Κυρίου, τὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν τυγχάνοντα, ταῦτα δι' ὅλου στρέφειν ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, καὶ μηδὲν τῆς ἀρετῆς ἡγεῖσθαι προτιμότερον, ἀλλὰ καὶ τὰ ὀλέθρια ταῦτα πάθη ἐκτέμνειν τῆς ἑαυτῶν ψυχῆς, καὶ εἰδέναι ὅτι ἡ πρόσκαιρος αὕτη ἡδονὴ ὀδύνην τίκτειν εἴωθε διηνεκῆ, καὶ βάσανον πέρας οὐκ ἔχουσαν, καὶ μὴ ἀπατᾶν ἑαυτούς, μήτε νομίζειν ὅτι μέχρι τοῦ παρόντος βίου ἵσταται τὰ ἡμέτερα. Εἰ γὰρ καὶ μὴ τοῖς ῥήμασι ταῦτα φθέγγονται οἱ πολλοί, ἀλλὰ καὶ πιστεύειν λέγουσι τῷ τῆς ἀναστάσεως λόγῳ, καὶ τῇ τῶν μελλόντων ἀντιδόσει· ἀλλ' ἐγὼ οὐ τοῖς ῥήμασι προσέχω, ἀλλὰ τοῖς καθ' ἑκάστην ἡμέραν γινομένοις. Εἰ γὰρ ἀνάστασιν προσδοκᾷς καὶ ἀντίδοσιν, τίνος ἕνεκεν οὕτω περὶ τὴν τοῦ βίου δόξαν ἐπτόησαι; Τίνος ἕνεκεν, εἰπέ μοι, κόπτεις σαυτὸν καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τὴν ἄμμον τὰ χρήματα συλλέγων, καὶ ἀγρούς, καὶ οἰκίας, καὶ βαλανεῖα ὠνούμενος, καὶ πολλάκις ἐξ ἁρπαγῆς καὶ πλεονεξίας ταῦτα περιβαλλόμενος, καὶ πληρῶν ἐκεῖνο τὸ παρὰ τοῦ προφήτου εἰρημένον· «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι»; Ἢ οὐχὶ ταῦτά ἐστι καθ' ἑκάστην ἡμέραν ἰδεῖν γινόμενα; Καὶ ὁ μέν φησιν, ἐπισκοτεῖ μοι τοῦ δεῖνος ἡ οἰκία, καὶ μυρίας προφάσεις ἐπινοεῖ, ἵνα ταύτην ἀφέληται· ἕτερος δὲ τὸν ἀγρὸν τοῦ πένητος λαβὼν συνῆψε τῷ ἑαυτοῦ. Καὶ τὸ δὴ μεῖζον, καὶ καινόν, καὶ ξένον, καὶ οὐδὲ συγγνώμην ἔχον, ὅτι

---

16. Ἠσ. 5, 8.

τήσουν τὴν ἀκάθεκτον αὐτὴν μανίαν, ἀλλὰ ὅσον βλέπουν νὰ αὐξάνῃ ἡ περιουσία των, τόσον ἀνάπτουν τὴν ἐπιθυμίαν των καὶ δὲν σταματοῦν προηγουμένως τὴν κακὴν αὐτὴν ὄρεξιν, ἕως ὅτου βυθισθοῦν εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας. Ἐὰν λοιπὸν αὐτοὶ τὴν καταστρεπτικὴν αὐτὴν ἐπιθυμίαν, ἡ ὁποία ἔγινε καὶ αἰτία ὅλων τῶν κακῶν, ἐπιδεικνύουν μὲ τόσον μεγάλην ἔμφασιν, πολὺ περισσότερον εἶναι δίκαιον τὰς κρίσεις τοῦ Κυρίου, αἱ ὁποῖαι εἶναι ἀνώτεραι ἀπὸ τὸν χρυσὸν καὶ τοὺς πολυτίμους λίθους, νὰ στρέφωμεν διαρκῶς μέσα εἰς τὴν διάνοιάν μας καὶ νὰ μὴ θεωροῦμεν τίποτε προτιμότερον ἀπὸ τὴν ἀρετήν· ἀλλὰ καὶ τὰ καταστρεπτικὰ αὐτὰ πάθη νὰ ἐκριζώνωμεν ἀπὸ τὴν ψυχήν μας καὶ νὰ γνωρίζωμεν ὅτι ἡ πρόσκαιρος αὐτὴ ἡδονὴ συνήθως γεννᾷ διαρκῆ ὀδύνην καὶ βάσανα, τὰ ὁποῖα δὲν ἔχουν τέλος· καὶ οὔτε νὰ ἐξαπατῶμεν τὸν ἑαυτόν μας, οὔτε νὰ νομίζωμεν ὅτι αἱ ὑποθέσεις μας τελειώνουν εἰς τὴν παροῦσαν ζωήν. Ἂν καὶ βέβαια οἱ περισσότεροι δὲν λέγουν αὐτὰ μὲ λόγια, ἀλλὰ ἰσχυρίζονται ὅτι πιστεύουν καὶ εἰς τὸ κήρυγμα τῆς ἀναστάσεως καὶ εἰς τὴν μέλλουσαν ἀνταπόδοσιν· ἐγὼ ὅμως δὲν προσέχω εἰς τὰ λόγια, ἀλλὰ εἰς τὰ συμβαίνοντα καθημερινῶς. Ἐὰν λοιπὸν προσδοκᾷς ἀνάστασιν καὶ ἀνταπόδοσιν, διὰ ποῖον λόγον συγκινεῖσαι τόσον πολὺ διὰ τὴν δόξαν τῆς ζωῆς; Διὰ ποῖον λόγον, εἰπέ μου, κόπτεσαι καθημερινά, συγκεντρώνων χρήματα περισσότερα ἀπὸ τὴν ἄμμον, ἀγοράζων ἀγροὺς καὶ σπίτια καὶ λουτρά, καὶ ἀποκτῶν αὐτὰ πολλὰς φορὰς ἀπὸ ἁρπαγὴν καὶ πλεονεξίαν, καὶ ἐκπληρῶν ἐκεῖνο, ποὺ ἔχει εἰπῆ ὁ προφήτης, «Ἀλλοίμονον εἰς ἐκείνους ποὺ κτίζουν τὸ σπίτι των κοντὰ εἰς ἄλλο σπίτι, καὶ ἐπεκτείνουν τὸν ἀγρὸν εἰς ἄλλον ἀγρόν, διὰ νὰ ἀφαιρέσουν κάτι ἀπὸ τὸν πλησίον»[18]; Ἢ δὲν συμβαίνει νὰ βλέπωμεν αὐτὰ νὰ συμβαίνουν καθημερινῶς; Καὶ ὁ ἕνας μὲν λέγει· μοῦ ρίπτει σκιὰν τὸ σπίτι τοῦ τάδε, καὶ ἐπινοεῖ πολλὰς προφάσεις, διὰ νὰ τὸ ἀποσπάσῃ· καὶ ὁ ἄλλος, ἀφοῦ ἔλαβε τὸν ἀγρὸν τοῦ πτωχοῦ, τὸν ἐπρόσθεσεν εἰς τὸν ἰδικόν του. Καὶ τὸ μεγαλύτερον βεβαίως καὶ τὸ πρωτάκουστον καὶ τὸ

ἐν ἑνὶ τόπῳ αὐτὸς καθήμενος, καὶ πολλάκις οὐδὲ θέλων ἑτέρωθι διαθῆναι δυνάμενος, ἢ δι' ἑτέραν τινὰ πραγμάτων περίστασιν, ἢ καὶ ὑπὸ τῆς τοῦ σώματος ἀρρωστίας πεπεδημένος, πανταχοῦ καὶ ἐν πάσαις, ὡς εἰπεῖν, ταῖς πόλεσι βούλεται ὑπομνήματα τῆς οἰκείας πλεονεξίας κεκτῆσθαι, καὶ στήλας ἀθανάτους τῆς οἰκείας κακίας παρὰ πᾶσιν ἔχειν, καὶ τὰ μὲν ἁμαρτήματα, ἐξ ὧν ἅπαντα ταῦτα συνελέγη, τῇ οἰκείᾳ ἐπιτίθησι κεφαλῇ, καὶ φορτίον βαρὺ καὶ δυσβάστακτον ἐπιφερόμενος οὐκ αἰσθάνεται· τὴν δὲ ἐκ τούτων ἀπόλαυσιν ἑτέροις παραχωρεῖ, οὐ μετὰ τὴν τῆς ζωῆς μετάστασιν μόνον, ἀλλὰ καὶ πρὸ τῆς ἐντεῦθεν ἐξόδου. Κἂν γὰρ μὴ ἄκων αὐτῶν γυμνωθῇ, ὑπὸ τῶν ὠκειωμένων διασπᾶται, ὡς εἰπεῖν, καὶ διασπαράττεται ἅπαντα ταῦτα, καὶ οὐδὲ τοῦ πολλοστοῦ αὐτῶν μέρους ἐν ἀπολαύσει γίνεται. Τί δὲ λέγω ἐν ἀπολαύσει; Ἂν γὰρ βουληθῇ, πῶς ἀρκέσει μίαν ἔχων γαστέρα πρὸς τοσοῦτον πλῆθος χρημάτων;

7. Ἀλλὰ τῶν κακῶν ἁπάντων τὸ αἴτιον ἡ κενοδοξία, καὶ τὸ βούλεσθαι τὴν προσηγορίαν ἐπικεῖσθαι τὴν αὐτοῦ τοῖς ἀγροῖς, τοῖς βαλανείοις, ταῖς οἰκίαις. Τί σοι τὸ ὄφελος, ἄνθρωπε, ὅταν μετ' οὐ πολύ, πυρετοῦ καταλαβόντος, ἀθρόον ἁρπαμένη ἡ ψυχὴ καταλιμπάνῃ σε ἔρημον καὶ γυμνόν, μᾶλλον δὲ ἀρετῆς μὲν γεγυμνωμένον, περιβεβλημένον δὲ τὰς ἀδικίας, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τοὺς στεναγμούς, τὸν ὀδυρμόν, τὰ δάκρυα τῶν ὀρφανῶν, τὰς ἐπιβουλάς, τοὺς δόλους; Πῶς δυνήσῃ τὰ μεγάλα ταῦτα φορτία τῶν ἁμαρτημάτων ἔχων ἐπικείμενα, τὴν στενὴν πύλην ἐκείνην διαβῆναι, τὴν οὐ δυναμένην δέξασθαι τὸν ὄγκον τοῦ τοσούτου μεγέθους; Ἀνάγκη τοίνυν ἔξω μένοντα, καὶ ὑπὸ τῶν φορτίων τούτων βαρούμενον ἀνήνυτα μεταγινώσκειν, ἤδη πρὸ τῶν ὀφθαλμῶν τὰ κολαστήρια

παράξενον καὶ τὸ ἀσυγχώρητον εἶναι, ὅτι ἐνῷ κάθεται αὐτὸς εἰς ἕνα μέρος καὶ πολλὰς φοράς, οὔτε ὅταν θέλῃ, ἠμπορεῖ νὰ μεταβῇ εἰς ἄλλο μέρος. Ἐμποδιζόμενος ἢ ἐξ αἰτίας κάποιας ἄλλης συμπτώσεως τῶν πραγμάτων ἢ ἐξ αἰτίας τῆς σωματικῆς ἀδυναμίας του, ἐπιθυμεῖ παντοῦ καὶ εἰς ὅλας, ὡς θὰ ἔλεγε κανείς, τὰς πόλεις νὰ ἀποκτήσῃ μνημεῖα τῆς ἰδικῆς του πλεονεξίας, καὶ νὰ στήσῃ μεταξὺ ὅλων τῶν ἀνθρώπων στήλας ἀθανάτους τῆς ἰδικῆς του κακίας· καὶ τὰ μὲν ἁμαρτήματα, ἐξ αἰτίας τῶν ὁποίων συνεκεντρώθησαν ὅλα αὐτά, τὰ ἐπισωρεύει εἰς τὸ ἰδικόν του κεφάλι καὶ δὲν αἰσθάνεται, ὅτι μεταφέρει φορτίον βαρὺ καὶ δυσβάστακτον· τὴν ἀπόλαυσιν ὅμως ἀπὸ αὐτὰ παρέχει εἰς ἄλλους, ὄχι μόνον μετὰ τὴν ἀναχώρησιν ἀπὸ τὴν ζωὴν αὐτήν, ἀλλὰ καὶ πρὶν ἀπὸ τὴν ἀποδημίαν του ἀπὸ ἐδῶ. Καὶ ἂν ἀκόμη δὲν χάσῃ αὐτὰ ἀκουσίως, διασκορπίζονται καί, ὡς θὰ ἐλέγαμεν, καταβροχθίζονται ὅλα αὐτὰ ἀπὸ τοὺς πλησιεστέρους συγγενεῖς καὶ φίλους, καὶ δὲν ἀπολαμβάνει οὔτε τὸ ἐλάχιστον μέρος αὐτῶν. Καὶ διατί λέγω δὲν ἀπολαμβάνει; Διότι, ἐὰν θελήσῃ, πῶς θὰ τὸ κατορθώσῃ, ἀφοῦ διαθέτῃ μίαν κοιλίαν διὰ τόσον πολλὰ πράγματα;

7. Ἀλλὰ ἡ αἰτία ὅλων τῶν κακῶν εἶναι ἡ κενοδοξία καὶ ἡ ἐπιθυμία νὰ θέτῃ κανεὶς τὸ ὄνομά του εἰς τοὺς ἀγρούς, εἰς τὰ λουτρά, εἰς τὰ σπίτια. Ποῖον εἶναι τὸ κέρδος σου, ἄνθρωπε, ὅταν ὕστερα ἀπὸ ὀλίγον, ἀφοῦ σὲ καταλάβῃ πυρετός, εὐθὺς ὡς ἐξαφανισθῇ ἡ ψυχὴ σὲ ἐγκαταλείπῃ ἔρημον καὶ γυμνόν, καλύτερα δὲ στολισμένον μὲν τὴν ἀρετήν, περικυκλωμένον ὅμως ἀπὸ τὰς ἀδικίας, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τοὺς στεναγμούς, τὸν ὀδυρμόν, τὰ δάκρυα τῶν ὀρφανῶν, τὰς σκευωρίας, τοὺς δόλους; Πῶς θὰ ἠμπορέσῃς, μεταφέρων ἐπάνω σου τὰ μεγάλα αὐτὰ φορτία τῶν ἁμαρτημάτων, νὰ διέλθῃς τὴν στενὴν ἐκείνην πύλην, ἡ ὁποία δὲν ἠμπορεῖ νὰ δεχθῇ τὸν ὄγκον τόσον μεγάλου μεγέθους; Ἀναγκαστικὰ λοιπὸν μένεις ἔξω καὶ βαρυνόμενος ἀπὸ τὰ φορτία αὐτὰ μετανοεῖς χωρὶς ἀποτέλεσμα, ἐπειδὴ βλέπεις τώρα ἐνώπιόν σου ἕτοιμα τὰ βασανι-

ὁρῶντα ἠὐτρεπισμένα, καὶ τὸ πῦρ ἐκεῖνο τὸ φοβερὸν καὶ μηδέποτε σβεννύμενον, καὶ τὸν σκώληκα τὸν ἀτελεύτητον. Ἀλλ' εἴ τις ἡμῖν λόγος τῆς σωτηρίας τῆς ἡμετέρας, ὡς ἔτι καιρὸν ἔχομεν, ἀποστῶμεν τῆς κακίας, καὶ τὴν ἀρετὴν μεταδιώξωμεν, τῆς κενοδοξίας ὑπερίδωμεν. Διὰ τοῦτο γὰρ καὶ κυνὴ λέγεται, ἐπειδὴ διάκενός ἐστι καὶ οὐδὲν ἔχουσα βέβαιον, οὐδὲ μόνιμον, ἀλλ' ἀπάτη μόνον ὀφθαλμῶν τυγχάνει, πρὶν ἢ φανῆναι ἀφιπταμένη. Ἢ οὐχ ὁρῶμεν τὸν σήμερον ὑπὸ τῶν ῥαβδούχων παραπεμπόμενον, καὶ ὑπὸ τῶν δορυφόρων καλούμενον, αὔριον πολλάκις δεσμωτήριον οἰκοῦντα, καὶ μετὰ τῶν κακούργων στρεφόμενον; Τί ταύτης τῆς κενῆς καὶ ματαίας δόξης ἀπατηλότερον; Εἰ δὲ καὶ μὴ ἐν τῷ παρόντι τὰ τῆς μεταβολῆς αὐτὸν ἐκδέξηται, ὁ θάνατος πάντως ἐπελθὼν διέκοψε τὴν εὐημερίαν, καὶ ὁ σήμερον σοβῶν ἐπὶ τῆς ἀγορᾶς, καὶ εἰς δεσμωτήριον ἐμβάλλων, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος, καὶ μεγάλα φυσῶν, καὶ τοὺς ἅπαντας ἀνθρώπους ὡς σκιὰς ὁρῶν, ἀθρόον τῇ ἑξῆς κεῖται νεκρὸς ἄπνους, δυσωδίας ἐμπεπλησμένος, μυρίαις κατηγορίαις βαλλόμενος, ὑπὸ τῶν ἀδικηθέντων, ὑπὸ τῶν μηδὲν ἀδικηθέντων, συναλγούντων τοῖς ἀδικηθεῖσι. Τί τοῦ τοιούτου ἐλεεινότερον γένοιτ' ἄν; Καὶ τὰ μὲν συλλεγέντα ἅπαντα πολλάκις ἐχθροὶ καὶ πολέμιοι πρὸς ἀλλήλους διεμείναιτο· τὰ δὲ ἐκ τούτων ἐπισωρευθέντα αὐτῷ ἁμαρτήματα λαβὼν ἄπεισι, τὰς ὑπὲρ τούτων ἀπολογίας μετὰ πολλῆς ἀπαιτούμενος τῆς ἀκριβείας. Διὸ παρακαλῶ, φεύγοντες τὴν κενὴν ταύτην δόξαν, τὴν ἀληθῆ ποθήσωμεν, καὶ διαιωνίζουσαν· καὶ μήτε χρημάτων ἔρως ἡμᾶς ὑποσκελιζέτω, μήτε ἐπιθυμίας φλὸξ κατακαιέτω, μήτε φθόνος καὶ βασκανία τηκέτω, μήτε θυμὸς ἐμπρησμὸν ἡμῖν ἀπεργαζέσθω· ἀλλὰ πάντα ταῦτα τὰ πονηρὰ καὶ ὀλέθρια πάθη τῇ δρόσῳ τοῦ Πνεύματος κατασβέ-

στήρια καὶ τὸ φοβερὸν ἐκεῖνο πῦρ καὶ τὸ ὁποῖον ποτὲ δὲν σβήνει, καὶ τὸν αἰώνιον σκώληκα. Ἀλλὰ ἐὰν ὑπάρχῃ εἰς ἡμᾶς κάποιος λόγος τῆς σωτηρίας μας, ἐπειδὴ ἔχομεν ἀκόμη καιρόν, ἂς ἀπομακρυνθοῦμεν ἀπὸ τὴν κακίαν, ἂς ἐπιδιώξωμεν τὴν ἀρετὴν καὶ ἂς περιφρονήσωμεν τὴν κενοδοξίαν. Δι' αὐτὸ βέβαια λέγεται καὶ κενή, ἐπειδὴ εἶναι ἐντελῶς στερημένη περιεχομένου καὶ τίποτε δὲν ἔχει βέβαιον, οὔτε μόνιμον, ἀλλὰ εἶναι μόνον ἀπάτη τῶν ὀφθαλμῶν, ἐξαφανιζομένη προτοῦ ἀκόμη ἐμφανισθῇ. Ἢ δὲν βλέπομεν ἐκεῖνον, ποὺ σήμερα συνοδεύεται τιμητικὰ ἀπὸ τοὺς ραβδούχους καὶ περιβάλλεται ἀπὸ τοὺς σωματοφύλακας, νὰ εὑρίσκεται πολλὰς φορὰς εἰς τὴν φυλακὴν ἀργότερα καὶ νὰ συναναστρέφεται μὲ τοὺς κακούργους; Τί ἀπατηλότερον ὑπάρχει ἀπὸ τὴν κενην καὶ ματαίαν αὐτὴν δόξαν; Καὶ ἐὰν ἀκόμη δὲν δεχθῇ εἰς τὴν παροῦσαν ζωὴν τὰς συνεπείας τῆς μεταβολῆς, ὁπωσδήποτε ὁ ἐπελθὼν θάνατος διέκοψε τὴν εὐτυχίαν, καὶ ἐκεῖνος ποὺ σήμερα βαδίζει ὑπερήφανα εἰς τὴν ἀγορὰν καὶ ρίπτει ἄλλους εἰς τὴν φυλακὴν καὶ κάθεται εἰς τὸν θρόνον καὶ φουσκώνει ἀπὸ ὑπερηφάνειαν καὶ βλέπει ὡσὰν σκιὰς ὅλους τοὺς ἀνθρώπους, ἀμέσως εἰς τὴν ἄλλην ζωὴν κεῖται νεκρὸς ἄπνους, γεμᾶτος δυσωδίαν, βαλλόμενος μὲ ἀπείρους κατηγορίας ἀπὸ τοὺς ἀδικηθέντας ἀπ' αὐτὸν καὶ ἀπὸ ἐκείνους, ποὺ δὲν ἠδικήθησαν καθόλου, ἀλλὰ στενοχωροῦνται μὲ τοὺς ἀδικηθέντας. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀθλιώτερον ἀπὸ αὐτό; Καὶ ὅσα μὲν συνεκέντρωσεν αὐτὸς πολλὰς φορὰς ὅλα τὰ διεμοίρασαν μεταξύ των ἐχθροὶ καὶ ἀντίπαλοι· ἀφοῦ λάβῃ τὰ ἁμαρτήματα ὅμως, ποὺ ἐπισωρεύθησαν ἐξ αἰτίας των εἰς αὐτόν, ἀπέρχεται ὑποχρεωμένος νὰ ἀπολογηθῇ δι' αὐτὰ μὲ πολλὴν ἀκρίβειαν. Διὰ τοῦτο παρακαλῶ, ἀφοῦ ἀποφεύγωμεν τὴν κενὴν αὐτὴν δόξαν, ἂς ἐπιθυμήσωμεν τὴν ἀληθινὴν καὶ ἐκείνην, ἡ ὁποία διαρκεῖ αἰώνια· καὶ ἂς μὴ μᾶς ὑποσκελίζῃ ἡ ἀγάπη τῶν χρημάτων, οὔτε νὰ μᾶς κατακαίῃ ἡ φλόγα τῆς ἐπιθυμίας, οὔτε νὰ μᾶς λειώνῃ τὸ μῖσος καὶ ὁ φθόνος, οὔτε νὰ μᾶς πυρπολῇ ὁ θυμός. Ἀλλὰ ἀφοῦ κατασβέσωμεν ὅλα αὐτὰ τὰ πονηρὰ καὶ κατα-

σαντες ὑπερίδωμεν τῶν παρόντων, ποθήσωμεν τὰ μέλλοντα, ἔννοιάν τινα λάβωμεν τῆς μελλούσης ἡμέρας, καὶ πολλὴν τοῦ βίου τὴν ἀκρίβειαν ἐπιδειξώμεθα. Οὐδὲ γὰρ διὰ τοῦτο εἰς τὸν βίον τοῦτον παρήχθημεν, ἵνα μόνον ἐσθίωμεν καὶ πίνωμεν. Οὐ τὸ ζῆν διὰ τὸ φαγεῖν καὶ πιεῖν γέγονεν, ἀλλὰ καὶ διὰ τὸ ζῆν τὸ φαγεῖν καὶ τὸ πιεῖν. Μὴ τοίνυν ἀντιστρέφωμεν τὴν τάξιν, μήτε ὡς δι' αὐτὸ γενόμενοι οὕτω τῇ γαστρὶ δουλεύωμεν, καὶ ταῖς τῆς σαρκὸς ἡδοναῖς· ἀλλὰ τὴν ἐντεῦθεν ἡμῖν τικτομένην βλάβην ἀναλογιζόμενοι, καταστέλλωμεν τῆς σαρκὸς τὰ κινήματα, καὶ μὴ ῥαθυμῶμεν, μηδὲ συγχωρῶμεν αὐτὴν κατεξανίστασθαι τῆς ψυχῆς. Εἰ γὰρ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ καθάπερ ὑπόπτερος τὴν οἰκουμένην διαδραμὼν ἅπασαν, καὶ τῶν σωματικῶν ἀναγκῶν ἀνώτερος γεγονώς, καὶ τῶν ἀρρήτων ἐκείνων ῥημάτων ἀκοῦσαι καταξιωθείς, ὧν μέχρι τῆς σήμερον οὐδεὶς ἄλλος ἤκουσε, γράφων ἔλεγεν· «Ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι»· εἰ τοίνυν ἐκεῖνος ὁ τοσαύτης ἀξιωθεὶς χάριτος, μετὰ τοσαῦτα καὶ τηλικαῦτα κατορθώματα ἐδεῖτο τοῦ ὑπωπιάζειν, καὶ δουλαγωγεῖν, καὶ ὑποτάττειν τῇ τῆς ψυχῆς ἐξουσίᾳ, καὶ ὑπὸ τὴν ταύτης ἀρετὴν εἶναι ποιεῖν τοῦ σώματος τὰ σκιρτήματα· ὑπωπιάζει γάρ τις τὸ κατεξανιστάμενον, καὶ δουλαγωγεῖ τὸ ἀφηνιῶν· τί οὖν ἂν εἴποιμεν ἡμεῖς οἱ πάντων ἔρημοι τῶν ἀγαθῶν, οἱ φορτίοις ἁμαρτημάτων βεβαρημένοι, καὶ πρὸς τούτοις πολλὴν τὴν ῥαθυμίαν ἐπιδεικνύμενοι; Μὴ γὰρ ἀνακωχὴν ἔχει ὁ πόλεμος οὗτος; μὴ γὰρ καιρὸν ἐπιθέσεως κέκτηται; Πάντοτε νήφειν καὶ ἐγρηγορέναι δεῖ, καὶ μηδέποτε ἐν ἀδείᾳ εἶναι· ἐπεὶ μηδὲ ἔστι καιρὸς ὡρισμένος τῆς τοῦ πολεμοῦντος καὶ ἐπεμβαίνοντος ἡμῖν ἐπιθέσεως. Ἀεὶ τοίνυν φροντίζωμεν, ἀεὶ μεριμνῶ-

19. Α΄ Κορ. 9, 27.

στρεπτικὰ πάθη μὲ τὴν δροσιὰν τοῦ Πνεύματος, ἂς περιφρονήσωμεν τὰ παρόντα ἀγαθά, ἂς ἐπιθυμήσωμεν τὰ μέλλοντα, ἂς σκεπτώμεθα κάποτε τὴν μέλλουσαν κρίσιν, καὶ ἂς ἐπιδείξωμεν τὴν μεγάλην αὐστηρότητα τῆς ζωῆς μας. Διότι οὔτε δι' αὐτὸ ἐδημιουργήθημεν εἰς τὴν ζωὴν αὐτήν, διὰ νὰ τρώγωμεν μόνον καὶ νὰ πίνωμεν. Δὲν ἔγινεν ἡ ζωὴ διὰ τὰ φαγητὰ καὶ τὰ ποτά, ἀλλὰ διὰ τὴν ζωὴν ἔγιναν τὰ φαγητὰ καὶ τὰ ποτά. Ἂς μὴ ἀντιστρέφωμεν λοιπὸν τὴν τάξιν, οὔτε νὰ ὑπηρετοῦμεν ἔτσι τὴν κοιλίαν καὶ τὰς σαρκικὰς ἡδονάς, ὡσὰν νὰ ἐδημιουργήθημεν δι' αὐτό· ἀλλὰ ἀναλογιζόμενοι τὴν ζημίαν, ποὺ προκαλεῖται ἀπὸ ἐκεῖ δι' ἡμᾶς, ἂς καταστέλλωμεν τὰς ἐξάψεις τῆς σαρκὸς καὶ ἂς μὴ ἀδιαφοροῦμεν, οὔτε νὰ ἐπιτρέπωμεν αὐτὴν νὰ ἐξεγείρεται ἐναντίον τῆς ψυχῆς. Διότι ἐὰν ὁ Παῦλος ὁ τόσον σπουδαῖος καὶ μέγας, ὁ ὁποῖος ὡσὰν νὰ εἶχε πτερὰ διέτρεξεν ὅλην τὴν οἰκουμένην καὶ ἔγινεν ἀνώτερος ἀπὸ τὰς ἀνάγκας τοῦ σώματος καὶ ἠξιώθη νὰ ἀκούσῃ τὰ ἀπόρρητα ἐκεῖνα λόγια, τὰ ὁποῖα μέχρι σήμερα κανεὶς ἄλλος δὲν ἤκουσεν, ὅταν ἔγραφεν ἔλεγε· «Ταλαιπωρῶ τὸ σῶμα μου καὶ τὸ μεταχειρίζομαι ὡσὰν δοῦλον, μήπως ἐγὼ ὁ ἴδιος ποὺ ἐκήρυξα εἰς ἄλλους θεωρηθῶ ἀνάξιος»[19]· ἐὰν λοιπὸν ἐκεῖνος, ὁ ὁποῖος ἠξιώθη τόσον μεγάλην χάριν, ἔπειτα ἀπὸ τόσα πολλὰ καὶ μεγάλα κατορθώματα εἶχε τὴν ἀνάγκην νὰ ταλαιπωρῇ, νὰ μεταχειρίζεται ὡς δοῦλον καὶ νὰ ὑποτάσσῃ εἰς τὴν ἐξουσίαν τῆς ψυχῆς τὸ σῶμα καὶ νὰ θέτῃ τὰς ἐπιθυμίας του κάτω ἀπὸ τὴν ἀρετὴν τῆς ψυχῆς, διότι ταλαιπωρεῖ κανεὶς τὸ σῶμα ποὺ ἐξεγείρεται καὶ μεταχειρίζεται ὡς δοῦλον ἐκεῖνον ποὺ παρεκτρέπεται· τί λοιπὸν θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν ἡμεῖς, οἱ ὁποῖοι στερούμεθα ὅλα τὰ ἀγαθά, βαρυνόμεθα μὲ φορτία ἁμαρτημάτων καὶ ἐπὶ πλέον ἐπιδεικνύομεν μεγάλην ἀδιαφορίαν; Μήπως λοιπὸν ἔχει ἀνακωχὴν ὁ πόλεμος αὐτός; μήπως ἔχει καιρὸν ἐπιθέσεως; Πάντοτε πρέπει νὰ εἴμεθα νηφάλιοι καὶ ἄγρυπνοι καὶ ποτὲ νὰ μὴ αἰσθανώμεθα ἀσφαλεῖς, διότι ποτὲ δὲν ὑπάρχει καθωρισμένος χρόνος τῆς ἐπιθέσεως ἐκείνου, ποὺ μᾶς πολεμεῖ καὶ μᾶς ἐπιτίθεται. Ἂς φροντίζωμεν

μεν περὶ τῆς σωτηρίας τῆς ἡμετέρας, ἵνα οὕτω δυνηθῶμεν καὶ αὐτοὶ ἀνάλωτοι μεῖναι καὶ τὰς παρὰ τοῦ πολεμίου μηχανὰς διαφυγόντες τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ Μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

λοιπὸν πάντοτε, ἂς προσπαθοῦμεν διά τὴν ἰδικήν μας σωτηρίαν, διὰ νὰ ἠμπορέσωμεν ἔτσι καὶ ἡμεῖς οἱ ἴδιοι νὰ παραμείνωμεν ἀπόρθητοι καί, ἀφοῦ ἀποφύγωμεν τὰς παγίδας τοῦ ἐχθροῦ, νὰ ἀξιωθοῦμεν τὴν φιλανθρωπίαν ἀπὸ τὸν Θεόν, μὲ τὴν χάριν καὶ τὴν εὐσπλαγχνίαν τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ Ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΓ΄
(Γεν. 6, 8 - 9)

«Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ. Αὗται δὲ αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ Θεῷ εὐηρέστησε Νῶε».

1. Εἴδετε ἐν τοῖς ἤδη ῥηθεῖσιν, ὅσον τῆς φιλανθρωπίας τοῦ Θεοῦ τὸ μέγεθος, καὶ πόση αὐτοῦ τῆς ἀνεξικακίας ἡ ὑπερβολή; εἴδετε τῶν τότε ἀνθρώπων τῆς κακίας τὴν ἐπίτασιν; κατεμάθετε ἐν μέσῳ τοσούτῳ πλήθει ὅση τοῦ δικαίου γέγονεν ἡ ἀρετή, καὶ ὅτι οὐδὲν αὐτὸν ἐλυμήνατο, οὔτε ἡ συμφωνία ἐκείνων ἐπὶ τὴν κακίαν ῥέπουσα, οὔτε τὸ μόνον ἐν μέσῳ τούτων ἀπειλῆφθαι, καὶ τὴν ἐναντίαν ὁδεύειν ὁδόν· Καθάπερ γὰρ κυβερνήτης ἄριστος τοὺς τῆς διανοίας οἴακας μετὰ πολλῆς τῆς ἀγρυπνίας μεταχειριζόμενος, οὐκ ἠφίει καταβαπτισθῆναι τὸ σκάφος ὑπὸ τῆς σφοδρότητος τῶν τῆς κακίας κυμάτων, ἀλλ' ἀνώτερος τοῦ χειμῶνος γεγονώς, καὶ πελάγιος σαλεύων, ὡς ἐν λιμένι καθήμενος, οὕτω τῆς ἀρετῆς τὸ πηδάλιον ἰθύνων ἐκτὸς ἑαυτὸν κατέστησε τοῦ μέλλοντος κλυδωνίου τοὺς κατὰ τὴν οἰκουμένην ἅπαντας καταλήψεσθαι. Τοσοῦτόν ἐστιν ἀρετὴ πρᾶγμα, ἀθάνατον, καὶ ἀχείρωτον, οὐκ εἶκον ταῖς τοῦ παρόντος βίου ἀνωμαλίαις, ἀλλ' ὑπεράνω τῶν τῆς κακίας δικτύων ἀφιπταμένη, καθάπερ ἀφ' ὑψηλῆς τινος σκοπιᾶς, οὕτως ἅπαντα τὰ ἀνθρώπινα καθορῶσα, οὐδενὸς ἐπαισθάνεται τῶν τοῖς ἄλλοις λυπηρῶν φαινομένων. Ἀλλ' ὥσπερ ὁ ἐπὶ πέτρας τινὸς ὑψηλῆς ἑστὼς καταγελᾷ τῶν κυμάτων,

ΟΜΙΛΙΑ ΚΓ΄
(Γεν. 6,8-9)

«Ὁ Νῶε δὲ ἔτυχεν εὐνοίας ἐνώπιον Κυρίου τοῦ Θεοῦ. Αὐτὴ δὲ εἶναι ἡ γενεαλογία τοῦ Νῶε. Ὁ Νῶε ἦτο δίκαιος καὶ τέλειος ἀνάμεσα εἰς τοὺς ἀνθρώπους τῆς ἐποχῆς του· ὁ Νῶε ἦτο εὐάρεστος εἰς τὸν Θεόν».

1. Εἴδατε εἰς αὐτά, ποὺ ἔχουν λεχθῆ μέχρι τώρα, πόσον εἶναι τὸ μέγεθος τῆς φιλανθρωπίας τοῦ Θεοῦ καὶ πόση ἡ ὑπερβολική του ἀνεξικακία; εἴδατε τὴν ἐξάπλωσιν τῆς κακίας τῶν τότε ἀνθρώπων; ἐγνωρίσατε καλὰ πόση ὑπῆρξεν ἡ ἀρετὴ τοῦ δικαίου αὐτοῦ ἀνάμεσα εἰς τόσον πλῆθος καὶ ὅτι τίποτε δὲν ἔβλαψεν αὐτόν, οὔτε ἡ συμφωνία ἐκείνων ποὺ ἔρρεπε πρὸς τὴν κακίαν, οὔτε τὸ ὅτι εἶχε μείνει μόνος ἀνάμεσα εἰς αὐτοὺς καὶ ἐβάδιζε τὸν ἀντίθετον δρόμον; Διότι ὡσὰν κυβερνήτης ἄριστος, ὁ ὁποῖος ἐχειρίζετο μὲ μεγάλην προσοχὴν τὰ πηδάλια τῆς διανοίας, δὲν ἐπέτρεπε νὰ καταποντισθῆ τὸ σκάφος ἀπὸ τὴν σφοδρότητα τῶν κυμάτων τῆς κακίας, ἀλλὰ ἀφοῦ ἐνίκησε τὴν τρικυμίαν καὶ ἔπλεεν εἰς τὸ πέλαγος, ὡσὰν νὰ εὑρίσκετο μέσα εἰς τὸ λιμάνι, ἔτσι τὸ πηδάλιον τῆς ἀρετῆς διευθύνων ὡδήγησε τὸν ἑαυτόν του ἔξω ἀπὸ τὴν συμφοράν, ἡ ὁποία ἐπρόκειτο νὰ καταλάβῃ ὅλους τοὺς ἀνθρώπους τῆς οἰκουμένης. Τόσον μέγα πρᾶγμα εἶναι ἡ ἀρετή, ἀθάνατον καὶ ἀκατάβλητον· δὲν ἀκολουθεῖ εἰς τὰς ἀνωμαλίας τῆς παρούσης ζωῆς, ἀλλὰ ἐπειδὴ πετᾶ ἐπάνω ἀπὸ τὰ δίκτυα τῆς κακίας καὶ παρατηρεῖ ὅλα τὰ ἀνθρώπινα, ὡσὰν ἀπὸ κάποιαν ὑψηλὴν σκοπιάν, δὲν αἰσθάνεται κανένα ἀπὸ τὰ φαινόμενα, ποὺ προκαλοῦν λύπην εἰς τοὺς ἄλλους. Ἀλλὰ ὅπως ἀκριβῶς ὁ εὑρισκόμενος ἐπάνω εἰς κάποιον ὑψηλὸν βρά-

ἐπειδὰν ἴδῃ ταῦτα προσρηγνύμενα μὲν τῇ πέτρᾳ, εἰς ἀφρὸν δὲ εὐθὺς διαλυόμενα· οὕτω δὴ καὶ ὁ τὴν ἀρετὴν μετιών, ἐν ἀσφαλεῖ χωρίῳ καθεστὼς οὐδὲν ἀηδὲς ὑπομένει ὑπὸ τῆς τῶν πραγμάτων ταραχῆς, ἀλλ' ἐν ἡσυχίᾳ κάθηται τῇ τῶν οἰκείων λογισμῶν ἐντρυφῶν γαλήνῃ, καὶ ἐννοῶν, ὡς οὐδὲν τῶν ποταμίων ρευμάτων διενήνοχε τὰ τοῦ παρόντος βίου πράγματα μετὰ τοσαύτης εὐκολίας καὶ ρύμης παρατρέχοντα. Καθάπερ γάρ ἐστιν ἰδεῖν τὰ τῆς θαλάσσης κύματα νῦν μὲν εἰς ὕψος ἄφατον αἰρόμενα, ἀθρόον δὲ πάλιν ταπεινούμενα· τὸν αὐτὸν δὴ τρόπον καὶ τοὺς ἀρετῆς ἀμελοῦντας, καὶ τὴν κακίαν μετιόντας ὁρῶμεν, νῦν μὲν μεγαλοφρονοῦντας, καὶ τὰς ὀφρῦς ἀνασπῶντας, καὶ περὶ τὰ τοῦ παρόντος βίου πράγματα ἐπτοημένους πενίαν. Τούτους γὰρ καὶ ὁ μακάριος Δαυὶδ ὁ προφήτης νους, ἀθρόον δὲ ταπεινουμένους, καὶ εἰς ἐσχάτην ἐλαυνομέαἰνιττόμενος ἔλεγε· «Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα». Καὶ καλῶς εἶπε, «Μὴ φοβοῦ». Μή σε θορυβείτω, φησίν, ἡ τοῦ πλούτου περιουσία, καὶ ἡ τῆς δόξης περιφάνεια. Ὄψει γὰρ μετ' οὐ πολὺ χαμαὶ κείμενον, ἀνενέργητον, νεκρόν, ἐρριμμένον, σκωλήκων γιγνόμενον τροφήν, γυμνὸν τούτων ἁπάντων γιγνόμενον, καὶ οὐδὲν ὅλως μεθ' ἑαυτοῦ ἐπενεγκεῖν δυνηθέντα, ἀλλ' ἐνταῦθα ἅπαντα καταλιπόντα. Μὴ τοίνυν τὰ παρόντα ἰδὼν ἀγωνιάσῃς, μηδὲ μακαρίσῃς τὸν μετὰ βραχὺν χρόνον ἐν ἐρημίᾳ τούτων μέλλοντα γίνεσθαι. Τοιοῦτον γὰρ ἡ παροῦσα εὐημερία, καὶ ἡ τοῦ πλούτου φύσις· οὐ συναποδημεῖ τοῖς ἐντεῦθεν μεθισταμένοις, ἀλλ' ἐνταῦθα αὐτὴν ἅπασαν καταλιπόντες, γυμνοὶ καὶ ἔρημοι ἀπίασι, μόνην τὴν κακίαν περιβεβλημένοι, καὶ τὰ ἐκ ταύτης

1. Ψαλμ. 48, 17 - 18.

χον περιγελᾶ τὰ κύματα, ὅταν ἰδῇ αὐτὰ νὰ προσκρούουν μὲν εἰς τὸν βράχον, νὰ διαλύωνται ὅμως ἀμέσως εἰς ἀφρόν· ἔτσι λοιπὸν καὶ ἐκεῖνος, ὁ ὁποῖος ἀσκεῖ τὴν ἀρετήν, εὑρισκόμενος εἰς ἀσφαλὲς ἔδαφος δὲν ὑπομένει τίποτε τὸ δυσάρεστον ἀπὸ τὴν ταραχὴν τῶν πραγμάτων, ἀλλὰ εὑρίσκεται εἰς ἡσυχίαν ἀπολαμβάνων τὴν γαλήνην τῶν ἰδικῶν του σκέψεων καὶ κατανοῶν, ὅτι δὲν διαφέρουν καθόλου ἀπὸ τὰ ρεύματα τῶν ποταμῶν τὰ πράγματα τῆς παρούσης ζωῆς, τὰ ὁποῖα τρέχουν μὲ τόσον μεγάλην ταχύτητα καὶ ὁρμήν. Διότι ὅπως ἀκριβῶς εἶναι δυνατὸν νὰ ἰδοῦμεν τὰ κύμματα τῆς θαλάσσης τώρα μὲν νὰ ὑψώνωνται εἰς μέγα ὕψος, ἀμέσως δὲ πάλιν νὰ ἐξαφανίζωνται· κατὰ τὸν αὐτὸν λοιπὸν τρόπον βλέπομεν καὶ ἐκείνους, οἱ ὁποῖοι παραμελοῦν τὴν ἀρετὴν καὶ ἀσκοῦν τὴν κακίαν, τώρα μὲν νὰ ὑπερηφανεύωνται καὶ νὰ ἔχουν μεγάλην ἰδέαν διὰ τὸν ἑαυτόν τους, καὶ νὰ συγκινοῦνται διὰ τὰ πράγματα τῆς παρούσης ζωῆς, διὰ μιᾶς νὰ ταπεινώνωνται καὶ νὰ φθάνουν εἰς τὴν ἐσχάτην πτωχείαν. Διότι αὐτοὺς ὑπονοῶν καὶ ὁ μακάριος προφήτης Δαυὶδ ἔλεγε· «Μὴ φοβῆσαι, ὅταν γίνῃ πλούσιος ὁ ἄνθρωπος ἢ ὅταν αὐξηθῇ ἡ δόξα τῆς οἰκογενείας του, διότι ὅταν ἀποθάνῃ δὲν θὰ λάβῃ τὰ πάντα μαζί του»[1]. Καὶ καλῶς εἶπε, «Μὴ φοβῆσαι». Μὴ σὲ ταράσσῃ, λέγει, ἡ ἀπόκτησις τοῦ πλούτου καὶ ἡ αἴγλη τῆς δόξης. Διότι ὕστερα ἀπὸ ὀλίγον θὰ ἰδῇς αὐτὸν νὰ εὑρίσκεται κάτω, ἀδρανής, νεκρός, ἐγκαταλελειμμένος, νὰ γίνεται τροφὴ τῶν σκωλήκων, στερημένος ὅλων αὐτῶν καὶ νὰ μὴ ἠμπορέσῃ νὰ φέρῃ τίποτε ἀπολύτως μαζί του, ἀλλὰ νὰ ἐγκαταλείψῃ ὅλα ἐδῶ. Νὰ μὴ σὲ καταλάβῃ λοιπὸν ἡ ἀγωνία, ὅταν ἰδῇς τὰ παρόντα ἀγαθά, οὔτε νὰ μακαρίσῃς ἐκεῖνον, ὁ ὁποῖος ὕστερα ἀπὸ σύντομον χρόνον πρόκειται νὰ στερηθῇ αὐτά. Διότι τέτοια εἶναι ἡ παροῦσα εὐτυχία, καὶ ἡ φύσις τοῦ πλούτου· δὲν ἀκολουθεῖ ἐκείνους ποὺ φεύγουν ἀπὸ τὴν ζωὴν αὐτήν, ἀλλὰ ἀφοῦ ἐγκαταλείψουν ἐδῶ ὅλην αὐτὴν τὴν εὐτυχίαν, ἀπέρχονται γυμνοὶ καὶ ἔρημοι, ἔχοντες μοναδικὴν περιβολὴν τὴν κακίαν καὶ τὰ φορτία τῶν ἁμαρτημάτων, τὰ ὁποῖα ἐπεσώρευσεν εἰς αὐτοὺς ἡ κακία.

αὐτοῖς συλλεγέντα ἁμαρτημάτων φορτία. Ἐπὶ δὲ τῆς ἀρετῆς τοιοῦτον οὐδέν· ἀλλὰ καὶ ἐνταῦθα ἀνωτέρους τῶν ἐπιβουλευόντων καθίστησι, καὶ ἀναλώτους ἐργάζεται, καὶ διηνεκῆ τὴν ἡδονὴν χαρίζεται, καὶ οὐκ ἀφίησι τῆς τῶν πραγμάτων ἀνωμαλίας αἴσθησιν λαβεῖν, καὶ ἐντεῦθεν ἀποδημοῦσι συμμεθίσταται, καὶ τότε μάλιστα, ὅτε χρήζομεν τῆς παρ' αὐτῆς συμμαχίας, καὶ κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν πολλὴν ἡμῖν παρέχει τὴν βοήθειαν, ἥμερον ἡμῖν καθιστῶσα τοῦ δικαστοῦ τὸ ὄμμα· καὶ καθάπερ ἐνταῦθα παρόντων τῶν δεινῶν ἀνωτέρους καθίστησι τῶν δεινῶν, οὕτω καὶ ἐν τῷ μέλλοντι ἐφαρπάζει τοὺς αὐτὴν ἐπιφερομένους τῶν κολαστηρίων ἐκείνων. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἔτι καὶ τῆς τῶν ἀπορρήτων ἀγαθῶν ἀπολαύσεως πρόξενος ἡμῖν γίνεται. Καὶ ἵνα μάθῃς, ὅτι ταῦτα οὕτως ἔχει, καὶ οὐχ ἁπλῶς καὶ εἰκῇ ψυχαγωγοῦντες ὑμᾶς τούτοις κεχρήμεθα τοῖς ῥήμασιν, ἐκ τῶν νῦν προκειμένων δεῖξαι πειράσομαι τῇ ὑμετέρᾳ ἀγάπῃ. Ὅρα πῶς ὁ θαυμάσιος οὗτος, ὁ Νῶε λέγω, παντὸς τοῦ τῶν ἀνθρώπων γένους εἰς τὴν κατ' αὐτῶν ἀγανάκτησιν ἐκκαλεσαμένου τὸν φιλάνθρωπον Δεσπότην, οὗτος διὰ τῆς οἰκείας ἠδυνήθη ἀρετῆς καὶ τῆς ἀγανακτήσεως τὴν πεῖραν διαφυγεῖν, καὶ πολλὴν τὴν παρ' αὐτοῦ εὔνοιαν ἐφελκύσασθαι. Καὶ εἰ βούλει, τέως περὶ τῶν ἐν τῷ παρόντι βίῳ διαλεχθῶμεν. Ἴσως γάρ τινες τοῖς μέλλουσι καὶ μὴ ὁρωμένοις διαπιστοῦσιν. Ἴδωμεν τοίνυν ἐκ τῶν ἐνταῦθα γινομένων, τίνα μὲν τοὺς πρὸς τὴν κακίαν αὐτομολήσαντας διεδέξατο, τίνων δὲ ὁ τὴν ἀρετὴν ἑλόμενος ἠξιώθη. Ἐπειδὴ γὰρ διὰ τὴν πολλὴν τῆς κακίας ἐπίτασιν ἀπεφήνατο ὁ ἀγαθὸς Θεὸς πανωλεθρίᾳ τὸ τῶν ἀνθρώπων γένος καταδικάσειν, εἰπών, «Ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς», καὶ δεικνὺς τῆς ἀγανακτήσεως αὐτοῦ τὴν ὑπερβολήν, οὐ κατὰ τοῦ τῶν ἀνθρώπων γένους μόνον τὴν ἀπόφασιν ἐξήνεγκεν, ἀλλὰ καὶ κατὰ πάντων τῶν κτηνῶν, καὶ

2. Γεν. 6, 7.

Εἰς τὴν ἀρετὴν ὅμως δὲν συμβαίνει τίποτε τέτοιο· ἀλλὰ καὶ εἰς τὴν παροῦσαν ζωὴν μᾶς καθιστᾶ ἀνωτέρους ἀπὸ ἐκείνους, ποὺ μᾶς ἐπιβουλεύονται, καὶ μᾶς κάνει ἀκαταβλήτους, καὶ μᾶς χαρίζει τὴν διαρκῆ χαράν, καὶ δὲν ἐπιτρέπει νὰ ἀντιληφθοῦμεν τὴν ἀνωμαλίαν τῶν πραγμάτων, καὶ ὅταν φεύγωμεν ἀπὸ τὴν ζωὴν αὐτὴν μᾶς ἀκολουθεῖ, καὶ τότε μάλιστα, ὅταν ἔχωμεν ἀνάγκην τὴν συμμαχίαν της, καὶ κατὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν τῆς κρίσεως μᾶς παρέχει μεγάλην βοήθειαν, μὲ τὸ νὰ κάνῃ ἥμερον τὸ βλέμμα τοῦ δικαστοῦ πρὸς ἡμᾶς· καὶ ὅπως ἀκριβῶς ἐδῶ, ποὺ ὑπάρχουν τὰ κακά, μᾶς καθιστᾷ ἀνωτέρους ἀπὸ τὰ κακά, ἔτσι καὶ εἰς τὸ μέλλον ἀποσπᾷ ἐκείνους, ποὺ τὴν φέρουν μαζί των, ἀπὸ τὰ βασανιστήρια τῆς κολάσεως. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ ἀκόμη προκαλεῖ εἰς ἡμᾶς τὴν ἀπόλαυσιν τῶν ἀνεκφράστων ἀγαθῶν. Καὶ διὰ νὰ μάθῃς, ὅτι αὐτὰ συμβαίνουν ἔτσι, καὶ δὲν λέγομεν αὐτὰ ἁπλῶς καὶ τυχαίως διὰ νὰ σᾶς ψυχαγωγοῦμεν, θὰ προσπαθήσω νὰ ἀποδείξω εἰς τὴν ἀγάπην σας ἀπὸ αὐτά, ποὺ τώρα ἔχομεν ἐνώπιόν μας. Πρόσεχε λοιπὸν πῶς ὁ θαυμάσιος αὐτὸς ἄνθρωπος, δηλαδὴ ὁ Νῶε, ἐνῷ ὅλον τὸ ἀνθρώπινον γένος ἐπροκάλεσεν ἐναντίον του τὴν ἀγανάκτησιν τοῦ φιλανθρώπου Θεοῦ, αὐτὸς κατώρθωσε μὲ τὴν ἰδικήν του ἀρετὴν καὶ τὰς συνεπείας τῆς ἀγανακτήσεως νὰ ἀποφύγῃ καὶ νὰ ἑλκύσῃ πρὸς αὐτὸν τὴν μεγάλην εὔνοιάν του. Καὶ ἐὰν θέλετε, ἂς ὁμιλήσωμεν κατὰ πρῶτον διὰ τὰ συμβαίνοντα εἰς τὴν παροῦσαν ζωήν. Διότι ἴσως μερικοὶ δυσπιστοῦν εἰς τὰ μέλλοντα καὶ τὰ ἀόρατα. Ἂς ἰδοῦμεν λοιπὸν ἀπὸ τὰ συμβαίνοντα ἐδῶ, ποῖα μὲν διεδέχθησαν ἐκείνους, οἱ ὁποῖοι ἔσπευσαν πρὸς τὴν κακίαν, ποῖα δὲ ἠξιώθη ἐκεῖνος, ὁ ὁποῖος ἐπροτίμησε τὴν ἀρετήν. Ἐπειδὴ λοιπὸν ἐξ αἰτίας τῆς μεγάλης ἐξαπλώσεως τῆς κακίας ἀπεφάσισεν ὁ πανάγαθος Θεὸς νὰ καταδικάσῃ εἰς ὁλοκληρωτικὴν καταστροφὴν τὸ ἀνθρώπινον γένος, ὅταν εἶπε «Θὰ ἐξαλείψω τὸν ἄνθρωπον, τὸν ὁποῖον ἐδημιούργησα, ἀπὸ τὸ πρόσωπον τῆς γῆς»[2] καὶ διὰ νὰ δείξῃ τὴν ὑπερβολικήν του ἀγανάκτησιν, ἐξήγγειλε τὴν ἀπόφασίν του ὄχι μόνον ἐναντίον τοῦ ἀνθρωπίνου γένους,

τῶν ἑρπετῶν, καὶ τῶν πετεινῶν· τῶν γὰρ ἀνθρώπων, δι' οὓς ταῦτα παρήχθη, ἀπόλλυσθαι μελλόντων, καὶ ὑποβρυχίων γίνεσθαι, εἰκότως καὶ ταῦτα τῆς τιμωρίας συναπήλαυσεν· ἐπειδὴ οὖν ἡ ἀπόφασις ἀόριστος ἦν, καὶ οὐδεμίαν ἔχουσα διαίρεσιν, ἵνα μάθῃς τὸ ἀπροσωπόληπτον τοῦ Θεοῦ, καὶ ὅτι ταῖς καρδίαις ταῖς ἡμετέραις ἐμβατεύων οὐδένα περιορᾷ, ἀλλὰ κἂν μικράν τινα ἀφορμὴν εὕρῃ παρ' ἡμῶν εἰσφερομένην, ἄφατον αὐτοῦ ἐπιδείκνυται τὴν φιλανθρωπίαν, φησὶν ἡ Γραφή, ἵνα μὴ νομίσωμεν ὅτι παντελὴς ἀφανισμὸς γίνεται τοῦ τῶν ἀνθρώπων γένους, ἀλλὰ γνῶμεν, ὅτι διὰ τὴν οἰκείαν αὐτοῦ ἀγαθότητα ἀφίησι σπινθῆρά τινα σώζεσθαι, καὶ ῥίζαν τῷ τῶν ἀνθρώπων γένει, ὥστε πάλιν εἰς μακροὺς ἐκταθῆναι κλάδους· «Νῶε δέ», φησίν, «εὗρε χάριν ἐναντίον τοῦ Θεοῦ».

2. Σκόπει τῆς Γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲ τὴν τυχοῦσαν συλλαβήν ἐστιν εὑρεῖν ἁπλῶς κειμένην. Ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς τὴν ὑπερβολὴν τῆς κακίας τῶν ἀνθρώπων, καὶ τῆς τιμωρίας τὸ μέγεθος τῆς μελλούσης ἐπάγεσθαι τοῖς ταύτης ἐργάταις, διδάσκει ἡμᾶς καὶ τὸν ἐν τοσούτῳ πλήθει δυνηθέντα τὴν ἀρετὴν ἀκέραιον διασῶσαι. Ἔστι μὲν γὰρ καὶ καθ' ἑαυτὴν ἡ ἀρετὴ θαυμαστή. Ὅταν δὲ καὶ ἐν μέσῳ τῶν κωλυόντων τυγχάνων τις ταύτην μετίῃ, πολλῷ μᾶλλον θαυμαστοτέραν αὐτὴν ἀποφαίνει. Διὰ τοῦτο ὥσπερ θαυμάζουσα τὸν δίκαιον ἡ θεία Γραφή φησιν, ὅτι μεταξὺ τῶν τοσούτων διὰ τὴν κακίαν μελλόντων ἀγανακτήσεως πειρᾶσθαι, «Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ». «Εὗρε χάριν», ἀλλ' «Ἐναντίον τοῦ Θεοῦ»· οὐχ ἁπλῶς, «Εὗρε χάριν», ἀλλ' «Ἐναντίον Κυρίου τοῦ Θεοῦ»· ἵνα ἡμᾶς διδάξῃ ὅτι ἕνα τοῦτον εἶχε τὸν σκοπόν, ὥστε τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν

ἀλλὰ καὶ ἐναντίον ὅλων τῶν ζώων καὶ τῶν ἑρπετῶν καὶ τῶν πτηνῶν, διότι ὅταν ἐπρόκειτο νὰ χαθοῦν καὶ νὰ καταποντισθοῦν οἱ ἄνθρωποι, διὰ τοὺς ὁποίους ἐδημιουργήθησαν αὐτά, εὐλόγως ἔλαβαν καὶ αὐτὰ μέρος εἰς τὴν τιμωρίαν. Ἐπειδὴ λοιπὸν ἡ ἀπόφασις ἦτο ἀόριστος καὶ χωρὶς νὰ κάνῃ καμμίαν διάκρισιν, διὰ νὰ μάθῃς ὅτι ὁ Θεὸς δὲν εἶναι προσωπολήπτης, καὶ ὅτι συχνάζων μέσα εἰς τὰς ἰδικάς μας καρδίας δὲν περιφρονεῖ κανένα, ἀλλὰ καὶ ἂν ἀκόμη εὑρῇ κάποιαν μικρὰν ἀφορμήν, προσφερομένην ἀπὸ ἡμᾶς, ἐπιδεικνύει τὴν ἀνέκφραστον φιλανθρωπίαν του, λέγει ἡ Γραφή, διὰ νὰ μὴ νομίσωμεν ὅτι συντελεῖται ὁλοκληρωτικὴ ἐξαφάνισις τοῦ ἀνθρωπίνου γένους, ἀλλὰ διὰ νὰ γνωρίσωμεν, ὅτι ἐξ αἰτίας τῆς ἰδικῆς του ἀγαθότητος ἀφήνει κάποιον σπινθῆρα διὰ νὰ σώζεται καὶ ρίζαν εἰς τὸ ἀνθρώπινον γένος, ὥστε νὰ ἁπλωθῇ πάλιν εἰς μακροὺς κλάδους· «Ὁ Νῶε δέ, λέγει, εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ».

2. Παρατήρησε τὴν ἀκρίβειαν τῆς Ἁγίας Γραφῆς, πῶς οὔτε τὴν μικρὰν συλλαβὴν εἶναι δυνατὸν νὰ εὑροῦμεν, νὰ εἶναι τοποθετημένη χωρὶς σημασίαν. Ἐπειδὴ λοιπὸν μᾶς ἐδίδαξε τὸ μέγεθος τῆς κακίας τῶν ἀνθρώπων καὶ τὸ μέγεθος τῆς τιμωρίας, ἡ ὁποία ἐπρόκειτο νὰ ἐπιβληθῇ εἰς τοὺς διαπράττοντας αὐτήν, μᾶς παρουσιάζει καὶ ἐκεῖνον ποὺ ἠμπόρεσε μέσα εἰς αὐτὸ τὸ πλῆθος νὰ διασώσῃ ἀκεραίαν τὴν ἀρετήν. Εἶναι μὲν βεβαίως ἡ ἀρετὴ καὶ μόνη της ἀξιοθαύμαστος. Ὅταν ὅμως κάποιος μετέρχεται αὐτήν, εὑρισκόμενος ἀνάμεσα εἰς ἐκείνους ποὺ τὴν ἐμποδίζουν, καθιστᾷ αὐτὴν κατὰ πολὺ περισσότερον ἀξιοθαυμαστοτέραν. Διὰ τοῦτο ὡσὰν νὰ θαυμάζῃ τὸν δίκαιον ἡ Ἁγία Γραφὴ λέγει, ὅτι ἀνάμεσα εἰς τοὺς πολλοὺς ἀνθρώπους, οἱ ὁποῖοι ἐπρόκειτο ἐξ αἰτίας τῆς κακίας των νὰ δοκιμάσουν τὴν ἀγανάκτησιν τοῦ Θεοῦ, «ὁ Νῶε δὲ εὗρε χάριν ἐνώπιον Κυρίου τοῦ Θεοῦ». «Εὗρε χάριν», ἀλλά, «Ἐνώπιον τοῦ Θεοῦ»· ὄχι ἁπλῶς, «εὗρε χάριν», ἀλλά, «ἐνώπιον Κυρίου τοῦ Θεοῦ», διὰ νὰ μᾶς διδάξῃ ὅτι μοναδικὸν σκοπὸν εἶχεν αὐτόν, ὥστε τὸ ἄγρυπνον ἐκεῖνο μάτι νὰ ἔχῃ ἐπαινέτην καὶ δὲν ὑπῆρχεν εἰς αὐτὸν κανεὶς λόγος τῆς δόξης τῶν

ἐπαινέτην ἔχειν, καὶ οὐδεὶς αὐτῷ λόγος τῆς τῶν ἀνθρώπων δόξης, οὐδὲ τῆς ἀτιμίας, καὶ τοῦ γέλωτος. Εἰκὸς γὰρ αὐτὸν ἀπεναντίας ἅπασι τὴν ἀρετὴν μετιέναι βουλόμενον πολλὴν ὑπομένειν τὴν χλεύην καὶ τὸν γέλωτα, πάντων τῶν τὴν κακίαν μετιόντων εἰωθότων ἀεὶ ἐπισκώπτειν τοὺς ταύτην φεύγειν βουλομένους, καὶ ἀρετὴν αἱρουμένους, ὅπερ καὶ νῦν πολλάκις γίνεται. Καὶ πολλοὺς τῶν ῥαθύμων ὁρῶμεν μὴ φέροντας τὸν γέλωτα καὶ τὴν χλευασίαν, ἀλλὰ προτιμῶντας τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ἀληθοῦς καὶ ἀεὶ μενούσης, ὑποσυρομένους καὶ συγκατασπωμένους τῇ τῶν ἑτέρων ἀνθρώπων κακίᾳ. Ψυχῆς γάρ ἐστι γενναίας καὶ στερρῷ τῷ φρονήματι κεχρημένης τὸ δυνηθῆναι ἀντισχεῖν πρὸς τοὺς διασύρειν βουλομένους, καὶ μὴ πρὸς ἀρέσκειαν τῶν ἀνθρώπων τι διαπράττεσθαι, ἀλλὰ πρὸς τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν τείνειν τὸ ὄμμα, καὶ τὴν παρ' ἐκείνου εὐφημίαν μόνον ἀναμένειν, καὶ τούτων ὑπερορᾶν, καὶ μηδὲν ἡγεῖσθαι αὐτῶν τὸν ἔπαινον, μήτε τὸν ψόγον, ἀλλὰ καθάπερ σκιὰς καὶ ὀνείρατα παρατρέχειν. Καὶ ἐνταῦθα μὲν πολλοὶ πολλάκις τὴν ὕβριν οὐ φέροντες δέκα ἢ εἴκοσι ἀνθρώπων, ἢ καὶ ἐλαττόνων, ὑπεσκελίσθησαν καὶ κατέπεσον. «Ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν». Οὐδὲ γὰρ τὸ τυχόν ἐστιν ὑπεριδεῖν τῶν ὀνειδιζόντων, καὶ καταγελώντων, καὶ κωμῳδεῖν βουλομένων· ἀλλ' ὁ δίκαιος οὗτος οὐχ οὕτως. Οὐ μόνον γὰρ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν ἀνθρώπων, ἀλλὰ καὶ πάσης τῆς τῶν ἀνθρώπων φύσεως, καὶ μυριάδων τοσούτων ὑπερεῖδεν. Εἰκὸς γὰρ ἅπαντας αὐτοὺς καταγελᾶν, κωμῳδεῖν, χλευάζειν, πολλὴν τὴν παροινίαν περὶ αὐτὸν ἐπιδείκνυσθαι, ἴσως δὲ ἢ καὶ βούλεσθαι διασπᾶν, εἰ οἷόν τε ἦν. Πολλὴν γὰρ ἀεὶ τὴν μανίαν ἐπιδείκνυται ἡ κακία κατὰ τῆς ἀρετῆς· ἀλλ' οὐ μόνον οὐδὲν αὐτὴν βλάπτει, ἀλλὰ καὶ τὸ πολεμεῖν ἰσχυροτέραν

3. Σοφ. Σειρ. 4, 21.

ἀνθρώπων, οὔτε τῆς καταισχύνης καὶ τοῦ χλευασμοῦ αὐτῶν. Διότι εἶναι φυσικὸν αὐτός, πού θέλει νὰ ἀσκῇ τὴν ἀρετὴν εὑρισκόμενος εἰς ἀντίθεσιν πρὸς ὅλους, νὰ ὑπομένῃ πολλοὺς ἐμπαιγμοὺς καὶ νὰ γίνεται καταγέλαστος, ἐπειδὴ ἔχουν συνηθίσει ὅλοι οἱ μετερχόμενοι τὴν κακίαν πάντοτε νὰ περιπαίζουν ἐκείνους, οἱ ὁποῖοι ἐπιθυμοῦν νὰ ἀποφεύγουν αὐτὴν καὶ νὰ προτιμοῦν τὴν ἀρετήν, πρᾶγμα ποὺ βεβαίως καὶ τώρα συχνὰ γίνεται. Καὶ βλέπομεν, πολλοὶ ἀδιάφοροι νὰ μὴ ὑποφέρουν τὰ κοροϊδευτικὰ γέλια καὶ τοὺς χλευασμούς, ἀλλὰ νὰ προτιμοῦν τὴν δόξαν τῶν ἀνθρώπων ἀπὸ τὴν ἀληθινὴν καὶ παραμένουσαν πάντοτε, παρασυρόμενοι καὶ συμπαρασυρόμενοι εἰς τὴν κακίαν τῶν ἄλλων ἀνθρώπων. Διότι εἶναι γνώρισμα τῆς γενναίας ψυχῆς καὶ τὸ νὰ ἠμπορέσῃ κανεὶς νὰ ἀντισταθῇ μὲ ἰσχυρὸν φρόνημα πρὸς ἐκείνους ποὺ θέλουν νὰ τὸν διασύρουν καὶ νὰ μὴ ἐνεργῇ κάτι διὰ νὰ ἀρέσῃ εἰς τοὺς ἀνθρώπους, ἀλλὰ νὰ βλέπῃ μόνον πρὸς τὸ ἄγρυπνον ἐκεῖνο μάτι τοῦ Θεοῦ καὶ νὰ περιμένῃ τὸν ἔπαινον μόνον ἀπὸ ἐκεῖνον, καὶ νὰ περιφρονῇ αὐτούς, καὶ νὰ μὴ ὑπολογίζῃ καθόλου τὸν ἔπαινον τῶν ἀνθρώπων, οὔτε τὴν κατηγορίαν, ἀλλὰ νὰ τὰ περιφρονῇ ὡσὰν σκιὰς καὶ ὄνειρα. Καὶ ἐδῶ μὲν πολλοὶ ἄνθρωποι, ἐπειδὴ πολλὰς φορὰς δὲν ὑπέφεραν τὴν ὕβριν δέκα ἢ εἴκοσι ἀνθρώπων, ἢ ἀκόμη καὶ ὀλιγωτέρων, ἀνετράπησαν καὶ ἔπεσαν. «Ὑπάρχει πράγματι ἐντροπή, ἡ ὁποία ὁδηγεῖ εἰς τὴν ἁμαρτίαν»[8]. Διότι δὲν εἶναι εὔκολον νὰ περιφρονήσῃ κανεὶς ἐκείνους, οἱ ὁποῖοι τὸν κατηγοροῦν, καὶ τὸν περιπαίζουν καὶ ἐπιθυμοῦν νὰ τὸν γελιοποιοῦν. Ὁ δίκαιος ὅμως αὐτὸς δὲν ἐνήργησεν ἔτσι. Διότι ὄχι μόνον δέκα καὶ εἴκοσι καὶ ἑκατὸν ἀνθρώπους ἐπεριφρόνησε, ἀλλὰ καὶ ὅλον τὸ ἀνθρώπινον γένος καὶ τόσας μυριάδας ἀνθρώπων. Ἦτο λοιπὸν φυσικὸν ὅλοι αὐτοὶ νὰ τὸν περιγελοῦν, νὰ τὸν γελιοποιοῦν, νὰ τὸν χλευάζουν, νὰ ἐπιδεικνύουν ἀπέναντί του πολλὴν κακὴν συμπεριφοράν, ἴσως δὲ καὶ νὰ ἤθελαν νὰ τὸν καταστρέψουν, ἐὰν ἦτο δυνατόν. Διότι πάντοτε ἡ κακία ἐπιδεικνύει παράφορον ἐχθρότητα ἐναντίον τῆς ἀρετῆς· ἀλλὰ ὄχι μόνον δὲν βλάπτει καθόλου αὐτήν, ἀλλὰ καὶ

αὐτὴν ἀπεργάζεται. Τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχύς, ὅτι ἐν τῷ πάσχειν τῶν ποιούντων περιγίνεται, καὶ ἐν τῷ πολεμεῖσθαι τῶν πολεμούντων ἀνωτέρα καθίσταται. Καὶ τοῦτο ἔνεστι μὲν ἐκ πολλῶν συνιδεῖν· Ἵνα δὲ ἀφορμὰς ὑμῖν παράσχωμεν· «Δίδου γάρ», φησί, «σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται»· ἀναγκαῖον καὶ ἐκ τῆς Παλαιᾶς καὶ ἐκ τῆς Καινῆς τὰ παραδείγματα ὑμῖν παραγαγεῖν. Ἐννόει μοι τοίνυν τὸν Ἄβελ· οὐχὶ ἀνῃρέθη ὑπὸ τοῦ Κάϊν; οὐχὶ ἐπὶ τοῦ ἐδάφους ἦν ἐρριμμένος; Ἀλλὰ μὴ τοῦτο σκόπει, ὅτι ἐκράτησε καὶ περιεγένετο, καὶ ἀνεῖλε τὸν φθονούμενον, καὶ οὐδὲν ἠδικηκότα· ἀλλὰ τὰ μετὰ ταῦτα λογίζου, ὅτι ὁ μὲν ἀναιρεθείς, ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἀνακηρύττεται, καὶ στεφανοῦται, καὶ ὁ τοσοῦτος χρόνος τὴν μνήμην οὐκ ἐμάρανεν· ὁ δὲ ἀνελών, καὶ περιγενόμενος, καὶ τότε ζωὴν θανάτου βαρυτέραν ὑπέμενε, καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν οὗτος μὲν στηλιτεύεται, καὶ τὰς παρὰ πάντων κατηγορίας δέχεται, ἐκεῖνος δὲ καθ' ἑκάστην ἡμέραν ἐν τοῖς ἁπάντων ᾄδεται στόμασι. Καὶ ταῦτα μὲν ἐν τῷ παρόντι βίῳ, τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ποῖος λόγος, ποία διάνοια παραστῆσαι δυνήσεται; Καὶ οἶδα μὲν ὅτι συνετοὶ ὄντες πολλὰ καὶ διάφορα ἕτερα τοιαῦτα εὑρήσετε ἐν ταῖς Γραφαῖς κείμενα. Διὰ γὰρ τοῦτο γέγραπται πρὸς ὠφέλειαν τὴν ἡμετέραν, ὥστε ταῦτα μανθάνοντας φεύγειν μὲν τὴν κακίαν, προτιμᾶν δὲ τὴν ἀρετήν. Βούλει καὶ ἐν τῇ Καινῇ τὸ αὐτὸ τοῦτο ἰδεῖν; Ἄκουε τοῦ μακαρίου Λουκᾶ τὸ αὐτὸ τοῦτο διηγουμένου περὶ τῶν ἀποστόλων, ὅτι μαστιγωθέντες ἀνεχώρουν ἀπὸ τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. Καίτοι γε αἱ μάστιγες οὐ χαρᾶς ἦσαν ἀφορμαί, ἀλλὰ λύπης καὶ ἀθυμίας· ἀλλὰ αἱ διὰ τὸν Θεὸν μάστιγες, καὶ ἡ ὑπόθεσις, δι' ἣν ἐμαστίζοντο, τὴν

4. Παροιμ. 9, 9.
5. Διὰ περισσότερα βλ. ὁμιλία ιθ΄.
6. Πράξ. 5, 41.

ὁ πόλεμος καθιστᾶ αὐτὴν περισσότερον ἰσχυράν. Πράγματι εἶναι τόσον μεγάλη ἡ δύναμις τῆς ἀρετῆς, διότι ὅταν ὑποφέρῃ, νικᾷ ἐκείνους ποὺ τὴν ἐνοχλοῦν, καὶ ὅταν πολεμῆται, γίνεται ἀνωτέρα ἀπὸ ἐκείνους ποὺ τὴν πολεμοῦν. Καὶ αὐτὸ εἶναι δυνατὸν μὲν νὰ τὸ γνωρίσωμεν ἀπὸ πολλὰ παραδείγματα. Διὰ νὰ σᾶς δώσωμεν δὲ ἀφορμὰς (διότι λέγει, «Δῶσε εἰς σοφὸν ἀφορμὴν καὶ θὰ γίνῃ σοφώτερος»[4], εἶναι ἀνάγκη νὰ παρουσιάσωμεν τὰ παραδείγματα καὶ ἀπὸ τὴν Παλαιὰν καὶ ἀπὸ τὴν Καινὴν Διαθήκην. Ἔνθυμήσου λοιπόν, σὲ παρακαλῶ, τὸν Ἄβελ· δὲν ἐφονεύθη ἀπὸ τὸν Κάιν; δὲν ἦτο ἐγκαταλελειμμένος ἐπὶ τοῦ ἐδάφους; Ἀλλὰ μὴ ἐξετάζῃς αὐτό, ὅτι ἐνίκησε καὶ ὑπερίσχυσε καὶ ἐφόνευσεν ἐκεῖνον, ποὺ ἐφθονοῦσε καὶ δὲν τὸν εἶχεν ἀδικήσει καθόλου. Ἀλλὰ σκέψου αὐτὰ ποὺ ἔγιναν ἔπειτα, ὅτι δηλαδὴ ὁ μὲν φονευθείς, ἀπὸ τότε μέχρι καὶ σήμερα ἐπαινεῖται καὶ στεφανώνεται καὶ ὁ πολὺς χρόνος δὲν ἔσβησε τὴν μνήμην του· ἐκεῖνος ὅμως, ποὺ ἐφόνευσε καὶ ἐνίκησε, καὶ τότε ἔζησε μίαν ζωὴν βαρυτέραν ἀπὸ τὸν θάνατον, καὶ ἀπὸ τότε μέχρι σήμερα αὐτὸς μὲν ἐπιτιμᾶται καὶ δέχεται τὰς κατηγορίας ὅλων τῶν ἀνθρώπων, ἐκεῖνος ὅμως καθημερινὰ ἐπαινεῖται ἀπὸ ὅλους[5]. Καὶ αὐτὰ μὲν συμβαίνουν εἰς τὴν παροῦσαν ζωήν, τὰ συμβαίνοντα ὅμως εἰς τὴν μέλλουσαν ποῖος λόγος, ποία διάνοια θὰ ἠμπορέσῃ νὰ περιγράψῃ; Καὶ γνωρίζω μὲν ὅτι, ἐπειδὴ εἶσθε σώφρονες, θὰ εὕρῆτε πολλὰ καὶ διάφορα ἄλλα τέτοια παραδείγματα, τὰ ὁποῖα ὑπάρχουν μέσα εἰς τὴν Ἁγίαν Γραφήν. Διότι δι' αὐτὸ ἔχουν γραφῆ, διὰ τὴν ἰδικήν μας ὠφέλειαν, ὥστε ἀφοῦ μάθωμεν αὐτὰ νὰ ἀποφεύγωμεν μὲν τὴν κακίαν, νὰ προτιμῶμεν δὲ τὴν ἀρετήν. Θέλετε νὰ ἰδοῦμεν αὐτὸ τὸ ἴδιον καὶ εἰς τὴν Καινὴν Διαθήκην; Ἄκουε τὸν μακάριον Λουκᾶν, ὁ ὁποῖος διηγεῖται τὸ ἴδιον πρᾶγμα διὰ τοὺς ἀποστόλους, ὅτι ἀφοῦ ἐμαστιγώθησαν ἔφυγαν ἀπὸ τὸ συνέδριον μὲ χαρὰν μεγάλην, διότι ἠξιώθησαν νὰ ἀτιμασθοῦν χάριν τοῦ ὀνόματος τοῦ Χριστοῦ[6]. Ἂν καὶ βέβαια αἱ μαστιγώσεις δὲν ἦσαν ἀφορμαὶ χαρᾶς, ἀλλὰ λύπης καὶ στενοχωρίας· ἀλλὰ ἡ μαστίγωσίς των διὰ τὸν Θεὸν καὶ ἡ

χαρὰν αὐτοῖς ἔτικτε. Καὶ οἱ μὲν μαστιγώσαντες ἐν ἀπορίᾳ πολλῇ καὶ ἀμηχανίᾳ καθεστήκεισαν, οὐκ εἰδότες ὅ τι πράξωσιν. Ἄκουε γὰρ αὐτῶν καὶ μετὰ τὰς μάστιγας διαπορούντων, καὶ λεγόντων· «Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;». Τί λέγεις; Ἐμαστίξατε, μυρία κακὰ διεθήκατε, καὶ ἔτι ἀπορεῖτε; Τοσοῦτόν ἐστιν ἰσχυρὸν πρᾶγμα καὶ ἀχείρωτον ἡ ἀρετή, καὶ ἐν αὐτῷ τῷ πάσχειν τῶν ποιούντων περιγινομένη.

3. Ἀλλ' ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, ἀναγκαῖον πάλιν ἐπανελθεῖν ἐπὶ τὸν δίκαιον τοῦτον, καὶ ἐκπλαγῆναι αὐτοῦ τῆς ἀρετῆς τὴν ὑπερβολήν, πῶς ἴσχυσε τοσούτου δήμου καταγελῶντος, ἐπεμβαίνοντος, χλευάζοντος, κωμῳδοῦντος (πάλιν γὰρ τὰ αὐτὰ λέγω, καὶ λέγων οὐ παύσομαι) ὑπεριδεῖν, καὶ ἀνώτερος γενέσθαι. Πῶς; Ἐγὼ λέγω. Ἐπειδὴ διηνεκῶς ἑώρα πρὸς τὸν ἀκοίμητον ὀφθαλμόν, ἐκεῖ τεταμένον εἶχε τῆς διανοίας τὸ ὄμμα, καὶ λοιπὸν τούτων ἁπάντων ὡς οὐδὲν ὄντων ἐφρόντιζε. Καὶ γὰρ οὕτως ἔχει· ἐπειδὰν γάρ τις τρωθῇ τῷ ἔρωτι ἐκείνῳ, καὶ εἰς τὸν πρὸς τὸν Θεὸν πόθον ἑαυτὸν ἐκτείνῃ, οὐδὲν ἕτερον ὁρᾷ τῶν ὁρωμένων, ἀλλὰ διηνεκῶς ἐκεῖνον φαντάζεται τὸν ποθούμενον, καὶ ἐν νυκτί, καὶ ἐν ἡμέρᾳ, καὶ κοιταζόμενος, καὶ διανιστάμενος. Μὴ τοίνυν σε ξενιζέτω, εἰ καὶ ὁ δίκαιος οὗτος ἅπαξ ἐκεῖ τείνας αὐτοῦ τὴν διάνοιαν, οὐδενὸς ἐφρόντιζε τῶν ὑποσκελίζειν ἐπιχειρούντων. Τὰ γὰρ παρ' ἑαυτοῦ ἐπιδειξάμενος, καὶ τὴν ἄνωθεν χάριν ἐπισπασάμενος ἀνώτερος ἁπάντων ἐγίνετο. «Νῶε γάρ», φησίν, «εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ». Εἰ καὶ πάσῃ τῇ τῶν τότε ἀνθρώπων φύσει οὐ ἦν ἐπίχαρις, οὐδὲ ποθεινὸς διὰ τὸ μὴ βούλεσθαι τὴν αὐτὴν αὐτοῖς ὁδεύειν ὁδόν, ἀλλὰ πρὸς ἐκεῖνον τὰς καρδίας ἐμβατεύοντα χάριν εὗρε, καὶ ἐκεῖνος αὐ-

7. Πράξ. 4, 16.

ὑπόθεσις, διὰ τὴν ὁποίαν ἐμαστιγώνοντο, ἐγεννοῦσε τὴν χαρὰν εἰς αὐτούς. Καὶ ἐκεῖνοι μὲν ποὺ τοὺς ἐμαστίγωσαν, εὑρέθησαν εἰς μεγάλην δυσχέρειαν καὶ ἀμηχανίαν, χωρὶς νὰ γνωρίζουν τί νὰ πράξουν. Διότι ἄκουε αὐτοὺς καὶ μετὰ τὴν μαστίγωσιν νὰ ἀποροῦν καὶ νὰ λέγουν· «Τί νὰ κάμωμεν μὲ τοὺς ἀνθρώπους αὐτούς;»[7]. Τί λέγεις; Ἐμαστιγώσατε, ἐπροκαλέσατε πάρα πολλὰ κακά, καὶ ἀκόμη ἀπορεῖτε; Τόσον πολὺ ἰσχυρὸν πρᾶγμα καὶ ἀκατάβλητον εἶναι ἡ ἀρετή, καὶ ὅταν ἀκόμη πάσχῃ ὑπερισχύει ἐκείνων, ποὺ τὴν ἐνοχλοῦν.

3. Ἀλλὰ διὰ νὰ μὴ παρατείνωμεν πολύ τόν λόγον, εἶναι ἀνάγκη νὰ ἐπανέλθωμεν πάλιν εἰς τόν δίκαιον αὐτόν καὶ νὰ ἐκπλαγοῦμεν ἀπὸ τήν ὑπερβολικήν του ἀρετήν· πῶς ἠμπόρεσεν, ἐνῷ τόσος λαὸς τόν ἐπεριγελοῦσε, τόν ἐπετιμοῦσε, τόν ἐχλεύαζε, τὸν ἐγελιοποιοῦσε (πάλιν βεβαίως τὰ ἴδια λέγω καὶ δὲν θὰ παύσω νὰ τὰ λέγω), νὰ περιφρονήσῃ καὶ νὰ γίνῃ ἀνώτερος. Πῶς; Ἐγὼ ἀπαντῶ. Ἐπειδὴ διαρκῶς ἔβλεπε πρὸς τό ἄγρυπνον μάτι, ἐκεῖ εἶχε στραμμένον ἔντονα τό βλέμμα τῆς διανοίας του καὶ εἰς τό ἑξῆς ἐπρόσεχε δι᾿ ὅλους αὐτοὺς ὡς νὰ μὴ ὑπῆρχαν καθόλου. Καὶ πράγματι ἔτσι ἔχουν τὰ πράγματα· διότι ὅταν κάποιος πληγωθῇ μὲ ἐκεῖνον τόν ἔρωτα καὶ θέσῃ τόν ἑαυτόν του εἰς τὸν πόθον πρός τόν Θεόν, τίποτε ἄλλο δὲν βλέπει ἀπὸ τὰ ὁρατά, ἀλλὰ συνεχῶς φαντάζεται ἐκεῖνον, πού ἐπιθυμεῖ, καὶ κατὰ τὴν νύκτα, καὶ κατὰ τὴν ἡμέραν καὶ ὅταν κοιμᾶται, καὶ ὅταν εἶναι ἐντελῶς ξυπνητός. Νὰ μὴ σὲ παραξενεύῃ λοιπόν, ἐὰν καὶ ὁ δίκαιος αὐτός ἀφοῦ ἔστρεψε κάποτε ἐκεῖ τὴν διάνοιάν του, δὲν ἐπρόσεχε κανένα ἀπό ἐκείνους, οἱ ὁποῖοι ἐπροσπαθοῦσαν νὰ τόν ἀνατρέψουν. Διότι ἀφοῦ ἔκαμεν ὅ,τι ἐξηρτᾶτο ἀπό αὐτόν καὶ ἐκέρδισε τὴν χάριν τοῦ Θεοῦ, ἐγίνετο ἀνώτερος ὅλων. «Ὁ Νῶε δέ, λέγει, εὗρε χάριν ἐνώπιον Κυρίου τοῦ Θεοῦ». Ἂν καὶ δὲν ἦτο εὐχάριστος εἰς ὁλόκληρον τό ἀνθρώπινον γένος τῆς τότε ἐποχῆς, οὔτε ἐπιθυμητός, ἐπειδὴ δὲν ἤθελε νὰ βαδίζῃ τὸν ἴδιον μὲ αὐτούς δρόμον, ἀλλὰ εὗρε χάριν εἰς ἐκεῖνον, ποὺ εἰσέρχεται εἰς τὰς καρδίας μας, καὶ ἐκεῖνος ἐδέ-

τοῦ τὴν γνώμην ἀπεδέξατο. Τί γάρ, εἰπέ μοι, βλάβος ἐντεῦθεν ἐγένετο ἀπὸ τῆς τῶν ὁμογενῶν χλεύης καὶ τοῦ καταγέλωτος, τοῦ πλάσαντος τὰς καρδίας ἡμῶν, καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν, ἀνακηρύττοντος τὸν ἄνδρα καὶ στεφανοῦντος; Τί δὲ ὄφελος ἀνθρώπῳ γένοιτ' ἂν παρὰ πάσης τῆς οἰκουμένης θαυμαζομένῳ καὶ ἐπαινουμένῳ, παρὰ δὲ τοῦ τῶν ὅλων δημιουργοῦ καὶ τοῦ ἀπαραλογίστου δικαστοῦ ἐπὶ τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς κρινομένῳ; Ταῦτα τοίνυν εἰδότες, ἀγαπητοί, μηδένα λόγον ποιώμεθα τοῦ παρὰ τῶν ἀνθρώπων ἐπαίνου, μηδὲ τὴν παρὰ τούτων εὐφημίαν ἐκ παντὸς τρόπου ζητῶμεν, ἀλλὰ καὶ δι' ἐκεῖνον μόνον τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, καὶ τὰ τῆς ἀρετῆς ἔργα μετίωμεν, καὶ τὴν κακίαν φεύγωμεν. Διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς παιδεύων ἡμᾶς μὴ κεχηνέναι πρὸς τὰς παρὰ τῶν ἀνθρώπων εὐφημίας, μετὰ πολλὰ ἕτερα τελευταῖον καὶ τοῦτο ἐπήνεγκε λέγων· «Οὐαὶ ὑμῖν, ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι». Σκόπει πῶς διὰ τοῦ «Οὐαὶ» ἡμῖν ἐνεφάνισε, ποταπὴ τοῖς τοιούτοις κείσεται τιμωρία. Τὸ γὰρ οὐαὶ τοῦτο θρηνῶδές ἐστιν ἐπίφθεγμα· μονονουχὶ γὰρ ταλανίζων αὐτούς φησιν· «Οὐαὶ ὑμῖν, ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι». Καὶ ὅρα τοῦ ῥητοῦ τὴν ἀκρίβειαν. Οὐκ εἶπεν ἁπλῶς, οἱ ἄνθρωποι, ἀλλά, «Πάντες οἱ ἄνθρωποι». Οὐδὲ γὰρ οἷόν τε τὸν ἐνάρετον, καὶ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύοντα, καὶ ταῖς ἐντολαῖς τοῦ Χριστοῦ κατακολουθοῦντα παρὰ πάντων ἀνθρώπων ἀπαινεῖσθαι καὶ θαυμάζεσθαι. Πολλὴ γὰρ τῆς κακίας ἡ ἐπίτασις, καὶ ἡ πρὸς τὴν ἀρετὴν ἐναντίωσις. Εἰδὼς οὖν ὁ Δεσπότης, ὅτι τὸν μετὰ ἀκριβείας τὴν ἀρετὴν μετιόντα, καὶ τὸν παρ' αὐτοῦ μόνον ἐκδεχόμενον ἔπαινον, τῶν ἀδυνάτων ἂν εἴη παρὰ πάντων ἀνθρώπων ἀπαινεῖσθαι, καὶ καλῶς ἀκούειν, διὰ τοῦτο ταλανίζει τοὺς διὰ τὸν παρὰ τούτων ἔπαινον τῆς ἀρε-

8. Λουκᾶ 6, 26.

χθη τὴν διάθεσίν του. Ποία λοιπόν, εἰπέ μου, ζημία προέκυψεν ἀπὸ τοὺς χλευασμοὺς καὶ τὰ εἰρωνικὰ γέλια τῶν συνανθρώπων του, ὅταν ἐκεῖνος ποὺ ἔπλασε τὰς καρδίας μας καὶ μᾶς βοηθεῖ εἰς ὅλα τὰ ἔργα μας, ἐπαινῇ καὶ στεφανώνῃ τὸν ἄνδρα; Καὶ ποῖον κέρδος θὰ ἠμποροῦσε νὰ ἔχῃ ὁ ἄνθρωπος, ὅταν θαυμάζεται καὶ ἐπαινῆται ἀπὸ ὅλην τὴν οἰκουμένην, ἀπὸ τὸν δημιουργὸν ὅμως τῶν ὅλων καὶ τὸν δικαστήν, τὸν ὁποῖον δὲν ἠμπορεῖ κανεὶς νὰ ἐξαπατήσῃ, καταδικάζεται κατὰ τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως; Γνωρίζοντες λοιπὸν αὐτά, ἀγαπητοί μου, ἂς μὴ ὑπολογίζωμεν καθόλου τὸν ἔπαινον τῶν ἀνθρώπων, οὔτε νὰ ἐπιδιώκωμεν μὲ κάθε τρόπον τὰς ἀπευφημίας αὐτῶν, ἀλλὰ ἂς καταγινώμεθα μὲ τὰ ἔργα τῆς ἀρετῆς καὶ ἂς ἀποφεύγωμεν τὴν κακίαν δι' ἐκεῖνον μόνον, ὁ ὁποῖος ἐξετάζει τὰς καρδίας καὶ τοὺς νεφρούς μας. Διὰ τοῦτο βεβαίως καὶ ὁ Χριστὸς διὰ νὰ μᾶς διδάξῃ νὰ μὴ μένωμεν μὲ ἀνοικτὸν τὸ στόμα εἰς τὰς ἐπευφημίας τῶν ἀνθρώπων, ὕστερα ἀπὸ πολλὰ ἄλλα, τελευταῖον καὶ αὐτὸ ἐπρόσθεσε λέγων· «Ἀλλοίμονον εἰς σᾶς, ὅταν σᾶς ἐπαινέσουν ὅλοι οἱ ἄνθρωποι»[8]. Πρόσεξε πῶς μὲ τὸ «Ἀλλοίμονον» μᾶς ἐφανέρωσε, ποία τιμωρία θὰ ἐπιβληθῇ εἰς αὐτοὺς τοὺς ἀνθρώπους. Διότι τὸ ἀλλοίμονον αὐτὸ εἶναι θρηνῶδες ἐπιφώνημα· σχεδὸν λοιπὸν ἀποκαλῶν αὐτοὺς ἀθλίους λέγει· «Ἀλλοίμονον εἰς σᾶς, ὅταν σᾶς ἐπαινέσουν ὅλοι οἱ ἄνθρωποι». Καὶ πρόσεχε τὴν ἀκρίβειαν τοῦ λεχθέντος. Δὲν εἶπεν ἁπλῶς, οἱ ἄνθρωποι, ἀλλά, «Ὅλοι οἱ ἄνθρωποι». Διότι δὲν εἶναι δυνατὸν νὰ ἐπαινῆται καὶ νὰ θαυμάζεται ἀπὸ ὅλους τοὺς ἀνθρώπους οὔτε ὁ ἐνάρετος, ὁ ὁποῖος καὶ τὸν στενὸν καὶ γεμᾶτον δυσκολίας δρόμον βαδίζει καὶ ἀκολουθεῖ πιστὰ τὰς ἐντολὰς τοῦ Χριστοῦ. Πράγματι εἶναι μεγάλη ἡ ἔντασις τῆς κακίας καὶ ἡ ἀντίθεσίς της πρὸς τὴν ἀρετήν. Ἐπειδὴ λοιπὸν γνωρίζει ὁ Κύριος, ὅτι, ἐκεῖνος, ποὺ μὲ ἀκρίβειαν καταγίνεται εἰς τὴν ἀρετὴν καὶ ἀποδέχεται μόνον τὸν ἰδικόν του ἔπαινον, εἶναι ἀδύνατον νὰ ἐπαινῆται ἀπὸ ὅλους τοὺς ἀνθρώπους καὶ νὰ ἀκούῃ καλὰ λόγια, δι' αὐτὸ ἀποκαλεῖ ἀθλίους ἐκείνους, οἱ ὁποῖοι ἐξ αἰτίας τοῦ ἐπαίνου τῶν

τῆς ἀμελοῦντας. Ἡ γὰρ παρὰ πάντων εὐφημία τεκμήριον ἂν εἴη μέγιστον τοῦ μὴ πολὺν τῆς ἀρετῆς λόγον ποιεῖσθαι. Πῶς γὰρ παρὰ πάντων ἐπαινεθείη ὁ ἐνάρετος, εἰ βούλοιτο τοὺς ἀδικουμένους ἐξαρπάζειν τῶν ἀδικούντων, τοὺς ἐπηρεαζομένους τῶν κακῶς ποιεῖν βουλομένων; Πάλιν εἰ βούλοιτο διορθοῦν τοὺς ἁμαρτάνοντας, καὶ ἐπαινεῖν τοὺς κατορθοῦντας, οὐκ εἰκὸς τοὺς μὲν ἐπαινεῖν, τοὺς δὲ ψέγειν; Διὰ τοῦτό φησιν· «Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι». Πῶς οὖν οὐκ ἄξιον θαυμάζειν καὶ ἐκπλήττεσθαι τὸν δίκαιον τοῦτον ὅτι ἅπερ ὁ Χριστὸς παραγενόμενος ἐδίδασκε, ταῦτα προλαβὼν ὑπὸ τοῦ ἐν τῇ φύσει ἐγκειμένου νόμου παιδευθεὶς μετὰ πολλῆς μετήει τῆς ὑπερβολῆς, καὶ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον ἀποπεμψάμενος, διὰ τῆς τῶν βεβιωμένων ἀρετῆς τὴν παρὰ τῷ Θεῷ χάριν εὑρεῖν ἐσπούδαζε; «Νῶε γάρ», φησίν, «εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ». Ἀλλ' ὅτι μὲν διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ, διηγήσατο ἡμῖν ὁ θαυμάσιος οὗτος προφήτης ἐνηχούμενος ὑπὸ τοῦ ἁγίου Πνεύματος· ἀναγκαῖον δὲ καὶ τὰ ἑξῆς εἰρημένα καταμαθεῖν, καὶ ἰδεῖν καὶ τὴν ψῆφον τὴν παρὰ τοῦ Θεοῦ περὶ αὐτοῦ γινομένην. «Αὗται δέ», φησίν, «αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ Θεῷ εὐηρέστησε Νῶε». Ξένος γενεαλογίας τρόπος. Εἰποῦσα γὰρ ἡ θεία Γραφή, «Αὗται δὲ αἱ γενέσεις Νῶε», καὶ τὰς ἀκοὰς ἡμῶν ἀναπτερώσασα, ὡς μέλλουσα τὴν γενεαλογίαν αὐτοῦ διηγεῖσθαι, καὶ τίς μὲν αὐτοῦ πατὴρ ἐγένετο, πόθεν δὲ τὸ γένος κατῆγε, καὶ ὅπως εἰς τὸν βίον παρήχθη, καὶ τὰ ἄλλα ἅπαντα, ἅπερ ἔθος τοῖς τὰς γενεαλογίας ἐξηγουμένοις διηγεῖσθαι, ταῦτα πάντα καταλιποῦσα, καὶ τῆς

ἀνθρώπων παραμελοῦν τὴν ἀρετήν. Διότι ὁ ἔπαινος ἀπὸ ὅλους τοὺς ἀνθρώπους θὰ ἠμποροῦσε νὰ εἶναι ἡ μεγαλυτέρα ἀπόδειξις εἰς τὸ ὅτι δὲν δίδει μεγάλην σημασίαν εἰς τὴν ἀρετήν. Πῶς λοιπὸν θὰ ἠμποροῦσε νὰ ἐπαινεθῇ ἀπὸ ὅλους ὁ ἐνάρετος, ἐὰν θὰ ἤθελε νὰ ἐλευθερώνῃ τοὺς ἀδικουμένους ἀπὸ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀπειλουμένους ἀπὸ τοὺς ἐπιθυμοῦντας νὰ κακοποιοῦν αὐτούς; Πάλιν, ἐὰν θὰ ἤθελε νὰ διορθώνῃ τοὺς ἁμαρτωλοὺς καὶ νὰ ἐπαινῇ τοὺς ἐναρέτους, δὲν θὰ ἦτο φυσικὸν οἱ μὲν νὰ τὸν ἐπαινοῦν, οἱ ἄλλοι ὅμως νὰ τὸν κατηγοροῦν; Διὰ τοῦτο λέγει ὁ Κύριος· «Ἀλλοίμονον εἰς σᾶς, ὅταν σᾶς ἐπαινοῦν ὅλοι οἱ ἄνθρωποι». Πῶς λοιπὸν δὲν εἶναι ἄξιον νὰ θαυμάζῃ κανεὶς καὶ νὰ ἐκπλήσσεται μὲ τὸν δίκαιον αὐτόν, διότι ἐκεῖνα τὰ ὁποῖα ἐδίδασκεν ὁ Χριστός, ὅταν ἦλθεν εἰς τὸν κόσμον, αὐτὰ προκαταβολικῶς ἐπραγματοποίησε μὲ τὸ παραπάνω, ἀφοῦ τὰ ἐδιδάχθη ἀπὸ τὸν ἐνυπάρχοντα εἰς τὴν φύσιν του νόμον, καὶ ἀφοῦ ἀπέρριψε τὸν ἔπαινον τῶν ἀνθρώπων, ἐπροσπαθοῦσε μὲ τὴν ἀρετὴν τῶν ἔργων νὰ εὕρῃ τὴν χάριν πλησίον τοῦ Θεοῦ». «Ὁ Νῶε λοιπόν, λέγει, εὗρε χάριν ἐνώπιον Κυρίου τοῦ Θεοῦ». Ἀλλὰ τὸ ὅτι μὲν εὗρε χάριν ἐνώπιον Κυρίου τοῦ Θεοῦ διὰ τὴν ὑπάρχουσαν εἰς αὐτὸν ἀρετήν, μᾶς τὸ διηγήθη ὁ θαυμάσιος αὐτὸς προφήτης, φωτιζόμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα· εἶναι ἀνάγκη ὅμως νὰ γνωρίσωμεν καλὰ καὶ ἐκεῖνα ποὺ ἐλέχθησαν εἰς τὴν συνέχειαν, καὶ νὰ ἰδοῦμεν καὶ τὴν ἀπόφασιν, τὴν ὁποίαν ὁ Θεὸς ἔλαβε δι' αὐτόν. «Καὶ αὐτή, λέγει ἡ Γραφή, εἶναι ἡ γενεαλογία τοῦ Νῶε. Ὁ Νῶε ἦτο ἄνθρωπος δίκαιος, τέλειος ἀνάμεσα εἰς τοὺς ἀνθρώπους τῆς γενεᾶς του. Ὁ Νῶε ἦτο εὐάρεστος εἰς τὸν Θεόν». Εἶναι παράξενος ὁ τρόπος τῆς γενεαλογίας. Διότι ἀφοῦ εἶπεν ἡ Ἁγία Γραφή, «Καὶ αὐτὴ εἶναι ἡ γενεαλογία τοῦ Νῶε», καὶ ἀφοῦ διήγειρε τὴν ἀκοήν μας, ὡσὰν νὰ ἐπρόκειτο νὰ διηγηθῇ τὴν γενεαλογίαν αὐτοῦ, καὶ ποῖος ὑπῆρξεν ὁ πατέρας του, ἀπὸ ποῖον δὲ γένος κατήγετο, καὶ πῶς ἦλθεν εἰς τὴν ζωήν, καὶ ὅλα τὰ ἄλλα, τὰ ὁποῖα συνηθίζουν νὰ διηγοῦνται ἐκεῖνοι, ποὺ ἐκθέτουν τὰς γενεαλογίας, ὅλα αὐτὰ ἀφοῦ ἐγκατέλειψε καὶ

συνηθείας ἀνωτέρω γενομένη, φησί· «Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ Θεῷ εὐηρέστησε Νῶε». Εἶδες θαυμαστὴν γενεαλογίαν; Νῶε, φησίν, ἄνθρωπος. Ὅρα καὶ τὸ κοινὸν ὄνομα τῆς φύσεως ἀντ' ἐγκωμίου τῷ δικαίῳ γινόμενον. Ἐπειδὴ γὰρ ἐκεῖνοι καὶ τὸ ἄνθρωποι εἶναι ἀπώλεσαν διὰ τὸ πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς ὀλισθῆσαι, οὗτος, φησὶν ἐν τοσούτῳ δήμῳ τοῦ ἀνθρώπου τὴν εἰκόνα διέσωσε. Τοῦτο γὰρ ἄνθρωπος, ὅταν ἀρετὴν μετίῃ. Οὐδὲ γὰρ τὸ μορφὴν ἔχειν τοῦ ἀνθρώπου, καὶ ὀφθαλμούς, καὶ ῥῖνα, καὶ στόμα, καὶ παρειάς, καὶ τὰ λοιπὰ μέλη, τοῦτο ἄνθρωπον ἀποδείκνυσι· ταῦτα γὰρ μέλη τυγχάνει τοῦ σώματος. Ἄνθρωπον γὰρ ἐκεῖνον ἂν καλέσαιμεν τὸν τὴν εἰκόνα τοῦ ἀνθρώπου διασώζοντα. Τί δέ ἐστι τοῦ ἀνθρώπου ἡ εἰκών; Τὸ λογικὸν εἶναι. Τί οὖν; φησίν· ἐκεῖνοι οὐκ ἂν εἶεν λογικοί; Ἀλλ' οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐνάρετον εἶναι, καὶ τὸ τὰ κακὰ διαφεύγειν, καὶ τῶν ἀτόπων παθῶν κρατεῖν, τὸ ταῖς ἐντολαῖς τοῦ Δεσπότου κατακολουθεῖν, τοῦτο ἄνθρωπος.

4. Καὶ ἵνα μάθῃς, ὅτι ἔθος τῇ Γραφῇ τοὺς τὴν κακίαν μετιόντας καὶ τῆς ἀρετῆς ἀμελοῦντας μηδὲ τῆς τοῦ ἀνθρώπου προσηγορίας ἀξιοῦν, ἄκουε τοῦ Θεοῦ λέγοντος, καθάπερ χθὲς ἐλέγομεν· «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας». Ἐγὼ γάρ, φησί, μετὰ τῆς σαρκὸς καὶ τῆς ψυχῆς τὴν ἐξουσίαν ἐδωρησάμην· αὐτοὶ δὲ ὡς σάρκα μόνον περικείμενοι, οὕτω τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελοῦντες ὅλοι τῆς σαρκὸς λοιπὸν γεγόνασιν. Εἶδες πῶς διὰ τὴν κακίαν σάρκα αὐτοὺς καλεῖ καὶ οὐκ ἀνθρώπους; Καὶ πάλιν προϊοῦσα, ὡς αὐτίκα μάλα εἴσεσθε, γῆν αὐτοὺς ὀνομάζει ἡ θεία Γραφή, διὰ τὸ τοῖς γηΐνοις φρο-

9. Γεν. 6, 3.

ἀφοῦ ἐτέθη ὑπεράνω τῆς συνηθείας, λέγει· «Ὁ Νῶε ἦτο ἄνθρωπος δίκαιος, τέλειος ἀνάμεσα εἰς τοὺς ἀνθρώπους τῆς γενεᾶς του. Ὁ Νῶε ἦτο εὐάρεστος εἰς τὸν Θεόν». Εἶδες θαυμαστὴν γενεαλογίαν; Ὁ Νῶε, λέγει, ἦτο ἄνθρωπος. Πρόσεχε, καὶ τὸ κοινὸν ὄνομα τῆς ἀνθρωπίνης φύσεως εἰς τὸν δίκαιον αὐτὸν γίνεται ἐγκώμιον. Ἐπειδὴ λοιπὸν ἐκεῖνοι ἔχασαν καὶ τὸ δικαίωμα νὰ εἶναι ἄνθρωποι ἐξ αἰτίας τοῦ ὅτι ὑπέπεσαν εἰς τὰς ἡδονὰς τῆς σαρκός, αὐτός, λέγει, ἀνάμεσα εἰς τόσους πολλοὺς ἀνθρώπους διέσωσε τὴν εἰκόνα τοῦ ἀνθρώπου. Διότι αὐτὸ σημαίνει ἄνθρωπος, ὅταν καταγίνεται κανεὶς εἰς τὴν ἀρετήν. Βέβαια τὸ νὰ ἔχῃ κανεὶς τὴν μορφὴν τοῦ ἀνθρώπου καὶ τὰ μάτια καὶ μύτην καὶ στόμα καὶ παρειὰς καὶ τὰ ὑπόλοιπα μέλη, αὐτὸ δὲν ἀποδεικνύει τὸν ἄνθρωπον, διότι αὐτὰ εἶναι μέλη τοῦ σώματος. Διότι ἄνθρωπον θὰ ἠμπορούσαμεν νὰ ὀνομάσωμεν ἐκεῖνον ποὺ διασώζει τὴν εἰκόνα τοῦ ἀνθρώπου. Καὶ τί εἶναι ἡ εἰκόνα τοῦ ἀνθρώπου; Τὸ λογικόν του. Τί λοιπόν; θὰ εἰπῇ κάποιος· ἐκεῖνοι δὲν θὰ ἦσαν λογικοί; Ἀλλὰ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ τὸ νὰ εἶναι ἐνάρετος, καὶ τὸ νὰ ἀποφεύγῃ τὰ κακὰ καὶ τὸ νὰ νικᾷ τὰ παράλογα πάθη του, τὸ νὰ ἐκτελῇ πιστὰ τὰς ἐντολὰς τοῦ Θεοῦ, αὐτὸ εἶναι ἄνθρωπος.

4. Καὶ διὰ νὰ μάθῃς, ὅτι συνήθως ἡ Ἁγία Γραφὴ δὲν θεωρεῖ ἀξίους ἐκείνους, οἱ ὁποῖοι μετέρχονται τὴν κακίαν καὶ παραμελοῦν τὴν ἀρετήν, νὰ ὀνομάζωνται ἄνθρωποι, ἄκουε τὸν Θεὸν νὰ λέγῃ, ὅπως ἐλέγαμεν χθές· «Δὲν θὰ παραμείνῃ τὸ Πνεῦμα μου εἰς τοὺς ἀνθρώπους αὐτούς, ἐπειδὴ εἶναι σαρκικοί»'. Διότι ἐγώ, λέγει, τοὺς ἐχάρισα μαζὶ μὲ τὴν ἐξουσίαν τοῦ σώματος καὶ τὴν ἐξουσίαν τῆς ψυχῆς· αὐτοὶ ὅμως, σὰν νὰ ἦσαν μόνον ἀπὸ σάρκα, ἀφοῦ παρημέλησαν τόσον πολὺ τὴν ἀρετὴν τῆς ψυχῆς, ἔγιναν εἰς τὸ ἑξῆς ὅλοι δοῦλοι τῆς σαρκός. Εἶδες πῶς ὀνομάζει αὐτοὺς ἐξ αἰτίας τῆς κακίας των σάρκα καὶ ὄχι ἀνθρώπους; Καὶ πάλιν εἰς τὴν συνέχειαν, ὅπως ἀμέσως θὰ γνωρίσετε καλά, ὀνομάζει αὐτοὺς ἡ Ἁγία Γραφὴ γῆν, ἐπειδὴ κατεσπατάλησαν τὸν ἑαυτόν τους εἰς τὰ γήινα φρονήματα· λέγει

νήμασι καταδεδαπανῆσθαι· φησὶ γάρ, «Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ Θεοῦ»· οὐ περὶ τῆς γῆς τῆς αἰσθητῆς λέγουσα, ἀλλὰ τοὺς ἐνοικοῦντας γῆν ὀνομάζουσα. Ἀλλαχοῦ δὲ οὔτε σάρκα, οὔτε γῆν ὀνομάζει, οὐδὲ εἶναι αὐτοὺς ἡγεῖται ἐν τῷ παρόντι βίῳ, διὰ τὸ τῆς ἀρετῆς ἐρήμους εἶναι. Ἄκουε γὰρ τοῦ προφήτου βοῶντος, καὶ λέγοντος ἐν μέσῃ τῇ μητροπόλει τῶν Ἱεροσολύμων, ὅπου μυριάδες τοσαῦται, ὅπου ἄπειρα πλήθη· «Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος»· οὐκ ἐπειδὴ μὴ παρῆσαν, ἀλλ' ἐπειδὴ παρόντες τῶν μὴ παρόντων οὐδὲν ἄμεινον διέκειντο. Καὶ πάλιν ἑτέρωθι, «Περιδράμετε», φησί, «καὶ ἴδετε, εἰ ἔστιν εἷς ποιῶν κρίμα καὶ δικαιοσύνην, καὶ ἵλεως ἔσομαι». Εἶδες πῶς ἐκεῖνον μόνον οἶδε καλεῖν ἄνθρωπον ἡ ἁγία Γραφὴ τὸν τὴν ἀρετὴν μετιόντα, τοὺς δὲ λοιποὺς οὐδὲ εἶναι νομίζει, ἀλλὰ ποτὲ μὲν σάρκας ὀνομάζει, ποτὲ δὲ γῆν; Διὰ τοῦτο καὶ νῦν τὴν γενεαλογίαν τοῦ δικαίου διηγεῖσθαι ἐπαγγελλομένη ἡ θεία Γραφή φησι· «Νῶε ἄνθρωπος»· οὗτος γὰρ μόνος ἄνθρωπος, οἱ δὲ λοιποὶ οὐκ ἄνθρωποι, ἀλλὰ μορφὴν μὲν ἔχοντες ἀνθρώπων, τῇ δὲ πονηρίᾳ τῆς προαιρέσεως τὴν εὐγένειαν τῆς φύσεως προδεδωκότες, καὶ ἀντὶ ἀνθρώπων πρὸς τὴν τῶν θηρίων ἀλογίαν ἐκπεσόντες. Ὅτι γὰρ καὶ ἀνθρώποις τοῖς λογικοῖς, ἐπειδὰν πρὸς κακίαν ἀποκλίνωσι, καὶ τῶν ἀλόγων παθῶν αἰχμάλωτοι γένωνται, τῶν θηρίων τὰς προσηγορίας ἐπιτίθησιν αὐτοῖς ἡ θεία Γραφή, ἄκουε ποτὲ μὲν αὐτῆς λεγούσης, «Ἵπποι θηλυμανεῖς ἐγένοντο». Ὅρα πῶς διὰ τὴν ἄμετρον λαγνείαν τὴν τοῦ ἀλόγου προσηγορίαν ἐπιτίθησιν. Ἄλλοτε δέ, «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν»· ἐνταῦθα τοὺς τοῦ θηρίου τὸ ὕπουλον καὶ δολερὸν μιμουμένους ἐμφαίνει. Καὶ πάλιν «κύνας ἐνεοὺς» ἑτέρους καλεῖ. Καὶ πάλιν, «Ὡσεὶ ἀσπίδος

---

10. Γεν. 6, 11.
11. Ἡσ. 50, 2.
12. Ἱερ. 5, 1.
13. Ἱερ. 5, 8.
14. Ψαλμ. 13, 3.
15. Ἡσ. 56, 10.

λοιπόν, «Ἡ δὲ γῆ ἦτο διεφθαρμένη ἐνώπιον τοῦ Θεοῦ»[10]. Δὲν ὁμιλεῖ διὰ τὴν αἰσθητὴν γῆν, ἀλλὰ τοὺς κατοίκους της ὀνομάζει γῆν. Εἰς ἄλλον σημεῖον δὲ οὔτε σάρκα, οὔτε γῆν τοὺς ὀνομάζει, οὔτε τοὺς θεωρεῖ ὅτι ὑπάρχουν εἰς τὴν παροῦσαν ζωήν, ἐπειδὴ ἐστεροῦντο τὴν ἀρετήν. Ἄκουε λοιπὸν τὸν προφήτην νὰ φωνάζῃ καὶ νὰ διδάσκῃ εἰς τὸ μέσον τῆς πρωτευούσης τῶν Ἱεροσολύμων, ὅπου ὑπῆρχαν τόσαι πολλαὶ χιλιάδες ἀνθρώπων, ὅπου εὑρίσκοντο ἄπειρα πλήθη· «Ἦλθα καὶ δὲν ὑπῆρχεν ἄνθρωπος· ἐφώναξα καὶ δὲν ὑπήκουσε κανείς»[11]· ὄχι ἐπειδὴ δὲν παρευρίσκοντο, ἀλλὰ ἐπειδή, ἐνῷ ἦσαν παρόντες, δὲν συμπεριεφέροντο καθόλου καλύτερα ἀπὸ τοὺς ἀπόντας. Καὶ πάλιν ἀλλοῦ λέγει· «Τρέξατε γύρω εἰς τὴν πόλιν καὶ παρατηρήσατε, ἐὰν ὑπάρχῃ ἕνας, ὁ ὁποῖος νὰ ἐκτελῇ τὸν νόμον καὶ τὴν δικαιοσύνην καὶ θὰ φανῶ εὔσπλαγχνος»[12]. Εἶδες πῶς ἡ Ἁγία Γραφὴ γνωρίζει νὰ ὀνομάζῃ ἄνθρωπον ἐκεῖνον μόνον, ὁ ὁποῖος μετέρχεται τὴν ἀρετήν, τοὺς δὲ ὑπολοίπους οὔτε τοὺς θεωρεῖ ὅτι ὑπάρχουν, ἀλλὰ ἄλλοτε μὲν τοὺς ὀνομάζει σάρκας, ἄλλοτε δὲ γῆν; Διὰ τοῦτο καὶ τώρα ὑποσχομένη νὰ διηγηθῇ τὴν γενεαλογίαν τοῦ δικαίου αὐτοῦ ἡ Ἁγία Γραφὴ λέγει· «Ὁ Νῶε ἦτο ἄνθρωπος», διότι αὐτὸς μόνον ἦτο ἄνθρωπος, οἱ δὲ ὑπόλοιποι δὲν ἦσαν ἄνθρωποι, ἐπειδή, ἔχοντες μὲν τὴν μορφὴν τῶν ἀνθρώπων, εἶχαν προδώσει μὲ τὴν πονηρίαν τῆς προαιρέσεώς των τὴν εὐγένειαν τῆς φύσεως καὶ ἀπὸ ἄνθρωποι ἐξέπεσαν εἰς τὴν κατάστασιν τῶν ἀλόγων ζώων. Ὅτι βέβαια καὶ εἰς τοὺς λογικοὺς ἀνθρώπους, ὅταν στραφοῦν πρὸς τὴν κακίαν καὶ γίνουν αἰχμάλωτοι τῶν παραλόγων παθῶν, ἀποδίδει εἰς αὐτοὺς τὰ ὀνόματα τῶν ζώων ἡ Ἁγία Γραφή, ἄκουε αὐτὴν ἄλλοτε μὲν νὰ λέγῃ, «Ἔγιναν ἵπποι θηλυμανεῖς»[13]. Πρόσεξε πῶς ἀποδίδει τὴν ὀνομασίαν τοῦ ζώου ἐξ αἰτίας τῆς ὑπερβολικῆς λαγνείας τῶν ἀνθρώπων. Ἄλλοτε δὲ λέγει, «Δηλητήριον ἀσπίδων εὑρίσκεται κάτω ἀπὸ τὰ χείλη αὐτῶν»[14]. Ἐδῶ ὑπονοεῖ ἐκείνους ποὺ μιμοῦνται τὴν ὑπουλότητα καὶ τὴν δολιότητα τοῦ ὄφεως. Καὶ πάλιν «σκύλους κωφαλάλους» ὀνομάζει ἄλλους[15]. Καὶ πάλιν, λέγει, «Ὡσὰν

κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς», τοὺς πρὸς τὴν διδασκαλίαν τῆς ἀρετῆς τὰς ἀκοὰς ἀποφράττοντας αἰνιττομένη. Καὶ πολλὰ εὕροι τις ἂν ὀνόματα ἐπιτιθέμενα παρὰ τῆς θείας Γραφῆς τοῖς διὰ ῥαθυμίαν πρὸς τὰ τῶν ἀλόγων καταφερομένοις πάθη. Καὶ οὐκ ἐν τῇ Παλαιᾷ μόνον τοῦτό ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἐν τῇ Καινῇ. Ἄκουε γὰρ τοῦ βαπτιστοῦ Ἰωάννου λέγοντος τοῖς Ἰουδαίοις, «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;». Εἶδες πῶς καὶ ἐνταῦθα τῆς γνώμης αὐτῶν τὸ δολερὸν ἀπὸ τῆς τοῦ θηρίου προσηγορίας ᾐνίξατο; Τί οὖν ἂν ἐλεεινότερον γένοιτο τῶν τὴν κακίαν μετιόντων, ὅταν καὶ αὐτῆς τῆς προσηγορίας τοῦ καλεῖσθαι ἄνθρωποι ἀποστερῶνται, καὶ διὰ τοῦτο πλείονα τὴν τιμωρίαν ὑπέχωσιν, ὅτι πολλὰς ἀπὸ τῆς φύσεως ἀφορμὰς δεξάμενοι, ταύτας προδεδώκασιν ἑκόντες ὑποσυρέντες καὶ πρὸς τὴν κακίαν αὐτομολοῦντες; Ἐπεὶ οὖν οἱ τότε πάντες ἀναξίους ἑαυτοὺς τῆς προσηγορίας κατέστησαν, καὶ τοῦ ὀνομάζεσθαι ἄνθρωποι, ὁ δὲ δίκαιος οὗτος ἐν τοσούτῳ ἀρετῆς αὐχμῷ τοσαύτην ἐπεδείξατο τῆς οἰκείας ἀρετῆς τὴν ὑπερβολήν, ἀρξαμένη διηγεῖσθαι ἡ θεία Γραφὴ τοῦ ἀνδρὸς τὴν γενεαλογίαν φησί· «Νῶε δὲ ἄνθρωπος». Ἔστι καὶ ἐπ' ἄλλου δικαίου ταύτην εὑρεῖν τὴν προσηγορίαν ἀντὶ μεγίστου ἐγκωμίου ἐγκειμένην, καὶ πρὸ τῶν ἄλλων ἁπασῶν ἀπὸ ταύτης τῆς προσηγορίας ἀνακηρυττόμενον, τὸν τὴν ἀρετὴν μετὰ ἀκριβείας ἐπιδεικνύμενον. Τίς οὖν ἐστιν; Ὁ μακάριος Ἰώβ, ὁ τῆς εὐσεβείας ἀθλητής, ὁ τῆς οἰκουμένης στεφανίτης, ὁ μόνος τὰ ἀνήκεστα ἐκεῖνα ὑπομείνας, καὶ τὰ μυρία βέλη δεξάμενος παρὰ τοῦ πονηροῦ δαίμονος ἐκείνου, καὶ ἄτρωτος διαμείνας, καὶ καθάπερ ἀδάμας τις οὕτω πάσας τὰς προσβολὰς ἐνεγκεῖν δυνηθείς, καὶ οὐ μόνον οὐ καταβαπτισθεὶς ὑπὸ τῶν τοσούτων κυμάτων, ἀλλὰ καὶ ἀνώτερος τῶν κυμάτων γενόμενος· καὶ τὰ τῆς οἰκουμένης πάθη ἐν τῷ οἰκείῳ σώματι δεξάμενος, ταύτῃ μᾶλλον λαμπρό-

16. Ψαλμ. 57, 5· ἀσπίδα = εἶδος δηλητηριώδους ὄφεως.
17. Ματθ. 3, 7.

ἀσπίδα κωφή, ἡ ὁποία φράσσει τελείως τὰ αὐτιά της»[16], ὑπονοοῦσα ἐκείνους ποὺ κλείνουν τὰ αὐτιά των εἰς τὴν διδασκαλίαν τῆς ἀρετῆς. Θὰ ἠμποροῦσε νὰ ἀναφέρῃ κανεὶς πολλὰ ὀνόματα, τὰ ὁποῖα ἀποδίδονται ἀπὸ τὴν Ἁγίαν Γραφὴν εἰς ἐκείνους ποὺ ἐξ αἰτίας τῆς ἀδιαφορίας των ὁδηγοῦνται εἰς τὰ πάθη τῶν ἀλόγων ζώων. Καὶ αὐτὸ εἶναι δυνατὸν νὰ τὸ ἰδοῦμεν ὄχι μόνον εἰς τὴν Παλαιάν, ἀλλὰ καὶ εἰς τὴν Καινὴν Διαθήκην. Διότι ἄκουε τὸν βαπτιστὴν Ἰωάννην, ὁ ὁποῖος ἔλεγεν εἰς τοὺς Ἰουδαίους, «Ἀπόγονοι ἐχιδνῶν, ποῖος σᾶς ὑπέδειξε νὰ φύγετε ἀπὸ τὴν ὀργήν, ποὺ πρόκειται νὰ ξεσπάσῃ;»[17]. Εἶδες πῶς καὶ ἐδῶ ἀπὸ τὸ ὄνομα τοῦ ζώου ὑπηνίχθη τὴν δολιότητα τῆς γνώμης αὐτῶν; Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ γίνῃ ἐλεεινότερον ἀπὸ τοὺς μετερχομένους τὴν κακίαν, ὅταν στεροῦνται καὶ αὐτὸ τὸ δικαίωμα νὰ ὀνομάζωνται ἄνθρωποι, καὶ δι᾽ αὐτὸ ὑπόκεινται εἰς μεγαλυτέραν τιμωρίαν, διότι ἂν καὶ ἐδέχθησαν πολλὰς ἀφορμὰς ἀπὸ τὴν φύσιν, τὰς ἔχουν προδώσει μὲ τὴν θέλησίν των, παρασυρόμενοι καὶ δραπετεύοντες πρὸς τὴν κακίαν; Ἐπειδὴ λοιπὸν ὅλοι τότε ἔκαμαν τοὺς ἑαυτούς των ἀναξίους διὰ τὸ ὄνομα αὐτὸ καὶ διὰ νὰ ὀνομάζωνται ἄνθρωποι, ὁ δίκαιος ὅμως αὐτὸς μέσα εἰς τόσον μεγάλην ξηρασίαν ἀπὸ ἀρετὴν ἐπέδειξε τὴν ὑπερβολικήν του ἀρετήν, ὅταν ἤρχισεν ἡ Ἁγία Γραφὴ νὰ διηγῆται τὴν γενεαλογίαν τοῦ ἀνδρὸς λέγει· «Ὁ Νῶε δὲ ἦτο ἄνθρωπος». Εἶναι δυνατὸν νὰ εὕρουμεν τὴν προσηγορίαν αὐτὴν καὶ εἰς ἄλλον δίκαιον ἀντὶ μεγίστου ἐγκωμίου, καὶ πρὶν ἀπὸ ὅλας τὰς ἄλλας νὰ ἀνακηρύσσεται νικητὴς ἀπὸ τὴν προσηγορίαν αὐτήν, ἐκεῖνος ποὺ ἐπιδεικνύει τὴν ἀρετὴν μὲ ἀκρίβειαν. Ποῖος εἶναι λοιπὸν αὐτός; Ὁ μακάριος Ἰώβ, ὁ ἀθλητὴς τῆς εὐσεβείας, ὁ νικητὴς τῆς οἰκουμένης, ὁ μόνος ποὺ ὑπέμεινε τὰ δεινὰ ἐκεῖνα καὶ ἐδέχθη τὰ ἄπειρα βέλη ἀπὸ τὸν πονηρὸν ἐκεῖνον δαίμονα καὶ ἔμεινεν ἀπλήγωτος καὶ ὡσὰν διαμάντι ἠμπόρεσε νὰ ὑποφέρῃ ὅλας τὰς ἐπιθέσεις του, καὶ ὄχι μόνον δὲν κατεποντίσθη ἀπὸ τὰ τόσα κύματα, ἀλλὰ καὶ ἔγινεν ἀνώτερος ἀπὸ τὰ κύματα. Καὶ ἀφοῦ ἐδέχθη εἰς τὸ ἰδικόν του σῶμα τὰ παθήματα τῆς οἰκουμένης,

τερος ἀνεδείκνυτο. Οὐ μόνον γὰρ οὐ κατέπτηξεν αὐτὸν ἡ συνέχεια τῆς τῶν δεινῶν ἐμβολῆς, ἀλλὰ καὶ εἰς μείζονα εὐχαριστίαν αὐτὸν διήγειρε, καὶ δι' ἁπάντων τὴν οἰκείαν εὐγνωμοσύνην ἐπεδείκνυτο, καιρίαν τῷ διαβόλῳ διδοὺς τὴν πληγήν, καὶ δεικνὺς ὡς ἀνηνύτοις ἐπιχειρεῖ καὶ πρὸς κέντρα λακτίζει. Τοῦτον τοίνυν τὸν ἅγιον καὶ πρὸ τῶν ἄθλων καὶ πρὸ τῶν ἀγώνων τῶν τοσούτων ἐπαινῶν ὁ φιλάνθρωπος Θεὸς καὶ ἀνακηρύττων, φησὶ πρὸς τὸν διάβολον «Προσέσχες τῇ διανοίᾳ σου τῷ θεράποντί μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἄνθρωπος τῶν ἐπὶ τῆς γῆς ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος;». Εἶδες καὶ τοῦτον ἀπὸ τοῦ κοινοῦ τῆς φύσεως ὀνόματος πρότερον ἀνακηρυττόμενον; Προσέσχες, φησί, τῷ θεράποντί μου Ἰώβ, ὅτι οὐκ ἔστιν ὅμοιος αὐτῷ ἄνθρωπος; Καὶ μὴν ἅπαντες ὅμοιοι, ἀλλ' οὐχὶ κατὰ τὴν ἀρετήν, ἀλλὰ κατὰ τὸν τῆς μορφῆς λόγον· οὐ τοῦτο δὲ ἄνθρωπος, ἀλλ' ὅταν τις κακίας ἀπεχόμενος τὴν ἀρετὴν μετίῃ.

5. Εἶδες τίνας ἀνθρώπους οἶδε καλεῖν ἡ θεία Γραφή; Διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ἰδὼν τὸν ὑπ' αὐτοῦ δημιουργηθέντα ὁ τῶν ὅλων Δεσπότης ἔλεγε· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν», τοῦτ' ἔστιν, ἵνα ἄρχων ᾖ καὶ τῶν ὁρωμένων ἁπάντων καὶ τῶν ἐν αὐτῷ τικτομένων παθῶν· ἵνα ἄρχῃ, καὶ μὴ ἄρχηται. Ἐὰν μέντοι προδοὺς τὴν ἀρχὴν ἄρχηται μᾶλλον ἢ ἄρχῃ, ἀπόλλυσι καὶ τὸ εἶναι ἄνθρωπος, καὶ πρὸς τὴν τῶν ἀλόγων προσηγορίαν ἑαυτὸν μετατίθησι. Διά τοι τοῦτο καὶ νῦν τὴν ἀρετὴν τοῦ δικαίου τούτου ἀνακηρῦξαι βουλομένη ἡ θεία Γραφή φησιν, «Αὗται αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος». Ἰδοὺ καὶ ἕτερον ἐγκωμίου μέγιστον εἶδος, «Δίκαιος»· διὰ ταύτης τῆς προσηγορίας τὴν καθόλου ἀρετὴν ταύτην ἐμφαίνει. Τὸ γὰρ δίκαιος ὄνομα ἔθος

18. Ἰὼβ 1, 8.
19. Γεν. 1, 26.

ἔτσι ἀνεδεικνύετο περισσότερον λαμπρότερος. Διότι ὄχι μόνον δὲν ἐφόβισεν ἡ συνεχὴς ἐπίθεσις τῶν δεινῶν, ἀλλὰ καὶ διήγειρε αὐτὸν εἰς μεγαλυτέραν εὐχαριστίαν, καὶ μὲ ὅλα τὰ παθήματα ἐπεδείκνυε τὴν εὐγνωμοσύνην του, δίδων εἰς τὸν διάβολον τὸ καίριον κτύπημα καὶ ἀποδεικνύων ὅτι ἐπιχειρεῖ ἀκατόρθωτα ἔργα καὶ λακτίζει εἰς τὰ καρφιά. Αὐτὸν λοιπὸν τὸν ἅγιον, καὶ πρὶν ἀπὸ τοὺς ἄθλους καὶ πρὶν ἀπὸ τοὺς τόσον πολλοὺς ἀγῶνας του, ἐπαινῶν καὶ ἀνακηρύσσων ὁ φιλάνθρωπος Θεός, λέγει πρὸς τὸν διάβολον. «Ἐπρόσεξες μὲ τὴν διάνοιάν σου εἰς τὸν δοῦλον μου Ἰώβ, ὅτι δὲν ὑπάρχει ὅμοιος πρὸς αὐτὸν ἄνθρωπος ἀπὸ τοὺς κατοικοῦντας ἐπάνω εἰς τὴν γῆν, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ὁ ὁποῖος νὰ ἀπέχῃ ἀπὸ κάθε πονηρὸν πρᾶγμα;»[18]. Εἶδες νὰ ἀνακηρύσσεται καὶ αὐτὸς πρὶν ἀπὸ ὅλα ἀπὸ τὸ κοινὸν ὄνομα τῆς φύσεώς μας; Ἐπρόσεξες, λέγει, εἰς τὸν δοῦλον μου Ἰώβ, ὅτι δὲν ὑπάρχει ὅμοιος πρὸς αὐτὸν ἄνθρωπος; Καὶ ὅμως ὅλοι ἦσαν ὅμοιοι, ὄχι ὅμως κατὰ τὴν ἀρετήν, ἀλλὰ κατὰ τὴν μορφήν· ἄνθρωπος ὅμως δὲν εἶναι αὐτό, ἀλλὰ ὅταν κάποιος μετέρχεται τὴν ἀρετὴν καὶ ἀποφεύγῃ τὴν κακίαν.

5. Εἶδες ποίους γνωρίζει νὰ ὀνομάζῃ ἀνθρώπους ἡ Ἁγία Γραφή; Διὰ τοῦτο καὶ ἀπὸ τὴν ἀρχὴν ὁ Κύριος τῶν ὅλων, ἀφοῦ εἶδε τὸν δημιουργηθέντα ἀπ' αὐτόν, ἔλεγεν· «Ἃς δημιουργήσωμεν τὸν ἄνθρωπον σύμφωνα μὲ τὴν ἰδικήν μας εἰκόνα καὶ ὁμοίωσιν»[19], δηλαδή, νὰ ἐξουσιάζῃ καὶ ὅλα τὰ ὁρατὰ καὶ τὰ πάθη, τὰ ὁποῖα γεννῶνται μέσα εἰς τὸν ἑαυτόν του· διὰ νὰ ἐξουσιάζῃ καὶ νὰ μὴ ἐξουσιάζεται. Ἐὰν ὅμως, ἀφοῦ ἐπρόδωσε τὴν ἀρχὴν αὐτήν, ἐξουσιάζεται μᾶλλον, παρὰ ἐξουσιάζει, χάνει καὶ τὴν ὕπαρξίν του ὡς ἄνθρωπος καὶ μετατοπίζει τὸν ἑαυτόν του εἰς τὴν κατηγορίαν τῶν ἀλόγων ζώων. Ἀκριβῶς δι' αὐτὸ καὶ τώρα ἡ Ἁγία Γραφή, ἐπιθυμοῦσα νὰ διακηρύξῃ τὴν ἀρετὴν τοῦ δικαίου αὐτοῦ, λέγει· «Αὐτὴ εἶναι ἡ γενεαλογία τοῦ Νῶε. Ὁ Νῶε ἦτο ἄνθρωπος δίκαιος». Ἰδοὺ καὶ ἄλλο μέγιστον εἶδος ἐγκωμίου, «Δίκαιος». Μὲ τὴν ὀνομασίαν αὐτὴν δεικνύει τὴν ἀρετὴν τὴν ἰδίαν γενικῶς. Διότι τὸ ὄνομα δίκαιος

ἡμῖν ἐπὶ τῶν πᾶσαν ἀρετὴν μετιόντων λέγειν. Εἶτα ἵνα μάθῃς ὅπως πρὸς αὐτὸ τὸ ἄκρον τῆς ἀρετῆς ἔφθασεν, ὅπερ καὶ τότε ἀπῃτεῖτο παρὰ τῆς φύσεως τῆς ἡμετέρας, φησί, «Δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ». Πάντας πληρώσας, φησίν ἅπερ ἐχρῆν ἄνθρωπον ἐπιδείξασθαι ἀρετὴν ἑλόμενον· τοῦτο γάρ ἐστι, «Τέλειος»· οὐδὲν ἐλλελοιπώς, ἐν οὐδενὶ χωλεύων. Οὐ τὸ μὲν κατορθώσας, ἐν τῷ δὲ διαμαρτών, ἀλλ' ἐν πάσῃ ἀρετῇ τέλειος ἦν· τοῦτο γὰρ ἐχρῆν αὐτὸν ἐπιδείξασθαι. Εἶτα, ἵνα ἐκ τοῦ χρόνου καὶ ἐκ τῆς συγκρίσεως περιφανέστερον ἡμῖν τὸν δίκαιον ἀπεργάσηται, φησί· «Τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ»· ἐν τῷ καιρῷ ἐκείνῳ, ἐν τῇ γενεᾷ αὐτοῦ τῇ διεστραμμένῃ, τῇ πρὸς τοσαύτην κακίαν ἀποκλινάσῃ, τῇ μηδὲ ἴχνος τῆς ἀρετῆς ἐπιδείξασθαι βουληθείσῃ. Ἐν ἐκείνῃ τοίνυν τῇ γενεᾷ, ἐν ἐκείνοις τοῖς χρόνοις οὗτος ὁ δίκαιος οὐ μόνον ἀρετὴν ἐπεδείξατο, ἀλλὰ καὶ εἰς τὴν ἄκραν κορυφὴν τῶν ἀρετῶν ἔφθασε τέλειος γεγονώς, καὶ ἐν ἅπασιν ἀπηρτισμένος. Ὅπερ γὰρ ἔφθην εἰπὼν μείζονα δείκνυσιν ἀεὶ τῆς ἀρετῆς τὸν ὄγκον τὸ μεταξὺ τῶν πολεμούντων αὐτὴν κατορθοῦσθαι, καὶ ἐν μέσῳ τῶν κωλυόντων τὴν αὐτὴν ἐπιδείκνυσθαι ἀκρίβειαν. Διὸ δὴ καὶ ὁ δίκαιος οὗτος πλειόνων ἀξιοῦται τῶν ἐπαίνων. Καὶ οὐδὲ μέχρι τούτου ἵσταται ἀνακηρύττουσα αὐτὸν ἡ θεία Γραφή, ἀλλὰ δεικνύουσα ἡμῖν τῆς ἀρετῆς αὐτοῦ τὴν ὑπερβολήν, καὶ ὅτι τὴν ψῆφον ἄνωθεν ἐδέξατο, εἰποῦσα, «Τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ», φησί, «Τῷ Θεῷ εὐηρέστησε Νῶε». Τοσαύτη ἦν τῆς ἀρετῆς αὐτοῦ ἡ περιουσία, ὡς τὸν παρὰ τοῦ Θεοῦ ἔπαινον ἐπισπάσασθαι. «Τῷ Θεῷ γάρ», φησίν, «εὐηρέστησε Νῶε»· ἵνα εἴπῃ ὅτι ἀπόδεκτος παρὰ τῷ Θεῷ γέγονεν, ἤρεσε τῷ ἀκοιμήτῳ ἐκείνῳ ὀφθαλμῷ διὰ τῶν αὐ-

συνήθως λέγομεν δι' ἐκείνους, οἱ ὁποῖοι πράττουν κάθε ἀρετήν. Εἰς τὴν συνέχειαν διὰ νὰ μάθῃς, πῶς ἔφθασε εἰς αὐτὴν τὴν ὑψίστην ἀρετήν, πρᾶγμα τὸ ὁποῖον καὶ τότε ἐζητεῖτο ἀπὸ τὴν ἰδικήν μας φύσιν, λέγει· «Ἦτο δίκαιος, τέλειος ἀνάμεσα εἰς τοὺς ἀνθρώπους τῆς ἐποχῆς του». Ἐξεπλήρωσε, λέγει, ὅλα ἐκεῖνα, ποὺ ἔπρεπε νὰ ἐπιδείξῃ ὁ ἄνθρωπος, ὁ ὁποῖος ἐπροτίμησε τὴν ἀρετήν· διότι αὐτὸ σημαίνει, «Τέλειος», χωρὶς νὰ ἔχῃ παραλείψει τίποτε, χωρὶς νὰ ὑστερῇ εἰς κάτι. Ὄχι αὐτὸ μὲν ἐπέτυχεν, εἰς ἐκεῖνο ὅμως ἔσφαλεν, ἀλλὰ ἦτο τέλειος εἰς κάθε ἀρετήν· διότι τοῦτο ἔπρεπε νὰ ἐπιδείξῃ αὐτός. Ἔπειτα, διὰ νὰ μᾶς κάνῃ τὸν δίκαιον αὐτὸν περισσότερον περιφανῆ ἀπὸ τὸν χρόνον καὶ ἀπὸ τὴν σύγκρισιν, λέγει· «Ἦτο τέλειος ἀνάμεσα εἰς τοὺς ἀνθρώπους τῆς ἐποχῆς του»· κατὰ τὴν ἐποχὴν ἐκείνην, εἰς τὴν γενεάν του, ἡ ὁποία ἦτο διεστραμμένη καὶ ἐξετράπη εἰς τόσον μεγάλην κακίαν καὶ ἡ ὁποία δὲν ἠθέλησε νὰ ἐπιδείξῃ οὔτε ἴχνος ἀρετῆς. Εἰς ἐκείνην λοιπὸν τὴν γενεάν, εἰς ἐκείνους τοὺς χρόνους ὁ δίκαιος αὐτὸς ὄχι μόνον ἐπέδειξεν ἀρετήν, ἀλλὰ ἔφθασεν εἰς τὴν ὑψίστην κορυφὴν τῶν ἀρετῶν, ἀφοῦ ἔγινε τέλειος καὶ εἰς ὅλα ὁλοκληρωμένος. Πρᾶγμα βεβαίως ποὺ προηγουμένως εἶπα, ἀποδεικνύει πάντοτε μεγαλύτερον τὸ μέγεθος τῆς ἀρετῆς ὅταν κατορθώνωμεν αὐτὴν ἀνάμεσα εἰς τοὺς πολεμοῦντας αὐτὴν καὶ ἐπιδεικνύωμεν τὴν ἰδίαν ἀκρίβειαν ἀνάμεσα εἰς τοὺς παρεμβάλλοντας ἐμπόδια. Διὰ τοῦτο λοιπὸν καὶ ὁ δίκαιος αὐτὸς κρίνεται ἄξιος περισσοτέρων ἐπαίνων. Καὶ δὲν σταματᾷ μέχρις εἰς αὐτὸ τὸ σημεῖον ἐγκωμιάζουσα αὐτὸν ἡ Ἁγία Γραφή, ἀλλὰ ἀποδεικνύουσα εἰς ἡμᾶς τὴν ὑπερβολικήν του ἀρετὴν καὶ ὅτι ἐδέχθη τὴν ἀπόφασιν τοῦ Θεοῦ, ἀφοῦ εἶπεν, «Ἦτο τέλειος ἀνάμεσα εἰς τοὺς ἀνθρώπους τῆς ἐποχῆς του», λέγει· «Ὁ Νῶε ἦτο εὐάρεστος εἰς τὸν Θεόν». Ὁ πλοῦτος τῆς ἀρετῆς του ἦτο τόσον μεγάλος, ὥστε νὰ ἀποσπάσῃ τὸν ἔπαινον ἀπὸ τὸν Θεόν. Διότι λέγει, «Ὁ Νῶε ἦτο εὐάρεστος εἰς τὸν Θεόν». Διὰ νὰ εἰπῇ ὅτι ἔγινε δεκτὸς πλησίον τοῦ Θεοῦ, ἤρεσεν εἰς τὸν ἄγρυπνον ἐκεῖνον ὀφθαλμὸν μὲ

τῷ κατωρθωμένων, καὶ ἐκείνου τὴν εὔνοιαν ἐφελκύσαιτο ἡ τῶν βεβιωμένων πρᾶξις, καὶ οὐ μόνον τῆς μελλούσης κατὰ πάντων ἐκφέρεσθαι ἀγανακτήσεως ἠλευθέρωσεν, ἀλλὰ καὶ ἑτέρων προστάτην αὐτὸν ἀπειργάσατο. «Τῷ Θεῷ γάρ», φησίν, εὐηρέστησε Νῶε». Τίς ἂν τούτου μακαριστότερος γένοιτ' ἄν, τοῦ δυνηθέντος τοσαύτην ἐπιδείξασθαι τὴν ἀρετήν, ὡς τὸν ἁπάντων Δεσπότην ἀπαινέτην ἔχειν; Τῶν μὲν οὖν αὐτῷ πεπραγμένων τοῦτο παντὸς πλούτου, πάσης περιουσίας, πάσης δόξης καὶ δυναστείας, καὶ τῆς ἄλλης ἁπάσης ἀνθρωπίνης εὐημερίας τῷ νοῦν ἔχοντι προτιμότερον ἂν εἴη· τοῦτο τῷ γνησίαν περὶ τὸν Θεὸν ἀγάπην ἐπιδεικνυμένῳ βασιλείας ἂν εἴη ποθεινότερον. Ἡ γὰρ ἀληθὴς βασιλεία ἐστὶν αὕτη, τὸ δυνηθῆναι ἡμᾶς διὰ τῆς ἀρίστης πολιτείας εὐμενῆ καὶ ἵλεω καταστῆσαι ἑαυτοῖς τὸν Δεσπότην. Οὐδὲ γὰρ γέενναν διὰ τοῦτο φοβεῖσθαι ὀφείλομεν καὶ δεδοικέναι, διὰ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον καὶ τὰς φοβερὰς τιμωρίας, καὶ τὰς διηνεκεῖς κολάσεις, ἀλλὰ διὰ τὸ προσκροῦσαι τῷ οὕτως ἀγαθῷ Δεσπότῃ, καὶ τῆς ἐκείνου εὐνοίας ἐκτὸς ἡμᾶς στῆναι· ὥσπερ οὖν καὶ ἐπὶ τὴν βασιλείαν διὰ τοῦτο σπεύδειν ἡμᾶς χρή, διὰ τὸν περὶ αὐτὸν πόθον, ἵνα τῆς ἐκείνου ῥοπῆς ἀπολαύωμεν. Ὥσπερ γὰρ βασιλείας ποθεινότερον τὸ εὐνοϊκῶς περὶ ἡμᾶς διακεῖσθαι τὸν φιλάνθρωπον ἡμῶν Δεσπότην, οὕτω γεέννης χαλεπώτερον τὸ τῆς ἐκεῖθεν εὐνοίας ἐκπεσεῖν. Εἴδετε πόσης ἡμῖν ὠφελείας γέγονεν ὑπόθεσις ἡ προσηγορία μόνη τοῦ δικαίου, καὶ ὅσον ἡμῖν θησαυρὸν νοημάτων ἔτεκεν ἡ γενεαλογία τοῦ θαυμασίου τούτου ἀνδρός; Μιμώμεθα τοίνυν τῆς θείας Γραφῆς τοὺς κανόνας, καὶ ἐὰν βουλώμεθά τινων γενεαλογίας ἐξηγεῖσθαι, μὴ πατέρας, καὶ πάππους, καὶ ἐπιπάππους εἰς μέσον φέρωμεν, ἀλλὰ τοῦ γενεαλογουμένου τὴν ἀρετὴν ἐκκαλύπτωμεν. Οὗτος γὰρ ἄρι-

ἐκεῖνα ποὺ ἔχει ἐπιτύχει, καὶ τὴν εὔνοιαν τοῦ Θεοῦ προσήλκυσεν ἡ πρᾶξις τῶν βιωμάτων του, καὶ ὄχι μόνον ἀπήλλαξεν αὐτὸν ἀπὸ τὴν ἀγανάκτησιν, ἡ ὁποία ἐπρόκειτο νὰ ἐκδηλωθῇ ἐναντίον ὅλων, ἀλλὰ ἔκαμεν αὐτὸν προστάτην καὶ ἄλλων. Διότι λέγει, «Ἦτο εὐάρεστος εἰς τὸν Θεὸν ὁ Νῶε». Ποῖος θὰ ἠμποροῦσε νὰ γίνῃ περισσότερον εὐτυχὴς ἀπὸ αὐτόν, ὁ ὁποῖος ἠμπόρεσε νὰ ἐπιδείξῃ τόσην ἀρετήν, ὥστε νὰ τὸν ἐπαινῇ ὁ Κύριος τῶν ὅλων; Ἀπὸ τὰ κατορθώματά του λοιπόν, αὐτὸ θὰ ἦτο εἰς ἐκεῖνον ποὺ ἔχει νοῦν προτιμότερον ἀπὸ κάθε πλοῦτον, ἀπὸ κάθε περιουσίαν, ἀπὸ κάθε δόξαν καὶ ἐξουσίαν καὶ ἀπὸ κάθε ἄλλην ἀνθρωπίνην εὐτυχίαν· αὐτὸ θὰ ἦτο ποθητότερον ἀπὸ τὴν βασιλείαν εἰς ἐκεῖνον, ὁ ὁποῖος ἐπιδεικνύει τὴν γνησίαν ἀγάπην πρὸς τὸν Θεόν. Διότι ἡ ἀληθινὴ βασιλεία εἶναι αὐτή, τὸ νὰ ἠμπορέσωμεν δηλαδὴ νὰ καταστήσωμεν μὲ τὴν ἀρίστην συμπεριφοράν μας τὸν Θεὸν εὐμενῆ καὶ εὐσπλαγχνικὸν πρὸς ἡμᾶς. Οὔτε βέβαια ἐξ αἰτίας αὐτοῦ πρέπει νὰ φοβούμεθα τὴν γέενναν καὶ νὰ τρομάζωμεν διὰ τὸ ἄσβεστον ἐκεῖνο πῦρ καὶ τὰς φοβερὰς τιμωρίας καὶ τὰ συνεχῆ βασανιστήρια, ἀλλὰ διὰ τὸ ὅτι ἤλθαμεν εἰς ἀντίθεσιν μὲ τὸν πανάγαθον Θεὸν καὶ ἐθέσαμεν τοὺς ἑαυτούς μας ἔξω ἀπὸ τὴν εὔνοιαν ἐκείνου. Ὅπως ἀκριβῶς λοιπὸν καὶ εἰς τὴν βασιλείαν δι' αὐτὸ πρέπει νὰ φροντίζωμεν διὰ τὴν ἀγάπην μας πρὸς τὸν βασιλέα, ὥστε νὰ ἀπλαμβάνωμεν τὴν εὔνοιαν ἐκείνου. Ὅπως λοιπὸν εἶναι ἐπιθυμητότερον ἀπὸ τὴν βασιλείαν τὸ νὰ διάκειται εὐνοϊκῶς πρὸς ἡμᾶς ὁ φιλάνθρωπος Θεός μας, ἔτσι εἶναι φοβερώτερον ἀπὸ τὴν γέενναν τὸ νὰ ἐκπέσωμεν ἀπὸ τὴν εὔνοιαν ἐκείνου. Εἴδατε πόσην ὠφέλειαν μᾶς ἐπροξένησε μόνον ἡ ὀνομασία τοῦ δικαίου καὶ πόσον θησαυρὸν διδαγμάτων μᾶς ἔφερεν ἡ γενεαλογία τοῦ θαυμασίου αὐτοῦ ἀνδρός; Ἂς μιμούμεθα λοιπὸν τοὺς κανόνας τῆς Ἁγίας Γραφῆς, καὶ ἐὰν ἐπιθυμοῦμεν νὰ διηγηθοῦμεν τὰς γενεαλογίας μερικῶν ἀνθρώπων, ἂς μὴ παρουσιάζωμεν τοὺς πατέρας καὶ τοὺς πάππους καὶ τοὺς προπάππους αὐτῶν, ἀλλὰ ἂς ἀποκαλύπτωμεν τὴν ἀρετὴν τοῦ γενεαλο-

στος γενεαλογίας τρόπος. Τί γὰρ ὄφελος ἐκ πατέρων εἶναι λαμπρῶν καὶ ἐναρέτων, αὐτὸν δὲ ἔρημον εἶναι τῆς ἀρίστης πολιτείας; ἢ πάλιν τί βλάβος ἂν γένοιτο ἐκ πατέρων εἶναι καὶ προγόνων δυσμενῶν καὶ ἀφανῶν, αὐτὸν δὲ πολλῇ κομᾶν τῇ ἀρετῇ; Ἐπεὶ καὶ ὁ δίκαιος οὗτος τοιοῦτος γεγονώς, καὶ τὴν τοῦ Θεοῦ εὔνοιαν ἐπισπασάμενος, οὐκ ἀπὸ τοιούτων γέγονε προγόνων· οὐδὲ γὰρ ὡς ἐναρέτων αὐτῶν ἐμνημόνευσεν ἡ θεία Γραφή· καὶ ὅμως ἴσχυσε τοσούτων ὄντων κωλυμάτων καὶ ὑπὸ τοσούτων ἐμποδιζόμενος εἰς αὐτὴν τὴν ἄκραν ἀνελθεῖν τῆς ἀρετῆς· ἵνα μάθῃς ὅτι τὸν βουλόμενον νήφειν καὶ ἐγρηγορέναι καὶ πολλὴν τῆς οἰκείας σωτηρίας ποιεῖσθαι τὴν πρόνοιαν οὐδέν ἐστι τὸ διακωλύον. Ὥσπερ γὰρ εἰς ῥαθυμίαν ἀποκλίναντες καὶ ὑπὸ τῶν τυχόντων βλαπτόμεθα, οὕτως ἐὰν βουληθῶμεν νήφειν, κἂν μυρίοι ὦσιν οἱ πρὸς τὴν κακίαν ἕλκοντες, οὐδὲ ἡμῶν τῇ σπουδῇ λυμήνασθαι δυνήσονται, καθάπερ οὐδὲ τὸν δίκαιον τοῦτον ἴσχυσαν τοσοῦτοι ὄντες ὀκνηρότερον περὶ τὴν ἀρετὴν ἐργάσασθαι. Μηδεὶς τοίνυν ἕτερόν τινα αἰτιάσθω, καὶ ἐφ' ἑτέρους τὴν αἰτίαν μεταγαγέτω, ἀλλὰ τῇ οἰκείᾳ ῥαθυμίᾳ τὸ πᾶν ἐπιγραφέτω. Καὶ τί λέγω ἐφ' ἑτέρους; Μηδὲ αὐτὸν τὸν διάβολον νομιζέτω τις ἱκανὸν εἶναι κωλῦσαι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν δύνασθαι· ἀλλ' ἀπατᾷ μὲν καὶ ὑποσκελίζει καὶ τοὺς ῥαθυμοτέρους, οὐ μὴν κωλύει καὶ βιάζεται· καὶ τοῦτο αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα δείκνυσιν, ὅτι ἡνίκα μὲν ἂν βουλώμεθα νήφειν, τοσοῦτον τὸν τόνον ἐπιδεικνύμεθα, ὡς μηδὲ πολλῶν ὄντων τῶν προτρεπόντων ἐπὶ τὴν τῆς κακίας ὁδόν, ἀνέχεσθαι τῆς συμβουλῆς, ἀλλὰ παντὸς ἀδάμαντος στερροτέρους ἡμᾶς γίνεσθαι, καὶ ἀποφράττειν τοῖς τὰ φαῦλα συμβουλεύουσι τὰς ἀκοάς.

γουμένου. Αὐτὸς πράγματι εἶναι ὁ ἄριστος τρόπος γενεαλογίας. Διότι ποῖον τὸ κέρδος νὰ κατάγεται κανεὶς ἀπὸ λαμπροὺς καὶ ἐναρέτους προγόνους, αὐτὸς ὅμως νὰ μὴ ἔχῃ τὸν ἄριστον τρόπον ζωῆς; ἢ πάλιν ποία ζημία θὰ ἠμποροῦσε νὰ γίνῃ τὸ νὰ κατάγεται ἀπὸ γονεῖς καὶ προγόνους ἀσήμους καὶ ταπεινούς, αὐτὸς ὅμως νὰ ὑπερηφανεύεται διὰ τὴν πολλήν ἀρετήν του; Ἐπειδὴ καὶ ὁ δίκαιος αὐτὸς ὅταν ἔγινε τέτοιος καὶ ἀπέσπασε τὴν εὔνοιαν τοῦ Θεοῦ, δὲν κατήγετο ἀπὸ τέτοιους προγόνους· οὔτε βέβαια ἡ Ἁγία Γραφὴ τοὺς ἀνέφερεν ὡς ἐναρέτους· καὶ ὅμως κατώρθωσεν, ἐνῷ ὑπῆρχαν τόσον πολλὰ ἐμπόδια καὶ ἠμποδίζετο ἀπὸ πολλούς, νὰ ἀνέλθῃ εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς, διὰ νὰ μάθῃς ὅτι δὲν ὑπάρχει κανένα ἐμπόδιον εἰς ἐκεῖνον ποὺ θέλει νὰ εἶναι νηφάλιος καὶ νὰ ἀγρυπνῇ καὶ νὰ φροντίζῃ πολὺ διὰ τὴν ἰδικήν του σωτηρίαν. Διότι ὅπως ἀκριβῶς, ὅταν ἀποκλίνωμεν πρὸς τὴν ἀδιαφορίαν, βλαπτόμεθα ἀπὸ τοὺς τυχόντας, ἔτσι ἐὰν θὰ θελήσωμεν νὰ εἴμεθα νηφάλιοι, καὶ ἂν ἀκόμη εἶναι πάρα πολλοὶ ἐκεῖνοι ποὺ μᾶς σύρουν πρὸς τὴν κακίαν, δὲν θὰ ἠμπορέσουν νὰ βλάψουν τὴν προσπάθειάν μας, ὅπως οὔτε τὸν δίκαιον αὐτὸν κατώρθωσαν, ἐνῷ ἦσαν τόσοι πολλοί, νὰ καταστήσουν ὀκνηρότερον πρὸς τὴν ἀρετήν. Κανεὶς λοιπὸν νὰ μὴ κατηγορῇ κάποιον ἄλλον καὶ νὰ μεταφέρῃ εἰς ἄλλους τὴν αἰτίαν, ἀλλὰ νὰ ἀποδίδῃ τὰ πάντα εἰς τὴν ἰδικήν του ἀδιαφορίαν. Καὶ διατί λέγω εἰς ἄλλους; Οὔτε αὐτὸν τὸν διάβολον νὰ θεωρῇ ὅτι εἶναι ἱκανὸς νὰ ἐμποδίσῃ τὸν δρόμον, ὁ ὁποῖος ἠμπορεῖ νὰ ὁδηγῇ εἰς τὴν ἀρετήν· ἀλλὰ ἐξαπατᾷ μὲν καὶ ἀνατρέπει τοὺς περισσότερον ἀδιαφόρους, ἀλλὰ ὅμως δὲν ἐμποδίζει καὶ δὲν μετέρχεται βίαν. Καὶ τοῦτο ἀποδεικνύει ἡ ἰδία πεῖρα τῶν πραγμάτων, ὅτι ὅσας φορὰς μὲν θελήσομεν νὰ εἴμεθα νηφάλιοι, ἐπιδεικνύωμεν τόσην δύναμιν, ὥστε οὔτε νὰ ἀνεχώμεθα τὴν συμβουλήν, ἂν καὶ μᾶς προτρέπουν πολλοὶ πρὸς τὸν δρόμον τῆς κακίας, καὶ γινόμεθα ἰσχυρότεροι ἀπὸ κάθε διαμάντι καὶ φράσσομεν ἐντελῶς τὰ αὐτιά μας εἰς ἐκείνους ποὺ συμβουλεύουν τὰ

῞Οταν δὲ ῥαθυμῶμεν, καὶ μηδενὸς ὄντος τοῦ συμβουλεύοντος ἢ ὑποσκελίζοντος, οἴκοθεν κινούμενοι ἐπὶ τὴν κακίαν ὁρμῶμεν. Εἰ γὰρ μὴ ἐν τῇ προαιρέσει ἡμῶν ἔκειτο, μηδὲ ἐν τῇ τῆς γνώμης ἐξουσίᾳ, μηδὲ αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ φιλάνθρωπος Θεὸς κατεσκεύασεν, ἐχρῆν ἢ ἅπαντας εἶναι κακοὺς τοὺς τῆς αὐτῆς φύσεως κοινωνοῦντας καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκειμένους, ἢ πάντας εἶναι ἐναρέτους. ῞Οταν δὲ ἴδωμεν τοὺς ὁμογενεῖς ἡμῖν, καὶ ὑπὸ τῶν αὐτῶν παθῶν ἐνοχλουμένους, οὐ τὰ αὐτὰ ἡμῖν ὑπομένοντας, ἀλλὰ καὶ ἐρρωμένῳ τῷ λογισμῷ ἡνιοχοῦντας τὴν φύσιν, καὶ περιγινομένους τῶν ἀτάκτων σκιρτημάτων, καὶ χαλινοῦντας ἐπιθυμίαν, κρατοῦντας ὀργήν, βασκανίαν φεύγοντας, φθόνον ἐξορίζοντας, τῆς λύσσης τῶν χρημάτων ὑπερορῶντας, δόξης ἔλαττον φροντίζοντας, πάσης τῆς τοῦ παρόντος βίου εὐημερίας καταγελῶντας, καὶ πρὸς τὴν ἀληθῆ δόξαν ἐπτοημένους, καὶ τὸν παρὰ τοῦ Θεοῦ ἔπαινον πάντων τῶν ὁρωμένων προτιμῶντας· οὐκ εὔδηλον ὅτι τῇ οἰκείᾳ σπουδῇ ταῦτα κατορθοῦν δυνήσονται μετὰ τὴν ἄνωθεν χάριν, καὶ ἡμεῖς τῇ οἰκείᾳ ῥαθυμίᾳ κεχρημένοι προδιδόαμεν ἡμῶν τὴν σωτηρίαν, ἐρήμους ἑαυτοὺς καθιστῶντες τῆς ἐκεῖθεν εὐνοίας;

6. Διὸ παρακαλῶ ταῦτα λογιζομένους, καὶ συνεχῶς κινοῦντας ἐν τῇ διανοίᾳ, μηδέποτε τὸν διάβολον αἰτιᾶσθαι, ἀλλὰ τὴν ῥάθυμον ἡμῶν γνώμην. Καὶ ταῦτα λέγω οὐκ ἐκεῖνον ἀπαλλάξαι βουλόμενος κατηγορίας· μὴ γένοιτο· καὶ γὰρ ἔρχεται ὡς λέων ἁρπάσαι, καὶ ὠρυόμενος, καὶ τίνα καταπίῃ ζητῶν· ἀλλὰ καὶ ἡμᾶς ἀσφαλεστέρους ποιῆσαι θέλων, ἵνα μὴ νομίζωμεν ἐκτὸς εἶναι ἐγκλημάτων, οὕτως εὐκόλως πρὸς τὴν κακίαν αὐτομολοῦντες, καὶ μὴ τὰ ψυχρὰ ἐκεῖνα λέγωμεν ῥήματα· τίνος ἕνεκεν ἀφῆκεν αὐτὸν ὁ Θεὸς τοιοῦτον ὄντα πονη-

κακά. Όταν όμως είμεθα άδιάφοροι καί χωρίς νά ύπάρχη κανείς, πού νά μᾶς συμβουλεύη ἢ νά μᾶς ἀνατρέπη, κινούμενοι ἀπό τήν ίδικήν μας θέλησιν ὁρμῶμεν πρός τήν κακίαν. Διότι ἐάν δέν ἐξηρτᾶτο ἀπό τήν προαίρεσίν μας, οὔτε ἀπό τήν ἐξουσίαν τῆς διανοίας μας καί ἐάν δέν ἐδημιουργοῦσεν ὁ φιλάνθρωπος Θεός αὐτεξούσιον τήν ἀνθρωπίνην φύσιν, ἔπρεπε ἢ ὅλοι νά εἶναι κακοί, οἱ ὁποῖοι μετέχουν τῆς αὐτῆς φύσεως καί ὑπόκεινται εἰς τά ἴδια πάθη, ἢ ὅλοι νά εἶναι ἐνάρετοι. Όταν ὅμως ἰδοῦμεν τούς συνανθρώπους μας καί νά ἐνοχλοῦνται ἀπό τά ἴδια πάθη, χωρίς νά ὑπομένουν τά ἴδια μέ ἡμᾶς κακά, ἀλλά καί μέ ἰσχυράν τήν σκέψιν νά κατευθύνουν τήν φύσιν, καί νά νικοῦν τάς ἀτάκτους ὁρμάς καί νά χαλιναγωγοῦν τάς ἐπιθυμίας, νά συγκρατοῦν τήν ὀργήν, νά ἀποφεύγουν τήν βασκανίαν, νά ἀπομακρύνουν τόν φθόνον, νά περιφρονοῦν τήν μανίαν τῶν χρημάτων, νά φροντίζουν ὀλιγώτερον διά τήν δόξαν, νά καταφρονοῦν κάθε εὐτυχίαν τῆς παρούσης ζωῆς, νά φέρωνται μέ πάθος πρός τήν ἀληθινήν δόξαν καί νά προτιμοῦν ἀπό ὅλα τά ὁρατά τόν ἔπαινον τοῦ Θεοῦ, δέν εἶναι ὁλοφάνερον ὅτι θά ἠμπορέσουν νά ἐπιτύχουν αὐτά μέ τήν ἰδικήν των προσπάθειαν ὕστερα ἀπό τήν χάριν τοῦ Θεοῦ, καί ὅτι ἡμεῖς μέ τήν ἰδικήν μας ἀδιαφορίαν προδίδομεν τήν σωτηρίαν μας, ἀφοῦ στεροῦμεν τούς ἑαυτούς μας ἀπό τήν εὔνοιαν τοῦ Θεοῦ;

6. Διά τοῦτο παρακαλῶ, σκεπτόμενοι ὅλα αὐτά καί φέροντές τα συνεχῶς εἰς τήν σκέψιν μας, νά μή κατηγοροῦμεν ποτέ τόν διάβολον, ἀλλά τήν ἀδιάφορον θέλησίν μας. Καί λέγω αὐτά, χωρίς νά θέλω νά ἀπαλλάξω ἐκεῖνον ἀπό τήν κατηγορίαν. Ἂς μή γίνῃ ποτέ αὐτό, διότι ἔρχεται πράγματι ὡς λεοντάρι νά ἁρπάξη, μάλιστα βρυχώμενον, καί ζητεῖ κάποιον νά κατασπαράξη. Ἀλλά ἐπειδή θέλω καί ἡμᾶς νά κάμω περισσότερον ἀσφαλεῖς, διά νά μή νομίζωμεν ὅτι εἴμεθα χωρίς σφάλματα, ὅταν καταφεύγωμεν τόσον εὔκολα πρός τήν κακίαν καί διά νά μή λέγωμεν τά ἀνιαρά ἐκεῖνα λόγια· διά ποῖον λόγον ὁ Θεός ἄφησεν αὐτόν, ἐνῷ ἦτο τόσον πονηρός, νά ἀνατρέπη καί

ρόν, ὥστε ὑποσκελίζειν ***καὶ*** *καταβάλλειν; Μεγίστης γὰρ ἂν εἴη ταῦτα τὰ ῥήματα ἀγνωμοσύνης. Ἀλλ' ἐκεῖνο σὺν ἑαυτῷ σκόπει, ὅτι διὰ τοῦτο μάλιστα αὐτὸν κατέλιπεν, ἵνα τῷ φόβῳ συνωθούμενοι, καὶ τοῦ πολεμίου τὴν ἔφοδον προσδοκῶντες πολλὴν τὴν ἀγρυπνίαν καὶ διηνεκῆ τὴν νῆψιν ἐπιδεικνυώμεθα, τῇ τῶν ἀμοιβῶν ἐλπίδι, καὶ τῇ ἀντιδόσει τῶν αἰωνίων ἐκείνων καὶ ἀπορρήτων ἀγαθῶν πάντα τῆς ἀρετῆς τὸν κάματον ὑποτεμνόμενοι. Καὶ τί θαυμάζεις εἰ τὸν διάβολον διὰ τοῦτο κατέλιπε κηδόμενος ἡμῶν τῆς σωτηρίας, καὶ διεγείρων ἡμῶν τὴν ῥαθυμίαν, καὶ ὑπόθεσιν ἡμῖν στεφάνων κατασκευάζων; Αὐτὴν τὴν γέενναν διὰ τοῦτο παρεσκεύασεν, ἵνα ὁ τῆς τιμωρίας φόβος καὶ τῆς κολάσεως τὸ ἀφόρητον πρὸς τὴν βασιλείαν ἡμᾶς συνωθήσῃ. Εἶδες εὐμήχανον τοῦ Δεσπότου φιλανθρωπίαν; πῶς πάντα ποιεῖ καὶ πραγματεύεται, ὡς μὴ μόνον σῶσαι τοὺς ὑπ' αὐτοῦ δημιουργηθέντας, ἀλλὰ καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἀξιῶσαι; Διὰ τοῦτο καὶ τὸ αὐτεξούσιον ἡμῖν δεδώρηται, καὶ ἐν τῇ φύσει καὶ ἐν τῷ συνειδότι ἡμῶν ἐναπέθετο τὴν γνῶσιν τῆς κακίας καὶ τῆς ἀρετῆς, καὶ τὸν διάβολον συνεχώρησεν εἶναι, καὶ τὴν γέενναν ἠπείλησεν, ἵνα μήτε τῆς γεέννης πεῖραν λάβωμεν,* ***καὶ τῆς βασιλείας*** *ἐπιτύχωμεν. Καὶ τί θαυμάζεις εἰ ταῦτα ἅπαντα διὰ τοῦτο ἐπραγματεύσατο, καὶ μυρία ἕτερα; Δούλου μορφὴν ὁ ἐν τοῖς κόλποις τοῖς πατρικοῖς τυγχάνων λαβεῖν κατεδέξατο, καὶ πάντα τὰ ἄλλα ὑπομεῖναι τὰ σωματικά, καὶ ἐκ γυναικὸς γεννηθῆναι, καὶ ἐκ παρθένου τεχθῆναι, καὶ ἐννεαμηνιαῖον κυοφορηθῆναι χρόνον, καὶ σπάργανα δέξασθαι, καὶ πατέρα αὐτοῦ νομισθῆναι τὸν Ἰωσὴφ τὸν μνηστῆρα τῆς Μαρίας, καὶ κατὰ μικρὸν αὐξηθῆναι, καὶ περιτμηθῆναι καὶ θυσίαν ἀνενεγκεῖν, καὶ πεινῆσαι, καὶ διψῆσαι, καὶ κοπιάσαι, καὶ τελευταῖον καὶ θάνατον ὑπομεῖναι, καὶ θάνατον* ***οὐχ*** *ἁπλῶς,* ***ἀλλὰ τὸν ἐπονείδιστον*** *νομι-*

νὰ ἐξευτελίζῃ ἀνθρώπους; Διότι τὰ λόγια αὐτὰ θὰ ἠμποροῦσαν νὰ εἶναι ἀπόδειξις τῆς μεγαλυτέρας ἀχαριστίας. Ἀλλὰ ἐκεῖνο μαζὶ μὲ τὸν ἑαυτόν σου νὰ ἐξετάζῃς, ὅτι διὰ τοῦτο κατ' ἐξοχὴν ἤσκησεν αὐτόν, ὥστε πιεζόμενοι ἀπὸ τὸν φόβον καὶ ἀναμένοντες τὴν ἐπίθεσιν τοῦ ἐχθροῦ, νὰ ἐπιδεικνύωμεν μεγάλην ἐγρήγορσιν καὶ συνεχῆ νηφαλιότητα, καταστέλλοντες κάθε κούρασιν διὰ τὴν ἀρετὴν μὲ τὴν ἐλπίδα τῶν ἀμοιβῶν καὶ μὲ τὴν ἀνταπόδοσιν τῶν αἰωνίων καὶ ἀπορρήτων ἐκείνων ἀγαθῶν. Καὶ διατί θαυμάζεις, ἐὰν δι' αὐτὸ ἄφησε τὸν διάβολον διὰ νὰ φροντίζῃ τὴν σωτηρίαν μας καὶ νὰ διεγείρῃ τὴν ἀδιαφορίαν καὶ νὰ προετοιμάζῃ τὴν βάσιν τῶν βραβείων εἰς ἡμᾶς; Τὴν ἰδίαν τὴν γέενναν διὰ τοῦτο προετοίμασεν, ὥστε ὁ φόβος τῆς τιμωρίας καὶ τὸ ἀνυπόφορον τῆς κολάσεως νὰ μᾶς ὠθήσουν πρὸς τὴν Βασιλείαν τοῦ Θεοῦ. Εἶδες ἐπινοητικὴν φιλανθρωπίαν τοῦ Θεοῦ; πῶς τὰ πάντα κάνει καὶ ἐπιχειρεῖ, ὥστε ὄχι μόνον νὰ σώσῃ τοὺς δημιουργηθέντας ἀπ' αὐτόν, ἀλλὰ καὶ νὰ τοὺς καταστήσῃ ἀξίους διὰ τὰ ἀπόρρητα ἀγαθά; Δι' αὐτὸ καὶ τὸ αὐτεξούσιον μᾶς ἔχει χαρίσει καὶ ἐτοποθέτησε μέσα εἰς τὴν φύσιν καὶ εἰς τὴν συνείδησίν μας τὴν γνῶσιν τῆς κακίας καὶ τῆς ἀρετῆς, ἐπέτρεψε καὶ τὸν διάβολον νὰ ὑπάρχῃ καὶ ἐπρόβαλε τὴν ἀπειλὴν τῆς γεέννης, ὥστε οὔτε τὴν γέενναν νὰ γνωρίσωμεν καὶ νὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν. Καὶ διατί θαυμάζεις, ἐὰν ὅλα αὐτὰ ἐπραγματοποίησε διὰ τὸν σκοπὸν αὐτὸν καὶ πολλὰ ἄλλα; Κατεδέχθη νὰ λάβῃ μορφὴν δούλου ἐκεῖνος, ποὺ εὑρίσκετο εἰς τὰς πατρικὰς ἀγκάλας, καὶ νὰ ὑπομείνῃ ὅλας τὰς ἄλλας τὰς σωματικὰς καταστάσεις, καὶ νὰ γεννηθῇ ἀπὸ γυναῖκα, καὶ ἀπὸ παρθένον νὰ τεχθῇ καὶ νὰ παραμείνῃ εἰς τὴν κοιλίαν ἐννέα μῆνας, καὶ νὰ δεχθῇ σπάργανα, καὶ νὰ θεωρηθῇ πατέρας του ὁ Ἰωσήφ, ὁ μνηστήρας τῆς Μαρίας, καὶ νὰ μεγαλώνῃ σιγὰ - σιγά, καὶ νὰ περιτμηθῇ, καὶ νὰ προσφέρῃ θυσίαν, καὶ νὰ πεινάσῃ, καὶ νὰ δειψάσῃ, καὶ νὰ κοπιάσῃ, καὶ τελευταῖα νὰ ὑπομείνῃ καὶ θάνατον, μάλιστα δὲ ὄχι ἁπλῶς θάνατον, ἀλλὰ τὸν θεωρούμενον προσβλητικόν, τὸν σταυ-

ζόμενον, τὸν σταυροῦ λέγω· καὶ ταῦτα ἅπαντα δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν κατεδέξατο ὁ τῶν ἁπάντων δημιουργός, ὁ ἀναλλοίωτος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, οὗ τῆς δόξης τὴν ἀστραπὴν οὐδὲ τὰ Χερουβίμ, αἱ ἀσώματοι δυνάμεις ἐκεῖναι, ἰδεῖν δύνανται, ἀλλ' ἀποστρέφουσαι τὰς ὄψεις τῇ προβολῇ τῶν πτερύγων τὸ θαῦμα ἡμῖν ἐπιδείκνυνται· ὃν διὰ παντὸς ὑμνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, καὶ μυρίαι μυριάδες· οὗτος δι' ἡμᾶς, καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν, ἄνθρωπος γενέσθαι κατεδέξατο, καὶ τῆς ἀρίστης πολιτείας ἡμῖν τὴν ὁδὸν ἔτεμε, καὶ δι' ὧν αὐτὸς ἦλθε τὴν αὐτὴν ἡμῖν φύσιν ἀναλαβών, ἀρκοῦσαν διδασκαλίαν ἐναπέθετο. Ποία τοίνυν ἡμῖν λείπεται λοιπὸν ἀπολογία, τοσούτων διὰ τὴν ἡμετέραν σωτηρίαν προηγουμένων, εἰ μέλλοιμεν ἀνόνητα ἅπαντα δεικνύναι, διὰ τῆς ῥᾳθυμίας τῆς τούτων προδιδόντες ἡμῶν τὴν σωτηρίαν; Διὸ παρακαλῶ νήφειν, καὶ μὴ ἁπλῶς συνηθείᾳ τῶν ἄλλων κατακολουθεῖν, ἀλλὰ τὴν ἑαυτῶν ζωὴν καθ' ἑκάστην ἡμέραν πολυπραγμονεῖν, καὶ εἰδέναι, τί μὲν ἡμῖν ἡμάρτηται, τί δὲ κατώρθωται· καὶ οὕτω τῶν ἡμαρτημένων τὴν διόρθωσιν ποιώμεθα, ἵνα καὶ τὴν ἄνωθεν ῥοπὴν ἐπισπασώμεθα, καὶ εὐάρεστοι τῷ Θεῷ γενώμεθα, καθάπερ ὁ δίκαιος οὗτος, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ρικὸν ἐννοῶ. Καὶ ὅλα αὐτὰ κατεδέχθη δι' ἡμᾶς καὶ διὰ τὴν ἰδικήν μας σωτηρίαν ὁ δημιουργὸς τῶν πάντων, ὁ ἀναλλοίωτος, ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα ἀπὸ τὸ μηδέν, ὁ ὁποῖος βλέπων εἰς τὴν γῆν, κάνει αὐτὴν νὰ τρέμῃ, τὴν λάμψιν τῆς δόξης τοῦ ὁποίου οὔτε τὰ Χερουβίμ, αἱ ἀσώματοι ἐκεῖναι δυνάμεις, ἠμποροῦν νὰ ἰδοῦν, ἀλλὰ ὅταν ἀποστρέφουν τὸ πρόσωπόν των μὲ τὴν προβολὴν τῶν πτερύγων μᾶς ἐπιδεικνύουν τὸ θαῦμα, τὸν ὁποῖον διαρκῶς ὑμνοῦν ἄγγελοι, ἀρχάγγελοι καὶ ἀμέτρητοι χιλιάδες· αὐτὸς δι' ἡμᾶς καὶ διὰ τὴν σωτηρίαν μας κατεδέχθη νὰ γίνῃ ἄνθρωπος καὶ ἐχάραξε τὸν δρόμον τῆς ἀρίστης συμπεριφορᾶς μας καὶ μὲ ἐκεῖνα μὲ τὰ ὁποῖα αὐτὸς ἦλθεν, ἀφοῦ ἀνέλαβε τὴν ἰδίαν μὲ ἡμᾶς ἀνθρωπίνην φύσιν, ἄφησε διδασκαλίαν, ἡ ὁποία ἦτο ἀρκετὴ (πρὸς τὴν σωτηρίαν μας). Ποία λοιπὸν μᾶς ἀπομένει εἰς τὸ ἑξῆς ἀπολογία, ἐνῷ ἔχουν προηγηθῆ τόσα πολλὰ διὰ τὴν ἰδικήν μας σωτηρίαν, ἐὰν θὰ συμβῇ νὰ τὰ ἀποδείξωμεν ἀνωφελῆ ὅλα, ὅταν μὲ τὴν ἀδιαφορίαν πρὸς αὐτὰ προδώσωμεν τὴν σωτηρίαν μας; Δι' αὐτό, παρακαλῶ, νὰ εἴμεθα νηφάλιοι καὶ νὰ μὴ ἀκολουθοῦμεν ἁπλῶς τὰς συνηθείας τῶν ἄλλων, ἀλλὰ νὰ ἐξετάζωμεν καλὰ τὴν ἰδικήν μας ζωὴν καθημερινῶς καὶ νὰ γνωρίζωμεν, τί ἔχομεν σφάλλει καὶ τί ἔχομεν ἐπιτύχει· καὶ ἔτσι θὰ κάνωμεν τὴν διόρθωσιν τῶν σφαλμάτων μας, διὰ νὰ προκαλέσωμεν καὶ τὴν ἐνίσχυσιν ἀπὸ τὸν Θεὸν καὶ νὰ γίνωμεν εὐάρεστοι εἰς αὐτόν, ὅπως ἀκριβῶς ὁ δίκαιος αὐτός, καὶ νὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ Ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμή, ἡ δύναμις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ*

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

* Οἱ ἀριθμοὶ παραπέμπουν διὰ μὲν τὰ χωρία τῆς Ἁγίας Γραφῆς κατὰ σειρὰν εἰς τὸ κεφάλαιον, τὸν στίχον καὶ τὴν σελίδα, διὰ δὲ τὰ ὀνόματα καὶ πράγματα εἰς τὴν σελίδα ποὺ εὑρίσκονται.

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Ε

Ζ

Η

Θ

Ι

Κ

Λ

Μ

Ν

Ο

Π

Ρ

Σ

Τ

Υ

Φ

Χ

Ψ

Στοιχειοθεσία, Ἐκτύπωσις:



Βελισσαρίου 35 ☎ 841-623

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 200621

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ

Α΄ ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος 1ος Ἐπιστολαί
» 2ος Ἐπιστολαί (ἐξηντλήθη)
» 3ος Ἐπιστολαί »
» 4ος Ὁμιλίαι εἰς Ἑξαήμερον »
» 5ος Ὁμιλίαι εἰς Ψαλμούς »
» 6ος Ὁμιλίαι ἠθικαί καί πρακτικαί
» 7ος Ὁμιλίαι δογματικαί - περιστατικαί - ἐγκωμιαστικοί - παιδαγωγικαί
» 8ος Ἀσκητικά (Ὅροι κατά πλάτος)
» 9ος Ἀσκητικά (Ὅροι κατ᾽ ἐπιτομήν)
» 10ος Δογματικά ἔργα

Β΄ ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος 1ος Ἀπολογητικά (Κατά εἰδώλων, Περί ἐνανθρωπήσεως)
» 2ος Δογματικά Α΄ (Λόγοι κατά Ἀρειανῶν Α–Β)
» 3ος Δογματικά Β΄ (Λόγοι κατά Ἀρειανῶν Γ–Δ).
» 4ος Δογματικά Γ΄
» 5ος Ἑρμηνευτικά Α΄
» 6ος Ἑρμηνευτικά Β΄ (Ἐξηγήσεις εἰς τούς Ψαλμούς)
» 7ος Ἑρμηνευτικά Γ΄ (Ἐξηγήσεις εἰς τούς Ψαλμούς)
» 8ος Ἱστορικοδογματικά Α΄
» 9ος Ἱστορικοδογματικά Β΄
» 10ος Ἱστορικοδογματικά Γ΄
» 11ος Ἀσκητικά
» 12ος Διάφορα ἀμφιβαλλόμενα

Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος 1ος Προσωπικαί Σχέσεις καί Ἐκκλησιαστική Διακονία Α΄
» 2ος Προσωπικαί Σχέσεις καί Ἐκκλησιαστική Διακονία Β΄ (ὑπό ἔκδοσιν)
» 3ος Ἀπολογητικά ἔργα (ἐξηντλήθη)
» 4ος Δογματικά
» 6ος Ἐγκωμιαστικοί καί Ἐπιτάφιοι Λόγοι
» 7ος Ἐπιστολαί (ὑπό ἔκδοσιν)
» 8ος Ἔπη Δογματικά
» 9ος Ἔπη Ἠθικά (ὑπό ἔκδοσιν)
» 10ος Ἔπη εἰς Ἑαυτόν (ὑπό ἔκδοσιν)
» 11ος Ἔπη εἰς Ἑτέρους (ὑπό ἔκδοσιν)

Δ΄ ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος Ἐκκλησιαστική Ἱστορία (Βιβλία Α΄–Γ΄)
» 2ος Ἐκκλησιαστική Ἱστορία (Βιβλία Δ΄–ΣΤ΄)
» 3ος Ἐκκλησιαστική Ἱστορία (Βιβλία Ζ΄–Ι΄).

Ε΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος Δογματικὰ Α΄ ("Ἐκδ. ἀκριβὴς τῆς Ὀρθ. πίστεως)

ΣΤ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 3ος Ὁμιλίαι εἰς τὴν Γένεσιν (ΚΔ΄—ΜΑ΄).
» 9ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Α΄ (Ὁμιλίαι Α΄—Κ΄).
» 10ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Β΄ (Ὁμιλίαι ΚΑ΄—ΜΗ΄).
» 11ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Γ΄ (Ὁμιλίαι ΜΘ΄—ΟΕ΄).
» 12ος α) Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Δ΄ (Ὁμιλίαι ΟΣΤ΄—ϞΑ΄)
β) Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Α΄—ΙΘ΄)
» 13ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Κ΄—ΝΔ΄).
» 14ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι ΝΕ΄—ΠΗ΄)
» 18ος Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Α΄ (Ὁμιλίαι Α΄—ΚΒ΄).
» 18Α Ὑπόμνημα εἰς τὴν Α΄ πρὸς Κορινθίους (Ὁμιλίαι ΚΒ΄—ΜΔ΄).
» 20ὸς Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Β΄, (Ὁμιλίαι ΚΕ΄—Λ΄), εἰς τὴν πρὸς Γαλάτας καὶ εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι Α΄—ΙΑ΄).
» 21ος Ὑπόμνημα εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι ΙΒ΄—ΚΔ΄), εἰς τὴν πρὸς Φιλιππησίους (Ὁμιλίαι Α΄—ΙΒ΄).
» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικὰ Α΄.
» 29ος Ἀσκητικὰ Β΄
» 31ος Κατηχητικαὶ καὶ ἠθικὰ Β΄ - Περιστατικὰ Α΄.
» 32ος Ὁμιλίαι Περιστατικαὶ Β΄.

Ζ΄ ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.
» 12ος Ἀββᾶ Ἡσαΐου, Ἀσκητικοὶ Λόγοι, ἀββᾶ Ζωσιμᾶ, Κεφάλαια ὠφέλιμα, ἀββᾶ Δωροθέου, Πραγματεῖαι καὶ Ἐπιστολαί.
» 22ος Νικ. Καβάσιλα, Ἑρμηνεία εἰς τὴν Θ. Λειτουργίαν - Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.

Η΄ ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

Θ΄ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α΄ (Πῶς τρία πρόσωπα λέγοντες, Κατὰ Εἱμαρμένης, Διάλογος περὶ ψυχῆς καὶ Ἀναστάσεως, Λόγος Κατηχητικὸς μέγας).

Ι΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΠΑΛΑΜΑ

Τόμος 1ος Λόγοι ἀποδεικτικοὶ δύο περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος — Ἐπιστολαὶ πρὸς Ἀκίνδυνον Α΄, Β΄, Γ΄ — Ἐπιστολαὶ πρὸς Βαρλαὰμ Α΄, Β΄.

ΠΕΡΙΕΧΟΜΕΝΑ